Bayerische StaatsBibliothek
Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Zachariae von Lingenthal, Karl Eduard, 1812-1894

Jus Graeco-Romanum

Bd.: 2

Lipsiae 1856

J.rom.f. 154 nc-2
urn:nbn:de:bvb:12-bsb10566408-6

I. rom. F. 154nc /2 ~~Hirzenthal~~
Zachariae

<36620557930010

<36620557930010

Bayer. Staatsbibliothek

BIBLIOTHECA
REGIA
MONACENSIS.

JUS GRAECO-ROMANUM.

PARS II.

SYNOPSIS MINOR

ET

EPITOME.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

T. O. WEIGEL.

MDCCCLVI.

LIBER JURIDICUS ALPHABETICUS

SIVE

SYNOPSIS MINOR

ET

ECLOGA LEGUM IN EPITOME EXPOSITARUM.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

T. O. WEIGEL.

MDCCCLVI.

29 = D.

BIBLIOTHECA
REGIA
MONACENSIS.

LIBER JURIDICUS ALPHABETICUS

SIVE

SYNOPSIS MINOR.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

PROLEGOMENA.

Synopsis minor, quam vocant, ex opere Michaelis Attalensis et ex majori illa Basilicorum Synopsi composita et in XXIV στοιχεῖα sive literas alphabeti divisa est. Quaevis litera locos primum ex omnibus deinceps Michaelis Attalensis, deinde e Synopseos majoris titulis, nec non ex scholiis et appendicibus horum librorum praestat: iique loci fere omnes interpretatione plus minusve diffusa modo elucidati modo defigurati sunt.

Auctor Synopseos minoris ignotus est[1], nec quo tempore vixerit satis in aprico est. Ex lit. *Σ* not. 17 et lit. *Φ* cap. 29 intelligitur auctorem imperatore Manuele Comneno recentiorem esse: eundem tamen ante exitum saeculi XIII scripsisse ex eo apparet, quod ejus aetatis Codicem MS. Synopseos minoris (Vindob. 5) habeamus. Si conjecturis indulgere fas est, auctorem imperante Joanne Duca Vatatze, qui Nicaeae ab anno 1222 usque ad annum 1255 regnavit, vixisse crediderim. Neque enim alius hoc aevo imperator extitit, ad quem quae lit. *B* cap. 46 leguntur, commodius possint referri.

Quod ad Codices MSS. Synopseos minoris attinet, in bibliothecis Europae hi a me inspecti sunt[2]:

I. Codex Vindobonensis jurid. gr. 5. — Est Codex chartaceus, foliorum 211, bonae notae, exaratus saec. XIII exeunte, forma octava. Initio et in fine mutilus est aliquot foliis et in medio quoque Codice nonnulla folia hic illic exciderunt: incipit in litera *Α* libri nostri, explicit in litera *Χ*. — Anno 1555 Codex Aloysii Deurostini Patrensis fuit, Anconae commorantis, eodemque anno in manus Georgii Tanneri pervenit: anno 1582 Sambuci fuit, deinde Tengnagelii, a quo in bibliothecam Cae-

[1] De Leone Sapiente Romanove juniore nonnulli, alii modestius de Docimio quodam vel Josepho Tenedio auctore somniaverunt. De Docimio vide infra lit. *Ν* not. 25.

[2] Alium in Augustini biblioth. fuisse, alium a Cujacio tractatum esse scimus.

saream pervenit. — Reliqui Codices, praeter unum Paris. 1382, omnes ex hoc Codice descripti esse videntur[3]. Namque in ultimis ejus foliis macula aqua facta conspicitur, qua fit, ut verba nonnulla legi non possint: in reliquis autem Codicibus haec eadem verba desunt, librariis lacunae signo indicantibus, in prototypo sese haec verba legere non potuisse.

II. Codex Vindobonensis jurid. gr. 4. — Chartaceus, forma quarta minori, quam vocant, foliorum 173, saeculo XV ineunte parum diligenter scriptus, Sambuci olim fuit, deinde Tengnagelii. — Continet primo *τὸ νόμιμον κατὰ στοιχεῖον* integrum, deinde fol. 153 sqq. subjungit excerpta quaedam, ut videtur, ex Blastaris Syntagmate et Harmenopuli Hexabiblo. Recentior manus in fine addit protestationem nonnullorum metropolitarum et patriarcharum adversus synodum Florentinam.

III. Codex Parisiensis reg. gr. 1382. — Bombycinus, forma octava, saeculi XIV. In ligatura Codicis notatur: *αφθ' ἰουν. ς' μάρκος παράσχης ἠγόρασε τὸ παρὸν βιβλίον τὸ λεγόμενον νόμιμον ἐν νήσῳ κρήτης εἰς τὴν χώραν χανδάκου.* Praeterea bibliothecarum numeri hi sunt conspicui: „Cod. CXXXXIII", „Telleriano-Remensis 74", „Reg. $\frac{3031}{2}$". — Quae continet, haec sunt: Fol. 1—4: *Αἱρετῶν κριτῶν ἀπόφασιν οὐδεὶς ἀθετεῖ, καὶ ταῦτα δι' ὁμολόγου ἐγγράφου οἰκειοχείρου τοῦ ἐνάγοντος. κἂν γὰρ ἐκ θείας ἀντιγραφῆς παρεμποδίζεται, κἂν ἐκ τοῦ σεκρέτου, κἂν ἐκ τῶν κριτῶν τοῦ δήμου, κἂν ἐκ τοῦ ἐκκλησιαστικοῦ δικαστηρίου, κἂν ἐκ παντὸς νομίμου δικαστοῦ, οὐδόλως παραλύεται ἡ τῶν αἱρετῶν κριτῶν ἀπόφασις. — Καὶ πάλιν· λέων ὁ σοφὸς βασιλεὺς ἐν τοῖς τριακοσίοις ἑβδομήκοντα κεφαλαίοις δι' οἷς τὴν βασιλείαν καὶ τὴν ἐκκλησίαν νομίμως ἐπλούτισεν ρλζ' κεφάλαιον οὕτω φησί. Παναγιώτατέ μου δέσποτα οἰκουμενικὲ πατριάρχα γινωσκέτω ἡ σὴ ἁγιότης· ὅτι τὸ αἱρετὸν δικαστήριον ἐκκλήτῳ οὐχ ὑπόκειται οὐδὲ ἀναψηλαφᾶται παρά τινος τῶν ἁπάντων. αἱροῦμαι γὰρ τὸ προαιροῦμαί φησιν. Ἐπεὶ γὰρ κατήμφω τὰ δύο μέρη τοῦ τε ἐνάγοντος καὶ τοῦ ἐναγομένου τοὺς μέλλοντας κρῖναι παραδεδώκασι τὸ δοκοῦν αὐτοῖς οὐ λαμβάνει ἀνάκρισιν οὐδὲ παρὰ θείας ἀντιγραφῆς ἀλλ' οὐδὲ παρά τινος ὅλως τῶν δικαστῶν. Ἀλλὰ καὶ ὁ εὐσεβὴς γέρων ὁ ῥωμανὸς ἐν τοῖς θείοις νόμοις αὐτοῦ οὕτω φησίν· ὁ αἱρετὸς δικαστὴς τὸ δοκοῦν αὐτῷ ψηφίζεται καὶ ὁ πραίτωρ οὐκ ἀνακρίνει*

---

[3] Cf. tamen lit. *A* not. 58. Praeterea videas lit. *E* not. 37.

τοῦτο. Καὶ πάλιν· Κωνσταντῖνος ὁ εὐσεβὴς δεσπότης καὶ πορφυρογέννητος ἐν τοῖς φιλευσεβέσι καὶ θείοις νόμοις αὐτοῦ οὕτω φησί· κἄντε δικαία ἐστὶ κἄντε ἄδικος ἡ τοῦ αἱρετοῦ δικαστοῦ ψῆφος ἐμμένειν δεῖ αὐτῇ καὶ ὁ μὴ ἐμμένων ἀπαιτείτω τὸ πρόστιμον ἀνηλεῶς καὶ μεμφέσθω ἑαυτὸν ὅτι ὅλως κατὰ τῶν αἱρετῶν δικαστῶν ἀγωγὴν ἐκινήσατο. Περὶ δικαστηρίων τῶν μὴ ὑποκειμένων ἐκκλήτω ἢ βασιλικῆς καὶ θείας ἀντιγραφῆς. Εἰσὶ δέ τινα δικαστήρια ἅτινα ἐκκλήτῳ οὐδόλως ὑπόκειντι ἀλλ᾽ οὐδὲ θείας καὶ βασιλικὰς ὅλως ἀντιγραφὰς οἷόν ἐστι καὶ τὸ τοῦ ἐπάρχου τῶν πραιτωρίων δίκην καὶ ἀπόφασιν αναψηλαφᾶν κελευσθῶσι· τότε γὰρ ἀναψηλαφᾶται καὶ ἅπτει. Εὑρίσκεται γὰρ ἰουστινιάνειος νεαρὰ ἥτις παρακελεύεται ἵνα πᾶς ὁ οἰόμενος ἀδικεῖσθαι κἂν μὴ φθάσῃ ἐν τῷ κρίνεσθαι εἰπεῖν ἐκκαλοῦμαι ἄδειαν ἔχῃ προσέρχεσθαι τῷ βασιλεῖ καὶ ἀναφέρειν τὰ κατ᾽ αὐτόν. Καὶ ἢν οὕτω βασιλικὴ προσταγὴ γενήσεται καὶ ἀναθεωρήσωσι καὶ ψηλαφήσωσι τὴν προτέραν κρίσιν πλὴν εἰς ρ΄ πεποσωμένας λίτρας χρυσίου καὶ εἰ μὲν εὕρωσιν αὐτὴν δικαίαν ἐπικυρῶσιν αὐτὴν εἰ δὲ ἄδικον ἢ ἐσφαλμένην ἐπανορθῶσιν. αὕτη ἐστὶν ἡ τοῦ πραίτορος ἐπανεξέτασις. ὡσαύτως καὶ ἡ τῶν αἱρετῶν κριτῶν κρίσις ἕως ο΄ λίτρας χρυσίου ἐξετάζεται παρὰ τοῦ βασιλέως καὶ μόνου, παρὰ δὲ ἑτέρου τινὸς οὐκ ἐξετάζεται οὐδὲ ἀνακρίνεται, ἀλλὰ μένει, καθὼς ἡ τῶν αἱρετῶν κριτῶν ἀπόφασις γέγονεν. — Ἐκ τῆς νεαρᾶς τῆς γενομένης παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου ἐπὶ τῆς πατριαρχείας κυροῦ ἀθανασίου. Ἡ σήμερον ὧδε εὑρισκομένη πληθὺς .... ἡ προίξ. — Post haec folia 5—7 in albo relicta sunt. Deinde fol. 8—44 alia manu scriptus exhibetur Πίναξ τοῦ παρόντος βιβλίου ἐκ τῶν μετὰ τὸν κώδικα θείων νεαρῶν διατάξεων νόμων τοῦ τῆς θείας λήξεως ἰουστινιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως ἐν πλείστοις κεφαλαίοις καὶ βιβλίοις κδ΄. Βιβλίον α΄ κεφ. ρζ΄. Sequitur index singulorum capitum cujusvis literae Synopseos nostrae, sed iterum alia, antiquiori scilicet, manu exaratus. Is index rubricas deinceps recenset, quae ut mox dicemus, cuivis capiti Synopseos in hoc Codice praepositae sunt. Inc.: α΄. Οἱ ἄνθρωποι πάντες. — Expl. γ΄. Περὶ τοῦ τίνα ἐδίδοντο τοῖς ὡρειαρίοις. — Denique post fol. 45, quod in albo relictum est, sequitur fol. 46—288 (iterum alia manu scriptum) hoc nostrum νόμιμον, absque inscriptione simpliciter sic incipiens: Ἀρχὴ τοῦ Α. α΄. περὶ ἀπελευθέρων. Οἱ ἄνθρωποι πάντες. Recensio ejus operis,

quam hic Codex praestat, nonnullis quorundam capitum transpositionibus, maxime vero rubricis conspicua est, quas singulis capitibus in lectorum utilitatem librarius apposuit.

IV. Codex Parisiensis reg. gr. 1387. — Chartaceus, forma quarta: olim Colbert. 4671, deinde Reg. $^{3032}_{3}$. Is fol. 1—157 Synopsin nostram praestat. Initium facit index capitum, diversus ab eo, quem Cod. Paris. 1382 habet. Inc.: *Κεφάλαια τοῦ προχείρου κατὰ ἀλφάβητον. Ἀρχὴ τοῦ ἄλφα. α΄. Εἰς πόσα διαιροῦνται οἱ πάντες ἄνθρωποι.* — Expl.: *Ἀρχὴ τοῦ Ω. Περὶ ὡρείων.* Subjiciuntur (fol. 20. 21) *Λέξεις ῥωμαϊκαὶ τοῦ νόμου,* post quas legitur: *τέλος τοῦ πίνακος, καὶ ἀρχὴ περὶ γάμων κεκωλυμένων καὶ ἀκωλύτων. Πρόσχες. Δεῖ γινώσκειν κτλ.* Inter fol. 21 et 22 lacuna est 49 circiter foliorum. Fol. 22 incipit a lit. *Ε* c. 6 libri nostri. Fol. 157 haec nota legitur: *Ἐτελειώθη τὸ παρὸν πρόχειρον διὰ χειρὸς ἐμοῦ διονυσίου ἁμαρτωλοῦ τάχα καὶ μοναχοῦ διὰ προστάξεως τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κυροῦ μύρωνος καὶ ἐξάρχου τρισλείας ἐν ἔτει ͵ϛωπϛ΄* (1378 p. Chr. n.) *ἰνδ. β΄ μηνὶ μαρτίῳ πρώτῃ ἡμέρᾳ τρίτῃ.* — *Παραδιορθόθη* (sic) *δὲ καὶ ἀνεκαινίσθη παρὰ δημητρίου ἐν ἔτει ͵ϛωϟϛ΄* (1388 p. Chr. n.) *ἰνδ. ια΄ μηνὶ μαρτίῳ β΄, κατὰ δὲ λατίνους ἀπὸ χριστοῦ γεννήσεως ἔτει ͵ατπδ΄* (1384?), *παρ᾽ ἡμῖν δὲ ἀπὸ χριστοῦ γεννήσεως ἔτει ͵ατϟ΄.* (1390). Accedunt nonnulla calendarium ejus anni spectantia: in fine subscriptus *Δημήτριος.* — Fol. 158 usque ad finem habentur Plutarchi et Aristotelis quaedam.

V. Codex *τῆς μονῆς τοῦ ἁγίου διονυσίου* in monte Athone sitae. — Chartaceus, forma octava. Continet *νόμιμον* nostrum *κατὰ στοιχεῖον.* Praecedit *πίναξ.* Inc. *Ἀρχὴ τοῦ Α.* Deinde sequitur ipsum opus absque inscriptione: sed recentior manus adscripsit: *Βασιλικῶν νόμων ἐπιτομὴ κατὰ στοιχεῖον τοῦ σοφωτάτου μιχαὴλ ἀνθυπάτου τοῦ ἀτταλειώτου.* — In fine haec nota est: *Ἐτελειώθη τὸ παρὸν πρόχειρον διὰ χειρὸς ἐμοῦ μανουὴλ τοῦ μελιγαλᾶ ἐν ἔτει ͵ϛων΄* (1342 p. Chr.) *ἰνδ. ι΄ ἡμέρᾳ τρίτῃ ιγ΄ τοῦ ὀκτωβρίου μηνός.*

VI. Codex Laurentianus LXXX, 16. — Chartaceus, saec. XV. — Incipit: *Νόμιμον κατὰ στοιχεῖον θαυμάσιον.* — *Ἀρχὴ τοῦ Α στοιχείου.* — *Οἱ ἄνθρωποι πάντες κτλ.* — Cf. Catalogus Bandinii III p. 205 sq. — Conspicuus est hic Codex eo, quod ad marginem plurimos locos ex titulis de regulis juris et de verborum significatione, ex canonibus, ex Novellis recentiorum imperatorum adscriptos habeat.

VII. Codex Vaticanus ex bibliotheca Pii II no. 39. — Chartaceus, forma octava, saeculi XV. — Fol. 1—10 habet scholia in Pselli Synopsin legum. — Fol. 10—226 extat liber de quo quaerimus. Hanc partem Codicis accurate descripsit Assemani Bibl. juris Orient. cap. XXII. — Fol. 227—256 varia continentur, quae cum jure civili nihil commune habent. —

Edere Synopsin minorem constituerat Georgius Tannerus: is enim Codici, qui nunc est Vindob. jur. gr. 5, ante fol. 1 haec sua manu proscripsit:

Ἐκλογὴ κατὰ στοιχεῖον καὶ σύνοψις ὅρων παραδειγμάτων καὶ νομίμων ἱστοριῶν εἴς τε τὴν σύμπασαν τῶν κατὰ τὴν ἑῴαν αὐτοκρατόρων νομοθεσίαν καὶ δὴ κἀν τοῖς τῶν λοιπῶν νομοδιδασκάλων καὶ ἐξηγητῶν ὑπομνήμασιν ὅτι πλεῖστα συμβαλλομένη· παρὰ γεωργίου ταννήρου νομοδιδασκάλου αὐστριακοῦ γερμανοῦ ἔαγχος ἐκδοθεῖσα.

Synopsis Definitionum Exemplorum et Historiarum civilium cum ex universa Justiniani Imp. legislatione tum reliquorum Constantinopolitanorum Impp. et juris civilis interpretum commentariis ea fide et diligentia ordine alphabetico digesta ut sit quasi universi juris Lexicon nunc primum a Georgio Tannero jurisc^o. Austriaco in purioris jurisprudentiae gratiam et usum in lucem revocata.

Sed substitit Tannerus in hoc titulo elaborando. Postea ex eodem Codice S. Schardius et J. Leunclavius locum ex lit. *N* de lege Rhodia tractantem, et nuper demum ex Vaticano Codice Pardessus plures locos ex eadem litera, ad jus navale spectantes, publici juris fecerunt[1].

Quod ego nunc editoris munus in me susceperim, id JCti Atheniensis, Leonidae Sgoutae, quem elegantior jurisprudentia exi-

---

[1] Auctores, qui de Synopsi minori tractaverint, nominandi sunt:
Cujacius in Observatt. VI, 10.
Assemani in Bibliotheca juris Orient. II p. 498 sq.
Pohlius ad Suaresii Notit. Basil. p. 57 lit. w.
Heimbachius senior in libello de Basilicorum orig. p. 124 sq.
Biener in libro: Beiträge zur Revis. d. justin. Codex p. 42.
Idem in Zeitschr. f. gesch. RW. VIII p. 268.
Witte die leges restitutae p. 38.
Idem in Zeitschr. f. gesch. RW. VIII p. 188. 221.
Pardessus in Collection des lois maritimes I p. 164. 195—204.
Ego in libro *Αἱ ῥοπαί* p. 63, et in Delineatione hist. juris GR. §. 47.
Mortreuil in Histoire du droit Byzantin to. III p. 315—322.
Denique ego in Schneider Krit. Jahrbücher 1847 p. 632—636.

mium fautorem habet, precibus est effectum. Accessit, quod interpretatio illa auctoris jurisprudentiae statum, qui illo tempore fuisset, egregie illustraret apud Graecos magna auctoritate gavisa esse videretur. Nam Harmenopulus (quod Index in fine hujus voluminis apponendus ostendet) in compilanda Hexabiblo ex Synopsi minore (μικρὸν κατὰ στοιχεῖον vocat) plurima hausit. E contrario librarius, qui Codicis Laurentiani prototypon exaravit, Synopsi minori varios locos ex Harmenopuli Hexabiblo et Epitome canonum exceptos ad instar scholiorum in margine adscripsit[5], ut supplementis aucta quotidiano usui eo magis inserviret. Denique saeculo XVI exeunte Theodosius Zygomalas Synopsin nostram in linguam vulgarem vertere operae pretium duxit[6].

In adornanda editione sequutus sum Codicem Vindobonensem jurid. gr. 5, quippe qui omnium antiquissimus, adeoque reliquis (praeter Paris. reg. gr. 1382) prototypus sit. Reliquorum tamen Codicum, ubicunque operae pretium esse videretur, lectionis varietatem adnotavi, et inprimis e Codice Laurentiano scholia de quibus modo dictum textui subjeci. In notis id potissimum egi, ut fontes, ex quibus auctor sua hausit, diligenter indicarem. Et Leunclavius quidem tam Michaelis Attalensis opus quam Basilicorum Synopsin typis excudi curavit: sed in illo titulorum distributio ab ea, quae in plerisque Codicibus invenitur, magnopere recedit: hanc adeo in novam formam Leunclavius mutavit. Itaque quod ad Attalensis opus attinet, titulorum numeros in Codicibus obvios allegare malui, adjectis tamen per parenthesin editionis Leunclavianae numeris; Synopseos autem Basilicorum titulos ex Codice Bieneriano liberaliter mecum communicato laudavi, excitatis simul (ex Heimbachiana et mea editione) Basilicorum locis, quos his titulis comprehensos Synopseos minoris auctor in usum suum vertisset.

„Att.“ abbreviatione in notis Michaelis Attalensis opus, et „Syn.“ Basilicorum Synopsin indicari, per se patet. Reliquorum siglorum explicatio haec est:

A significat Cod. Vindob. jurid. gr. 5.
B „ „ Vindob. jurid. gr. 4.
C „ „ Paris. reg. gr. 1382.
D „ „ Paris. reg. gr. 1387.
E „ „ Laurentian. LXXX, 16.

---

[5] Cf. lit. *A* initio not. *.

[6] Cf. Delin. hist. JGR. §. 55.

ΝΟΜΙΜΟΝ[1] ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ[2].

ΑΡΧΗ ΤΟΥ Α[3].

α΄. Οἱ ἄνθρωποι πάντες ἢ δοῦλοι εἰσὶν, ἢ ἐλεύθεροι, ἢ ἀπελεύθεροι· ἤγουν πρότερον[4] μὲν δοῦλοι, ὕστερον δὲ ἐλεύθεροι[5].

β΄. Οἱ ἀπελεύθεροι προσκύνησιν καὶ τιμὴν χρεωστοῦσι τῷ πάτρωνι, δηλονότι τῷ ἑαυτῶν[6] ἐλευθερωτῇ, καὶ τῷ υἱῷ τούτου καὶ τῇ γυναικὶ, καὶ ὑπουργεῖν εἰς τὰς προχείρους δουλείας αὐτοῖς ὀφείλουσιν[7].

γ΄. Ἀπελεύθερος τελευτῶν ἄπαις καὶ ἐπὶ τοῖς οἰκείοις διατιθέμενος πράγμασι, χρεωστεῖ τῷ πάτρωνι ἤγουν τῷ ἐλευθερωτῇ τούτου ἢ τῷ μέρει τοῦ ἐλευθερωτοῦ τὸ τρίτον τῆς οὐσίας αὐτοῦ[8].

δ΄. Ἀπελεύθερος ἄπαις καὶ ἀδιάθετος τελευτήσας πάντων τῶν αὐτοῦ πραγμάτων διάδοχον ἤτοι κληρονόμον ἔχει τὸν πάτρωνα[9].

ε΄. Τῶν ἀνθρώπων οἱ μὲν ἐξ ἐννόμων γάμων γεννῶνται, οἱ δὲ ἐκ πορνείας[10].

ϛ΄. Αἱρετικοῖς μυστηρίων τόπος μηδεὶς ἀνοιγέσθω. μηδὲ ναοὶ πρὸς ἱερουργίαν τούτοις διδόσθωσαν[11].

---

[1] Singulorum capitum cujusvis literae *πίνακα* sive indicem praemittunt CD, Vaticanus, et ille *τοῦ διονυσίου.* Sed quum alium C, alium reliqui tres exhibeant (cf. Prolegomena): quum index in Codice C aperte a recentiori manu adjectus sit: quumque Codices illi plerumque fragmenta ab hoc opere aliena inter indicem et ipsum opus immisceant, ut hoc cum illo primitus non cohaesisse videatur, — indicem librariis, non auctori vindicandum, ideoque tanquam spurium hoc loco omittendum esse arbitratus sum. [2] Sic inscribit operi B, nisi quod *στοιχείων* habet. E addit: *θαυμάσιον.* C, Vaticanus et Codex *τοῦ διονυσίου* inscriptionem non praestant. AD ab initio mutili sunt, ut de iis nil constare possit. [3] E addit *στοιχείου.* [4] C *οἱ πρότ.* [5] Att. I. [6] Deest in C. [7] Att. I. [8] Att. I. [9] Att. I. [10] Att. I. [11] Att. III.

ζ'. Αἱρετικοὶ ἀκίνητον ἐκκλησιαστικὸν πρᾶγμα μὴ ἐπικτάσθωσαν, μηδὲ κατὰ μίσθωσιν ἢ ἐμφύτευσιν. εἴ τις δὲ αἱρετικὸς ποιήσει τοιοῦτόν τι, ὃ δέδωκεν ὑπὲρ τούτων, ἀπόλλυσιν[12].

η'. Αἱρετικοὶ καὶ ἀλλότριοι τῶν πιστῶν χριστιανῶν εἰς γάμον μὴ συναπτέσθω[13].

θ'. Ἐάν τις ἁρπάσῃ ἢ διαφθείρῃ ἀσκήτριαν ἢ διακόνισσαν, τὰ πράγματα τούτου καὶ τῶν συνυπουργησάντων αὐτῷ ἐν τῷ ναῷ δίδονται, εἴτε μονὴ εἶεν εἴτε[14] ἐκείνη μὲν ἀναζητεῖται αὖθις, καὶ κατάγεται, ὅπου καὶ τὸ πρότερον ἦν· οἱ δὲ συνεργοῦντες πάντες ταῦτα τιμωροῦνται κατὰ τὸ πρέπον[15].

ι'. Ἀκίνητον ἐκκλησιαστικὸν πρᾶγμα οὐκ ἰδιοποιεῖται[16] οὔτε κατὰ πραγματείαν[17] οὔτε κατὰ ἐμφύτευσιν[18], ἐὰν μὴ ἐρείπιον ᾖ ἀπρόσοδον, ἢ πολλάκις καὶ εὔλογος αἰτία πωλεῖν ἢ ἐμφυτευτικῶς δοθῆναι καταναγκάζει. τότε γὰρ καὶ τοῦτο γενή-

---

α'.* Κανὼν περὶ αἱρέσεως. — Εἰ ἐκεῖνος ἐμποδίσει μοι πληρωθῆναι τὴν αἵρεσιν, ᾧτινι διαφέρει πληρωθῆναι αὐτήν, ἀντὶ πεπληρωμένης ἐστίν· ὅπερ ἐστὶν ἐπὶ ἐλευθεριῶν καὶ λεγάτων καὶ ἐνστάσεων καὶ ἐπερωτήσεων. — Ἕτερος. — Οὐδεὶς ἐκ τοῦ ἰδίου δόλου κρείττονα ποιεῖ τὴν ἰδίαν αἵρεσιν.

β'. Ἕτεροι περὶ ἀπάτης. — Ὅτε περὶ ἀπάτης ζητεῖται, οὐ πολυπραγμονοῦμεν τί οὐκ ἔσχεν ὁ ἐνάγων, ἀλλὰ τί διὰ τοῦ ἐναγομένου σχεῖν ἐνεποδίσθη.

γ'. Ἡ ἀπάτη καὶ ἀποτέλεσμα καὶ σκέμμα ἐπιζητεῖ.

δ'. Ὁ τῷ κοινῷ νομίμῳ χρώμενος οὐκ ἀπατᾶται.

ε'. Ὁ γινώσκων καὶ συναινῶν οὐκ ἀπατᾶται.

ς'. Ἕτερος περὶ ἀπαιτήσεως. — Οὐδὲν ἀπαιτεῖσθαι δύναται πρὸ τοῦ καιροῦ, καθ' ὃν τῇ φύσει τῶν πραγμάτων δύναται καταβάλλεσθαι, οὐδὲ πρὶν ἢ περιέλθῃ ὁ [ἐπὶ τῇ καταβολῇ ὁρισθεὶς καιρός].

ζ'. Ἕτερος περὶ ἄπαιδος. — Οὐ δοκεῖ ἄπαις τελευτᾶν [ὁ καταλιπὼν ἔγκυον γαμετήν].

---

[12] Att. III. [13] Haec corrupta sunt. Legendum: *Αἱρετικὸς καὶ ἀλλόπιστος πιστῷ χριστιανῷ.* — Att. III. [14] Videtur aliquid excidisse. [15] E *κατὰ τὸν νόμον.* — Att. III. [16] E *ἐκποιεῖται.* [17] E *πρᾶσιν.* [18] B *τὴν ἐμφ.*

* Haec quae ad instar scholiorum, numeris continuis a nobis appositis, infra textum excudi curavimus, in Codice E leguntur ad marginem adscripta. Id Codex ea hausit ex alio quodam Codice maculis ita adsperso, ut nonnulla librarius legere non potuerit. Lacunas, quas ideo reliquit, ex Harmenopuli operibus supplevi: est enim horum locorum ea ratio, ut paene omnes ex Harmenopuli Hexabiblo et Epitome canonum adscripti sint. Sic regulas juris, quae deinceps leguntur, apud Harmenop. plerasque invenire est in Appendice tit. II et lib. I tit. 15.

σεται, ὥσπερ καὶ διὰ χρέα καὶ τὰ ἀκίνητα τῶν ἐκκλησιῶν πωλοῦνται καὶ τὰ περιττὰ ἱερά[19].

ια΄. Αἱ τῶν σεπτῶν οἴκων ἤγουν μοναστηρίων καὶ ἐκκλησιῶν καὶ ναῶν καὶ τῶν ἄλλων τῶν ὁμοίων αὐτοῖς ἀγωγαὶ μέχρι τεσσαράκοντα χρόνων κινοῦνται· μετὰ δὲ τὴν τούτων συμπλήρωσιν κινεῖσθαι οὐ δύνανται[20].

ιβ΄. Καθολικῶς λεκτέον περὶ ἀγωγῶν[21] τῶν καθ᾽ ἕτερον τρόπον καλουμένων καὶ ἐνοχῶν[22]. εἰ δὲ καὶ ἐν τοῖς εἰς τὸ ε΄ στοιχεῖον τὰ περὶ τούτων ῥηθήσεται οὐκ ἀπρεπὲς (ἐπεὶ γὰρ καὶ ἀγωγαὶ καὶ ἐνοχαὶ ἐνάγονται), καὶ ἐν τῷ α΄ καὶ ἐν τῷ ε΄ τὰ περὶ τούτων ἀνάγκη τάττεσθαι.

ιγ΄. Ἁμάρτημά ἐστιν ὅπερ παρὰ γνώμην τινὸς καὶ θέλημα πρὸς λύπην ἐκείνου παρ᾽ ἄλλου πράττεται[23].

ιδ΄. Οἱ ἀφήλικες μέχρι τῶν κε΄ χρόνων, ἕως τότε τελοῦσιν ὑπὸ κουράτορας, καὶ εἴ τι πράξουσιν ἐντὸς τούτων, ἄδειαν ἔχουσι μετὰ ταῦτα ἀνατρέπειν καὶ πρὸς τὸ ἑαυτῶν συμφέρον μεταποιεῖν, καὶ δίκας ἀνακαλεῖσθαι καὶ μοιρασίας καὶ πράσεις, καὶ ὅσα τούτοις παρόμοια. τὸ αὐτὸ δὲ τούτοις ποιοῦσι καὶ τὸ αὐτὸ προνόμιον ἔχουσι, καὶ ὅσοι κατὰ φόβον ἢ

η΄. Ἕτερος περὶ ἀπειρίας. — Ἡ ἀπειρία τῇ ἀμελείᾳ συναριθμεῖται.

θ΄. Ἕτερος περὶ ἁμαρτήματος. — Ἐν ἴσῳ ἁμαρτήματι χείρων ἐστὶν ἡ αἵρεσις τοῦ ἐνάγοντος.

ι΄. Ἕτερος. — Εἰ δύο ἀγωγαὶ πρόκεινται, ἡ μὲν ποσότητα μείζονα ἔχουσα, ἡ δὲ ἀτιμοποιός, προτιμᾶται ἡ ἀτιμοποιός. εἰ δὲ δύο ἀτιμοποιοί εἰσι, κἂν διάφορον ἔχωσι ποσόν, ἴσαι νομίζονται.

ια΄. Ἕτερος. — Πολλῶν ἀγωγῶν περὶ τοῦ αὐτοῦ συντρεχουσῶν τὴν μείζονά τις κινεῖν ὀφείλει.

ιβ΄. Ἕτερος περὶ ἀνήβων. — Ὁ πλησιάζων τῇ ἥβῃ καὶ κλοπῆς καὶ ὕβρεώς ἐστι δεκτικός.

ιγ΄. Ἕτερος. — Οὔτε θέλειν οὔτε μὴ θέλειν ὁ ἄνηβος ἄνευ τῆς αὐθεντίας τοῦ ἐπιτρόπου πιστεύεται.

ιδ΄. Ἕτερος περὶ ἀποκαταστάσεως. — Τῷ τῆς ἀποκαταστάσεως ῥήματι καὶ καρποὶ περιέχονται, κἂν μὴ τοῦτο ῥητῶς ἐκφωνηθῇ.

ιε΄. Ἕτερος περὶ ἀσαφοῦς. — Τὴν ἀσάφειαν ὡς ἐπὶ τὸ πολὺ ὑπὲρ τοῦ ὁμολογήσαντος ἑρμηνεύομεν.

ιϛ΄. Ἡ ἀμφίβολος ἐπερώτησις κατὰ τοῦ ἐπερωτήσαντός ἐστιν.

ιζ΄. Τὰ ἀσαφῶς γεγραμμένα ὡς μὴ νοεῖσθαι τὴν ἔννοιαν αὐτῶν ἀντὶ μὴ γεγραμμένων ἐστίν· τὰ δὲ λοιπὰ ἰσχύει.

ιη΄. Ἐπὶ τῶν ἀσαφῶν τὸ ἧττον ἐπιλεγόμεθα.

---

19 Att. III. 20 Att. III. 21 B αὐτῶν. 22 Att. IV. 23 Att. IV.

βίαν πράξουσί τι, καὶ ὅσοι κατὰ πλάνην ἢ ἀποδημίαν πάθωσιν ἢ ἐργάσονταί τι[24].

ιε΄. Οἱ ἀφήλικες εἰ καὶ ἕως κε΄ χρόνων ὑπο κουράτωρσι διεξάγονται, ἀλλὰ πολλάκις συγχωροῦνται δεσπόζειν ἑαυτῶν καὶ τῶν ἰδίων πραγμάτων, ἐὰν ὦσι σεμνοῦ βίου καὶ χρηστῆς ὑπολήψεως, οἱ μὲν ἄνδρες μετὰ τὴν συμπλήρωσιν τῶν κ΄ χρόνων, αἱ δὲ γυναῖκες μετὰ τὸ ιη΄ ἔτος[25].

ις΄. Τοῖς ἀφήλιξι μετὰ τὴν τῶν κε΄ χρόνων συμπλήρωσιν ἕτεροι δ΄ χρόνοι δίδονται, ὥστε ἐν αὐτοῖς ἀνακαλεῖσθαι τὰ παρ᾽ αὐτῶν[26] εἰς οἰκείαν βλάβην γινόμενα. τισὶ δὲ δοκεῖ[27] καὶ τοῖς μετὰ τοὺς κε΄ χρόνους οὕτως δίδοσθαι τοῖς ἀφήλιξιν, ὥστε καὶ τούτους τὸ αὐτὸ οἵους καὶ πρὸ τῶν κε΄ λόγον καὶ ἄδειαν τοὺς ἀφήλικας ἔχειν καὶ τὰ ἐπὶ τῶν δ΄ χρόνων παρὰ τούτων γινόμενα ἀνατρέπειν καὶ ἀθετεῖν καὶ μεταποιεῖν πρὸς ὃ βούλονται· ἀλλὰ τῶν δύο τούτων ἐννοιῶν ἡ προτέρα ἀκριβεστέρα καὶ ἀσφαλής[28].

ιζ΄. Τὸ ἄγραφον διὰ μαρτύρων γινόμενον ἰσχύει ὥσπερ τὸ ἔγγραφον, καὶ οὐδὲν ἧττον δύναται[29].

ιη΄. Ἡ ἀνταλλαγὴ δύο πραγμάτων ἐστὶν ἀντίδοσις, καὶ ἔχει τὸ στέργον ἔστ᾽ ἂν τὰ πράγματα παρὰ τοῖς ἀνταλλάξασι μένωσιν, ἤγουν ἕως οὗ ἔχωσι ταῦτα οἱ ἀνταλλάξαντες. ἐὰν δὲ

ιθ΄. Ἐπὶ τοῦ ἀσαφοῦς πράγματος κρεῖττόν ἐστιν εὐνοεῖν τῇ ἀπαιτήσει ἤπερ τῷ ἐπεισάκτῳ κέρδει.

κ΄. Ἐν τοῖς ἀμφιβόλοις τὸ φιλάνθρωπον κρατείτω.

κα΄. Ἐὰν ἡ αὐτὴ φράσις διχῶς νοῆται, ἡ ἁρμόζουσα τῷ δικαίῳ καὶ κινουμένῳ πράγματι [ἐπικρατεῖ].

κβ΄. [Ἡ ἀπουσία] τοῦ διὰ πρᾶγμα δημόσιον ἀπόντος οὔτε αὐτῷ οὔτε [ἄλλῳ γίνεται ἐπιζήμιος].

κγ΄. Ἕτερος περὶ ἀποκαταστάσεως. — Οὐ δοκεῖ τις λαμβάνειν, ὅπερ ἄλλῳ ἀποκαταστῆσαι ἀναγκάζεται.

κδ΄. Ἐν ταῖς ἀμφιβόλοις ἀφηγήσεσι τῇ διανοίᾳ δεῖ προσέχειν τοῦ ἀφηγησαμένου.

κε΄. Ἐν τοῖς ἀσαφέσι τὸ πιθανὸν ἢ τὸ ὡς ἐπὶ τὸ πλεῖστον γινόμενον δεῖ σκοπεῖν.

κς΄. Ἐν τοῖς ἀσαφέσι τὸ φιλάγαθον ἑρμηνεύομεν.

κζ΄. Τὸ ἀμφίβολον σύμφωνον κατὰ τοῦ πράτου ἐστίν. ἡ δὲ ἀμφίβολος ἐναγωγὴ τὸ πρᾶγμα τοῦ ἐνάγοντος οὐ καταβλάπτει.

κη΄. Ἐν τοῖς ἀμφιβόλοις τὸ καλοθελὲς δεχόμεθα.

κθ΄. Ἐν τοῖς ἀμφιβόλοις ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα.

---

[24] Att. IV (5). [25] Att. IV (5). [26] B κατὰ τῶν. [27] Sic lego. B δίδοται.
[28] Att. IV (5). [29] Att. V (6).

τῶν εἰς ἀνταλλαγὴν δοθέντων πραγμάτων ἓν ὁποιονοῦν ἐκνικηθῇ καὶ ἐκ τοῦ λαβόντος ἀφαιρεθῇ, ὁ στερηθεὶς τούτου δύναται ἐκ τοῦ συναλλάξαντος πρὸς αὐτὸν τὸ οἰκεῖον ἀπολαβεῖν, καὶ κινεῖ τὴν περὶ αὐτοῦ ἀγωγήν. τὸ αὐτὸ γίνεται, καὶ ἐάν τις δῷ τινι ἐπὶ τῷ λαβεῖν τι παρ᾽ αὐτοῦ καὶ οὐ λάβῃ, καὶ ἐάν τις ἐπὶ τῷ ποιῆσαι αὐτῷ τι δῷ πρός τινά τι καὶ ἐκεῖνος οὐ ποιήσει ὅπερ ὑπέσχετο ποιήσειν αὐτῷ, καὶ εἴτι ἄλλο τοιοῦτον. ταῦτα πάντα δύναται ὁ δεδωκὼς ἀναλαμβάνειν ἃ ἔδωκεν ἐκ τῶν λαβόντων αὐτά, πρὸς οὓς μετὰ συμφωνίας τοιαύτης ἔδωκεν[30].

ιθ΄. Ἄγραφος μαρτυρία κατ᾽ ἐγγράφου μαρτυρίας ἰσχύειν οὐ δύναται[31].

κ΄. Ἀντεπάγειν ὅρκον ἐστὶν, ὅταν ὀμόσαντος τοῦ ἀντιδίκου πρὸς λύσιν τοῦ ὅρκου ἀντομόσαι ζητεῖ ὁ ἀντίδικος. ὅταν οὖν τοιοῦτος ὅρκος ἀντεπακτὸς περί τινος γένηται (ἀντεπακτὸς δὲ λέγεται ὁ πρὸς ἄλλον ὅρκον ἀντεπαγόμενος), οὐκ ἔξεστι καὶ τῷ ἄλλῳ μέρει ζητεῖν αὖθις ἀντεπάγειν ἕτερον ὅρκον. τρεῖς γὰρ ὅρκους ἐπὶ μιᾷ ὑποθέσει τελεσθῆναι κεκώλυται, καὶ ἀντεπακτοῦ ὅρκον ὁ νόμος οὐ παραδέχεται[32].

κα΄. Ἐὰν ἄλλος ὑπὲρ ἄλλου παρὰ γνώμην ἐκείνου ποιήσῃ τί, οὐδὲν βλάπτει τὸν ὑπὲρ οὗ διαπράττεται, ἀλλ᾽ ἐν τοῖς τοιούτοις ἄδειαν ἔχει ἐκεῖνος, οὗ εἰς ὄνομα παρ᾽ ἑτέρου τὸ ἔργον γίνεται, ἢ δέχεσθαι τοῦτο ἐὰν συμφέρον νομίσῃ, ἢ ἀποβάλλεσθαι ἐὰν ἐπιβλαβὲς ἡγήσηται τοῦτο καὶ ἐπιζήμιον εἶναι[33].

κβ΄. Οἱ ἄρχοντες ἐν ταῖς ἐπαρχίαις, αἷς ἄρχουσι, κωλύονται καὶ δανείζειν καὶ τοκίζειν καὶ πραγματεύεσθαι. αὐτοὶ δὲ μᾶλλον ἐπὶ τόκῳ παρ᾽ ἑτέρων δανείζονται. οἱ δὲ εἰς τὰς ὑπ᾽ αὐτοὺς τάξεις καὶ δανείζουσι καὶ τοκίζουσι[34].

κγ΄. Ἀναργυρία λέγεται, ὅταν τὶς γράψας οἰκειοχείρως ὁμολογήσας λαβεῖν ἀργύριον ἢ νομίσματα [οὐδόλως] ἔλαβεν, ἅπερ λαβεῖν ἐγγράφως ὡμολόγησεν, ἢ[35] ἔλαβε μὲν μέρος οὐ μὴν τόσα ὅσα λαβεῖν αὐτὸς διὰ τοῦ ἰδίου γράμματος ὡμολόγησε. καὶ τοῦτο διπλοῦν εἶδος τῆς ἀναργυρίας καὶ β΄ καλοῦνται ἀναργυρίαι. ὅταν οὖν ποιήσει μέν τις γράμμα, ὅτι τὸ ἀργύριον τὸ ὀφειλόμενον αὐτῷ ἔλαβεν, οὐ μὴν δὲ λάβῃ, ἢ[36] ἀπατηθεὶς ὑπό τινος γενομένου συμβάματος ἀγωγὴν ποιεῖ περὶ τούτου (καὶ καλεῖται περὶ ἀναργυρίας ἡ ἀγωγὴ), δύναται μέχρι καὶ συμπληρώσεως χρόνων δύο τὴν περὶ τούτου κινεῖν ὑπόθεσιν. ἐπὶ δὲ

---

[30] Att. XII (15). [31] Att. XIII (16). [32] Att. XIV (18). [33] Att. XIV (18).
[34] Att. XV (19). [35] B *καί*. [36] Legerim *εἰ*.

παρακαταθήκης καὶ ἀποδείξεως δημοσίας καὶ γραφῆς προικὸς ἀποληπτικῆς, τουτέστιν ἐν ᾗ δηλοῖ τις τὴν προῖκα τὴν τούτῳ ὀφειλομένην ἀπολαβεῖν, χώραν οὐκ ἔχει τὸ τὴν ἀγωγὴν τὴν περὶ ἀναργυρίας κινεῖν[37].

κδ΄. Ὁ ἀντέλλογος τοιοῦτος ἐστίν. χρεωστεῖ τις ἑτέρῳ δέκα νομίσματα καὶ ὁμολογεῖ τοῦτο ὁ χρεωστῶν· ἀντιχρεωστεῖ δὲ καὶ ἐκεῖνος αὐτῷ τῷ τὰ ι΄ χρεωστοῦντι νομίσματα ἕτερα τοσάδε νομίσματα. ἐνάγει οὖν ὁ εἷς ἐξ αὐτῶν κατὰ τοῦ ἑτέρου κινῶν, καὶ ὁ ἄλλος πάλιν ὁμολογῶν χρεωστεῖν ἀντεγκαλεῖ καὶ αὐτὸς κατὰ τοῦ ἐγκαλέσαντος κατ᾽ αὐτοῦ, ὡς καὶ ἐκείνου πρὸς αὐτὸν χρεώστου τυγχάνοντος, καὶ οὕτως τὸ ἐγκαλεῖν καὶ ἀντεγκαλεῖν αὐτοὺς κατ᾽ ἀλλήλων ποιεῖ τὸν ἀντέλλογον, ὅπερ ἐστὶν ἀντιλογαριασμός τε καὶ ἀντιψήφισμα. ψηφίζεται γὰρ καὶ λογαριάζεται τὰ χρέη ὅσα εἰσὶ, καὶ οὕτως ἐξισοῦται καὶ τέμνεται ἡ ὑπόθεσις, ἐὰν μὲν ἐπίσης χρεωστῶσιν ἀλλήλοις, μηδενὸς ἐκ τοῦ ἑτέρου λαμβάνοντος, εἰ δὲ πλέον καὶ ἔλαττον, διδόντος ἀναλόγως τοῦ χρεωστοῦντος τὸ πλέον τῷ χρεωστοῦντι τὸ ἔλαττον, καὶ οὕτω τῶν δύο προσώπων εἰς εἰρηναίαν καταντώντων συμβίβασιν[38].

κε΄. Ὁ ἀντέλλογος ἐπὶ πάντων τῶν ἄλλων πραγμάτων γίνεται χωρὶς μόνης τῆς περὶ παρακαταθήκης ἀγωγῆς. ὅταν γὰρ παρακαταθήκην τίς ἀπαιτῇ καὶ ἐγκαλῇ κατὰ τοῦ δεξαμένου αὐτὴν, οὐκ ἔχει χώραν ὁ τὴν παρακαταθήκην λαβὼν κινεῖν τὸν ἀντέλλογον· ἀλλ᾽ εἰ καὶ βούλεται κινῆσαι, ὁ δικαστὴς αὐτὸν οὐ προσδέχεται, ἀλλ᾽ ἀναγκάζεται παντοιοτρόπως τὴν παρακαταθήκην ἀποδιδόναι. θαυμασίως καὶ καλῶς ἡ διάταξις ταῦτα παρακελεύεται τὰς πολλὰς πονηρίας τῶν παρακαταθήκας λαμβανόντων παρά τινων ἀναστέλλουσα[39].

κϛ΄. Ὁ ἄρχων εἰς ἐκείνην τὴν ἐπαρχίαν, εἰς ἣν αὐτὸς ἄρχων ἐστὶν, οὐ μνηστεύεται[40].

κζ΄. Οἱ ἀῤῥαβῶνες κρατοῦνται πολλάκις παρὰ τῶν λαμβανόντων αὐτοὺς καὶ στεροῦνται τούτων οἱ δεδωκότες. εἰ γὰρ δώσει τὶς πρὸς ἄλλον τινὰ ἀῤῥαβῶνα διά τι πρᾶγμα, καὶ μετὰ ταῦτα θελήσει καταλῦσαι τὴν συμφωνίαν, ἐκεῖνος, ὅστις τὸν ἀῤῥαβῶνα πρὸς τὸν στέργοντα δέδωκεν, ἀπόλλυσι τὸ δοθὲν διὰ τὴν τῆς συμφωνίας κατάλυσιν, καὶ γίνεται τούτου κύριος ὁ λαβών. ἐὰν δὲ αὐτὸς ὁ τὸν ἀῤῥαβῶνα λαβὼν ἀνατρέπῃ τὴν συμφωνίαν, τὸν ἀῤῥαβῶνα εἰς τὸ διπλάσιον ἀποδίδωσιν. καὶ κα-

---

[37] Att. XV (19). [38] Att. XVI (21). [39] Att. XVI (21). [40] Att. XIX (24).

θολικῶς εἰπεῖν τὸ ἅπαξ εἰς ἀῤῥαβῶνα δοθὲν οὐ πέφυκεν ἀντιστρέφεσθαι, εἰ μὴ ῥητῶς ἄλλο τὶ ἀντὶ τούτου συμφωνηθείη[41].

κη'. Τὸ περὶ τὸν ἀῤῥαβῶνα κεφάλαιον τινὲς μὲν εἰς τοὺς γαμικοὺς ἐξελάβοντο ἀῤῥαβῶνας, τινὲς δὲ εἰς τοὺς περὶ ἄλλων πραγμάτων, τινὲς δὲ καὶ εἰς τοὺς δύο καὶ ἁπλῶς εἰς πάντα καθολικῶς. τούτοις ἐξακολουθοῦσιν οἱ σήμερον.

κθ'. Ἄρχων τινὸς ἐπαρχίας εἰς τὴν ὑπ᾽ αὐτὸν ἐπαρχίαν ἀῤῥαβῶνας ἐπὶ μνηστείᾳ διδοὺς ἀπόλλυσι τούτους· ὡσαύτως δὲ καὶ πάντες οἱ οἰκεῖοι καὶ γνήσιοι τούτου ἐὰν ἐκ συνεργείας αὐτοῦ καὶ σπουδῆς ποιήσωσι τοῦτο. ἀλλὰ καὶ πάντες οἱ ὑπ᾽ αὐτὸν ὁμοίως ζημιοῦνται τοὺς ἀῤῥαβῶνας, ἐὰν ἐκ βοηθείας καὶ συνεργείας αὐτοῦ μνηστεύσωνται. ἐὰν δὲ καὶ μετὰ τὸ ἐκβληθῆναι τῆς ἀρχῆς τὸν τοιοῦτον ἄρχοντα θέλῃ ἐκείνη ἡ τὸν ἀῤῥαβῶνα λαβοῦσα στέργειν τὸν γάμον, γίνεται τοῦτο καὶ οὐ κωλύεται[42].

λ'. Αἱ ἀγωγαὶ κατὰ διαφόρους τρόπους γινόμεναι καὶ διαφόρως ὀνομάζονται. τινὲς μὲν αὐτῶν καὶ περὶ ὑφαιρέσεως λέγονται, ἕτεραι δὲ καὶ περὶ κλοπῆς. καὶ ὅταν μὲν ὁ ἀπό τινος κρυφίως καὶ μετὰ δολιότητος πρᾶγμα [λαβὼν] ἁπλοῖν τε καὶ χωρὶς προσθήκης τινὸς ἀποδιδόναι καὶ ἀντιστρέφειν καταναγκάζεται, καλεῖται τοῦτο περὶ ὑφαιρέσεως ἀγωγή· ὅταν δὲ εἰς τὸ διπλάσιον ἀπαιτεῖται ὃ ἔλαβε, τότε καλοῦσι τοῦτο περὶ κλοπῆς ἀγωγήν. εἰ γὰρ καὶ ἐν τοῖς ἄλλοις τὸ ὑφαιρεῖσθαι προς τὸ κλέπτειν οὐκ ἔχει διαφορὰν, ἀλλ᾽ ὁ νόμος ἄλλο τὶ γινώσκει τὸ κλέπτειν, καὶ τὸ ὑφαιρεῖσθαι πάλιν ἕτερον τίθεται. καὶ τὸ μὲν ἤγουν τὸ κλέπτειν ἐπὶ ξένων καὶ ἀλλοτρίων καὶ καθ᾽ ὧν ἔξεστί τινι ἄτιμον κινεῖν ἀγωγὴν, τὸ δὲ ὑφαιρεῖσθαι ἐπὶ τῶν ἰδίων καὶ οἰκειότητας ἐχόντων πρός τινας τίθησιν καὶ καθ᾽ ὧν οὐκ ἔχει τὶς ἄδειαν ἄτιμον κινεῖν ἀγωγήν[43]. καὶ ἐστὶ κλέπτων μὲν ὁ τὰ τῶν ἀλλοτρίων προσώπων ὑφαιρούμενος πράγματα· ὑφαιρούμενος δὲ ὁ κλέπτων τὰ τῶν οἰκείων, ἤγουν τὰ τοῦ πατρὸς παῖς, καὶ τὰ τοῦ συζύγου γυνὴ, καὶ τὰ τοῦ ἀδελφοῦ ἀδελφός[44].

λ'. Κανὼν περὶ ἀγωγῆς. — Ὁ περὶ πράγματος ἀγωγὴν ἔχων εἰς ἀπαίτησιν, αὐτὸ τὸ πρᾶγμα δοκεῖ ἔχειν.

λα'. Ἕτερος περὶ ἀνυποστάτου. — Τὸ ἐξ ἀρχῆς ἀνυπόστατον οὐ βεβαιοῦται τῇ χρονίᾳ παραδρομῇ.

---

[41] Att. XIX (24). [42] Att. XIX (24). [43] BE verba τὸ δὲ ὑφαιρ — ἀγωγὴν propter ὁμοιοτέλευτα omittunt. [44] Att. XIX (27).

λα΄. Ἡ ἀπογραφὴ τοιοῦτον ἐστίν. ἔθος ἦν παρὰ τοῖς παλαιοῖς, ὅτε ἐτελεύτησέ τις καὶ ἀφῆκεν ἢ κληρονόμον ἢ ἄλλον τινὰ ἀνάδοχον εἰς τὰ πράγματα[45] αὐτοῦ, καταγράφεσθαι τοῦτον πᾶσαν τὴν περιουσίαν τοῦ βίου τοῦ[46] τελευτήσαντος, καὶ ἄρχεσθαι μὲν τοῦ ποιεῖν τὴν ἀπογραφὴν μετὰ τὴν τελευτὴν τοῦ παρελθόντος ἐντὸς τριάκοντα ἡμερῶν, ἤγουν ἵνα μὴ παρέλθωσιν ὁλόκληροι λ΄ ἡμέραι ἐξότου ὁ θανὼν ἐτελεύτησεν, ἀλλὰ πρὸ τοῦ πληρωθῆναι αὐτὰς τὸ τοῦ ἀποθανόντος πρᾶγμα ἀπογράφεσθαι ἄρχεται· πληροῦν δὲ τὴν τοιαύτην ἀπογραφὴν καὶ ἀπαρτίζειν τελείως ποτὲ μὲν καὶ ὀλιγότερον χρόνον, ποτὲ δὲ καὶ ἕως δύο μηνῶν. ὅστις γοῦν ἐποίησε τὴν ῥηθεῖσαν ἀπογραφὴν, οὐκέτι εἶχε διενοχλήσεις, ἀλλ' ἐβοηθεῖτο ἐκ τῆς ἀπογραφῆς εἰς ὅσον ὁ περὶ ταύτης νόμος δηλοῖ· ὡς καὶ ἡμεῖς ἐν τῷ περὶ κληρονομίας εἰρήκαμεν. οἷος δὲ τὴν ἀπογραφὴν οὐκ ἐποίησεν, ἐνήγετο εἰς ἀπόδοσιν τῶν λεγάτων καὶ τῶν χρεῶν[47].

λβ΄. Ἀπογραφὴ ἐπὶ μάρτυσιν ἀξιοπίστοις γεγενημένη ὅρκον οὐκ ἐπιδέχεται. ἀρκοῦσι γὰρ οἱ μάρτυρες πρὸς παράστασιν. ἀπογραφὴ δὲ ἀμάρτυρος[48] ὅρκον ἀποκρυβῆς ἐπιδέχεται.

λγ΄. Οἱ ἀρμένιοι κατὰ τὰ νόμιμα τῶν ῥωμαίων ἐπὶ πᾶσιν ὀφείλουσι πολιτεύεσθαι. τοῦτο δὲ ἔσται αὐτοῖς, ἐὰν ἀκριβῶς τά τε ἄλλα[49] πάντα φυλάττοντες καὶ εἰς αὐτὴν περισώζουσι τὴν εὐσέβειαν. εἰ δὲ μὴ, ὅσα μὲν εἰς τὴν ἐκκλησίαν ἀνάγεται[50], πρὸς τὴν οἰκείαν αὐτῶν τάξιν διεξαχθήσονται. ἐν μόνοις δὲ τοῖς εἰς τὴν πολιτείαν αὐτῶν τοῦτο συντηρηθήσεται[51].

λδ΄. Οἱ αἰγιαλοὶ τῷ δημοσίῳ δικαίῳ προσήκουσι καὶ παρὰ μόνου τοῦ δημοσίου δεσπόζονται· εἰς δὲ τοὺς ἄλλους πάντας εἰσὶ κοινοί. καὶ διὰ τοῦτο ὁ ἐπὶ αἰγιαλῷ κτίζων δεσπότης τῶν κτιζομένων ἐστίν. ἐὰν δὲ πολλάκις καταβληθῇ καὶ χαλασθῇ τὸ κτισθὲν, ὁ αἰγιαλὸς πάλιν γίνεται κοινὸς, ὥσπερ καὶ πρότερον ἦν[52].

λε΄. Οἱ αἰγιαλοὶ παρὰ τοῖς παλαιοῖς οὐδέποτε ἐκ τοῦ μέρους τοῦ δημοσίου ἐδίδοντο πρός τινα, ἢ ἐπὶ δεσποτείᾳ τε-

---

λβ΄. Νεαρὰ λ΄ τοῦ κυροῦ λέοντός φησιν, ὥστε δεσπόζειν ἕκαστον τοῦ παρακειμένου αὐτῷ θαλαττίου προθύρου καὶ κύριον εἶναι τοὺς, εἴτινες βουληθεῖεν χωρὶς τῆς αὐτοῦ ἐπιτροπῆς τῆς τῶν προθύρων ὠφελείας ἀπολαύειν, ἐκδιώκειν.

---

[45] A τὸ πρᾶγμα. [46] BE verba τοῦ βίου non habent. [47] Att. XXIV (35). [48] A ἀπὸ μάρτυρος. [49] A videbatur habere τοκτα. Ex BE correxi. [50] A ἐνάγ. [51] Att. XXVIII (42). [52] Att. XXX (45).

λείᾳ ἢ ἐπὶ τῷ ἐτησίως τέλος τὶ ὑπὲρ αὐτῶν καταβάλλεσθαι· ἀλλὰ ἀκυρίατοι[53] ἐφυλάττοντο καὶ ἀδέσποτοι.

λς'. Αἱ ἀγωγαὶ ἤγουν αἱ κινήσεις τῶν ὑποθέσεων οὐκ ἀθάνατοι, τουτέστιν οὐκ ἀεὶ καὶ μέχρι τῆς τοῦ κόσμου συστάσεως κινεῖσθαι καὶ αὐταὶ δύνανται, ἀλλ' ἔχουσι τῆς κινήσεως ὡρισμένον καιρὸν, καὶ μετὰ τὴν τούτου παρέλευσιν οὐκέτι κινοῦνται. ὥρισται γοῦν χρόνος ταῖς ἀγωγαῖς, καὶ ὁ ὡρισμένος δὲ χρόνος τοιοῦτος ἐστίν· ὡσὰν δὲ καὶ τὰ περὶ τῆς ἀγωγῆς καὶ τὰ περὶ τοῦ χρόνου σαφέστερα εἴη, οὕτω λεκτέον· ἐὰν ἀπολέσῃ τὶς τὸ οἰκεῖον καὶ γένηται τοῦτο ὑπὸ δεσποτείαν ἄλλου καὶ κυριότητα, δύναται ὁ ἀπολέσας ἀνακαλεῖσθαι αὐτὸ, καὶ ἐνδέδοται τούτῳ τὴν περὶ τοῦ ἀπολεσθέντος πράγματος κινεῖν ἀγωγήν. πλὴν οὐκ ἔχει ἀεὶ ἐνδεδομένον ἐγκαλεῖν ὑπὲρ τοῦ πράγματος, οὗ ἀπώλεσε, καὶ ἀγωγὰς ὑπὲρ τούτου κινεῖν, ἀλλ' ἐπί τινων μὲν πραγμάτων δίδοται τούτῳ δεκαετία, ἵνα μέχρι τῆς συμπληρώσεως τῶν δέκα χρόνων ἀνακαλέσηται τὸ οἰκεῖον, ἐπί τινων δὲ καὶ ἕως κ' χρόνων ζητεῖν αὐτὸ οὐ κωλύεται, ἐπί τινων δὲ καὶ μέχρι τῶν λ' χρόνων ἡ ζήτησις ἐπεκτείνεται[54].

λζ'. Καὶ τινὲς μὲν τὴν δεκαετίαν, τὴν εἰκοσαετίαν καὶ τὴν τριακονταετίαν, ἤγουν τοὺς ι' χρόνους, τοὺς κ' καὶ τοὺς λ', ἐπὶ τῶν ἐνδημούντων καὶ τῶν ἀποδημούντων καὶ τῶν αἰχμαλώτων ὑπολαμβάνουσι τάττεσθαι· ἐνδημοῦντας μὲν λέγοντες τοὺς ὄντας ἐν τῷ τόπῳ, ἐν ᾧ ἐστὶ καὶ τὸ πρᾶγμα, περὶ οὗ μέλλουσιν ἐγκαλεῖν, καὶ ι' χρόνους διδόντες αὐτοῖς, ἵνα ἐντὸς τούτων, τουτέστιν ἕως ἂν πληρωθῶσιν οἱ ι' χρόνοι, ἐγκλητεύσωσι καὶ εὑρίσκουσιν ὅπερ ἔχουσι δίκαιον.

λη'. Ἀποδημοῦντας δὲ τοὺς ὄντας μακρὰν ἀπὸ τοῦ τόπου, ἐν ᾧ τὸ πρᾶγμα ἐστὶ, καὶ τούτοις πάλιν διὰ τὴν ἀποδημίαν περισσότερον διδόντες καιρὸν, καὶ κ' τάττοντες χρόνους ἐπὶ τῷ ἐντὸς αὐτῶν δύνασθαι τούτους ἀνακαλεῖσθαι, ὅπερ κέκτηνται δίκαιον.

λθ'. Αἰχμαλώτους δὲ καλοῦντες τοὺς ὑπὸ τῶν πολεμίων κατασχεθέντας, ταὐτὸν δ' εἰπεῖν κρατηθέντας (τοῦτο γὰρ βούλεται δηλοῦν τὸ αἰχμάλωτος), οἷς καὶ διὰ τὴν τῆς τύχης μεταβολὴν καὶ διὰ τὸ εἰς δουλείαν ὑπὸ ἀλλογενῶν ἀχθῆναι ἀνδρῶν λ' χρόνους ἀποδιδόασιν, ὡσὰν δι' αὐτῶν, ἤγουν μέχρι τῆς αὐτῶν συμπληρώσεως, τὸ ἴδιον δίκαιον ἀνακαλεῖσθαι ἰσχύωσι.

---

[53] B ἀκυρίευτοι. [54] Hoc et sequentia capita usque ad c. 45 ad Att. XXX (46) efformata sunt.

καὶ τινὲς μὲν οὕτω τὴν δεκαετίαν καὶ τὴν εἰκοσαετίαν καὶ τὴν τριακονταετίαν ὡρισμένην εἶναι νομίζουσιν, ἄλλοι δὲ πάλιν οὕτω λέγουσι περὶ τούτων· ὁ νεμόμενος ἀλλότριον πρᾶγμα ἢ ἐνδημεῖ καὶ διάγει ἐν τῷ τόπῳ, ἐν ᾧ καὶ τὸ πρᾶγμα καὶ ὁ κατὰ δίκαιον λόγον ὀφείλων τοῦτο ἔχειν ἐστὶν, ἢ ἀποδημεῖ καὶ μακρὰν ὢν κατέχει τὸ πρᾶγμα. καὶ πάλιν ὁ ἀλλότριον πρᾶγμα νεμόμενος ἢ καλῇ πίστει τοῦτο κατέχει, τουτέστιν οὐκ εἰδὼς ὅτι ἀλλότριον τὸ πρᾶγμα ἐστὶν ἀλλ' ἀπατώμενος καὶ νομίζων δικαίως κατέχειν αὐτὸ, ἢ κακῇ πίστει, τουτέστι γινώσκων ξένον εἶναι τὸ πρᾶγμα καὶ φανερῶς ἀδικῶν τε καὶ βιαζόμενος. ὅταν γοῦν ὁ τὸ ἀλλότριον πρᾶγμα νεμόμενος καὶ καλῇ πίστει νέμηται τοῦτο καὶ ἐνδημῇ, ι' μόνοι δίδονται χρόνοι τῷ βουλομένῳ ἀνακαλεῖσθαι ἀπὸ τοῦ κατέχοντος καὶ ὡς οἰκεῖον μετάγειν πρὸς ἑαυτὸν, καὶ μέχρι μὲν τοῦ συμπληρωθῆναι τοὺς ι' χρόνους ἄδειαν ἔχει ὁ στερηθεὶς τούτου ζητεῖν αὐτὸ, μετὰ δὲ τὴν τούτων συμπλήρωσιν οὐκέτι δύναται ἀνακαλεῖσθαι αὐτὸ, οὐδὲ ἀγωγὴν τὴν περὶ τούτου κινεῖν, ἀλλ' αὐτὸς μὲν ἐκβάλλεται τελείως τῆς δεσποτείας τοῦ πράγματος, ὁ δὲ κατέχων αὐτὸ δεσπότης κύριος γίνεται καὶ οὐκέτι ἐγκαλεῖσθαι φοβεῖται καὶ εἰς δικαστήριον ἕλκεσθαι· καὶ τέτακται τοῦτο παρὰ τοῦ νόμου διὰ τὸ καλῇ πίστει κατέχειν τὸν νεμόμενον τὸ ἀλλότριον, καὶ διὰ τὸ ἐνδημεῖν τοῦτον καὶ δυνατὸν εἶναι τῷ στερουμένῳ καὶ εὐχερὲς ἔγκλησιν ποιεῖσθαι καὶ εἰς τὸ οἰκεῖον ἀποκαθίστασθαι δίκαιον. ὅταν δὲ πάλιν ὁ ἀλλοτρίου δεσπόζων πράγματος καὶ καλῇ πίστει νεμόμενος τοῦτο ἀποδημῇ, διὰ τὸ μὴ δύνασθαι τὸν στερούμενον κατ' αὐτοῦ ἀποδημοῦντος διεγκαλεῖν (οὐδεὶς γὰρ κατὰ τοῦ ἀπόντος κινεῖ), δίδονται κ' χρόνοι τῷ τὸ οἰκεῖον ἀπολέσαντι πρᾶγμα· εἰκὸς γὰρ ἕως τοῦ πληρωθῆναι τοὺς κ' χρόνους ἐπιδημῆσαι τῷ τόπῳ τὸν τὸ πρᾶγμα κατέχοντα καὶ δυνηθῆναι τὸν ἀφαιρεθέντα αὐτὸ ἀντικριθῆναι τῷ ἀδικοῦντι καὶ εἰς ὅπερ ἀδικεῖτο δικαιωθῆναι. ὅταν δὲ πάλιν τὸ ἀλλότριον πρᾶγμα κακῇ πίστει νέμηταί τις, ἤγουν ἀφελόμενος βίᾳ ἢ δυναστείᾳ χρησάμενος ἢ δόλον ποιήσας ἢ γινώσκων ἀλλότριον εἶναι καὶ ἀγοράσας ἢ ἄλλο τὶ τοιοῦτον διαπραξάμενος, λ' δίδονται χρόνοι τῷ τὴν στέρησιν τοῦ πράγματος ὑπομείναντι, ἵνα ἐντὸς τούτων ἀνακαλῆται τὸ ἴδιον. καὶ γίνεται τοῦτο διὰ τὴν προφανῆ κακίαν τοῦ οὕτω κατέχοντος τὸ ἀλλότριον καὶ τὴν πονηρίαν τούτου καὶ τὴν σκαιότητα ἢ τὸ τῆς γνώμης ἁρπακτικόν τε καὶ φιλάδικον.

μ'. Δεῖ δὲ γινώσκειν καὶ τοῦτο· ὅταν ι' χρόνοι ἢ κ' ἢ καὶ

λ' ἢ πλείονες ἢ ἐλάττονες δοθῶσί τινι, ὡσὰν ἐντὸς τούτων ποιήσῃ τὶ καὶ μετὰ τὴν συμπλήρωσιν τούτων οὐκέτι αὐτὸ ποιεῖν δύναται, τότε, εἴπερ ὁ τοὺς χρόνους λαβὼν βλέπει συμπληρουμένους ἤδη καὶ πρὸς τέλος ἐρχομένους αὐτοὺς καὶ φοβεῖται μὴ παρελθόντων τῶν χρόνων ἀπολέσῃ τὸ ἑαυτοῦ δίκαιον, ἔχει ἐπαδείας προσιέναι τῷ δικαστῇ ἢ τῷ τοῦ δημοσίου κατάρχοντι ἢ τῷ ἐπισκόπῳ τῆς πόλεως ἢ τοῖς ἐκκρίτοις τῶν πολιτῶν[55], καὶ λέγειν τὴν αἰτίαν δι' ἣν περὶ τοῦ πράγματος οὐ κινεῖ, ἤγουν οὐκ ἐγκαλεῖ, καὶ παριστᾶν φανερῶς, ὅτι ἕτοιμος ἦν, ἐὰν μὴ ὑπό τινος εὐλόγου ἀφορμῆς ἐμποδισμὸν εὕρισκεν ἐγκλητεῦσαι καὶ ἀποδεῖξαι, ὅτι ἀδικεῖται εἰς τὸ πρᾶγμα, περὶ οὗ βούλεται ἐγκαλεῖν, διὰ δὲ τὴν τοιαύτην αἰτίαν τοῦτο ἀφίησιν. καὶ γίνεται τὸ τοιοῦτον ἐφ' οἷς ἂν εἴποι[56] παρασημείωσις. καὶ ἄρχεται πάλιν ἀπὸ τοῦ χρόνου ἐκείνου τοὺς δεδομένους ἀριθμεῖν χρόνους, καὶ ἔξεστι τοῦτο ἕως ἐκ τρίτου ποιεῖν, καὶ καλεῖται τοῦτο ῥῆξις τοῦ χρόνου, ἤγουν τομὴ καὶ διακοπή, διὰ[57] τὸ μὴ ἐᾶν ἀριθμεῖσθαι τοὺς χρόνους κατὰ συνέχειαν καὶ εἰς τὴν ὡρισμένην συμπληροῦσθαι ποσότητα, ἀλλὰ τέμνειν καὶ διακόπτειν αὐτοὺς δι' ἧς εἴπομεν προσελεύσεως, καὶ τῷ ἀριθμῷ τούτῳ διδόναι ἄλλην ἀρχήν. καὶ ταῦτα μὲν περὶ ἀκινήτων πραγμάτων καὶ κοσμικῶν.

μα'. Τινὰ δὲ τῶν κινητῶν πραγμάτων καὶ μέχρι τριετίας ἀποκαθίσταται. ὅταν γὰρ καλῇ πίστει ὁ νεμόμενος αὐτὸ νέμηται, γ' χρόνοι δίδονται μόνοι τῷ κυρίῳ τοῦ πράγματος, ἵνα ἐντὸς αὐτῶν ἐγκαλῇ καὶ τὸ ἴδιον πρᾶγμα ἀνακαλῆται. εἰ δὲ κινητὸν μὲν εἴη τὸ πρᾶγμα, ὁ δὲ κατέχων τοῦτο κακῇ πίστει νέμηται, μέχρι τριακονταετίας ἡ περὶ αὐτοῦ κίνησις ἐπεκτείνεται.

μβ'. Τὰ δὲ ἐκκλησιαστικὰ πράγματα, ὅταν μὲν ἐκκλησία πρὸς κοσμικὸν πρόσωπον διαμάχεται, ἐνδέδοται κινεῖν τὰ τῆς ὑποθέσεως μέχρι καὶ λ' χρόνων καὶ τεσσαράκοντα· ἐὰν δὲ ἐκκλησία πρὸς ἐκκλησίαν περί τινος ἀμφιβαλλομένου πράγματος διαμάχηται[58], εἰς τριακονταετίαν μόνην ἡ κίνησις ταῖς ἐκκλησίαις ὁρίζεται. σήμερον δὲ καθολικῷ λόγῳ τὰ ἐκκλησιαστικὰ πάντα διὰ μ' χρόνων τέμνονται.

μγ'. Ἀφηλίκων, τῶν καὶ ἀνηλίκων παρὰ τοῖς πολλοῖς[59]

---

[55] *Ἔκκριτοι* memorantur etiam in *Πείρᾳ* XV, 9. Sed hic ii sic nominantur, qui olim *ἔκδικοι τῶν πόλεων*. [56] B *ἐφ' οὗ ἂν εἴπῃς*. Male: sed corruptela huic loco inest. [57] A *καὶ διά*. [58] Verba *ἐνδέδοται — διαμάχηται* in A desse videbantur. [59] BE *κοινοῖς*.

λεγομένων, κατέχεται μὲν τὰ πράγματα πολλάκις παρ᾿ ἑτέρων τινῶν, κατέχεται δέ ποτε μὲν καλῇ πίστει, ποτὲ δὲ κακῇ, καὶ δίδονται τοῖς ἀφήλιξι χρόνοι, ἵνα ἐντὸς αὐτῶν τὰ οἰκεῖα δυνηθεῖεν ἀνακαλέσασθαι. δίδονται δὲ, ὅταν μὲν καλῇ πίστει νέμηται ὁ κατέχων αὐτὰ, ι' χρόνοι εἰς τὸ κινεῖν τὴν περὶ τῶν πραγμάτων ὑπόθεσιν, καὶ ψηφίζεται ἡ τοιαύτη δεκαετία ἀπὸ τοῦ κε' χρόνου τῶν ἀφηλίκων, καὶ ἔχουσιν ἄδειαν οἱ ἀφήλικες, ἀφότου κε' γένωνται χρόνων ἕως οὗ διαβιβασθῶσιν ἕτεροι [ι'] χρόνοι, ἐγκαλεῖν περὶ τῶν οἰκείων πραγμάτων καὶ ἀνακαλεῖσθαι αὐτά.

μδ'. Ὅταν δὲ κακῇ πίστει τῶν ἀφηλίκων πρᾶγμα νέμηταί τις, δίδονται τοῖς ἀφήλιξι χρόνοι λ' πρὸς τὸ ἀνακαλεῖσθαι τὸ οἰκεῖον· ψηφίζονται δὲ οἱ λ', ἀφ' οὗ ἔφηβοι οἱ ἀνήλικοι γένωνται, ἤγουν μετὰ συμπλήρωσιν τοῦ ιδ' χρόνου τῆς ἡλικίας αὐτῶν, ἔστ' ἂν ἕτεροι χρόνοι πληρωθῶσι λ', καὶ τότε δύνανται κινεῖν καὶ ἀνακαλεῖσθαι τὸ οἰκεῖον πρᾶγμα κακῇ πίστει παρά τινος κατεχόμενον.

με'. Ὁ δὲ ἀφῆλιξ, ἐὰν εἰς πρᾶγμά τι περιγραφῇ, ἤγουν ἀπατηθῇ καὶ ζημιωθῇ ἐπὶ πωλήσει ἢ ἐξωνήσει ἢ ἀνταλλαγῇ τινος πράγματος, (τὴν γὰρ ἐξ ἀπάτης ζημίαν τὴν ἐν τοῖς συναλλάγμασι γινομένην ἡ περιγραφὴ παρὰ τῷ νόμῳ δηλοῖ,) δύναται μετὰ τὸ κε' χρόνων γενέσθαι ἐπὶ ἄλλοις δ' χρόνοις ἀνακαλεῖσθαι ὅπερ ἐζημιώθη, καὶ περιποιεῖσθαι ἑαυτῷ τὸ ἀζήμιον· μετὰ γὰρ τὸν κε' χρόνον ἕτεροι δ' χρόνοι δίδονται τοῖς ἀφήλιξιν, ἵνα ἑαυτοῖς ἐπιδιορθῶνται εἴτι φθάσαντες ἔσφαλον, καὶ ἀνακαλοῦνται εἴπερ ἀπώλεσαν οἱ ἀφήλικες. ὁπόταν δὲ πληρωθῶσι καὶ οἱ δ' χρόνοι, οὐκέτι ἔχουσιν ἄδειαν κινεῖν περί τινος πράγματος, εἰς ὃ αὐτοὶ συνάλλαγμα πεποιήκασιν.

μς'. Ἀγροῦ ὑπὸ τοῦ δημοσίου δοθέντος τινὶ πρὸς ἐμ-

λγ'. Νεαρὰ νομοθεσία τοῦ κυροῦ βασιλείου τοῦ πορφυρογεννήτου ἀνατρέπουσα τὴν τεσσαρακονταετίαν, ἐν τούτοις μηδὲν ὠφελεῖσθαι τοὺς δυνατοὺς ἀδικοῦντας καὶ πλεονεκτοῦντας τοὺς πένητας τῇ τεσσαρακονταετίᾳ, μηδὲ τοὺς πένητας ὑπὸ τούτων τῶν δυνατῶν ἀδικουμένους ἀποκλείεσθαι τῇ τεσσαρακονταετίᾳ, μηδὲ ἰσχύειν τοὺς περιορισμοὺς, εἰ καὶ χρυσοβούλλων ἐντὸς εἰσὶν, ἀδίκως καὶ πλεονεκτικῶς γεγενημένους, μηδὲ τὸν δημόσιον ἀδικούμενον ἀποκλείεσθαι χρόνῳ, ἀλλὰ ἀνακαλεῖσθαι τὸ ἴδιον δίκαιον ἀπὸ αὐγούστου καίσαρος καὶ δικαιοῦσθαι περὶ τὴν τούτου ἀνάληψιν.

φύτευσιν, οὔτε αὐτὸς ὁ λαβὼν δύναται ἀποβαλέσθαι ἤγουν ἀφιέναι, οὔτε ἄλλος ἀποσπᾶν ἐξ αὐτοῦ[60].

μζ΄. Ἀκουΐλιος νόμος ἐστὶν ὁ περὶ τῆς ζημίας τῆς ἐπὶ τὸ διπλάσιον ἀντιστρεφομένης διατασσόμενος[61].

μη΄. Ἐπὶ μὲν τῶν χρηματικῶν ἀγωγῶν οὐκ ἀπαιτεῖται ἐγγραφὴν ὁ ταύτην κινῶν, ἐπὶ δὲ τῶν ἐγκληματικῶν ἀπαιτεῖται[62].

μθ΄. Κυρίως ἀπελάτης λέγεται ὁ θρέμματα ἤγουν ζῶα ἀπὸ νομῆς ἤτοι βοσκῆς ἐξελαύνων καὶ ὑποσύρων καὶ ἐξάγων τῆς ἀγέλης αὐτῶν. ὅστις δὲ οὐκ ἐκ τῆς ἀγέλης ἐπιτηδείως ὑπεκφέρει τὸ ζῶον, ἀλλὰ πλανώμενον εὑρὼν λάβῃ καὶ ὡς οἰκεῖον ποιήσεται, οὐκ ἀπελάτης ἀλλὰ κλέπτης ἐστίν. γνωρίζεται δὲ ὁ ἀπελάτης ἤγουν ὁρίζεται ἄχρι χοίρων ε΄, καὶ προβάτων ι΄, ἵππου ἑνός· ἐκτὸς δὲ τούτων ἐὰν λάβῃ τὶ, κλέπτης ἐστίν. καὶ χρὴ γινώσκειν, ὅτι ὁ ἀπελάτης ἤγουν ὁ ἐπιτηδείως καὶ λαθραίως ἐξ ἑτέρας ἀγέλης κλέπτων καὶ πρὸς τὴν[63] ἑαυτοῦ μεταβιβάζων ζῶά τινα, ἐλάττονα κατηγορίαν ἔχει παρὰ τῶν κλεπτόντων. οἱ δὲ ἀπελάται οὗτοι, ἅπαξ μὲν ποιῆσαι τοῦτο τολμήσαντες, τύπτονται· ἐκ δευτέρου δὲ πράξαντες, ἐξορίζονται· καὶ τρίτον, χειροκοποῦνται. ἕτερος δὲ νόμος φησὶν, ὅτι οἱ τοὺς ἀπελάτας ὑποδεχόμενοι ἐπὶ δέκα ἔτη ἐξορίζονται[64].

ν΄. Ἐν τῇ αἰγύπτῳ ἐάν τις τὴν τάφρον τοῦ νείλου κατωτέρω πήχεων ιβ΄ διωρύξῃ, ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ τοῦτο ποιήσει, παραδιδόσθω πυρί. οἱ συνίστορες δὲ καὶ οἱ συμπράκτορες περιοριζέσθωσαν, μηδὲ ἀνακλήσεως διά τινος τρόπου ἐλπιζομένης αὐτοῖς[65].

να΄. Κατὰ τοῦ ἀπολιμπανομένου, ἤγουν ἀποδημοῦντος καὶ μὴ ἐπιδημοῦντος ἐν τῇ κρίσει, οὐκ ἔχουσιν ἄδειαν οἱ ἄρχοντες ἀποφαίνεσθαι[66].

νβ΄. Τοῖς ἀνήβοις, εἴτε ἄῤῥενές εἰσιν εἴτε θήλειαι, δίδοται ἄδεια μετὰ βουλῆς τῶν ἐπιτρόπων κινεῖν περὶ θανάτου πατρὸς καὶ πάππου, καὶ τὸ πλαστὸν περὶ διαθήκης πατρικῆς[67].

νγ΄. Ἀδελφὸς κατὰ ἀδελφοῦ δημόσια κινήσας ἐγκλήματα, ἐξορίᾳ ὑπόκειται[68].

νδ΄. Οἱ αἱμομῖκται, εἰ μὲν γονεῖς πρὸς τέκνα τὴν αἱμομιξίαν ἐργάσονται ἢ τέκνα πρὸς γονεῖς ἢ ἀδελφοὶ πρὸς ἀδελ-

---

[60] Att. XXXIII (52). [61] Att. XXXV (55). [62] Att. XXXV (56). [63] An τά? an vero supplendum *δεσποτείαν*? [64] Att. XXXV (62). [65] Att. XXXV (62). [66] Att. XXXV (66). [67] Att. XXXV (67). [68] Att. XXXV (67).

φὰς, ξίφει τιμωρείσθωσαν· οἱ δὲ πρὸς ἄλλην συγγένειαν συμφθειρόμενοι, οἷον πατὴρ εἰς γυναῖκα υἱοῦ καὶ υἱὸς εἰς μητρυὰν αὐτοῦ ἢ πατρωὸς εἰς προγόνην ἢ ἀδελφὸς εἰς ἀδελφοῦ γυναῖκα ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν ἢ εἰς δύο ἀδελφὰς ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα ἢ εἰς συγγενείας τοιαύτας ἐν εἰδήσει μιγνύμενοι, τυπτόμενοι ῥινοκοπείσθωσαν, αὐτοί τε οἱ ἄνδρες καὶ αἱ γυναῖκες, αἷς συνεφθείροντο[69].

νε΄. Οἱ πρὸς γάμον συναπτόμενοι ἢ σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι πρῶτοι καὶ δισεξάδελφοι, ἢ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ ἀνεψιὸς εἰς τὴν τοῦ θείου γυναῖκα ἢ θεῖος εἰς τὴν τοῦ ἀνεψιοῦ, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφὰς, ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν[70].

νϛ΄. Οἱ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες ῥινοκοπείσθωσαν, καὶ αὐτοὶ οἱ ἄνδρες καὶ αἱ γυναῖκες, αἷς συνεφθάρησαν[71].

νζ΄. Οἱ ἀλογευόμενοι ἤγουν κτηνοβάται καυλοκοπείσθωσαν[72].

νη΄. Οἱ ἀξιωματικοὶ οὐχ ὑπόκεινται βασάνοις, εἰ μὴ ἐπὶ μόνης καθοσιώσεως[73].

νθ΄. Οἱ ἄρχοντες [τοὺς] ἐξ οἱουδήποτε δικαστηρίου οὐκ ὀφείλουσι συγχωρεῖν λαμβάνειν καθ᾿ οἱονδήτινα τρόπον οὐδὲ ἐπ᾿ ὀνόματι συνηθείας, γινώσκοντες ὡς εἰ τοῦτο ῥαθυμήσειαν, πᾶσαν ζημίαν ἐντεῦθεν τοῖς ἡμετέροις ὑποτελέσιν ὑπαγομένην αὐτοὶ καταθήσουσι. δίδομεν δὲ αὐτοῖς ἄδειαν καὶ εἰ εὕροιέν τινας διὰ τὴν τῆς ἀξίας ἢ τῆς ζώνης ὑπεροψίαν τοὺς ἡμετέρους ὑποτελεῖς ἀδικοῦντας, ἐξετάζειν τὰ τούτων ἀδικήματα καὶ τοὺς ἐν αἰτίαις εὑρισκομένους ἀφαιρεῖσθαι τῆς ζώνης. καὶ γὰρ τὴν ἡμετέραν τάξιν ἐν ταῖς ἐπαρχίαις παρέχομεν ἔχειν τοῖς ἄρχουσι, καὶ ὥσπερ αὐτοὺς παντὸς ἀδίκου κέρδους εἴργομεν, οὕτω καθαρῶς ταῖς ἀρχαῖς κεχρημένους πάσης τιμῆς καὶ αἰδοῦς καὶ σεμνότητος ἀπολαύειν θεσπίζομεν[74].

ξ΄. Τοὺς ἄρχοντας θεσπίζομεν παρόντος τοῦ τῆς πόλεως ἐπάρχου καὶ τοῦ ἐνδοξοτάτου κόμητος τῶν θείων ἡμῶν πριβάτων, τοῦ τε ἐνδοξοτάτου κοιαίστωρος τοῦ θείου ἡμῶν παλατίου, τοῦ ἐνδοξοτάτου κόμητος τῶν ἁπανταχοῦ θείων ἡμῶν ἰδικῶν, παρόντος καὶ τοῦ κατὰ καιρὸν μεγαλοπρεπεστάτου χαρτουλλαρίου τῶν θείων κοιτώνων, ἰδιόχειρον ποιεῖν, μηδὲν παν-

[69] Att. XXXV (70). [70] Att. XXXV (70). [71] Att. XXXV (70). [72] Att. XXXV (70). [73] Att. XXXV (71). [74] Epanag. VII, 1.

τελῶς μηδέ τινι παρασχεῖν μήτε ὑποσχέσθαι δοῦναι, μήτε προστασίαν ἐπαγγείλασθαι, μήτε ἐκ τῆς ἐπαρχίας ὁμολογῆσαι στέλλειν μήτε τοῖς ἐνδοξοτάτοις ἐπάρχοις μήτε τοῖς ἄλλοις τοῖς τὰς ἀρχὰς ἔχουσι μήτε τοῖς περὶ αὐτοὺς καθεστῶσι μήτε ἑτέρῳ τινὶ, ἀλλ' ὥσπερ ἄμισθον λαμβάνειν τὴν ἀρχὴν, προσλαμβάνειν τε παρὰ τοῦ δημοσίου τὰς σιτήσεις (ταύτας γὰρ δὴ καὶ μόνας λαμβάνειν αὐτὸν ἀφίεμεν), οὕτως αὐτὴν καθαραῖς φυλάξαι χερσὶ θεῷ τε καὶ ἡμῖν τοὺς ὑπὲρ αὐτῆς ὑφέξοντας[75] λόγους. ἴστωσαν δὲ ὡς εἰ καί τινες [θαῤῥήσειαν] λαβεῖν τι παρὰ τῶν εἰς τὰς εἰρημένας ἀρχὰς παριόντων περαιτέρω τῶν προφάσει συνηθειῶν παρ' ἡμῶν αὐτοῖς ὡρισμένων, ὡς οὐκ ἐν μικροῖς ἡ ποινὴ γενήσεται, ἀλλ' οἱ μὲν μέγιστοι ἄρχοντες οἱ λαβεῖν τι θαῤῥήσαντες παρὰ τῶν εἰς τὰς εἰρημένας ἀρχὰς παριόντων, ἢ συγχωροῦντες τῇ οἰκείᾳ τάξει τοιοῦτόν τι πράττειν καὶ προσαγγελθὲν οὐ θεραπεύοντες, οὐ μόνον τετραπλάσιον δώσουσι πᾶν, ὅσον εἰλήφασιν, ἀλλὰ καὶ μεγάλην ἀγανάκτησιν ὑποστήσονται καὶ τὸν ἐπὶ τῇ ἀρχῇ κίνδυνον εὐλαβηθήσονται· οἵ γε[76] ἀμφ' αὐτοὺς ὄντες καὶ ἡ πειθομένη τάξις αὐτοῖς, εἰ πλέον τὶ τῶν παρ' ἡμῶν συγκεχωρημένων ἐπιχειρήσειε λαβεῖν, αὐτοί τε ὑποκείσονται τοῖς ἐζημιωμένοις καὶ εἰς τὸ τετραπλοῦν ἀποδώσουσιν, ἐκπεσοῦνται δὲ καὶ οὐσίας καὶ ζώνης πρὸς τῷ καὶ τιμωρίαις ὑποβαλέσθαι[77] πρεπούσαις τοῖς πλημμελήμασιν[78].

ξα'. Τὰ ἀρχοντικὰ κριτήρια ἐκκλήτῳ ὑπόκεινται, καὶ ἀναψηλαφᾶται οὐ μόνον παρὰ τοῦ βασιλέως, ἀλλὰ καὶ τοῦ ἐπάρχου καὶ τοῦ κοιαίστωρος. ὅσον γὰρ πόῤῥω ἀφίστανται τῆς ἀρχῆς, τοσοῦτον πλείονος καὶ τῆς βοηθείας καὶ πλειόνων τῶν διορθουμένων καὶ ἀναψηλαφώντων δέονται[79].

ξβ'. Οἱ ἄρχοντες καὶ οἱ διοικοῦντες τόπους τινὰς κατηγοροῦνται παρὰ τοῦ βουλομένου παντὸς, ἐὰν κλοπὴν ἢ ἑτέραν τινὰ παρανομίαν ἐργάσωνται, καὶ ἔξεστι παντὶ κατηγορεῖν αὐτῶν ἐπὶ τοιούτοις ἐγκλήμασι, καὶ ἔτι ἀρχόντων ὄντων καὶ τῆς ἀρχῆς παυσαμένων[80].

ξγ'. Ἐὰν ἄρχοντι παρὰ τὸν νόμον δωρηθῇ τι, ἢ πωληθῇ πρὸς αὐτὸν περισσοτέρου τιμήματος ἢ ἐλάττονος παρ' ὃ ἔμελλε πωληθῆναι πρὸς ἕτερον, ἐὰν μόνον παρὰ τὸν νόμον δωρεὰ ἢ πρᾶσις γένηται, οὔτε τὸ γενόμενον ἔῤῥωται οὔτε τὸ δοθὲν δεσπόζεται, κἂν εἰς ἱκανοὺς χρόνους ἕξει τὴν χρῆσιν αὐτοῦ καὶ τὴν κατοχήν[81].

---

[75] B ὑφέξοντα. [76] B τε. Sed lege: καὶ οἵ γε. [77] B ὑποβεβλῆσθαι. [78] Epanag. VII, 2. [79] Epanag. XI, 9. [80] Att. XXXV (73). [81] Att. XXXV (73).

ξδ΄. Περὶ ἀνδραποδιστῶν ὁ φλάβιος νόμος παρακελεύεται. λέγει δὲ ταῦτα· ἐάν τις ἀλλότριον δοῦλον ὑποδέξηται καὶ κρύψῃ, εἶτα περὶ τῆς προτέρας δεσποτείας τῷ κυρίῳ αὐτοῦ τῷ προτέρῳ δικάζηται, προφάσεις τινὰς ἐφευρίσκων καὶ αἰτίας ἐπάγων τῷ δεσπότῃ τοῦ δούλου καὶ ἐγκαλεῖν τούτῳ ἐπιχειρῶν, οὐ διὰ τὴν πρόφασιν δύναται ἐκφυγεῖν τὴν ὡρισμένην ἐπὶ τῶν τοὺς ἀλλοτρίους δούλους ὑποδεχομένων καὶ κρυπτόντων ποινήν, ἀλλ' ὑπόκειται ταύτῃ. ἡ δὲ ποινὴ ἡ ἐπὶ τῶν πραττόντων τὰ τοιαῦτα ἡ ὡρισμένη αὕτη ἐστίν· τὸ διδόναι τὸν δοῦλον μετὰ ἑτέρου ὁμοίου δούλου ἢ καὶ τὸν τοιοῦτον δοῦλον ἀποδιδόναι καὶ σὺν τούτῳ νομίσματα κ΄. καὶ ὁ κρύψας τὸν δοῦλον ὑφίσταται ταῦτα ἐν τῷ τῶν ἀνδραποδιστῶν ἐγκλήματι ὑποκείμενος καὶ τὴν ἐπαγομένην τοῖς ἀνδραποδισταῖς τιμωρίαν ὡς ἀνδραποδιστὴς ὑπομένειν καὶ αὐτὸς καταδικαζόμενος. ὅστις δὲ τὸν προσελθόντα αὐτῷ ἀλλότριον δοῦλον ἀγνοῶν εἶναι δοῦλον ὡς μισθωτὸν παραδέχεται, οὔτε ἀνδραποδιστής ἐστιν οὔτε ταῖς τῶν ἀνδραποδιστῶν εὐθύναις ἐνέχεται. ὁ δὲ συμβουλεύσας ἀλλοτρίῳ δούλῳ φυγεῖν ἢ κρύψας ἀλλότριον δοῦλον ἢ δήσας ἢ ἀγοράσας ἀγνοοῦντος τοῦ δεσπότου ἢ γινώσκοντος καὶ μὴ βουλομένου, καὶ ἀνδραποδιστής ἐστι καὶ ταῖς τῶν ἀνδραποδιστῶν ποιναῖς καὶ οὗτος ὑπόκειται. τὸ δὲ τῶν ἀνδραποδιστῶν ἔγκλημα ἀλλοτρόπως μέν, καὶ ὡς ἐκράτει παρὰ τοῖς παλαιοῖς, εἰς μέταλλον ἔχει τὴν τιμωρίαν· καθὼς δὲ τοῖς νέοις δοκεῖ καὶ ὡς οἱ μεταγενέστεροι νόμοι διακελεύονται, οἷς καὶ οἱ σήμερον δικασταὶ ὀφείλουσιν ἕπεσθαι, ὁ ἀνδραποδιστὴς τιμωρίαν ἔχει τὸ εἰς τὸ διπλάσιον ἀποδιδόναι ὃ ἠνδραπόδισεν[82].

ξε΄. Ἐὰν τὸ ἐλεύθερον σῶμα ἀνδραποδισθῇ καὶ πραθῇ, οὐ γίνεται δοῦλον· ἀλλ' ὁ τὸν ἐλεύθερον ἄνθρωπον γινώσκων ὅτι ἐλεύθερός ἐστι καὶ μὴ βουλόμενον ἐκεῖνον πιπράσκων ἀνδραποδιστής ἐστι. καὶ εἰ μὲν ἐλεύθερός ἐστιν ὁ τοῦτο ποιήσας, τυπτόμενος καὶ τὴν περιουσίαν ἅπασαν δημευόμενος διηνεκῆ ἐξορίαν ὑπομενέτω· εἰ δὲ δοῦλος ἢ ἀπελεύθερος, τυπτόμενος καὶ κουρευόμενος χειροκοπείσθω[83]. ὑπόκειται ταῖς ποιναῖς τῶν ἐλευθέρων ἀνδραποδιστῶν καὶ ὁ γινώσκων τινὰ ἐλεύθερον καὶ ἀγοράζων αὐτόν, καὶ ὁ δωρησάμενος, καὶ ὁ εἰς προῖκα δούς, καὶ ὁ καταλλάξας αὐτὸν ἤγουν τὸν ἐλεύθερον[84].

ξς΄. Οὐδεὶς ἀπὼν καταδικάζεται μεγάλῳ ἐγκλήματι, ἀλλὰ πρῶτον ἀναζητεῖται, ἔπειτα προγράμματα περὶ τούτου καὶ

---

[82] Att. XXXV (75). [83] B ῥινοκοπ. [84] Att. XXXV (75).

γράμματα γίνονται πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας, ἐν ᾗ διάγει. ὁ δὲ ἀπὼν καὶ ἀναζητούμενος, ἀφότου γνωρίσει ὅτι ἀναζητεῖται, ἐνιαυτὸν ἔχει πρὸς τὸ ἑαυτὸν καθᾶραι καὶ δεῖξαι ἀνεύθυνον ὄντα ἐφ᾽ οἷς ἐγκαλεῖται· καὶ ἐὰν μὲν ἐντὸς τοῦ ἐνιαυτοῦ ἔλθῃ καὶ ἀσφαλίσηται, ἢ πολλάκις οὕτω συμβὰν ἀποθάνῃ καὶ διὰ τοῦτο κωλυθῇ τοῦ ἐλθεῖν καὶ ἐξασφαλίσασθαι, οὐ δημεύεται ἡ περιουσία αὐτοῦ· ἐὰν δὲ παραδράμῃ ἐνιαυτὸς, ἤγουν ἐὰν ὁλόκληρος χρόνος συμπληρωθῇ, καὶ αὐτὸς ἀναζητούμενος περιὼν ἐν τῷ βίῳ μὴ ἔλθῃ καὶ ἀσφαλίσηται, δημοσιεύεται ἡ περιουσία αὐτοῦ[85].

ξζ΄. Καὶ ἐὰν ἐπὶ εἴκοσιν ἔτη κατάσχῃ τὸ μέρος τοῦ δημοσίου τὰ τούτου πράγματα, οὐκέτι δύναται ἀνακαλεῖσθαι αὐτά[86].

ξη΄. Ὁ αὐθαιρέτως ὁμολογήσας περὶ ἁμαρτήματος οὐκ εὐχερῶς πιστεύεται. πολλάκις γὰρ ἢ διὰ φόβον ἢ δι᾽ αἰτίαν ἄλλην τινὰ καθ᾽ ἑαυτοῦ ψεύδεται[87].

ξθ΄. Περὶ τῶν ἀνδραπόδων ὅταν ἄλλας ἀποδείξεις ὁ δικαστὴς εὑρίσκειν οὐ δύναται, τότε δικαίως βασανίζει περὶ ἑαυτῶν αὐτὰ τὰ ἀνδράποδα[88].

ο΄. Οὔτε ἀπὼν οὔτ᾽ ἐξ ὑπονοίας καταδικάζεταί τις, εἰ μὴ ἐκεῖνος, ὅστις προσκληθεὶς οὐ παραγένηται εἰς τὸ κριθῆναι μετὰ τὰς πολλὰς ἐπιφωνήσεις καὶ τὰ προγράμματα καὶ μηνύματα. τότε γὰρ ἔξεστι τῷ δικαστῇ καὶ ἀπόντα καταδικάζειν αὐτὸν, πλὴν οὐκ εἰς ποινήν. εἰς ποινὴν γὰρ ἀπὼν οὐδεὶς καταδικάζεται, ἀλλ᾽ εἰς[89] χρηματικὴν τιμωρίαν ἢ ἀτιμίαν ἢ ἐξορίαν. κάλλιον γὰρ ἀνεκδίκητα μένειν τὰ ἁμαρτήματα, παρὸ καταδικάζεσθαι τὸν ἀναίτιον[90].

οα΄. Ἀκούσιος φόνος ἐξορίαν ἐπιφέρει[91].

οβ΄. Οἱ ἄρχοντες τὰς ἰδίας ἀποφάσεις ἀνατρέπειν οὐ δύνανται[92].

λδ΄. Νεαρὰ λγ΄ τοῦ κυροῦ λέοντος. — Εἴ τις αὐτόμολος εἰς τὴν πατρίδα ἐπαναδράμοι, ἅπαξ μὲν τοῦτο ποιήσας, συγγνώμης τυγχανέτω· δεύτερον δὲ, εἰς τριετῆ δουλείαν διαπωλείσθω· ἐκ τρίτου δὲ ποιησάμενος τὴν αὐτομολίαν εἶτα ἐπαναζεύξας, εἰς διηνεκῆ καὶ ἀΐδιον οἰκετείαν πιπρασκέσθω. εἰ δὲ ληφθεὶς ὑφ᾽ ἑτέρων εἰς τὴν πατρίδα ἐπαναχθῇ, καὶ μάλιστα εἰ αἵματος ἐμφυλίου τὴν δεξιὰν ἔχει μεμολυσμένην, τοῦτον θανάτῳ κολάζειν οἷα δὴ πολέμιον, οὔτε ἄδικον οὔτε ἀπότομον.

---

85 Att. XXXV (76). 86 Att. XXXV (76). 87 Att. XXXV (77). 88 Att. XXXV (77).
89 Α *ἀλλὰ καὶ εἰς*. 90 Att. XXXV (78). 91 Att. XXXV (78). 92 Att. XXXV (78).

ογʹ. Αὐτόμολοι καὶ οἱ τὰς ἡμῶν βουλὰς τοῖς πολεμίοις ἀπαγγέλλοντες καίονται ἢ φουρκίζονται[93].

οδʹ. Οὐ χρὴ τὸν ἄρχοντα ταῖς τῶν δημοτῶν ἐκβοήσεσι πείθεσθαι, ὅτε βούλονται ἢ τὸν ὑπεύθυνον ἀπολυθῆναι ἢ τὸν ἀνεύθυνον τιμωρηθῆναι[94].

οεʹ. Μὴ προχείρως ὁ ἄρχων κεφαλικὴν τιμωρίαν φερέτω, εἰ μὴ πρότερον ὁ ἐναγόμενος διὰ τῆς οἰκείας ὁμολογίας ἢ τῆς τῶν μαρτύρων ἐρωτήσεως ἢ τῶν βασάνων οὕτως ἐλεγχθῇ, ὥστε σχεδὸν μηδὲ ἑαυτῷ δύνασθαι ἐναντιοῦσθαι[95].

οςʹ. Οἱ ἁρπάσαντες γυναῖκα μεμνηστευμένην ἢ ἀμνήστευτον, τουτέστιν ἠῤῥαβωνισμένην τινὶ ἢ ἀῤῥαβῶνας μὴ ἔχουσαν, ἢ χήραν ἢ εὐγενῆ ἢ δούλην ἢ ἀπελευθέραν[96] ἢ κοινὴν ἢ ἀφιερωμένην θεῷ, νομίμως τιμωρείσθωσαν. νόμιμος δὲ τιμωρία ἐπὶ τῶν τοιούτων ἐστὶν, εἰ μὲν μεθ᾽ ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ἵνα καὶ αὐτοὶ τῷ διὰ ξίφους θανάτῳ καθυποβάλλωνται, καὶ οἱ συνειδότες αὐτοῖς καὶ οἱ συνεργοῦντες ἅπερ πράττουσι καὶ οἱ ἑκόντες τούτους ὑποδεχόμενοι καὶ οἵ τινα σπουδὴν συνεισενεγκόντες αὐτοῖς ἵνα τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπῶνται. εἰ δὲ χωρὶς ὅπλων καὶ ξιφῶν καὶ ῥάβδων καὶ οἱουδήποτε τοιούτου ὀργάνου τὴν ἁρπαγὴν ἐποιήσαντο, αὐτοὶ μὲν οἱ τὴν ἁρπαγὴν ποιησάμενοι ἵνα χειροκοπῶνται· οἱ δὲ κατά τινα τρόπον συμμαχοῦντες αὐτοῖς καὶ εἰς τὴν ἁρπαγὴν κοινωνοῦντες ἢ γινώσκοντες τὴν πρᾶξιν αὐτῶν ἢ ὑποδεχόμενοι τούτους μετὰ οἰκείας θελήσεως, ἵνα τυπτόμενοι καὶ κουρευόμενοι ἐξορίζωνται[97].

οζʹ. Τὴν ἁρπαγὴν τῆς βιασθείσης γυναικὸς ἐκδικοῦσιν ἀδελφοὶ καὶ γονεῖς καὶ ἐπίτροποι καὶ κουράτωρες[98].

οηʹ. Ἡ ἁρπαγεῖσα κόρη κατὰ τὴν λεʹ διάταξιν[99] οὐ δύναται τῷ ἁρπάσαντι ταύτην εἰς γάμον συνάπτεσθαι νόμιμον. εἰ δὲ τοῦτο ποιήσει καὶ εἰς γάμον τάχα αὐτῷ συναφθῇ, μετὰ θάνατον τούτου, κἂν παῖδας ἐξ αὐτοῦ ἕξει[100] κἂν ἐκεῖνος τελευτῶν διατάξηται, οὐ διαδέχεται[101] τοῦτον. ἐὰν δὲ μὴ συναφθῇ αὐτῷ[102], λαμβάνει τὴν οὐσίαν αὐτοῦ.

οθʹ. Ἐὰν γονεὺς συναινέσῃ καὶ συγκατατεθῇ, ἵνα ἡ θυγάτηρ αὐτοῦ τῷ ἁρπάσαντι ταύτην εἰς γάμον ἔννομον συναφθῇ,

---

[93] Att. XXXV (78). [94] Att. XXXV (78). [95] Att. XXXV (78). [96] AB *ἀπελεύθερον*. [97] Att. XXXV (84). [98] Att. XXXV (84). [99] Ita C: significatur Att. tit. XXXV (84). — In A legitur: *κατὰ τὴν λʹ δεκάτην τάξιν*, in BE *κατά τινα ιʹ διάταξιν*. [100] B *σχῇ*. [101] A in margine: *οὐ κληρονομεῖ*. [102] In A recentior manus supra lineam adscripsit *ἑνωθῇ γαμικῶς*.

περιορίζεται. εἰ δὲ τοῦ πατρὸς μηδόλως συνευδοκήσαντος ἡ θυγάτηρ αὐτοῦ τῷ ἁρπάσαντι αὐτὴν συναφθῇ, οὔτε ἀπὸ τῆς πατρικῆς περιουσίας κερδαίνει τὶ, οὔτε ἀπὸ τοῦ βίου τοῦ ταύτην ἁρπάσαντος· ἀλλὰ τὰ μὲν τοῦ πατρὸς πράγματα πρὸς τοὺς ἄλλους κληρονόμους καταλιμπάνονται, τὰ δὲ τοῦ ἅρπαγος εἰς τὸ δημόσιον εἰσκομίζεται[103].

π΄. Τὸν ἀφήλικα ἀτακτοῦντα καὶ κακῶς ζῶντα ἔχουσιν ἄδειαν σωφρονίζειν οἱ συγγενεῖς, πλὴν μεμετρημένως καὶ δι᾽ ἐλαφρῶν ἀποδείξεων[104] καὶ τοσοῦτον ἐπεξέρχεσθαι τοῦτον εἰς παίδευσιν, ὁπόσον καὶ παῖδας πατέρες ἀμελοῦντας καὶ τὸν οἰκεῖον βίον οὐκ ὀρθῶς διεξάγοντας. εἰ δὲ ὁ ἀφῆλιξ βαρύτερά τινα πταίει καὶ ἰσχυροτέρας τιμωρίας δεόμενα, τότε οὐκ ἔχουσιν ἄδειαν οἱ συγγενεῖς παιδεύειν αὐτὸν, ἀλλὰ ὀφείλουσιν ἀναγγέλλειν περὶ τούτου τῷ ἄρχοντι, καὶ εἰς τὴν αὐτοῦ κρίσιν καταλιμπάνειν τῶν τοῦ ἀφήλικος σφαλμάτων τὴν ἐκδίκησιν[105].

πα΄. Παντὸς ἑαυτὸν ἀνελόντος ἡ οὐσία δημεύεται, ἀλλὰ καὶ τοῦ κατηγορηθέντος ἢ καταληφθέντος ἐπὶ μυσαρᾷ τινι πράξει· καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ᾽ ὅτε ἡ καταδίκη τοῦ ἐγκλήματος, ᾧτινι κατηγορεῖται, θάνατον ἢ περιορισμὸν ἐπέφερεν ἢ δήμευσιν[106].

πβ΄. Ὁ μέντοι περὶ συμμέτρου κλοπῆς ἐναγόμενος ἐὰν ἑαυτὸν ἀνέλῃ, οὐ δημεύεται· οὐδὲ ὁ ἀνελὼν ἑαυτὸν διὰ τὸ μισῆσαι τὴν ζωὴν ἢ διὰ πόνον νόσου ἤ τι τοιοῦτον[107].

πγ΄. Ἐν τοῖς ἀμφιβόλοις τὸ φιλάνθρωπον ἐπικρατεῖ[108].

πδ΄. Ὁ καταλιπὼν ἔγκυον γαμετὴν οὐ δοκεῖ ἄπαις τελειτᾶν[109].

πε΄. Ἀργείτω πᾶσα οἱαδήποτε ἀντιγραφὴ πρὸς τὸν τυχόντα δικαστὴν γενικῷ παλαίουσα νόμῳ ἢ τὸ δημόσιον καταβλάπτουσα[110].

πς΄. Πᾶσα ἀντιγραφὴ[111] ἐχέτω τό· εἰ ἀληθῶς ἐδίδαξεν[112].

πζ΄. Ὅπου ἁμάρτημα μὲν οὐκ ἐστὶν, ἤγουν πταῖσμά τι καὶ ἐμπόδιον εἰς τὸ δικαιωθῆναί τινα, ἀλλὰ μόνον τοῦτο συμβαίνει τὸ τὸν κρινόμενον μὴ γινώσκειν τὸν νόμον εἰς τίνα αὐτῷ βοηθεῖ, καὶ γένηται ἄκυρος ἔνστασις ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει καὶ μετὰ ταῦτα πάλιν ἐπισυμβῶσί τινα τῇ ἀκύρῳ ἐν-

---

103 Att. XXXV (84). 104 B *ἐπιπλήξεων*. 105 Att. XXXV (85). 106 Att. XXXV (80). 107 Att. XXXV (80). 108 Att. in App. ex Basil. II, 3, 56. — BE *κρατείτω*. 109 Att. in App. ex Basil. II, 3, 187. 110 Att. in App. ex Basil. II, 5, 19. 111 A *γραφή*. 112 Att. in App. ex Basil. II, 5, 26.

στάσει βοηθοῦντα, οὐ βεβαιοῦται ἡ τοιαύτη ἔνστασις διὰ τῶν μετὰ ταῦτα γεγονότων[113].

πη΄. Καὶ ὅτι ἡ ἀγορασία τοῦ ἐθνικοῦ νόμου ἐστὶ, διὸ καὶ συναινέσει συνίσταται καὶ μεταξὺ ἀπόντων καὶ διὰ μέσου καὶ διὰ γραμμάτων[114].

πθ΄. Οἱ πωλοῦντες καὶ οἱ ἀγοράζοντες ἐὰν διχονοῶσι περὶ τὸ τίμημα ἢ τὸ πρᾶγμα ἢ τὴν ὕλην, οὐκ ἔῤῥωται ἡ πρᾶσις· τυχὸν γὰρ ἐγὼ πέτρον ἐνόμιζον πωλεῖν καὶ σὺ παῦλον ἀγοράζειν, ἢ χαλκὸς ἀντὶ χρυσοῦ ἐπωλεῖτο[115].

ϟ΄. Εἰ μὲν εἰς τὸ παντελὲς γένηται πρᾶσις δωρεᾶς αἰτίᾳ, οὐκ ἔῤῥωται· εἰ δὲ δωρεᾶς αἰτίᾳ πραθῇ τι ἥττονος τιμήματος, ἰσχύει. μεταξὺ δὲ ἀνδρὸς καὶ γυναικὸς οὐδὲ τοῦτο ἔῤῥωται, ἀλλὰ ἄκυρος ἡ πρᾶσις[116].

ϟα΄. Ἐὰν πωλήσας ἀγρὸν παρεχώρησα ὕδωρ, καὶ ὁδὸν χρεωστῶ[117].

ϟβ΄. Τὰ εἰς ἔπαινον τοῦ πιπρασκομένου λεγόμενα παρὰ τοῦ πράτου εἰ μὲν φαίνονται, οὐκ ἐνοχοποιοῦσιν αὐτόν· οἷον ὅτι εὐειδὴς ὁ δοῦλος ἢ καλῶς ὁ οἶκος ἔκτισται. εἰ δὲ εἴπῃ γεγραμματισμένον εἶναι ἢ τεχνίτην, τοιοῦτον δίδωσιν ὡς κατὰ τοῦτο πλείονος πωλήσας[118].

ϟγ΄. Δύναται τὸν ἀπόντα δοῦλον πωλεῖν ὁ δεσπότης, οὐ μὴν τὸν φυγάδα[119].

ϟδ΄. Περὶ ἀγορασίας καὶ πράσεως ἐπὶ ὅρῳ γινομένων, ὡς ἵνα[120] *γενομένου ὑπερθεματισμοῦ ἤτοι ἐπαυξήσεως τοῦ τιμήματος ἔσω τοῦ συνδόξαντος ἐν τῷ συμφώνῳ τῆς πράσεως ὅρον ἀναλύεται ἡ πρᾶσις*[121].

ϟε΄. Ὅτι ὁ δεύτερος ἀγοραστὴς μόνον τὸ πρᾶγμα καὶ οὐ τοὺς καρποὺς λαμβάνει[122].

ϟϛ΄. Ὅτι ἐὰν ἡ πραθεῖσα ὕλη κλαπῇ, εἰ μὲν πρὸ παραδόσεως, ὁ πράτης ζημιοῦται· εἰ δὲ μετὰ ταῦτα, ὁ ἀγοραστής[123].

λε΄. Κανών. Τὸ ἐκ τῶν ἐμῶν κτηθὲν ἐμόν ἐστιν, οἷον εἰ ἐκ τοῦ ἐμοῦ ἐρίου σαγίον ἐποίησας. τὸ δὲ ἐκ τῶν ἐμῶν ὠνηθὲν οὐκ ἔστιν ἐμόν.

---

113 Syn. *A*, 2 ex Basil. II, 4, 9. 114 Syn. *A*, 3 ex Bas. XIX, 1, 1. 115 Syn. l. l. ex Bas. XIX, 1, 9. 116 Syn. l. l. ex Bas. XIX, 1, 38. 117 Syn. l. l. ex Bas. XIX, 1, 40. 118 Syn. l. l. ex Bas. XIX, 1, 43. 119 Syn. l. l. ex Bas. LX, 48, 1. 120 Deest in B. 121 B *ἀναλύεσθαι τὴν πρᾶσιν*. — Est rubrica, quam Synopsis lit. *A* tit. 4 praeponit. 122 Syn. *A*, 4 ex Bas. XIX, 2, 14. 123 Syn. *A*, 8 ex Bas. XIX, 6, 8.

ϛζ'. *Δοκοῦσι δὲ παραδεδόσθαι αἱ δοκοὶ, ἃς ὁ ἀγοραστὴς ἐσφράγισεν*[124].

ϛη'. *Ὁ ἀγοραστὴς ὑπέρθεσιν ποιήσας εἰς τὴν τοῦ τιμήματος καταβολὴν, μόνους τόκους δίδωσι, καὶ οὐχ ὅσα ὁ πράτης ἠδύνατο διὰ τῶν τιμημάτων ἀπὸ πραγματείας ὡς εἰκὸς κερδᾶναι*[125].

ϛϑ'. *Ὁ θάνατος τῆς πραθείσης θεραπαίνης μετὰ τὴν πρᾶσιν συμβὰς [τῷ] ἀγοραστῇ κινδυνεύεται, μόνον εἰ μὴ ἀπό τινος πάθους ἀρχαιοτέρου τῆς πράσεως ἐτελεύτησεν*[126].

ρ'. *Κλεῖθρά εἰσί τινα κατορωρυγμένα καὶ ὅμως οὐκ εἰσὶ τοῦ ἀγροῦ ἢ τοῦ ἐποικίου, ὡς τὰ οἰνηρὰ σκεύη μάλ. . . .*[127] *ταῦτα γὰρ τῆς ἐξοπλίσεως εἰσὶν, καὶ ὁ οἶνος καὶ οἱ ληφθέντες καρποί*[128].

ρα'. *Ὁ ἀγοραστὴς ἀπὸ καιροῦ τῆς παραδόσεως τοῦ πράγματος τόκους χρεωστεῖ τοῦ τιμήματος*[129].

ρβ'. *Ὁ μὲν ἐν εἰδήσει ἀλλότριον ἀγοράσας, οὐδέποτε αὐτοῦ γίνεται δεσπότης· ὁ δὲ ἐν ἀγνοίᾳ, αὐτὸς μὲν διὰ χρήσεως κυριεύει, λοιπὸν δὲ ὁ πεπρακὼς αὐτὸ κατέχεται τῷ δεσπότῃ*[130].

λϛ'. *Νεαρὰ τοῦ κυροῦ ῥωμανοῦ τοῦ γέροντος.* — *Μηδένα μηκέτι τῶν περιβλέπτων μαγίστρων ἢ πατρικίων μήτε τῶν ἐν ἀρχαῖς ἢ ἐξουσίαις ἢ ὅλως βασιλικοῖς ἀξιώμασι τετιμημένων ἢ πολιτικῶν ἢ στρατιωτικῶν ἢ θεματικῶν ἀρχόντων ἢ ἀπαρχόντων μήτε μητροπολιτῶν ἢ ἀρχιεπισκόπων ἢ ἡγουμένων ἢ τῶν εὐαγῶν οἴκων προεστώτων ἢ τῶν ἄλλως κοσμικῆς δόξης τυχόντων ἀγορασίας ἢ δωρεᾶς ἢ ἄλλῳ τινὶ τρόπῳ εἰσέρχεσθαι εἰς χωρίων ἢ ἀγρῶν κτήσεις. τοὺς γὰρ μετὰ τὴν παροῦσαν διάταξιν τοιοῦτόν τι κατατολμῆσαι βουληθέντας καὶ ἀναργύρως ἐκεῖθεν ἐξελαύνεσθαι κελεύομεν, καὶ τῶν οἰκείων ἐμπονημάτων καὶ καλλιεργημάτων ἀποστερεῖσθαι, καὶ τῷ δημοσίῳ περιφανεῖς μὲν ὄντας καὶ τοῦ αὐτοῦ ἐπικτήματος τιμὴν καταβαλλομένους, τῶν εὐτελεστέρων δὲ καὶ ἀναργύρως ἐκδιωκομένων [καὶ διὰ τῆς προσηκούσης] τιμωρίας σωφρονιζομένων.*

λζ'. *Ἡ δὲ τεσσαρακοστὴ νεαρὰ τοῦ κυροῦ [λέοντος καὶ ἀγοράζειν] φησὶ τοὺς ἄρχοντας τοὺς ἐν τῇ πόλει καὶ νεουργεῖν· ὁμοίως δὲ καὶ τοὺς ἔξω, πλὴν στρατηγοῦ.*

λη'. *Καὶ νεαρὰ τοῦ κυροῦ ῥωμανοῦ τοῦ γέροντος οὕτω φησίν· εἰ μὲν εὑρίσκονται οἱ ἐγκαλέσαντες μετὰ τὴν πρᾶσιν τὴν γενομένην παρ' αὐτῶν, εἴπερ καὶ μαρτυρηθῇ ὅτι ἐγένετο ἔνδον τετραετοῦς χρόνου, κινήσαντες καὶ ἐπιμεμψάμενοι βοηθοῦνται. βοηθοῦνται δὲ οὐκ εἰς τὸ ἀναλαβεῖν τὰ προάστεια, ἀλλ' εἰ μὲν βούλεται ὁ ἀγοραστὴς παρασχεῖν καὶ τὸ λοιπὸν τίμημα πρὸς ἀναπλή-*

---

[124] Syn. *Δ*, 8 ex Bas. XIX, 6, 8. [125] Syn. l. l. ex Bas. XIX, 6, 13. [126] Syn. l. l. ex Bas. XIX, 6, 19. [127] Lege *καὶ ὁ βάδης*. E lacunam habet. [128] Syn. *Δ*, 10 ex Bas. XIX, 8, 17. [129] Syn. l. l. ex Bas. XIX, 8, 60. [130] Syn. l. l. ex Bas. XIX, 8, 73.

ργ΄. Ὅτε διὰ τὸ πωλῆσαι δοθῇ τινι ὑπὸ διατίμησιν πρᾶγμα, χρεωστεῖ ἀποδοῦναι ἢ τὸ πρᾶγμα ἀκέραιον ἢ τὸ σύμφωνον[131].

ρδ΄. Νέμεται ὁ ἀγοραστὴς ἀλλότριον ἀγρόν· οὐ δίδωσιν αὐτὸν τῷ δεσπότῃ, εἰ μὴ λάβῃ τὰ χρήματα, ἅπερ δέδωκε τῷ ἐσχηκότι αὐτὸν εἰς ἐνέχυρον[132].

ρε΄. Ὁ ἀγοράσας ἑαυτῷ κτήματα ἐκ τῶν παρατεθέντων νομισμάτων ὑπό τινος, οὐκ ἀναγκάζεται αὐτὰ τὰ κτήματα διδόναι ἀντὶ τῆς παραθήκης, ἀλλὰ τὰ νομίσματα ἅπερ ἔλαβεν ἀποδίδωσιν[133].

ρς΄. Ἐάν τις παρὰ γυναικὸς ἀγοράσῃ πρᾶγμα διαφέρον τῷ ταύτης παιδὶ, καλῶς ἐνάγεται τῇ ἐπ᾽ αὐτῷ ἀγωγῇ. ἐὰν δὲ ὁ παῖς κληρονομήσῃ τὴν μητέρα, εἰς ὅσον αὐτὴν ἐκληρονόμησεν, ἀναγκάζεται ἐφησυχάζειν, ἐκβαλλόμενος διὰ δόλου παραγραφῆς[134].

ρζ΄. Ὅτι τῶν ἀγωγῶν δύο γένη εἰσίν· ἢ γὰρ ἰν ῥέμ εἰσιν ἤγουν πραγματικαὶ καὶ καλοῦνται ουινδικατίονες, ἢ προσωπικαὶ καὶ καλοῦνται κονδικτίκιοι. ἐν πράγμασιν ἀγωγὴ ἐστὶν ἡ ἀπαίτησιν ἔχουσα πράγματος ἰδίου, ἥτις ἀεὶ κατὰ νομέως ἁρμόζει.

ρωσιν τοῦ δικαίου τιμήματος, ἵνα δύνηται τοῦτο ποιεῖν· καὶ ποιῶν τὴν ἀναπλήρωσιν τοῦ δικαίου τιμήματος καὶ τὴν καταβολὴν τῆς δικαίας ποσότητος, ἵνα ἔχῃ μὲν τὰ προάστεια, ἀπολαμβάνωσι δὲ καὶ οἱ ἐγκαλοῦντες τὸ δίκαιον τίμημα, καθόσον ἀξιοῦται τὸ κτῆμα. εἰ δὲ μὴ βούλεται ὁ ἀγοραστὴς τὴν ἀναπλήρωσιν τοῦ τιμήματος ποιήσασθαι, ἵνα ἀπολάβῃ μὲν παρὰ τῶν ἐγκαλούντων ὅπερ κατεβάλετο τίμημα καὶ τὰς ἐξόδους αὐτοῦ, καὶ ἀναχωρῇ ἐκ τοῦ κτήματος, τὸ δὲ κτῆμα αὐτοῦ ἀποδιδῶται τοῖς πωλήσασιν.

λθ΄. Τοῦ αὐτοῦ. — Θεσπίζομεν, ἵνα εἴ τινες ἐπὶ κοινοῦ οἰκίαν ἢ ἀγρὸν ἢ ἀμπελῶνα ἢ ἕτερον τὸ οἱονοῦν ἀκίνητον ἔχοντες, ἢ ἄλλως καὶ οὐχ ὡς ἐξ ἐπικοίνου τοῖς ἐγγίζουσι κτήμασι κατά τι μέρος ἀναμεμιγμένοι ἢ συμπαρα[κείμενοι ὁμοτελεῖς ἢ ἄλλως] πλησιάζοντες, βουληθεῖεν ἐκποιῆσαι τὰ ἴδια κατὰ πρᾶσιν ἢ ἐμφύτευσιν [ἢ μίσθωσιν, μὴ πρότερον] ἑτέρῳ τινὶ ταῦτα ἐκποιείτωσαν, εἰ μὴ πρὸς ἐκείνους δια[μαρτύρωνται, οὓς καλοῦμεν] κατὰ τάξιν πρὸς τὴν προτίμησιν. ἵνα πρῶτοι κληθῶσιν οἱ ἀναμὶξ κείμενοι συγγενεῖς, εἶτα οἱ οὕτω συμπεπλεγμένοι κοινωνοὶ, μεθ᾽ οὓς οἱ μόνον ἀναμεμιγμένοι, εἰ καὶ ξένοι πάντῃ τῷ ἐκχωροῦντι τυγχάνοιεν, ἔπειτα οἱ συμπαρακείμενοι ὁμοτελεῖς, μετέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συναπτῶς ἡνωμένοι. ὁμοτελεῖς δὲ φαμὲν πάντας τοὺς ὑπὸ τὸν αὐτὸν ὑποτεταγμένον ἀναγραφομένους, κἂν ἐν διαφόροις τόποις τὰ ἴδια τελέσματα καταβάλλωνται. πολλῶν δὲ πέριξ τοῦ ἐκχωρουμένου κτή-

---

131 Syn. *A*, 11 ex Bas. XIX, 9, 1. 132 Syn. *A*, 21 ex Bas. XV, 1, 65.
133 Syn. l. l. ex Bas. XV, 1, 86. 134 Syn. l. l. ex Bas. XV, 1, 94.

προσωπικὴ δέ ἐστιν ἡ κινουμένη κατὰ δεχομένους[135] εἰς τὸ ποιῆσαί τι ἢ δοῦναι. καὶ ὅτι τῶν ἀγωγῶν αἱ μὲν ἀπὸ συναλλάγματος τίκτονται, αἱ δὲ ἀπὸ φάκτου, αἱ δὲ ἰμφακτούμ εἰσιν ἤγουν ἐν ἀποτελέσματι. ἀπὸ συναλλάγματος ἀγωγαί εἰσιν, ἃς ἐπὶ κέρδει ἰδίῳ ποιεῖταί τις ἀγοράζων ἢ πιπράσκων ἢ μισθῶν καὶ ἐπὶ τῶν ὁμοίων. ἀπὸ φάκτου, ὡς ἔνθα τὶς ἁμαρτήσει κλέπτων ἢ ὑβρίζων ἢ ζημιῶν. ἐν ἀποτελέσματι ἀγωγή ἐστιν, ἣν ἔχει ὁ πάτρων κατὰ τοῦ ἀπελευθέρου κληθεὶς παρ᾽ αὐτοῦ ἄνευ συγγνώμης εἰς τὸ δικαστήριον. πᾶσαι δὲ αἱ ἀγωγαὶ ἢ πολιτικαί εἰσιν ἢ πραιτωρίαι. αἱ ποινάλιαι πᾶσαι μετὰ προκάταρξιν κατὰ κληρονόμων παραπέμπονται[136].

ρη΄. Ὁ κατὰ παράδοσιν λαβὼν παρὰ μὴ δεσπότου ἐξ εὐλόγου αἰτίας καὶ μὴ διὰ χρήσεως δεσπόσας, ἔχει τὴν πουβλικιανήν· ὁ γὰρ διὰ χρήσεως δεσπόσας ἔχει τὴν πολιτικήν[137].

ρθ΄. Μηδὲ παρὰ ξένοις τοῖς ἔξω ῥώμης οἰκοῦσι διὰ θέσεως ἀ δ ε λ φ ό τ η ς συνιστάσθω[138].

ματος ὁμορούντων, κατὰ τὴν αὐτῶν τάξιν ἑκάστῳ ἡ προτίμησις τῆς διαμαρτυρίας τελείσθω· ἵνα τῶν προτιμωμένων ἴσως παραιτουμένων οἱ ἐφεξῆς καλούμενοι, εἴγε βούλοιντο, συναλλάξαιεν. εἰ μέντοι πάντες ἐκ τῶν ἴσων ἔρχονται προνομίων, ὥστε κατὰ μηδὲν ἀλλήλων προκεκρίσθαι ἐπὶ τῇ τοιαύτῃ προσκλήσει, ἡ αὐτὴ πᾶσιν ὁμοίως γινέσθω προφώνησις, ἵνα ἐντὸς λ΄ ἡμερῶν τὸ ἄξιον τίμημα, ἢ ὅπερ ἀραδιουργήτως ὁ ἀληθὴς δίδωσιν ἀγοραστὴς, αὐτοὶ ἀνυπερθέτως καταβαλόντες ἀναλόγως ἀφ᾽ ἑαυτῶν ἢ ἔκ τινος ἀρχῆς τοῦτο ἐπιμερίσωνται. ὅσοι δὲ μὴ ἐμπροθέσμως τὴν ἐπιβάλλουσαν αὐτοῖς παράσχοιεν ἀποτίμησιν, οὐκέτι δίκαιον ἕξουσι προτιμήσεως, πλὴν εἰ μήτις αὐτῶν αἰχμάλωτός ἐστιν ἢ περιωρισμένος ἢ ἐξόριστος, ἢ ἐν δημοσίαις ἢ ἰδίαις χρείαις ἀδόλως ἀπολιμπάνεται, ἢ οὔπω τὸν κε΄ χρόνον τῆς ἰδίας ἤνυσεν ἡλικίας· τούτων γὰρ οἱ τὴν διοίκησιν τῶν προσόντων αὐτοῖς ἀναδεδεγμένοι ἐντὸς δ΄ μηνῶν μετὰ τῶν συμπαρακειμένων νέων ἀγοραστῶν πρὸς τὸ ἀναλογοῦν συνέρχονται, ἀναπληροῦντες αὐτοῖς τὸ ἀνῆκον τίμημα μετὰ τοῦ νομίμου τόκου καὶ τῶν ἀναγκαίων ἀναλωμάτων· τοὺς δὲ ξένους ἀγοραστὰς ἀπωθοῦνται τελείως, τὸ τίμημα μετὰ τῶν αὐτῶν τόκων [τε καὶ δαπανημάτων ἀνα]δίδοντες αὐτοῖς. ἀλλὰ καὶ ἐπὶ τῆς ὁμάδος τῶν καλουμένων χωρίων ἢ [ἀγριδίων πολλῷ μᾶλλον] κρατείτω, ἵνα καὶ οἱ οἰκήτορες αὐτῶν πρὸς ἀλλήλους προτιμῶνται. [εἰ δὲ πάντες παραιτήσωνται] οἷς δέδοται ἡ προτίμησις, ἢ δείκνυνται αἴτιοι χρηματικῆς [ζημίας ἢ σωματικῆς] ἐπιβολῆς τε καὶ ἀτιμίας τραχείας τῷ ἐκποιοῦντι καὶ τῇ αὐτοῦ φαμιλίᾳ, οὐ κατὰ τύχην ἀλλ᾽ ἐκ προνοίας δι᾽ ἑαυτῶν ἢ

---

[135] Lege *τοῦ ἐνεχομένου*. [136] Syn. *A*, 24 ex Bas. LII, 1, 24. [137] Syn. l. l. ex Bas. XV, 2, 1. [138] Syn. *A*, 28 ex Bas. XXXV, 13, 17.

ρι΄. Καὶ ὅτι ἔνθα καὶ φύσει καὶ νόμῳ μεμισημένον ἁμαρτάνει, ὁμοίως ἡ γυνὴ τῷ ἀνδρὶ τιμωρεῖται. εἰ δὲ τῷ νόμῳ μόνῳ κεκώλυται, συγγινώσκεται ἡ γυνή. καὶ ὅτι ἔσθ' ὅτε καὶ οἱ ἄνδρες ἀθεμίτως μιγνύμενοι πρᾳότερον ἤπερ οἱ μοιχοὶ τιμωροῦνται[139].

ρια΄. Ἐάν τις ἐπαρχεώτης ὢν αἰτήσῃ παρὰ βασιλέως ἄρχειν ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ, ἱεροσυλίᾳ ὑπόκειται, εἰ μὴ ἄρα ἑκουσίως αὐτὸν ὁ βασιλεὺς ἄρχοντα ποιήσει[140].

ριβ΄. Ἐάν τις εὐγενῆ γυναῖκα παρὰ πολεμίων ἀγοράσῃ καὶ συναφθῇ αὐτῇ ἐπὶ παιδοποιΐᾳ, παραυτίκα τὸ ἐν αὐτῇ δίκαιον τοῦ ἐνεχύρου λύει καὶ εὐγενεῖς τίκτει[141].

ριγ΄. Ἡ ἀπὸ τῶν πολεμίων ἀγορασθεῖσα οὐκ ἐστὶ δούλη, ἀλλ' ἐνεχύρου λόγῳ κρατεῖται[142].

ριδ΄. Ὅτι ἐὰν συμφωνήσωσί τινες ὥστε τὸν προτελευτῶντα τῷ ἑτέρῳ διδόναι τὴν οὐσίαν, ἄχρηστον τὸ γεγονός[143].

τῶν προσηκόντων αὐτοῖς γεγονότες, τοὺς τοιούτους ἄκοντος τοῦ πεπονθότος κατ' οὐδένα τρόπον εἰς τὴν ἐκείνου κτῆσιν εἰσενεχθῆναι βουλόμεθα. μετὰ μέντοι δεκαετίαν ἀνεπιφώνητον κατὰ τῶν ὁπωσοῦν συναλλαξάντων ἢ δωρεὰς δεξαμένων ἢ ἐκ διαθήκης τὶ δεξαμένων οὐδεμία παρ' οὐδενὸς τῶν ἐντεῦθεν προτιμωμένων ἢ καὶ ὡς ἐκ τοῦ δημοσίου ζήτησις ἔσται. κατὰ πρόφασιν μέντοι προικὸς ἢ προγαμαίας δωρεᾶς ἢ ἐκ διαθήκης ἢ ἀνταλλαγῆς ἢ διαλύσεως καὶ οἰκείοις καὶ ἐξωτικοῖς ἅπαντες ἐκποιείτωσαν, ἄνευ σκήψεως δηλονότι ἢ δόλου. καὶ ταῦτα μὲν ἐν τούτοις.

μ΄. Ἡ δὲ νεαρὰ τοῦ κυροῦ μανουὴλ καὶ τάδε προστίθησι· φησὶ γὰρ καὶ ἐπὶ τῆς ἀντιχρήσεως τὸ τῆς προτιμήσεως εἰσάγεσθαι δίκαιον, καὶ ἐπὶ τῇ ἀντιχρήσει ἐκεῖνα κρατεῖν, ἃ καὶ ἐπὶ τῶν δωρεῶν ἐν τῇ προμνημονευθείσῃ νεαρᾷ διωρίσθησαν, καὶ τὸ τοῦ πλησιασμοῦ δίκαιον δίδοσθαι κἂν τις μέρος μὲν πωλήσῃ ἀκινήτου, ἐφ' ᾧ ἕτερος προτιμᾶται, μέρος δέ τι ἐλάχιστον καταλείψῃ ἀδιάπρατον, τὸ πλησιάζον τῇ οἰκίᾳ τοῦ γείτονος ἢ τῷ ἀγρῷ, ἐν οἷς ὁ πλησιασμὸς θεωρεῖται. καὶ μὴ τοιαύτας περιεργείας νικᾶν τὴν ἀλήθειαν.

μα΄. [Νεαρὰ τοῦ κυροῦ νικηφόρου.] — Θεσπίζομεν, ἵνα μὴ προτιμῶνται οἱ πένητες εἰς τὸ ἀπεμ[πωλούμενον κτῆμα τῶν δυνατῶν], μήτε ἐξ ὁμοτελείας μήτε ἐξ ἀνακοινώσεως κἄντε [στρατιῶται κἄντε πολιτικοὶ] ἐφευρίσκωνται, ἀλλὰ τὸ τούτων πάλιν διαδέχεσθαι ἀρχοντικὸν πρόσωπον, τὸ πρὸς ἀνάπαυσιν δηλονότι καὶ ὠφέλειαν τῶν συμπαρακειμένων ἐν τούτῳ πενήτων ἀναφαινόμενον· καὶ τοὺς μὲν δυνατοὺς ἐκ δυνατῶν μόνον ποιεῖσθαι τὰς ἐξωνήσεις βουλόμεθα, τοὺς δὲ στρατιώτας καὶ πένητας ἐκ τῶν τὴν ὁμοίαν τάξιν λαχόντων αὐτοῖς.

---

139 Syn. *A*, 30 ex Bas. LX, 37, 39. 140 Syn. *A*, 34 ex Bas. LX, 45, 20.
141 Syn. *A*, 35 ex Bas. XXXIV, 1, 17. 142 Syn. I. l. ex Bas. XXXIV, 2, 1.
143 Syn. *A*, 37 ex Bas. XLIII, 6, 4.

ριέ. Τὸ ἀσαφὲς ἢ ἀμφίβολον σύμφωνον κατὰ τοῦ πράτου καὶ τοῦ μισθώσαντος[144]. τὴν ἀσάφειαν ὡς ἐπὶ πολὺ ὑπὲρ τοῦ ὁμολογήσαντος ἑρμηνεύομεν[145].

ρις΄. Ὁ ἀπὸ δουλείας ἀναφωνῶν εἰς ἐλευθερίαν αὐτὸς βαρεῖται τῇ ἀποδείξει. ἐὰν δέ τις τὸν ἐλεύθερον εἰς δουλείαν ἕλκῃ, πάλιν αὐτὸς τοῦτο ἀποδείκνυσιν[146].

ριζ. Ἐάν τις ἀπαιτούμενος ἐν δικαστηρίῳ παραγαγεῖν δικαίωμα, οὐ καθ᾿ ἑαυτοῦ ἀλλὰ καθ᾿ ἑτέρου τινὸς, συμβαλλόμενον δὲ ἑτέρῳ, παραιτεῖται τοῦτο παραγαγεῖν ὡς ἐκ τούτου βλάβην εὐλαβούμενος, ὁ δὲ ἀπαιτῶν τὸν χάρτην προενεχθῆναι λέγει, μηδὲν αὐτὸν ἀδικεῖσθαι ἀλλ᾿ ἢ χρήματα εἰληφέναι παρὰ τῶν μελλόντων ἐλέγχεσθαι ὑπὸ τοῦ προφερομένου δικαιώματος ἢ ἑτέραν τινὰ προβάλλεσθαι πρόφασιν, ἑαυτὸν δὲ μεγάλα βλάπτεσθαι μὴ προφερομένου τοῦ δικαιώματος, βούλεται μὲν ἡ διάταξις τὸν ἔχοντα τὸ δικαίωμα προφέρειν αὐτὸ, εἰ μηδὲν ἐκ τῆς προκομιδῆς αὐτοῦ μέλλει καταβλάπτεσθαι· εἰ δὲ τῇ ἀληθείᾳ βλάβην αὐτῷ ποιεῖ προφερόμενον τὸ δικαίωμα, μὴ ἀναγκάζεσθαι αὐτὸν προκομίζειν αὐτὸ, ἐπειδὴ συμφέρει αὐτῷ μᾶλλον κρύπτειν ἢ δημοσιεύειν αὐτό. εἰ δὲ ὁ τοῦ συμβολαίου δεόμενος διαβεβαιοῦται μηδὲν αὐτὸν ἀδικεῖσθαι, ὅρκον διδότω μόνον ὡς νομίζων βλάβην παρὰ τὴν ἰδίαν πίστιν ὑπομένειν ἐκ τῆς τοῦ συμβολαίου προκομιδῆς καὶ διὰ τοῦτο παραιτεῖται προκομίσαι. ἵνα δὲ μὴ αὐτὸ τοῦτο τὸ μὴ κερδᾶναι τὰ ἐπαγγελθέντα αὐτῷ πρὸς τὸ μὴ κομίσαι τὸν χάρτην βλάβην οἰκείαν νομίζῃ, περιεργότερον παρεχέτω ὅρκον, λέγων ὅτι οὐ διὰ τὸ λαβεῖν χρήματα ἢ ἕτερόν τι διὰ τὸ μὴ προκομίσαι τὸν χάρτην ἢ διὰ τὸ ἔχειν ἐπαγγελίαν δόσεως οὔτε διὰ τὴν φιλανθρωπίαν[147] αὐτοῦ οὔτε διὰ φόβον ἐκείνου καθ᾿ οὗ ζητεῖται τὸ δικαίωμα παραιτεῖται τὴν τοῦ χάρτου προσκομιδὴν, ἀλλ᾿ ἐξ ὀρθοῦ περὶ τὴν ἰδίαν οὐσίαν μεγάλα βλαπτόμενος[148].

ριη΄. Καὶ ὅτι ἐν ἑκάστῃ λίτρᾳ τῶν ἀπαιτουμένων παρ᾿ αὐτῶν νομισμάτων ἓξ λαμβάνουσιν[149].

ριθ΄. Ἐάν τις πρᾶγμα λαβὼν ἕτερον πρᾶγμα ἀντ᾿ αὐτοῦ παράσχῃ, τυχὸν λαβὼν ἐσθῆτα δέδωκεν οἰκέτην, οὐ πάντως ἀνταλλαγή[150] ἐστιν, ἀλλὰ δεῖ ζητεῖν ἡμᾶς κἀκεῖνο, ἆρα μὴ[151] ὁ τὴν ἐσθῆτα ἔχων πωλῆσαι αὐτὴν ἐβούλετο, καὶ ὁ τὸν οἰκέτην

---

[144] Adde ἐστίν. [145] Syn. *A*, 38 ex Bas. XI, 1, 39. [146] Syn. *A*, 42 ex Bas. XXII, 1, 54. [147] B rectius φιλίαν. [148] Syn. *A*, 43 ex Bas. XXII, 1, 80. [149] Haec sunt ex rubrica Syn. *A*, 44. [150] B συναλλ. [151] B μὴ ἄρα.

ἔχων ἀγοράσαι ταύτην ἐπεζήτει, καὶ ἐν τῷ συμφωνεῖν τὰ περὶ τοῦ τιμήματος συνέδοξεν ἀντὶ τοῦ τιμήματος δοθῆναι τὸ πρᾶγμα, ἢ μήτι αὐτοὶ ἐξ ἀρχῆς οὐδὲ εἰς ἔννοιαν πράσεως ἦλθον, ἀλλ' ἐναλλάξαι τὰ πράγματα ἠβουλήθησαν[152].

ρκ΄. Ἡ ἐπὶ τῇ ἀντιφωνήσει ἀγωγὴ οὐ μόνον κατὰ σοῦ ἀλλὰ καὶ κατὰ τῶν κληρονόμων τῶν σῶν διηνεκῶς ἁρμόζει[153].

ρκα΄. Ὁ ἁρπάζων τὶ ἐξ ἐμπρησμοῦ πλὴν ὕλης, καὶ ὁ παραγενόμενος ἔνοπλος εἰς ἐμπρησμὸν ἐπὶ τῷ ἁρπάσαι ἢ κωλύσαι τὸν δεσπότην σῶσαι τὰ ἴδια, καὶ ὁ μετὰ ὅπλων ἐκβαλὼν τὸν νομέα ἐκ τοῦ οἴκου ἢ ἀγροῦ τῷ περὶ βίας[154] δημοσίας νόμῳ κατέχονται. ἔστι δὲ ἡ καταδίκη αὐτοῖς ἡ εἰς μέταλλον διηνεκὴς ἐξορία[155].

ρκβ΄. Καὶ ὅτι λαμπροτάτη ἐστὶν ἡ γυνὴ τοῦ λαμπροτάτου καὶ τοῦ ὑπάτου, καὶ αἱ διαζευχθεῖσαι τούτων, εἰ μὴ γαμηθῶσιν ἑτέροις ἥττονος οὖσιν ἀξίας[156].

ρκγ΄. Συναπτομένης θυγατρὸς ἀξιωματικοῦ ἀπελευθέρῳ, κἂν ὁ πατὴρ αὐτῆς ἀποκινηθῇ τῆς συγκλήτου, ὁ γάμος οὐ βεβαιοῦται. ἡ γὰρ τοῦ πατρὸς συμφορὰ τὴν προποιηθεῖσαν τοῖς παισὶν ἀξίαν οὐκ ἀφαιρεῖται[157].

ρκδ΄. Πάντες οἱ ἐκ τοῦ συγκλητικοῦ κατιόντες συγκλητικοῦ λέγονται παῖδες[158].

ρκε΄. Ὅτι ἀπὸ πατρικίων ἕως ἰλλουστρίων εἰσὶν οἱ συγκλητικοί, καὶ οὗτοι μόνοι βουλὴν ἐν τῇ συγκλήτῳ δύνανται λέγειν. καὶ ὅτι ἐν τῇ ἱπποδρομίᾳ ὀφείλουσι συνάγεσθαι[159].

ρκς΄. Ἀγχιστεία ἐστὶν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων συγγενείας ἐκτός[160].

ρκζ΄. Ἡ ἀθώωσις καὶ ἡ ἀποχὴ κυρίως μὲν λέγονται παρὰ τῷ νόμῳ, ὁπόταν ἐλευθερία τῆς ἐπὶ χρήμασιν ἐνοχῆς γένηται· ἀπὸ ταύτης δὲ καὶ ἐπ' ἄλλων καταχρηστικώτερον τίθεται.

ρκη΄. Διαφέρει δὲ ἀθώωσις ἀποχῆς, ὅτι ἡ μὲν ἀθώωσις ἐξ ἅπαντος τρόπου καὶ ἀδιαστάτως ἐλευθεροῖ, ἡ δὲ ἀποχὴ οὐ καθαρὰν ἔχει τὴν ἐλευθερίαν οὐδὲ ἀδιάστατον[161].

ρκθ΄. Ὁ ἀγοράσας ἀγρὸν γινώσκων, ὅτι μέρος τὶ τοῦ ἀγροῦ ἐστιν ἀλλότριον, μὴ γινώσκων δὲ καὶ ποῖον, οὐδὲν ἐκ

[152] Syn. Α, 49 ex Bas. XX, 3, 3. [153] Syn. Α, 51 ex Bas. XXVI, 3, 1. [154] A παρὰ μιᾶς. [155] Syn. Α, 67 ex Bas. LX, 18, 3. [156] Syn. Α, 69 ex Bas. VI, 1, 8. [157] Syn. l. l. ex Bas. VI, 1, 9. [158] Syn. l. l. ex Bas. VI, 1, 10. [159] Syn. l. l. ex Bas. VI, 1, 12. [160] Syn. Γ, 2 ex Bas. XXVIII, 5, 1. [161] Syn. Α, 30 ex Bas. XXVI, 6, 1. — In B rec. manus addit: δεῖ γὰρ καταβληθῆναι τὰ χρήματα.

τοῦ ἀγροῦ μέρος κατέχειν δύναται, ἀλλὰ πάντα τὸν ἀγρὸν διὰ τὴν ἄγνοιαν τοῦ ἀλλοτρίου μέρους ἀπόλλυσιν. ὁ δὲ ὡρισμένως γινώσκων ποῖον τοῦ ἀγροῦ μέρος ἐστὶν ἀλλότριον, δύναται ἀδέσποτον τὸ ξένον καταλιπὼν, τὰ λοιπὰ ὑπὸ τὴν δεσποτείαν αὐτοῦ ποιεῖν[162].

ρλ΄. Ἡ ἀπουσία τοῦ διὰ πρᾶγμα δημόσιον ἀπόντος οὔτε αὐτῷ οὔτε ἄλλῳ ἐπιζήμιος[163] γίνεται[164].

ρλα΄. Ἡ ἀπειρία παρὰ τῷ νόμῳ πολλάκις μὲν τῇ ἀμελείᾳ συναριθμεῖται, πολλάκις δὲ αὕτη[165] ἐλαφροτέρα τῆς ἀμελείας κρίνεται[166].

ρλβ΄. Οἱ μέγιστοι ἀξιωματικοὶ, εἰ καὶ πολλάκις τῶν ἀξιῶν διαπέσωσι, παρὰ μόνῳ τῷ βασιλεῖ ἐνάγονται ἤγουν κατηγορούμενοι κρίνονται, παρὰ δὲ ἄλλῳ δικαστῇ οὐκ ἐνάγονται, εἰ μὴ πολλάκις βασιλεὺς κελεύσει, καὶ τότε δὲ ἐν τόπῳ καθέδρας οὕτω τιμῶνται, ὥστε τοῦ μὲν δικαστοῦ δοκεῖν αὐτὸν κατώτερον, τῶν δὲ λοιπῶν ἀνώτερον[167].

ρλγ΄. Αἰσχρᾶς ὑποκειμένης αἰτίας κρείττων ἐστὶν ὁ λαβὼν, καὶ ὅσα δι' αἰτίαν δοθῶσιν αἰσχρὰν τοῦ λαβόντος γίνεται, καὶ οὐ δύναται ὁ δεδωκὼς ἀπαιτεῖν. πολλάκις δὲ ἐπί τινων αἰσχρῶν αἰτιῶν ἀπόλλυσι μὲν τὰ δοθέντα πράγματα ὅστις ἔδωκε ταῦτα, στερεῖται δὲ τούτων καὶ ὁ λαβὼν ἀφαιρουμένων παρὰ τοῦ δημοσίου[168].

ρλδ΄. Ἀγωγαὶ νοξάλιαι λέγονται, ὅταν δοῦλός τινος παρὰ θέλημα τοῦ οἰκείου δεσπότου βλάψῃ τινὰ, καὶ κινῇ ὁ βλαβεὶς ζητῶν τὸν βλάψαντα δοῦλον ἐκδοθῆναι αὐτῷ παρὰ τοῦ δεσπότου.

ρλε΄. Τρία τινὰ ἐστὶ, καθὰ ὁ κάτω ἀγρὸς δουλεύει τῷ ἄνω ἀγρῷ· νόμος, φύσις τοῦ τόπου, καὶ συνήθεια[169].

ρλϛ΄. Αὐθεντικὰ παρὰ τῷ νόμῳ καλοῦνται τὰ πρωτότυπα δικαιώματα καὶ τὰ ἀπὸ τούτων μεταγραφόμενα ἴσα λέγονται. ὅταν γοῦν κληρονομία ἢ ἄλλο τὶ πολλοῖς ἀφεθῇ, καὶ τῷ μὲν ἑνὶ πολὺ μέρος καταλειφθῇ τοῖς δὲ ἄλλοις ἐξ ὀλίγου, τὰ μὲν αὐθεντικὰ παρὰ τῷ ἔχοντι τὸ πλέον ὀφείλουσιν εἶναι, τὰ δὲ ἴσα τοῖς λοιποῖς δίδοσθαι· οὕτω δὲ, ὡς ἵνα ἑτοίμως ἔχῃ ὁ τὰ αὐθεντικὰ λαμβάνων, εἰ γένηται χρεία τὶς, προκομίζειν αὐτά.

---

162 Syn. *Δ*, 4 ex Bas. L, 4, 3. 163 AB *ἐπιζήμιον*. 164 Syn. *K*, 2 ex Bas. II, 3, 140. 165 B *καί*. 166 Syn. *K*, 2 ex Bas. II, 3, 132. 167 Syn. *Δ*, 37 ex Bas. VII, 5, 91. 168 Syn. *Δ*, 43 ex Bas. XXIV, 2, 5. 8. 169 Syn. *K*, 9 ex Bas. LVIII, 13, 1.

ρλζ΄. Ὁ δίκαιον ἔχων ἀπαιτεῖν πράγματα μετὰ τῶν καρπῶν, δύναται κατ᾽ ἐκλογὴν ἢ τὰ πράγματα μετὰ τῶν καρπῶν ἀπαιτεῖν ἢ τὰς τιμὰς μετὰ τῶν τόκων[170].

ρλη΄. Ἀδελφοὶ δύο εἴτε καὶ πλείους τὰ πατρικὰ διείλοντο πράγματα, οὐκ ἐπερωτήσαντες ἀλλήλους περὶ τῆς τῶν κατεχόντων[171] ἑκάστῳ διεκδικήσεως, καὶ μετὰ τὴν διαίρεσιν ἑνὸς τῶν ἀδελφῶν πρᾶγμα ἐξενικήθη καὶ ἀφηρέθη παρά τινος. ἀνάγκη ἐστὶν, ἵνα ὁ εἷς ἢ καὶ οἱ λοιποὶ ἀδελφοὶ κατὰ ἀναλογίαν περιποιήσωνται τῷ ἀδελφῷ τὸ ἀζήμιον, καὶ ποσώσωσιν αὐτοὶ τούτῳ τὸ ἀφαιρεθὲν ἐξ αὐτοῦ πρᾶγμα[172].

ρλθ΄. Ἀπαγόρευσις πολλάκις καλεῖται ἡ τῆς κοινωνίας διάλυσις[173].

ρμ΄. Τῷ ἐξοπλισμῷ τοῦ ἀγροῦ ἐμπεριέχεται ὅσα ἐπὶ τῷ γίνεσθαι καὶ συλλέγεσθαι καὶ φυλάττεσθαι τοὺς καρποὺς παρεσκεύασται[174].

ρμα΄. Ἡ αἵρεσις εἰς τὸ δοῦναι, εἰς τὸ συμβῆναι, εἰς τὸ ποιῆσαι. εἰς τὸ δοῦναι, ὅταν εἴπῃ τίς· τῷ δεῖνι εἰ δώσει δέκα νομίσματα δοθήτω ὁ δεῖνα μοῦ ἀγρός. εἰς τὸ ποιῆσαι, ὅταν λέγῃ τίς· τῷ δεῖνι ἐὰν τὴν πρὸς ἐμὲ φιλίαν τηρήσῃ δοθήτω μου τόδε τὸ οἴκημα. εἰς τὸ συμβῆναι, ὡς ὅταν διατάξηταί τις τῷ δεῖνι, ἐὰν συμβῇ χωρὶς παιδὸς γνησίου τελευτῆσαί με, ἀποδοθήτω ἡ κληρονομία μοῦ πᾶσα[175].

ρμβ΄[176]. Ἐν τοῖς ἀμφιβόλοις τὴν ἀνεπίληπτον ἑρμηνείαν προσιέμεθα[177].

---

[170] Syn. *K*, 14 ex Bas. XLII, 1, 20. [171] B *τῶν λαχόντων*. [172] Syn. *K*, 14 ex Bas. XLII, 3, 70. [173] Ad Syn. *K*, 21. [174] Syn. *Λ*, 1 ex Bas. XLIV, 10, 8. [175] Syn. *Λ*, 1 ex Bas. XLIV, 19, 59. [176] A numerum ponit ρλη΄, D ρλζ΄, C ρζ΄. Nempe hic plura capita nonnunquam in unum contraxit, ille contra. Nos prout aptius visum est, capita numeris distinximus. [177] Syn. *N*, 6 ex Bas. II, 1, 29.

ΑΡΧΗ ΤΟΥ Β'[1].

α'. Ὁ βελλιάνειος νόμος ταῖς γυναιξὶ βοηθεῖ καὶ φησὶν αὐτὰς εἰς ἐγγύην καὶ εἰς ἄλλα τινὰ πράγματα μὴ ἐνέχεσθαι, ἀλλὰ καὶ ἐὰν φθάσῃ γυνὴ ἐγγύην ποιῆσαι πρός τινα, οὐδ' οὕτως[2] ταύτην ἐνέχεσθαι[3].

β'. Οἱ τῆς συγγενείας βαθμοὶ κατὰ τὴν γέννησιν ἀριθμοῦνται· μία γὰρ ἑκάστη γέννησις ἕνα βαθμὸν ἀποτελεῖ[4]. — Τὰ τῶν βαθμῶν ὡς ἐν ὀλίγῳ καὶ ἀκριβεστάτως ἐν τοῖς εἰς τὸ σ' στοιχεῖον περὶ συγγενείας ἐλέχθησαν, κἀκεῖθεν καὶ ἐνταῦθα[5] μεταγραφέσθω τοῖς θέλουσιν.

γ'. Βασιλεῖ καὶ αὐγούστῃ καὶ ποιεῖν διαθήκην καὶ ἐναλλάττειν αὐτὴν ἐπ' ἀδείας ἐστίν[6].

δ'. Βασιλέα γράψας τὶς κληρονόμον ἐν διαθήκῃ αὐτοῦ, ἐξουσίαν ἔχει τὴν διαθήκην αὐτοῦ ἀλλάσσειν καὶ ἀντὶ βασιλέως ἄλλον κληρονόμον ποιεῖν[7].

ε'. Οἱ ἀνιόντες καὶ κατιόντες ἄρχονται ἐκ τοῦ πρώτου βαθμοῦ· οἱ δὲ ἐκ πλαγίου ἄρχονται ἀπὸ δευτέρου· πρῶτον δὲ βαθμὸν οὗτοι οὐκ ἔχουσιν. καὶ ἔστι τοῦτο ἀστεῖον τὸ πρώτου μὴ ὄντος εἶναι δεύτερον[8]. δείκνυται δὲ ἐντεῦθεν καὶ τῶν ἀνιόντων καὶ τῶν κατιόντων τὸ γνησιώτερον, διὸ καὶ ἐπ' αὐτῶν εἰς ἀπέραντον ὁ γάμος κωλύεται· οὗτοι μὲν γὰρ ἐκ πρώτου βαθμοῦ, οἱ δὲ ἐκ πλαγίου ἐκ δευτέρου κατάρχονται, καὶ διὰ τοῦτο καὶ προχωρήσαντες λύονται[9].

ϛ'. Ὁ τὸν βλαπτικὸν ἀτιμάσας ἤγουν φανερώσας οὐ καταδικάζεται. συμφέρει γὰρ φανεροῦσθαι τὰ τῶν βλαπτικῶν

α'. Τῷ ὀνόματι τῆς βαλάνου πάντες οἱ καρποὶ δηλοῦνται.

β'. Κανὼν περὶ βεβαιώσεως. — Τὰ ἐξ ἀρχῆς βέβαια ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦται.

γ'. Ἕτερος περὶ βίας καὶ φόβου. — Οὐδὲν οὕτως ὑπεναντίον τῇ ἀγαθῇ πίστει ὡς ἡ βία καὶ ὁ φόβος.

δ'. Ἕτερος περὶ ὠφελείας καὶ βλάβης. — Ὁ τὴν ὠφέλειαν ἔχων τοῦ πράγματος καὶ τὴν βλάβην αὐτοῦ ἔχει.

ε'. Ἕτερος. — Ὅτε χωρὶς βλάβης οὐκ ἐνδέχεται γενέσθαι τί τὸ ἧττον ἄδικον ἐπιλεγόμεθα.

---

[1] A addit *βιβλίου.* — B autem hanc rubricam non hic, sed infra c. 14 praeposuit, sed recentiori manu hic error emendatus est. [2] A *οὐχ οὕτω.* [3] Att. XVIII (23). [4] Att. XIX (26). [5] E *ἐκεῖθεν οὖν καὶ ἐνταυθοῖ.* [6] Att. XXIII (32). [7] Att. l. l. [8] A *τὸ δ'.* [9] Att. XXIII (41).

ἁμαρτήματα. βλαπτικοὶ δὲ καλοῦνται, ὅσοι κρυφίας μετέρχονται πράξεις καὶ παρεισπράξεις ποιοῦσιν, αἳ λανθάνουσαι τοὺς πολλοὺς τὰ κοινὰ πράγματα καταβλάπτουσιν. τοῦτον γοῦν τὸν βλαπτικὸν εἴ τις ἀτιμάσει διὰ τῆς φανερώσεως τῶν πραγμάτων ὧν πράττει, οὐ κατακρίνεται[10].

ζ'. Ἐάν τις ὑβρίσῃ τὸν δικαστὴν ἐκκαλούμενος, ἀτιμοῦται· τουτέστιν εἴ τις προσιὼν τινι ἐπὶ τῷ ζητῆσαι παρ' αὐτοῦ κρίσιν, κατ' αὐτοῦ ἐκείνου, παρ' οὗ ζητεῖ κριθῆναι, ἐκπέμψει λόγον ὑβριστικὸν, αὐτὸς ὡς ἀτιμοποιὸς ἀτιμίαν ὑπομένειν καταδικάζεται. καὶ πάλιν ἐάν τις κριθῇ παρά τινι, εἶτα καὶ ἐπ' ἄλλῳ κριθῆναι βουληθεὶς δικαστῇ τὸν πρότερον ὑβρίσῃ κριτὴν, καὶ αὐτὸς ἀτιμοῦται· οὐ γὰρ ἔχουσιν οἱ ἐκκαλούμενοι ἄδειαν τοὺς δικαστὰς ὑβρίζειν, παρ' οἷς ἐκρίθησαν πρότερον[11].

η'. Οἱ ἀξιωματικοὶ καὶ αἱ γυναῖκες τῶν ἀξιωματικῶν ἐὰν ὑβρισθῶσι, δύνανται μὴ μόνον δι' ἑαυτῶν ἀλλὰ καὶ δι' ἑτέρων ἐντολέων τὴν περὶ ὕβρεως κινεῖν ἀγωγήν[12].

θ'. Ἀπαγωγὴ γίνεται πολλάκις ἐν πράγμασι κινητοῖς βιαία, καὶ μαρτυρεῖται καὶ αὐτὴ ἥτις κατὰ βίαν ἐγένετο ἁρπαγὴ καὶ ἡ ποσότης τῶν ἁρπαγέντων πραγμάτων καὶ τὰ εἴδη αὐτῶν· [πολλάκις δὲ ἡ μὲν ἁρπαγὴ μαρτυρεῖται, ἡ δὲ ποσότης τῶν ἁρπαγέντων πραγμάτων καὶ τὰ εἴδη αὐτῶν οὐ μαρτυρεῖται.][13]

ι'. Ὅταν μὲν οὖν καὶ ἡ ἁρπαγὴ μαρτυρεῖται καὶ τὰ πράγματα ὅσα ἡρπάγησαν, εἰ μὲν ἐντὸς χρόνου κινηθῇ ἡ περὶ αὐτῶν ἀγωγὴ, εἰς τὸ τετραπλοῦν ὁ ποιήσας τὴν ἁρπαγὴν ἀποδίδωσι τὰ πράγματα ἅπερ ἥρπασεν. εἰ δὲ μετὰ παρέλευσιν χρόνου, ἁπλᾶ καὶ μόνα αὐτὰ ἀντιστρέφει τὰ πράγματα ἢ μονοαπλῆν τὴν τούτων ζημιοῦται ποσότητα.

ια'. Ὅταν δὲ ἀγνοῆται τὰ πράγματα καὶ οὐ γινώσκεται πόσα ἐστὶν, ἡ δὲ πρᾶξις ἤγουν ἡ βιαία ἁρπαγὴ ὁμολογεῖται καὶ δείκνυται, τότε ὁ τὴν ἁρπαγὴν ὑποστὰς ποιεῖ ἔνδικον ὅρκον μετὰ ταξατίωνος, καὶ ἀπολαμβάνει εἰς τὸ ἁπλοῦν ὅσα ἂν ἀπ' αὐτοῦ ἁρπαγῆναι ἐπομόσηται πράγματα. ἡ δὲ τοιαύτη ὑπόθεσις ἀεὶ κινεῖται χρηματικῶς, καὶ διὰ τοῦτο [οὐκ] ἀπαιτοῦνται ἐπ' αὐτῇ ἐγγραφαί[14].

ιβ'. Εἰ δὲ θορύβου γενομένου σὺν δόλῳ τὶς καὶ οὐ μετὰ

---

10 Att. XXXV (58). — Cf. Harm. VI, 15, 8. 11 Att. XXXV (58). — Cf. Harm. VI, 15, 1. 2. 12 Att. XXXV (58). 13 Quae uncis inclusa habentur, A non agnoscit. 14 Att. XXXV (59).

βίας ζημιώσει τινὰ, ἐντὸς μὲν χρόνου κινηθείσης τῆς ἀγωγῆς εἰς τὸ διπλάσιον τὸ ζημιωθὲν ἀποδίδωσι· μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ χρόνου εἰς τὸ ἁπλοῦν, τουτέστι μοναπλῆν αὐτὴν τοῦ πράγματος τὴν ποσότητα. τῇ αὐτῇ δὲ ζημίᾳ ὑπόκειται καὶ ὁ τοῦ θορύβου γενόμενος αἴτιος[15].

ιγ΄. Ἥρπασέ τις πρᾶγμα ἢ μετὰ βίας ἀφείλετο καὶ κατέχει τοῦτο καὶ νέμεται, βούλεται καὶ κυρίως δεσπότης ἀποκαταστῆναι τοῦ πράγματος, δίδωσι τὴν τιμὴν πρὸς τὸν δεσπότην τοῦ πράγματος (εἰ δέ τις βούλοιτο λέγειν καὶ περισσοτέραν αὐτῆς), ἢ πάλιν ἕτερον πρᾶγμα ἀντὶ τοῦ ἁρπαγέντος εἰς ἀντάλλαγμα δίδωσιν, καὶ ἁπλῶς εἰπεῖν πάντα τρόπον μεταχειρίζεται, ἵνα κατὰ δίκαιον λόγον οἰκεῖον τὸ πρᾶγμα ποιήσηται. ὁ νόμος ὁρίζει ἐν τοῖς τοιούτοις, κἂν εἴ τι ἄρα καὶ γένηται, μηδέποτε τὸν ἐκ τοῦ τοιούτου τρόπου καὶ τοιαύτης ἀρχῆς πρᾶγμά τι λαβόντα δεσπότην τούτου λογίζεσθαι, οὐδὲ ἐὰν αὐτὸς ὁ ἄρχων[16] αὐτὸ καὶ ἀφαιρεθεὶς συγκατατεθῇ καὶ ὁμολογήσῃ ἀπολῦσαι τὸ πρᾶγμα, καὶ παραχωρήσῃ ὑπὸ τοῦ ἁρπάσαντος τοῦτο δεσπόζεσθαι, ὡς τυχὸν ἢ πωληθὲν παρ᾽ αὐτοῦ ἢ ἀνταλλαγέν. ἀλλὰ δεῖ ἐξ ἀνάγκης ἁπάσης ἀποδοθῆναι τῷ δεσπότῃ τὸ πρᾶγμα καὶ εἰς τὰς χεῖρας καὶ τὴν δεσποτείαν αὐτοῦ εἰσαχθῆναι, καὶ παρελθεῖν καιρὸν ἱκανὸν, καὶ τότε ἐὰν παρὰ τοῦ δεσπότου πρὸς τὸν ἁρπάσαντα αὐτὸ πωληθῇ ἢ πολλάκις ἀνταλλαγῇ, ἔχει τὸ στέργον τὸ γεγονὸς, καὶ δεσπότης τοῦ πράγματος ὁ λαβὼν αὐτὸ γίνεται. εἰ δὲ μὴ τῷ δεσπότῃ ἀντιστραφῇ, ἀλλὰ παρὰ τοῦ λαβόντος ἅπαξ κατέχηται, ἀκυροῦσθαι πᾶν τὸ ἐπὶ τούτῳ γινόμενον, κἂν αὐτὸς ὁ δεσπότης ποιήσῃ τὶ. δοκεῖ γὰρ ὅτι ἐξ ἀπορίας καὶ διὰ τὴν βίαν ποιεῖ εἰς τὸ οἰκεῖον πρᾶγμα, ὅπερ οὐ βούλεται. φιλανθρωπότατον τοῦτο καὶ τὰς τῶν ἀδικούντων ἀναστέλλον ὁρμὰς καὶ μεγίστην παρέχον τοῖς ἀδικουμένοις βοήθειαν[17].

ιδ΄. Βία δημοσία κυρίως λέγεται, ὅταν μεθ᾽ ὅπλων ἐπελθών τις ἀφέληται πρᾶγμά τινος ἀκίνητον, καὶ ἔχει τότε ὁ δεσπότης τοῦ πράγματος δύναμιν ἀναλαμβάνειν τὸ πρᾶγμα μετὰ τῶν ἐν αὐτῷ ζώων τυχὸν ἢ καρπῶν. καὶ ἔστι τοῦτο τὸ τὰ οἰκεῖα οὕτως ἀναλαμβάνειν παράγγελμα γενικὸν, τουτέστι καθολικὸν καὶ ἐπὶ πάντων κρατοῦν διάταγμα. ἔχει δὲ τότε ὁ δεσπότης τοῦ πράγματος καὶ τοὺς ἰουλίου νόμους κινεῖν κατὰ τῶν ἐπελθόντων αὐτῷ[18].

---

[15] Att. XXXV (59). [16] B ἔχων. [17] Att. XXXV (59). [18] Att. XXXV (59).

ιε΄. Οἱ δὲ ἰούλιοι νόμοι τοὺς βιαστὰς καὶ τοὺς ἅρπαγας ἐν ἐξορίᾳ διηνεκεῖ τῇ εἰς μέταλλον τιμωρίᾳ ὑπάγουσι καὶ τα προσόντα τούτοις δημεύουσιν. ὅπου γὰρ ἂν ἐξορία διηνεκὴς καὶ ἡ εἰς μέταλλον καταδίκη ὁρίζοιτο, ἐκεῖ καθολικῶς καὶ δήμευσις ἕπεται. καὶ τὴν εἰς μέταλλον τιμωρίαν οἱ πάλαι νομοθέται βαρεῖαν ἡγοῦντο καὶ ἐπὶ μεγίστοις ἐπῆγον αὐτὴν ἁμαρτήμασι· δηλοῖ δὲ αὕτη τὸ γῆν ὀρύττειν καὶ τὴν εἰς γῆν ἐργασίαν μεταχειρίζεσθαι, τουτέστιν ἢ χοῦν ἀναλαμβάνειν καὶ μετάγειν πρός τινα χρείαν ἢ ποιεῖν ἄσβεστον ἢ εἰς πλίνθων οἰκονομίαν ὑπηρετεῖν[19].

ις΄. Γίνεται δὲ πολλάκις δημοσία βία καὶ χωρὶς ὅπλων, καὶ ὅταν γένηται οὕτως, ὁ βιάσας τὸ τῆς οὐσίας τρίτον δημεύεται, τουτέστιν ἀφαιρεῖται εἰς τὸ δημόσιον, καὶ οὔτε συγκλητικὸς οὔτε ἄρχων γίνεται, οὔτε τιμὴν ἢ δημοσίαν πρᾶξιν παρέρχεται. ἔστι δὲ καὶ νόμος καθολικὸς περὶ τῶν βίας ποιούντων λέγων οὕτως ῥητῶς· ἐάν τις πρᾶγμά τινος δίχα δικαστικῆς κελεύσεως βίᾳ ἀφέληται, ἐὰν μὲν δεσπότης ἐστὶν, ἐκπίπτει τοῦ πράγματος· εἰ δὲ ἀλλότριον ᾖ, οὐ μόνον αὐτὸ δίδωσιν ἀλλὰ καὶ τὴν ἀποτίμησιν αὐτοῦ τῷ τὴν ἁρπαγὴν ὑπομείναντι[20].

ιζ΄. Ὅταν ἐνάγῃ τὶς ὑπὲρ βασιλέως ἤγουν κατηγορῇ τινος κατὰ τοῦ βασιλέως εἰπόντος ἢ καὶ ἐργάσασθαι μελετήσαντος, οὐ δεῖ τοὺς δικαστὰς τῇ βασιλικῇ ἀποκεχρῆσθαι τιμῇ, τουτέστι πιστεύειν αὐτίκα καὶ δέχεσθαι τὴν τοιαύτην κατηγορίαν διὰ τὴν ὑπεροχὴν τῆς εἰς τὸν βασιλέα τιμῆς, ἀλλὰ παντοιοτρόπως σκοπεῖν καὶ ἀνερευνᾶν τὴν ἀλήθειαν· προσέχειν δὲ καὶ, εἰ τὸ πρόσωπον δυνατὸν ἦν εἰπεῖν ἢ ἐργάσασθαι, καὶ εἰ πρὸ τούτου ἐποίησε τοιοῦτό τι, καὶ εἰ κατὰ τὸν καιρὸν καθ' ὃν κατηγορεῖται εἰπεῖν ἢ πρᾶξαι τὸν νοῦν ἐγρηγορότα εἶχε καὶ νήφοντα, ἢ οὐκ ἦν αὐτῷ καθεστηκὸς τὸ φρονεῖν μέθῃ τυχὸν ἢ ἄλλῳ τινὶ πάθει παρασυρέντι καὶ ἐκστάντι τῆς οἰκείας φρονήσεως[21].

ιη΄. Ἐάν τις κακῶς μνημονεύσῃ τοῦ βασιλέως, οὐχ ὑπόκειται εὐθὺς τιμωρίᾳ. ἐξ ἀνάγκης δὲ ἔχουσιν οἱ ἀκούσαντες μηνῦσαι τῷ βασιλεῖ, καὶ ὁ βασιλεὺς ἐπ' ἀδείας ἔχει ὃ βούλεται ἐπ' αὐτῷ διορίσασθαι. πλὴν καὶ ταῦτα περὶ τῶν τοιούτων ὁ νόμος διακελεύεται· εἰ μὲν ἀπὸ κουφότητος εἶπε, καταφρονητέον, εἰ δὲ ἀπὸ μανίας καὶ παραφροσύνης, ἐλέους δέεται, εἰ δὲ ἐξ ἀκακίας, ἄξιός ἐστι συγχωρήσεως· εἰ δὲ παρὰ τοὺς τρεῖς

---

[19] Att. XXXV (59). [20] Att. l. l. [21] Att. XXXV (69).

τούτους τρόπους δι' ἄλλην αἰτίαν εἴρηκεν, ὑπομενέτω τὴν τιμωρίαν τῇ δυνάμει τῶν παρ' αὐτοῦ λεχθέντων λόγων ἀνάλογον πρὸς τὴν φλυαρίαν αὐτοῦ[22].

ιθ'. Πάντα μὲν τὰ ἄλλα κατηγορήματα τῇ τοῦ κατηγορουμένου τελευτῇ σβέννυται, ἐπὶ δὲ τοῦ περὶ καθοσιώσεως ἐγκλήματος, ὅταν ἀπὸ τοῦ κεφαλαίου τῆς προδοσίας καὶ τῆς κατὰ τοῦ βασιλέως ἐπιβολῆς γένηται, ἐὰν ὁ κατηγορηθεὶς οὐ καθαρίσει ἀπὸ κατηγορίας ἑαυτὸν καὶ ἀποδείξῃ ἀθῶον ὄντα παντάπασι καὶ ἀνεύθυνον, καὶ μετὰ θάνατον αὐτοῦ ἡ περιουσία αὐτοῦ ἀφαιρεῖται ἀπὸ τῶν κληρονόμων αὐτοῦ καὶ τοῖς δημοσίοις ἐγκατατάττεται χρήμασιν[23].

κ'. Ὁ βιασάμενος κόρην καὶ φθείρας αὐτὴν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς αὐτοῦ ὑποστάσεως[24].

κα'. Βασιλεύς ἐστιν ἔννομος ἐπιστασία, κοινὸν ἀγαθὸν πᾶσι τοῖς ὑπηκόοις, μήτε κατὰ προσπάθειαν ἀγαθοποιῶν, μήτε κατὰ ἀντιπάθειαν κακοποιῶν, ἀλλ' ἀνάλογός τις ὢν ἀγωνοθέτης καὶ τὰ βραβεῖα ἐξ ἴσου παρεχόμενος[25].

κβ'. Σκοπὸς τῷ βασιλεῖ τῶν τε μενόντων καὶ ὑπαρχόντων δυνάμεων δι' ἀγαθότητος ἡ φυλακὴ καὶ ἀσφάλεια, καὶ τῶν ἀπολωλότων δι' ἀγρύπνου ἐπιμελείας ἡ ἀνάληψις, καὶ τῶν ἀπόντων διὰ σοφίας καὶ δικαίων τροπαίων καὶ ἐπιτηδευμάτων ἡ ἐπίκτησις[26].

κγ'. Τέλος τῷ βασιλεῖ τὸ εὐεργετεῖν, διὸ καὶ εὐεργέτης λέγεται, καὶ ἡνίκα τῆς εὐεργεσίας ἐξατονήσῃ, δοκεῖ κιβδηλεύειν τὸν βασιλικὸν χαρακτῆρα[27].

κδ'. Ὑπόκειται ἐκδικεῖν καὶ διατηρεῖν ὁ βασιλεὺς πρῶτον μὲν πάντα τὰ ἐν τῇ θείᾳ γραφῇ γεγραμμένα, ἔπειτα δὲ καὶ τὰ παρὰ τῶν ἑπτὰ ἁγίων συνόδων δογματισθέντα, ἔτι δὲ καὶ τοὺς ἐγκεκριμένους[28] ῥωμαϊκοὺς νόμους[29].

κε'. Ἐπισημότατος ἐν ὀρθοδοξίᾳ καὶ εὐσεβείᾳ ὀφείλει εἶναι ὁ βασιλεὺς καὶ ἐν θείῳ ζήλῳ διαβόητος, ἔν τε τοῖς ὑπὲρ τριάδος[30] δογματισθεῖσιν, ἔν τε τοῖς ὑπὲρ τῆς οἰκονομίας λαμπρότατα καὶ ἀσφαλέστατα διὰ τὴν κατὰ σάρκα ἐπιδημίαν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὁρισθεῖσι· τουτέστι τὸ ὁμοούσιον τῆς τρισυποστάτου θεότητος ἄτμητον καὶ ἀδιαίρετον τηρῶν καὶ τὴν ἐν τῷ ἑνὶ χριστῷ τῶν δύο φύσεων καθ' ὑπόστασιν ἕνωσιν

---

[22] Att. XXXV (69). — Cf. Harm. VI, 14, 1. [23] Att. l. l. [24] Att. XXXV (70).
[25] Epanag. II, 1. [26] Epanag. II, 2. [27] Epanag. II, 3. [28] A *ἐγκεκρυμμ.*
[29] Epanag. II, 4. [30] B *τῆς τριάδος*.

ὡσαύτως ἀσύγχυτον καὶ ἀδιαίρετον, τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν καὶ τὰ τούτοις ἑπόμενα, οἷον ἀπαθῆ καὶ παθητὸν, ἄφθαρτον καὶ φθαρτὸν, ἀόρατον καὶ ὁρατὸν, ἀναφῆ καὶ ἁπτὸν, ἀπερίγραπτον καὶ περιγραφόμενον, καὶ τὸ διττὸν τῶν θελήσεων καὶ τῶν ἐνεργειῶν χωρὶς ἐναντιότητος[31].

κϛ΄. Ἀπὸ βασάνων οὐ δεῖ ποτε ζητήσεως ἄρχεσθαι, τουτέστιν οὐ πρέπει ποτὲ ἐν τῷ ζητεῖν τινα ὑπόθεσιν πρὸ τῶν ἄλλων ἐπερωτήσεων καὶ τῶν εἰς τὴν ὑπόθεσιν συμβαλλομένων ἀναψηλαφήσεων τὴν ἀρχὴν ἐκ τιμωρίας ποιεῖν· τοῦτο γὰρ ἀφιλάνθρωπον καὶ παράνομον. ἀλλὰ πρῶτον ἐξεταστέον καὶ ἐρωτητέον τούς τε ἄλλους, ὅσοι εἴδησιν εἰς τὸ ζητούμενον ἔχουσι, καὶ τοὺς δούλους τοῦ κατηγορουμένου· καὶ ὅτε διὰ τῆς ἀκριβοῦς ζητήσεως ὕποπτος φαίνεται ὁ κατηγορούμενος, καὶ τεκμήριά τινα πρὸς τὴν παράστασιν τοῦ ἐγκλήματος ἀναδείκνυται, ὥστε δὲ τελείως αὐτὸ φανερὸν γενέσθαι μόνην λείπειν τῶν δούλων τὴν συγκατάθεσιν, τότε πρέπει βασάνοις τοὺς δούλους παραδιδόναι, ἵνα διὰ τῶν βασάνων ἀναγκαζόμενοι ὁμολογῶσιν ἅπερ γινώσκουσιν. ἀπὸ δὲ τοῦ οἴκου τοῦ κατηγόρου οὐκ ἔξεστι φέρειν τινὰς ἀνθρώπους πρὸς ζήτησιν[32].

κζ΄. [Οὐ] δεῖ τῆς ζητήσεως ἀπὸ βασάνων ἄρχεσθαι. τότε γὰρ οἱ δοῦλοι βασανίζονται, ὅτε καὶ ὕποπτός ἐστιν ὁ κατηγορούμενος, καὶ ὕπεισι τεκμήρια, ὥστε μόνην τὴν τῶν δούλων ἐλλείπειν κατάθεσιν. πρῶτον δὲ βασανίζονται οἱ ὕποπτοι, δι' ὧν δυνατὸν γνωσθῆναι τὸ ἀληθές. οὐ δεῖ δὲ φέρεσθαί τινας ἀπὸ τοῦ οἴκου τοῦ κατηγόρου πρὸς ζήτησιν[33].

κη΄. Δοῦλος κατὰ δεσπότου οὔτε ἐρωτᾶται οὔτε βασανίζεται, οὔτε ἐπελεύθερος κατὰ πάτρωνος, οὔτε ἐλεύθερος δουλεύων τινί. οὐκ ἀδελφὸς κατὰ ἀδελφοῦ, οὔτε οἱ μὴ ἀναγκαζόμενοι κατά τινων μαρτυρεῖν βασανίζονται κατ' αὐτῶν.

κθ΄. Οὐ δεῖ τὸν ἐξετάζοντα ὀνομαστὶ ἐρωτᾶν, εἰ ὁ δεῖνα τυχὸν φόνον ἐποίησε· τοῦτο γὰρ ὑποβαλεῖν ἐστιν· ἀλλὰ τίς τὸν φόνον ἐποίησε. διὰ τὴν ἰταμότητα καὶ τὴν δειλίαν τῶν βασανιζομένων[34].

λ΄. Οὐ πάντοτε δεῖ πιστεύειν ἢ ἀπιστεῖν ταῖς καταθέσεσιν αὐτῶν, οὔτε ταῖς τῶν ἐχθρῶν· ἀλλὰ τὰς αἰτίας διαγινώσκειν. πολλοὶ γὰρ ὑπομονῇ ἢ δυσκληρότητι τῶν βασάνων

---

[31] Epanag. II, 5. [32] Att. XXXV (77). [33] Abhinc usque ad c. 40 ea pars tituli XXXV operis Michaelis Attalensis, quae est περὶ ζητήσεων ἤτοι ἐξετάσεων — Leunclavio est tit. 77 — integra ac genuina habetur. [34] Haec verba διὰ τὴν ἰταμ. κτλ. apud Att. rectius cum principio capitis seq. cohaerent.

οὕτω τῶν βασάνων ὑπερφρονοῦσιν, ὡς μηδεμίαν ἐκφωνεῖσθαι δύνασθαι μηδενὶ τρόπῳ ὑπ᾽ αὐτῶν ἀλήθειαν· ἄλλοι δὲ τοσοῦτον εἰσὶν ἀκαρτέρητοι, ὥστε οἱαδήποτε ψεύδεσθαι ἤπερ ὑπομεῖναι θέλειν βασάνους.

λα΄. Ὁ αὐθαιρέτως ὁμολογήσας περὶ ἁμαρτήματος οὐκ εὐχερῶς πιστεύεται. πολλάκις γὰρ ἢ φόβῳ ἢ ἑτέρᾳ αἰτίᾳ καθ᾽ ἑαυτοῦ πλάττεται.

λβ΄. Οἱ κληρονομιαῖοι δοῦλοι βασανίζονται περὶ τῶν τῆς κληρονομίας πράγματων, ἐφόσον ἄδηλόν ἐστι τίνι μέλλουσιν ἀνήκειν αὐτά. βασανίζονται δὲ κατὰ δεσποτῶν καὶ ἐπὶ καθοσιώσεως καὶ μοιχείας, καὶ ἐστὶ τοῦτο ἐξῃρημένον.

λγ΄. Πάντες οἱ καλούμενοι πρὸς μαρτυρίαν ἐν τῇ πρὸς βασιλέα φερομένῃ καθοσιώσει τοῦ πράγματος ἀπαιτοῦντος βασανίζονται, καὶ οἱ μείζονες τῶν ιδ΄ ἐτῶν καὶ οἱ ἥττονες.

λδ΄. Οὐχ ὅσας θέλει βασάνους ὁ κατήγορος ἐπιφέρειν δεῖ, ἀλλ᾽ ὅσας ἡ χρεία ἀπαιτεῖ.

λε΄. Ὁ ὁμολογήσας καθ᾽ ἑαυτοῦ καθ᾽ ἑτέρου οὐ βασανίζεται.

λς΄. Πρὸ μιᾶς ἡμέρας δεῖ προλέγειν ἐξέτασιν γενέσθαι, ἵνα μὴ οἱ κατηγορούμενοι τῷ αἰφνιδίῳ καταπτοῶνται.

λζ΄. Ἐὰν γυνὴ ἐγκαλῆται ὡς φαρμάκοις φονεύσασα τὸν ἄνδρα τὸν ἴδιον, καὶ δοῦλοι κατ᾽ αὐτῆς καὶ ἀλλότριοι καὶ οἰκεῖοι βασανίζονται. ἄνευ δὲ τεκμηρίων βάσανος οὐ γίνεται.

λη΄. Ἤρεσε τῷ θείῳ μάρκῳ, τοὺς ἐπισημοτάτους καὶ ἐξοχωτάτους ἄνδρας καὶ ἄχρι τῶν ἐγγόνων αὐτῶν ταῖς τῶν ἰδιωτῶν τιμωρίαις ἢ ταῖς βασάνοις μὴ ὑποβάλλεσθαι. ἡ δὲ τῶν ὀνύχων τιμωρία ἀπηγορεύθη τελείως. ἀπὸ[35] δεσποτῶν καὶ ἀνδραπόδων.

λθ΄. Ἐὰν ἄλλαι ἀποδείξεις οὐκ εἰσὶν, αὐτὰ τὰ ἀνδράποδα βασανίζονται περὶ ἑαυτῶν.

μ΄. Ὁσάκις δοῦλος ἐρωτᾶται περὶ ἰδίας πράξεως, εἰ καὶ συμβάλλεται ἢ βλάπτει αὐτὸν ἡ ἐρώτησις, δεχόμεθα αὐτήν.

μα΄. Βασιλεὺς παρέχων συγχώρησίν τινι πταίσματι τὴν σωματικὴν τιμωρίαν συγχωρεῖ, καὶ ἐκ ταύτης ἀπολύει τὸν πταίσαντα· τὴν δὲ ἀτιμίαν τὴν κατὰ φύσιν παρεπομένην τοῖς δημοσίοις ἐγκλήμασιν οὐ συγχωρεῖ. παράδοξον τοῦτο καὶ τῷ βίῳ λυσιτελέστατον. οἱ γὰρ δημοσίοις ἐγκλήμασι περιπίπτοντες ἄτι-

---

[35] Apud Att. rectius est *περὶ δεσποτείας ἀνδραπόδων*, ut cum capite seq. conjungatur.

μοι μένειν παρὰ τοῦ νόμου καταδικάζονται, κἂν βασιλεὺς αὐτοῖς συγχωρῇ. καὶ δύναται τοῦτο συστέλλειν τοὺς φαύλην κεκτημένους προαίρεσιν, καὶ πείθειν μηδὲν ὅλως παρανομεῖν, ἀκριβῶς εἰδότας, ὡς εἴτι τοιοῦτον πταίουσι, διηνεκῶς ὑπάρξουσιν ἄτιμοι, καὶ οὐδὲ βασιλικὴ βοηθεῖ τούτοις συγχώρησις[36].

μβ'. Ὁ βασιλεὺς τοῖς νόμοις οὐχ ὑπόκειται, τουτέστιν ἁμαρτήσας οὐ κολάζεται. ἡ δὲ αὐγούστα ὑπόκειται· δίδωσι δὲ αὐτῇ ὁ βασιλεὺς τὰ ἑαυτοῦ προνόμια[37].

μγ'. Καὶ κατὰ βασιλέως οἱ γενικοὶ τουτέστιν οἱ καθολικοὶ κρατείτωσαν νόμοι, καὶ πᾶσα παράνομος ἐκβαλλέσθω ἀντιγραφή. ἀντιγραφὴν ὡς ἐπὶ τὸ πολὺ ὁ νόμος τὴν βασιλικὴν ὀνομάζει πρόσταξιν· ἔστι δὲ κυρίως ἀντιγραφὴ, ὅταν ὁ βασιλεὺς πρὸς ἀναφορὰν ἄλλου διὰ γραφῆς γενομένην ἀντιγράψας ὁρίσῃ τὸ δοκοῦν αὐτῷ· ἀπὸ ταύτης δὲ καὶ αἱ ἄλλαι πᾶσαι βασιλικαὶ προσταγαὶ ἀντιγραφαὶ παρὰ τῷ νόμῳ κατονομάζονται διὰ τὸ ὡς ἐπὶ πολὺ ἐκ προηγουμένων ἀναφορῶν γίνεσθαι τὰς βασιλικὰς προσταγάς. κελεύει γοῦν ὁ νόμος, ὥσπερ ἐπὶ τῶν ἄλλων ἁπάντων τὸ παράνομον ἀθετεῖται καὶ ἀνατρέπεται, οὕτω καὶ ἐὰν αὐτὸς ὁ βασιλεὺς προστάξῃ παράνομόν τι καὶ ὁρίσῃ τοῦτο δι' ἀντιγραφῆς ἤγουν βασιλικῆς προσταγῆς, ἵνα ἄκυρον εἴη τοῦτο καὶ ἐκβάλληται ἄστοργον παρορώμενον. αἱ γὰρ βασιλικαὶ προσταγαὶ τότε ἔχουσι τὸ κράτος, ὅταν μηδενὶ νόμῳ ὦσιν ἐναντιούμεναι[38].

μδ'. Τὰ παρὰ βασιλικῆς διακρίσεως παρισταμένων τῶν δύο ἀντιδίκων μερῶν ἀποφανθέντα καὶ τομὴν τῆς διαμάχης λαβόντα, οὐ δέεται ὅλως τῆς παρ' ἑτέρων ἀναψηλαφήσεως[39].

με'. Ἡ ἡμέρα, καθ' ἣν ἐγεννήθη ὁ βασιλεὺς καὶ καθ' ἣν ἀνηγορεύθη, τιμᾶται καθὼς αἱ λοιπαὶ ἡμέραι, ἐν αἷς ἄγομεν λαμπρὰς ἑορτὰς ἢ αὐτοῦ τοῦ παμβασιλέως καὶ δεσπότου πάντων χριστοῦ ἢ τῶν μεγίστων ἁγίων, καὶ ὥσπερ ἐν ἐκείναις οὐδεὶς ἀναγκάζεται εἰς κριτήριον ἔρχεσθαι οὐδὲ συνίσταται δικαστήριον, οὕτως οὐδὲ ἐν ταύταις γίνεται τοῦτο*.

μς'. Βασιλέως ἀκροωμένου οὐ δεῖ ζητεῖν προθεσμίαν ἤγουν ἡμέραν τινὰ καὶ καιρὸν τεταγμένον, ἵνα ἕως ἐκείνου ποιήσωσί τι οἱ παρὰ τῷ βασιλεῖ κρινόμενοι· οὐδὲ ἔξεστι τούτοις τοιοῦτόν τι ἐξαιτεῖσθαι, ἀλλ' ἐξ ἀνάγκης πάσης ὀφείλουσιν ἐμπαράσκευοι καὶ ᾠκονομημένοι εἶναι εἰς πάντα οἱ παρὰ τῷ βα-

---

[36] Att. XXXV (89). [37] Att. in append. [38] Att. ibid. [39] Att. ibid.
* Cf. infra *H*, 4. Caeterum hoc caput post c. 46 collocandum erat.

σιλεῖ γινωσκόμενοι, καὶ οἱ παρ' αὐτῷ κρινόμενοι οὕτως εὐτρεπίζεσθαι ὀφείλουσιν, ὡς μηδὲν τῶν πρὸς δικαίωσιν συμβαλλομένων ἐλλείπειν αὐτοῖς[40].

μζ'. Δεῖ γινώσκειν ὅτι σύνηθες ἦν κατὰ τὴν ἡμέραν, καθ' ἣν ἐγεννήθη ὁ βασιλεὺς, καὶ ἱπποδρόμια ὡς εἰς μεγάλην πανήγυριν γίνεσθαι. εἰ γοῦν καὶ τοῦτο ἡ παλαιὰ ἀπῄτει συνήθεια, ἀλλὰ νεώτερος νόμος τὴν κυριακὴν ἡμέραν ὡς τῷ θεῷ ἀφιερωμένην τιμῶν προστάσσει, ἵνα καὶ τὰ ἱπποδρόμια κωλύηται ἐν τῇ κυριακῇ, κἂν αὐτὴ εἴη ἡ γενέθλιος ἡμέρα τοῦ βασιλέως ἡ τοιαύτη κυριακή· προτιμᾶται γὰρ τὰ τῆς κυριακῆς προνόμια τῶν προνομίων τῆς γενεθλίου τοῦ βασιλέως ἡμέρας, καὶ διὰ τοῦτο ἀργοῦσιν ἐν ταύτῃ τὰ ἱπποδρόμια. γενέθλιον δὲ τοῦ βασιλέως ἡμέραν λέγουσι, καθ' ἣν ἐγεννήθη ὁ βασιλεύς. τὸ αὐτὸ δὲ γίνεται καὶ εἰς τὴν ἡμέραν, καθ' ἣν ἀνηγορεύθη ὁ βασιλεύς[41]· καὶ ταύτην γὰρ ἐὰν συμβῇ κυριακὴν εἶναι, τὰ τῆς κυριακῆς κρατοῦσι προνόμια. ὁ δὲ ἡμέτερος βασιλεὺς οὐ μόνον ἁπλῶς ἐν κυριακῇ, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ τοῦ μεγάλου πάσχα καὶ τῆς λαμπρᾶς ἀναστάσεως καὶ κατ' αὐτὴν τὴν ὥραν, ὁπόταν τό[42]· χριστὸς ἀνέστη παρὰ τοῦ ἱερέως ἐξεφωνήθη, γεγέννηται εἰς ἐμφανὲς δεῖγμα τῆς τοῦ θεοῦ περὶ τοῦτον φιλοτιμίας καὶ ὧν παρέξει τοῖς ῥωμαίοις ἀγαθῶν δι' αὐτοῦ σύμβολον ἐναργέστατον.

μη'. Ὁ ἀπόντος ἀνθρώπου πρᾶγμα κατέχων κατὰ μὲν τοὺς παλαιοὺς νόμους ἐνείχετο τῇ τὰ ἴδια ἐκδικούσῃ ἀγωγῇ, κατὰ δὲ τοὺς νεωτέρους ἡμῶν νόμους[43] τῇ περὶ βίας ἀγωγῇ ἐνέχεται. δοκεῖ γὰρ βιάζεσθαι, ἤγουν βίαν καὶ δυναστείαν ποιεῖν ἐν τῷ κατέχειν τὸ ἀλλότριον μήτε παρὰ δημοσίου λαβὼν μήτε ἐξωνησάμενος μήτε ἄλλῳ τινὶ τρόπῳ τοῦτο λαβών. τὸ γὰρ λέγειν, ὅτι τὸ ἀλλότριον ἴδιον ἐνόμιζε, γελοῖον ἐστὶν, ἤγουν γέλωτος ἄξιον.

μθ'. Ἐάν τις πρᾶγμα λαβὼν ἕτερον πρᾶγμα ἀντ' αὐτοῦ παράσχῃ, τυχὸν λαβὼν ἐσθῆτα δέδωκεν οἰκέτην, οὐ πάντως ἀνταλλαγή ἐστιν. ἀλλὰ δεῖ ζητεῖν ἡμᾶς κἀκεῖνο, ἆρα μὴ ὁ τὴν ἐσθῆτα ἔχων πωλῆσαι αὐτὴν ἐβούλετο, καὶ ὁ τὸν οἰκέτην ἔχων ἀγοράσαι ταύτην ἐπεζήτει, καὶ ἐν τῷ συμφωνεῖν τὰ περὶ τοῦ τιμήματος συνέδοξεν ἀντὶ τοῦ τιμήματος δοθῆναι τὸ πρᾶγμα· ἢ μήτι αὐτοὶ ἐξ ἀρχῆς οὐδὲ εἰς ἔννοιαν πράσεως ἦλθον, ἀλλ' ἐναλλάξαι.τὰ πράγματα ἐβουλήθησαν[44].

---

[40] Att. in append. (Leuncl. tit. 95.) [41] Verba ὁ βασ. in AB desunt. [42] AB ὁ. [43] Cf. Att. XXXV (59). [44] Idem locus supra habetur lit. *Α* c. 119. — Syn. *Α*, 49 ex Bas. XX, 3, 3.

ν΄. Ἡ τοῦ βασιλέως ἀντιγραφὴ κἂν παράνομος ᾖ ἐπὶ τῇ[45] ἀντιφωνήσει, μόνον ἐὰν ἄλλον οὐκ ἀδικῇ, [ἢ[46]] ἐγκλήματος χαρίζηταί τινι παραχώρησιν, ἔῤῥωται, τουτέστι βεβαία μένει καὶ στέργεται. τοῦτο δὲ τοιοῦτον ἐστίν· αἱ βασιλικαὶ προσταγαὶ λέγονται καὶ ἀντιγραφαί· αὗται οὖν μὴ ἐναντιούμεναι νόμῳ τὸ στέργον ἔχουσιν, ὅτε δὲ νόμῳ ἐναντιοῦνται, οὐ στέργονται ὡς παράνομοι. πολλάκις δὲ καὶ παράνομον βασιλικὴν προσταγὴν (τὴν δὲ βασιλικὴν προσταγὴν καὶ ἀντιγραφὴν ὁ νόμος καλεῖ) στέργομεν, ἀλλὰ τότε στέργομεν ταύτην, ὅτε καὶ παράνομος οὖσα καὶ βοηθοῦσά τινι, ὑπὲρ οὗ ἐγένετο δηλονότι, ἄλλον οὐκ ἀδικεῖ. ἐπεὶ γὰρ οὐκ ἀδικεῖταί τις ἐξ αὐτῆς, εἰ καὶ παράνομός ἐστι, στέργεται. πάλιν ἐστὶν ἐπ᾽ ἀδείας τῷ βασιλεῖ συγχωρεῖν τοῖς πταίουσι καὶ ἀφιέναι τούτοις τὰ πταίσματα· οὐκ ἔχει δὲ τοῦτο ἐπ᾽ ἀδείας ὁ βασιλεὺς ἐπὶ πάσαις ταῖς ὑποθέσεσιν, ἀλλὰ ἐν ταῖς ἐγκληματικαῖς ἐνοχαῖς οὐ δύναται συγχωρεῖν, εἰ μὴ πολλάκις τὸ ἔγκλημα εἰς αὐτὸν ἀνατρέχει τὸν βασιλέα· τὸ γὰρ[47] συγχωρεῖν καὶ ἀπολύειν τῆς καταδίκης τὸν πταίοντα χαρίζεσθαι παραχώρησιν ὁ νόμος καλεῖ. καὶ ὅτι χωρὶς τῶν ἐγκληματικῶν ὑποθέσεων ἐξουσία ὑπάρχει τῷ βασιλεῖ τοῖς κατακρινομένοις ἀφιέναι τὰ πταίσματα, κελεύει ὁ νόμος στέργειν τὴν τοῦ βασιλέως ἀντιγραφὴν ἐν οἷς οὐ χαρίζεται ἐγκλήματος παραχώρησιν. ὡς ἐντεῦθεν δήλου γενομένου καὶ προφανοῦς, ὅτι βασιλικὴ ἀντιγραφὴ ἄκυρος μένει καὶ ἀτακτεῖ, εἴπερ τινὶ ἐγκλήματος χαρίζεται παραχώρησιν, τουτέστιν εἴπερ συγχωρεῖ τινι εἰς ἐγκληματικὴν ἐνεχομένῳ ὑπόθεσιν· ὥσπερ ἀθετεῖται ἡ τοιαύτη βασιλικὴ ἀντιγραφὴ καὶ ὅτε ἐξ αὐτῆς ἀδικεῖταί τις. τὸ γοῦν ὅσον τοῦ νόμου τοιοῦτον ἐστίν· ἡ βασιλικὴ ἀντιγραφὴ μὴ οὖσα παράνομος στέργεται. εἰ δὲ καὶ πολλάκις παράνομός ἐστιν, οὐκ εὐθὺς διὰ τὸ εἶναι παράνομος ἀθετεῖται καὶ ἀνατρέπεται, ἀλλὰ σκοπεῖται, εἰ ἀδικεῖταί τις ἐξ αὐτῆς, ἢ ἐάν τις συγχωρῆται διὰ ταύτης εἰς ἐγκληματικὴν ὑπόθεσιν ἐνεχόμενος. καὶ εἰ μὲν ἕν τι ἀπὸ τῶν δύο τούτων εὑρίσκεται ἐν τῇ βασιλικῇ ἀντιγραφῇ, ἀθετεῖται διὰ τὸ εἶναι παράνομος, οὐχ ἧττον δὲ καὶ διὰ τὸ ἔχειν καὶ ἕν τι ἀπὸ τῶν δύο, ὧν εἴπομεν. εἰ δὲ μηδὲν ἀπὸ τούτων ἐμφαίνεται ἐν τῇ τοῦ βασιλέως ἀντιγραφῇ, εἰ καὶ παράνομός ἐστι, στέργεται διὰ τὸ ὑπερέχον τῆς τοῦ βασιλέως τι-

---

[45] Legerim ἤγουν νόμῳ. [46] Deest in AB, sed in A recentior manus adscripsit καί. Auctor tamen, si ex commentariolo, quem subnectit, judices, ἢ ἄνευ ἐγκλ. legisse videtur. Cf. Basil. II, 5, 7 ed. Heimb. I p. 86 not. qq. [47] B γοῦν.

μῆς, ἅμα[48] δὲ καὶ διὰ τὸ τινὰ ὠφελεῖν, μηδένα δὲ βλάπτειν, ἐπεὶ καὶ ὡμολόγηται μηδένα ἐξ αὐτῆς ἀδικεῖσθαι[49].

να΄. Ὁ βασιλεὺς διὰ τριῶν τρόπων νομοθετεῖ· δι᾽ ἀντιγραφῆς, περὶ ἧς ὄπισθεν[50] σαφέστερον εἴπομεν, ἐν δεκρέτῳ, καὶ ἐν ἐδίκτῳ. ἐστὶ δὲ ἐν δεκρέτῳ νομοθεσία, ὅταν τῶν δύο μερῶν τῶν ἀντικρινομένων ἀκούσας ὁ βασιλεὺς δικάσῃ καὶ ἀποφαίνηται, καὶ τοῦτο κρατήσει μὲν καὶ ἐπ᾽ ἐκείνοις τοῖς παρὰ τοῦ βασιλέως κριθεῖσι, κρατήσει δὲ καὶ ἐπὶ ταῖς ἄλλαις ταῖς ὁμοίαις αὐτῇ ὑποθέσεσιν· αἱ γὰρ βασιλικαὶ ἀποφάσεις καὶ εἰς τὰς ὁμοίας ὑποθέσεις τῇ παρὰ τοῦ βασιλέως κριθείσῃ στέργονται, εἰ μὴ πολλάκις ῥητῶς δηλωθῇ τι, ἤγουν ὅτι τοῦτο ἐπὶ ταύτης μόνης ἔστω τῆς ὑποθέσεως, ἐπὶ δὲ τῶν ἄλλων μὴ ἰσχυέτω. τὸ μὲν οὖν ἐν δεκρέτῳ νομοθετεῖν τοῦτό ἐστι. τὸ δὲ ἐν ἐδίκτῳ λέγεται, ὅταν οἴκοθεν ὁ βασιλεὺς συνιδὼν τι τοῖς ὑπηκόοις ὠφέλιμον προστάξῃ αὐτό· ἡ γὰρ ἐξ ἑαυτοῦ εἰς περιποίησιν καὶ ὠφέλειαν τοῦ οἰκείου λαοῦ ἐξαγομένη παρὰ τοῦ βασιλέως διάταξις ἔδικτον ὀνομάζεται.

νβ΄. Μηδεὶς τὰ ἴσα τῶν βασιλικῶν ἀντιγραφῶν προφερέτω, ἤγουν μηδεὶς μεταγραφέτω τὰς βασιλικὰς προσταγὰς καὶ ἐκ τῶν ἴσων αὐτῶν δικαιοῦσθαι δοκιμαζέτω, ἀλλ᾽ αὐτὰ προκομιζέτω τὰ αὐθεντικά. αὐθεντικὰ δὲ λέγονται τὰ πρωτότυπα, ἐν οἷς ἐστι καὶ ἡ τοῦ βασιλέως ὑπογραφή[52].

νγ΄. Ὃ δόξει ἤγουν ὅπερ ἀρέσει τῷ βασιλεῖ, νόμος ἐστὶ, εἴτε δι᾽ ἐπιστολῆς ἐνυπογράφου ὁρίσει, εἴτε διαγινώσκων ψηφίσεται, εἴτε διὰ δόγματος προαγορεύσει ἤγουν προείπῃ. ταῦτα δὲ πάντα καὶ διατάξεις καλοῦνται· κυριώτερον δὲ τῶν ἄλλων τὰ δογματικῶς προαγορευόμενα καὶ ὁριστικῶς διαλαμβάνοντα περί τινων ὑποθέσεων διατάγματα λέγονται[53].

νδ΄. Ὁ εἰς περιγραφὴν δημοσίων, ἤγουν ἀποβολὴν καὶ ἀπόθεσιν τῶν τοῦ δημοσίου τελῶν, λαβὼν βασιλέως ἀντιγραφὴν, μηδὲν ἐξ αὐτῆς ὠφελείσθω[54].

νε΄. Βία ἐστι μεγάλου πράγματος ἐπέλευσις, ἣν οὐ δύναταί τις ἀπωθεῖσθαι, ἤγουν ἀφ᾽ ἑαυτοῦ ἀποδιώκειν καὶ ἀποτρέπειν[55].

νς΄. Ἐάν τις μετὰ βίας ἤγουν δυναστείας λάβῃ νομὴν τινος πράγματος, οὐ δύναται βεβαιῶσαι τὴν τοιαύτην νομὴν

---

[48] Cod. ἵνα. [49] Syn. *B*, 4 ex Bas. II, 5, 7. [50] Cf. supra c. 43. [52] Syn. *B*, 4 ex Bas. II, 5, 22. [53] Syn. *B*, 3 ex Bas. II, 6, 2. [54] Syn. *B*, 4 ex Bas. LVI, 8, 7. [55] Syn. *B*, 6 ex Bas. X, 2, 11.

οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς. εἰ γὰρ βασιλικὴ γένηταί τινι προσταγὴ εἰς πρᾶγμα, ὅπερ μετὰ βίας ἀπῆρεν ἐξ ἄλλου, οὐδὲ ἡ τοῦ βασιλέως πρόσταξις ἰσχύει βοηθῆσαι τῷ βίαν ποιήσαντι[56].

νζ´. Ἡ περὶ βίας ἀγωγὴ ὡς ἐπὶ τὸ πολὺ ἐντὸς χρόνου κινεῖσθαι δύναται[57].

νη´. Ἔξεστι βίᾳ τὴν βίαν ἀπωθεῖσθαι, ἤγουν τὸν βιαζόμενον ἀντιβιάζειν οὐδεὶς[58] *κωλύει. ὅταν γάρ τις θέλῃ βιάζειν τινά, δύναται καὶ ἐκεῖνος μετὰ βίας ἀποδιώκειν αὐτόν*[59].

νθ´. Βίαν ποιεῖ ὁ μετὰ τὸ κωλυθῆναι ποιῆσαί τι χρησάμενος δυναστείᾳ καὶ ποιήσας αὐτό, καὶ ὁ ἀπειλήσας τῷ ἀντιδίκῳ ἵνα μὴ κωλύσῃ αὐτόν, καὶ ὁ ἀποκλείσας τὸν πυλῶνα αὐτοῦ ἵνα μὴ παραγγελθῇ[60].

ξ´. Καταδίκη τοῦ περὶ βίας δημοσίας ἐγκλήματος ἡ διηνεκὴς εἰς μέταλλον ἐξορία ἐστίν[61].

ξα´. Ἐὰν γένηται βία παρά τινος καὶ συμβῇ τελεσθῆναι καὶ φόνον, εἴτε ἐκ τῶν βιασαμένων εἴτε ἐκ τῶν βιασθέντων, τῇ κολάσει ἐκεῖνος ὑπόκειται ὁ τὴν βίαν ζητήσας ἐπαγαγεῖν. εἰ δὲ δοῦλος ποιήσει βίαν, εἰ μὲν εἰδήσει τοῦ δεσπότου ἐτόλμησε τοῦτο, ὁ δεσπότης ἐνέχεται, καὶ αὐτὸς δὲ ὁ δοῦλος ὡς εἰς τοιαῦτα ὑπηρετῶν τῇ εἰς μέταλλον ἐξορίᾳ καταδικάζεται (τοῦτο δὲ παρὰ τῷ νόμῳ καὶ μεταλλίζεσθαι λέγεται)· εἰ δὲ παρὰ γνώμην τοῦ δεσπότου ὁ δοῦλος τοῦτο ποιήσει, τιμωρεῖται κατὰ τοὺς νόμους τοὺς περὶ τῶν ποιούντων τὰς βίας διαλαμβάνοντας[62].

ξβ´. Πολλάκις ὁ ἐναντιούμενος βασιλικῇ ἀντιγραφῇ ὡς ἱερόσυλος τιμωρεῖται[63].

ξγ´. Οἱ υἱοὶ τοῖς ἰδίοις πατράσιν εἰσὶν ὑπεξούσιοι· οἱ τῶν υἱῶν υἱοὶ τοῖς υἱοῖς τουτέστι τοῖς πατράσιν αὐτῶν, καὶ διὰ τούτων καὶ τοῖς τῶν υἱῶν πατράσιν ἤγουν τοῖς πάπποις· ὁ γοῦν τοῦ υἱοῦ υἱὸς τῷ πάππῳ ὑπόκειται· ὁ δὲ τῆς θυγατρὸς υἱὸς τῷ ἀνδρὶ ταύτης ὀφείλει καθυποτάσσεσθαι, καὶ γίνεται ὁ τῆς θυγατρὸς υἱὸς τῷ πάππῳ τῷ ἐκ πατρὸς, ἀλλ᾿ οὐχὶ τῷ πατρὶ αὐτῆς ὑπεξούσιος. λοιπὸν εἰς μὲν τοὺς υἱοὺς τῶν υἱῶν οἱ τῶν υἱῶν πατέρες ἤγουν οἱ πάπποι ἐνέχονται καὶ τὰ βάρη τούτων οὗτοι ὑπέχουσιν· εἰς δὲ τοὺς τῶν θυγατέρων υἱοὺς καὶ τὰ βάρη αὐτῶν οἱ πατέρες τῶν θυγατέρων οὐδεμίαν ἐνοχὴν ἔχουσιν[64].

---

[56] Syn. *B*, 6 ex Bas. L, 3, 50. [57] Syn. *B*, 6 ad marginem. [58] Aut *νόμος* addendum, aut *κωλύεται* legendum. [59] Syn. *B*, 6 ex Bas. X, 2, 12. [60] Syn. *B*, 6 ex Bas. LVIII, 23, 17. [61] Syn. *B*, 6 ex Bas. LX, 18, 10. [62] Syn. *B*, 6 ex Bas. LX, 18, 25. [63] Syn. *B*, 4 ex Bas. II, 5, 24. [64] Syn. *Γ*, 8 ex Bas. XXXI, 6, 8.

ξδ'. Ἐὰν δὲ[65] βίας καὶ νομῆς ζητῆται, ἡ βία πρὸ τῆς δεσποτείας ζητεῖται[66].

ξε'. Τὸ βλάβος τῆς ποινῆς διαφέρει. βλάβος μὲν γὰρ καὶ χωρὶς ποινῆς εἶναι δύναται, ποινὴ δὲ ἄνευ βλάβους οὐ γίνεται. ἔστι δὲ ποινὴ μὲν ἐκδίκησις ἁμαρτήματος, βλάβος δὲ πολλάκις καὶ τὸ ἁμάρτημα λέγεται καὶ ἡ τῆς ποινῆς προπαρασκευὴ ἤγουν τὸ πταῖσμα καὶ ἡ πρὸς τὸ παθεῖν προοικονομία τε καὶ προοδοποίησις[67].

ξς'[68]. Τὰ ἐκ βασιλέως ἢ αὐγούστης ὑπεξουσίοις παισὶ διδόμενα ἤγουν δωρούμενα[69] οὐ προσπορίζονται τῷ πατρὶ, οὐδὲ τὴν χρῆσιν αὐτῶν ὁ πατὴρ ἔχει, ἀλλ' εἰς τελείαν δεσποτείαν οἱ παῖδες ταῦτα κατέχουσιν, εἰ[70] μόνον μὴ πάντη ὦσιν ἀνήλικες. καὶ γίνεται τοῦτο διὰ τὸ ὑπερέχον τῆς βασιλείου μεγαλειότητος· τοῦτο δὲ καὶ ὀροφὴν ὑψηλὴν ὁ νόμος καλεῖ[71].

ξζ'[72]. Πᾶσαν βίαν, ᾗ οὐ δυνατὸν ἀντιστῆναι, ὁ δεσπότης ἐπιγινώσκει, καὶ αὐτὸς τὴν ἀπὸ ταύτης συμβᾶσαν ζημίαν εἰς ἑαυτὸν ἀναδέχεται[73].

ΑΡΧΗ ΤΟΥ Γ[1].

α'. Γάμοι ἐκ χριστιανῶν πρὸς ἀλλοπίστους καὶ αἱρετικοὺς, καὶ ἐξ αὐτῶν πρὸς χριστιανοὺς κωλύονται γίνεσθαι[2].

β'. Γυνὴ εἰς μαρτυρίαν οὐ παραδέχεται, εἰ μὴ πολλάκις[3] ἐν τοιούτῳ γένηται τόπῳ ἐν ᾧ ἄνδρας εἰσελθεῖν οὐ πέφυκε δυνατὸν, οἷον ἐν λουτρῷ ἢ λοχείᾳ[4].

γ'. Ἐγγύας γυνὴ οὐ δίδωσι πρός τινα, ἀλλ' οὐδ' ἐὰν δώσει ἐνέχεται· τότε δὲ μόνον ἐνέχεται εἰς ἐγγύην γυνὴ, ὅταν

α'. Κανὼν περὶ γενικῶν καὶ εἰδικῶν. — Τὰ εἰδικὰ τῶν γενικῶν ἐπικρατέστερα.

β'. Ἕτερος. — Τὰ εἰδικὰ τοῖς γενικοῖς ἔνεισι πάντοτε.

γ'. Ἕτερος. — Τὸ ἔτι ἠρτημένον οὐ δοκεῖ εἶναι.

---

65 Lege περί. 66 Syn. Δ, 34 ex Bas. VII, 5, 36. 67 Syn. Π, 1 ex Bas. II, 2, 131 (126). 68 In C est νε'. 69 Verba ἤγουν δωρούμενα C non habet. 70 AB addunt μή. 71 Syn. K, 16 ex Bas. XLV, 4, 10. 72 Haec §. nullo numero in C insignita est. In A est ξ', in D νθ'. 73 Syn. M, 13 ex Basil. XX, 1, 15.

1 A addit βιβλίου, C στοιχείου. 2 Att. III. 3 BE addunt ὑπόθεσις. 4 Att. XIII (16).

λάβῃ τὶ δι' αὐτὸ τοῦτο τὸ ἐγγυήσασθαι· ἡ γὰρ ὑπὲρ τῆς ἐγγύης δωρεὰ ποιεῖ αὐτὴν ὑποκεῖσθαι τῇ ἐνοχῇ· ἐνέχεται δὲ καὶ τότε, ὅτε εἴπῃ ῥητῶς, ὅτι ἀποβάλλεται τὸ ἴδιον δίκαιον καὶ τὸν νόμον, ὅστις βοηθεῖ αὐτῇ εἰς τὸ μὴ ἐνέχεσθαι εἰς ἐγγύην. ὁ δὲ τοιοῦτος νόμος ἀπὸ τοῦ εὑρόντος αὐτὸν βελλιάνειος ὀνομάζεται[5].

δ'. Ὅσα δώσει τὶς διὰ γάμον μέλλοντα γίνεσθαι, ἐὰν ὁ γάμος οὐ γένηται ἐξ ἄλλης αἰτίας ἀλλ' οὐκ ἐξ αὐτοῦ τοῦ δεδωκότος, ἀντιστρέφονται πρὸς τὸν δεδωκότα[6].

ε'. Τὸν γάμον ἀνδρὸς καὶ γυναικὸς συνάφειαν εἶναι λέγουσι, καὶ τούτων εἰς τὸν βίον πάντα συγκλήρωσιν[7], ἤγουν ἕνωσιν, καὶ κοινωνίαν θείου τε καὶ ἀνθρωπίνου δικαίου[8].

ς'. Ὁ γάμος, ἐὰν αὐτεξούσιοι ὦσιν οἱ συναπτόμενοι ἤγουν οὐδενὶ ἄλλῳ ὑποταττόμενοι, οὐ γίνεται ἄλλως, εἰ μὴ ἀρεσθῶσί τε καὶ συγκατατεθῶσιν αὐτοί. εἰ δὲ ὑπεξούσιοι, ἤγουν ὑπὸ τὴν ἐξουσίαν τῶν γονέων ὑπάρχοντες, ἀνάγκη ἐστὶν εἰς τοὺς γάμους αὐτῶν καὶ τοὺς ἔχοντας αὐτοὺς ὑπεξουσίους συγκατατίθεσθαι[9].

ζ'. Ἔννομος γάμος ἐστὶν ὁ κατὰ νόμους γινόμενος καὶ φυλάσσων ὁπόσα οἱ νόμοι παρακελεύονται[10].

δ'. Ἕτερος. — Τὸ κατ' ὀργὴν ἢ θερμότητα λεγόμενον ἢ γινόμενον οὐκ ἔστι βέβαιον, εἰ μὴ τοῖς αὐτοῖς ἐπιμείνῃ.

ε'. [Ἡ μανία] κωλύει συστῆναι τὸν γάμον, ἐπειδὴ τῆς τῶν συναλλασσόντων δεῖται συναινέσεως· [ἐπισυμβᾶσα] δὲ τὸν ἤδη συστάντα οὐ καταβλάπτει.

ς'. Νεαρὰ νε' τοῦ κυροῦ λέοντος περὶ τοῦ μὴ γίνεσθαι μνηστείαν ἐντὸς τοῦ ζ' ἔτους, μήτε ἱερολογίαν ἔνδον τοῦ ιδ' ἔτους ἐπὶ ἀνδρῶν καὶ τοῦ ιγ' ἐπὶ γυναικῶν.

ζ'. Ἡ δὲ νεαρὰ τοῦ κυροῦ ἀλεξίου τοῦ κομνηνοῦ ἐκείνας εἶναι φησὶ κυρίως μνηστείας καὶ ἀτεχνῶς [ἰσο]δυναμούσας γάμῳ, ὅσαι καὶ τὸν χρόνον, ὃν ἡ τοῦ βασιλέως κυροῦ λέοντος θεσμοθεσία ὡρίσατο, ἀκέραιον ἔσχον παρ' ἑαυταῖς καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν. εἰ δὲ μνηστεῖαί τινες κατὰ τὴν τοῖς πολλοῖς συνήθη ἀκολουθίαν ἤδη γεγόνασι, καὶ συμβόλαια μὲν ἐξετέθησαν, οὔπω δὲ ὁ τακτὸς ἐπέστη καιρὸς, καθ' ὃν ἡ τοῖς χριστιανοῖς ὀφειλομένη εὐλογία εἴωθε γίνεσθαι, καὶ οὐδὲ αἱ συνήθεις ἐπὶ τοῖς μνηστευσαμένοις εὐχαὶ διὰ τοῦ ἱερέως ἐξεφωνήθησαν, ταύτας μνηστείας μὲν ἀκριβεῖς ὅσον κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβολογίαν μηδὲ εἶναι μηδὲ ὀνομάζεσθαι, ὡς ἁπλῶς δὲ ἀρεσκείας ἀνθρώπων δι' ἐπερωτήσεως κατησφαλισμένας τὸ ἐνεργὸν ἀποφέρεσθαι.

η'. Ὅτι ἐὰν ἀτελὴς γένηται μνηστεία καὶ οὔπω δεκτὴ γάμου, παράνομός ἐστιν ἡ μνηστεία καὶ ἀντ' οὐδενὸς λογίζεται.

---

[5] Att. XVIII (23). [6] Att. XIX (24). [7] A συμπλήρ. [8] Att. XIX (25). [9] Att. ibid. [10] Att. ibid.

η΄. Εἰς τοὺς γάμους τοὺς μὲν ἄνδρας ἐπάνω τῶν ιδ΄ χρόνων ὁ νόμος εἶναι παρακελεύεται, ὁπότε καὶ ἔφηβοι καλοῦνται καὶ σπέρμα καταβάλλειν ἰσχύουσι· τὰς δὲ γυναῖκας ὑπὲρ τοὺς ιβ΄ χρόνους· τότε γὰρ ἡ ἡλικία ταύταις τελεία καὶ τοῦ σπέρματος εἰσὶ δεκτικαί[11].

θ΄. Πραγμάτων τινῶν τῷ ἀνδρὶ διδομένων ὡς εἰς προῖκα παρὰ τῆς γυναικὸς ἢ τοῦ μέρους αὐτῆς, ὁ γάμος βεβαίωσιν δέχεται, καὶ ἡ γυνὴ, ὑπὲρ ἧς τὰ πράγματα δίδονται, σύζυγος κυρίως καὶ γαμετὴ τοῦ ἀνδρὸς ἐντεῦθεν ἐστίν. ἔστι δὲ τοῦτο τοιοῦτον. ἐάν τις παλλακὴν ἔχῃ, ἤγουν γυναῖκα χωρὶς νομίμου γάμου συνοικοῦσαν καὶ συγκοιταζομένην αὐτῷ, ἢ πάλιν ἐάν τις ἀπελευθέρᾳ γυναικὶ, τουτέστι τῇ ἐλευθερωθείσῃ ἀπὸ δουλείας, χωρὶς ἐννόμου γάμου χρῆται ὡς γυναικὶ καὶ σαρκικῶς αὐτῇ μίγνυται, ἐάν τις τοίνυν τοῦτο ποιῶν παρὰ τῆς συνούσης αὐτῷ γυναικὸς πράγματα λάβῃ τινὰ ὡς εἰς προῖκα τούτῳ διδόμενα, ἔκτοτε αὕτη γυνὴ τούτου κυρίως ἐστὶν, οἱ δὲ ἐξ αὐτῆς παῖδες γνήσιοι, κἄντε πρὸ τοῦ δοθῆναι κἄντε μετὰ τὸ δοθῆναι τὰ πράγματα ἐγεννήθησαν, κἄντε πολλὰ εἶεν τὰ δεδομένα κἄντε ὀλίγα[12].

θ΄. Ἡ δὲ νεαρὰ ἡ ρια΄ τοῦ κυροῦ λέοντος καὶ ἡ ριβ΄ τοῦ αὐτοῦ καὶ μανίας ἐπιγενομένης τῇ μνηστείᾳ λύουσι τὸν γάμον. πλὴν εἰ μὲν πρὸ τοῦ γάμου ἢ κατὰ τὴν ἡμέραν τοῦ γάμου ἡ μανία ἑνὶ τῶν μνηστήρων ἐπιγένηται, αὐτίκα φασὶ καὶ ἡ διάλυσις τοῦ γάμου γενήσεται· εἰ δὲ μετὰ τὸν γάμον, εἰ μὲν ἡ μνηστὴ εἰς μανίαν περιπέσοι μὴ κατ᾽ ἐπιβουλὴν τοῦ οἰκείου ἀνδρὸς μήτε μὴν συνειδότος αὐτοῦ τὴν κακουργίαν, ἀλλ᾽ ἑτέρωθεν τοῦ πάθους ἐπισυμβάντος μέχρι τρίτου ἔτους [φέρειν τὴν δυστυχίαν] τὸν ἄνδρα καὶ τῆς κατηφείας ἀπολαύειν· καὶ εἴγε μὴ ἐν χρόνῳ τοσούτῳ λύσις εἴη [τοῦ κακοῦ μηδὲ] πρὸς τὰς οἰκείας ἐπανέλθοι φρένας ἡ τὴν μανίαν νοσοῦσα, τηνικαῦτα διασπᾶσθαι [τὴν κοινωνίαν] καὶ τῆς ἀνυποίστου συμφορᾶς ἐλευθεροῦσθαι τὸν ἄνδρα. εἰ δὲ ὁ μνηστὴρ εἰς μανίαν περιπέσοι, ἐφ᾽ ὅλοις ἔτεσι ε΄ τοὺς συναπτομένους διαζεύγνυσθαι μηδαμῶς· εἰ δὲ μετὰ τὴν τοῦ τοσούτου χρόνου περίοδον μὴ γένηταί τις ἀπαλλαγὴ τῆς δυστυχίας μηδὲ πρὸς ἀναφρόνησιν ὁ μεμηνὼς καταστaίη, τηνικαῦτα διατέμνεσθαι τὴν γαμήλιον κοινωνίαν, μηδεμιᾶς μηδετέρῳ μέρει προσγινομένης καινοτομίας.

ι΄. Νεαρὰ ι΄ τοῦ αὐτοῦ περὶ τοῦ ἀπαιτεῖσθαι τὸ γαμικὸν πρόστιμον. — Οὕτως οὖν καὶ ἀπὸ τοῦ νῦν κελεύσματι νόμου τὸ ὑπὸ τῆς συνηθείας βεβαιωθὲν καὶ κρατείτω καὶ διαιτάτω, καθάπερ ἄχρι τοῦ παρόντος, καὶ προστίμου εἰσπράξει ὁ τὴν μνηστείαν ἀνατρέπων ζημιούσθω.

---

11 Att. XIX (25). 12 Att. ibid.

ι'. Ὁ παῖδας ἔχων μετά τινος γυναικὸς, ἣν οὐ κωλύει νόμος καὶ πρὸς γάμον συναφθῆναι αὐτῷ, ἐὰν ἐν συμφώνῳ ἢ διαθήκῃ ἢ γράμματι ὑπὸ τριῶν μαρτύρων πεπιστωμένῳ[13] υἱοὺς ἢ θυγατέρας τοὺς παῖδας ὁμολογήσῃ, φυσικοὶ καὶ γνήσιοι παῖδες τούτου λογίζονται καὶ υἱοὶ καὶ θυγατέρες εἰσὶ, καὶ κατὰ πάντα οὕτως οἰκείως ἔχουσι πρὸς αὐτὸν, ὡς ἔμελλον ἔχειν ἐὰν ἐξ ἐννόμων ἐγεννήθησαν γάμων. κἂν γὰρ καὶ παρ᾽ αὐτοῦ μὴ προστεθῇ τῇ περὶ τῶν παίδων ὁμολογίᾳ τό· φυσικὸς ἢ γνήσιος, ὁ νόμος ὡς ὁμολογούμενον εἶναι τοῦτο παρακελεύεται, καὶ μηδὲν εἰς παράστασιν αὐτοῦ ζητεῖσθαι παρά τινος[14].

ια'. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἤγουν τὸ συγκεχωρημένον καὶ μὴ κεκωλυμένον, ζητεῖται, ἀλλὰ καὶ τὸ εὐπρεπὲς, τουτέστι τὸ εὔσχημον καὶ σεμνόν[15].

ιβ'. Τὸν γάμον οἱ παλαιοὶ, ὅταν καὶ τὰ δύο μέρη ἤθελον καὶ ἠρέσκοντο, ἔλυον, καὶ ἐκ συμφωνίας ἀμφότεροι, ὁ ἀνὴρ δηλονότι καὶ ἡ γυνὴ, τὸ ὅπερ εἶχον συνοικέσιον διεχώριζον. ὕστερον δὲ ἐξετέθη ἰουστινιάνειος νεαρὰ, ἥτις διορίζεται ἵνα μηδεὶς λύῃ τὸν γάμον καὶ χωρίζῃ τὸ συνοικέσιον ἄνευ τῶν αἰτιῶν, δι᾽

ια'. Νεαρὰ ιε' τοῦ αὐτοῦ. — Θεσπίζομεν, ὥσπερ τοὺς υἱοὺς καὶ τοὺς ἄλλους ἄρσενας συγγενεῖς καὶ οἰκείους οὕτω καὶ θυγατέρας καὶ τὰ ἄλλα τοῦ θήλεος μέρους πρόσωπα τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ διαλαχόντων ἄρχειν εἰς μνηστείαν διδόναι κωλύεσθαι.

ιβ'. [Τῶν] προγαμιαίων δωρεῶν αἱ δεσποτεῖαι ὀφείλουσιν ἐντεῦθεν ἤδη συνίστασθαι, [ὑπὸ αἵρεσιν δὲ] ἀνατρέπεσθαι τήν· ἐὰν μὴ προβῶσιν οἱ γάμοι.

ιγ'. Νεαρά. — Ὅτι οὐδὲ τὴν ἀδελφὴν τῆς μνηστῆς μου ἀποθανούσης λαβεῖν εἰς γυναῖκα δύναμαι, εἰ μόνον ἑπταέτης ἦν ἐκείνη ἢ ἐπέκεινα, ὁπότε καὶ κατὰ συναίνεσιν ἡ μέσον ἡμῶν προέβη μνηστεία. εἰ δὲ ἐλάττων οὖσα ἐτύγχανε τῶν ζ' ἐτῶν (ἐν τῇ τοιαύτῃ γὰρ ἡλικίᾳ οὐδὲ διὰ μόνης συναινέσεως μνηστεία ὅλως συνισταμένη ἐπιγινώσκεται), ἀμέμπτως καὶ ἀκατηγορήτως αὐτῇ συζευχθήσομαι.

ιδ'. Νεαρά. — Ἀλλ᾽ οὐδὲ τὴν τοῦ ἐξαδέλφου μου μνηστὴν ἢ τὴν αὐταδέλφην ἐκείνης εἰς γυναῖκα λαβεῖν δύναμαι· καὶ ἁπλῶς εἰπεῖν, ὅσα ἐπὶ τῶν γάμων, τοσαῦτα καὶ ἐπὶ τῆς μνηστείας ὁ συνοδικὸς ἐθέσπισε τόμος τοῦ πατριάρχου ξιφιλίνου.

ιε'. Ἡ δὲ νεαρὰ τοῦ κυροῦ ἀλεξίου ἐπὶ μὲν τῶν μνηστευομένων κατὰ τὸν ιδ' χρόνον ἐπὶ ἀνδρῶν καὶ ἐπὶ γυναικῶν κατὰ τὸν ιβ' μετὰ ἱερᾶς εὐλογίας ἤγουν τῶν συνήθων εὐχῶν, αἳ τοῖς μνηστευομένοις διὰ τοῦ ἱερέως ἐκφωνοῦνται, κρατεῖν τὸν συνοδικὸν τοῦτον τόμον φησί· ἐπὶ δὲ τῶν μνηστευομένων κάτω τῶν τοιούτων χρόνων καὶ ἱερᾶς εὐλογίας ἄνευ οὐδαμῶς, ἀλλὰ τὸ τοῦ νόμου μό-

---

[13] Codd. πεπιστωμένων. [14] Att. XIX (25). [15] Att. XIX (26).

ἃς μόνας παρὰ τῆς τοιαύτης ἐνδέδοται νεαρᾶς τὸ γενόμενον χωρίζεσθαι συνοικέσιον, ἤγουν ὅταν τὸ ἓν μέρος παρὰ τοῦ ἑτέρου εἰς τὴν ζωὴν ἐπιβουλευθῇ, ἤγουν ἐὰν ὁ ἀνὴρ τὴν γυναῖκα ἢ ἡ γυνὴ τὸν ἄνδρα δολίως πως μελετήσῃ φονεῦσαι καὶ ποιήσῃ τοιαύτην ἐπιβουλὴν (τότε γὰρ γίνεται διαζύγιον ἤγουν χωρισμός)· ὅταν τὸ ἓν ἀπὸ τῶν δύο μερῶν ἐπιβουλεῦον κατὰ βασιλέως φανῇ συῤῥάπτον δόλους καὶ ἐπιβουλάς· καὶ ὅταν ἄλλοις ἐπιβουλεύουσι συνειδὸς ἤτοι συγγινῶσκον μὴ προσαγγείλῃ, τουτέστιν ἐὰν ἄλλους τινὰς γινώσκῃ ἐπιβουλεύοντας καὶ κρύπτῃ τὴν βουλὴν καὶ οὐ φανεροῖ· καὶ ὅταν ὁ ἀνὴρ τρεῖς χρόνους διαβιβάσας μὴ ἑνωθῇ τῇ γυναικὶ ὡς ἀνὴρ καὶ ἐκτελέσῃ ἐπὶ ταύτῃ τὰ τῶν ἀνδρῶν· καὶ ὅταν τὸ ἓν ἀπὸ τῶν δύο μερῶν ἀποκαρῆναι θελήσῃ καὶ εἰς μοναστήριον εἰσελθεῖν. αἱ δὲ δύο αὗται αἰτίαι, ἤγουν ἡ κουρὰ καὶ τὸ τὸν ἄνδρα εἶναι πρὸς τὴν μίξιν τὴν μετὰ τῆς γυναικὸς ἀνενέργητον, ἀζημίως τὸν γάμον λύουσι, καὶ τότε οὐδὲ ὑπόβολον δίδοται. τὸ δὲ τί δηλοῖ τὸ ὑπόβολον ἐν τοῖς εἰς τὸ υ′ στοιχεῖον ῥηθήσεται[16].

ιγ′. Δεῖ δὲ εἰδέναι, ὅτι ὅταν ἀντιστρέφηται προῖξ, εἰ μὲν

νον κρατεῖν τὸ μὴ δύνασθαί τινα λαβεῖν τὴν τοῦ ἀδελφοῦ [αὐτοῦ μνηστήν].

ιϛ′. Περὶ ἀποκαταστάσεως. — Ἐκεῖνος ἀποκαθιστᾷ ὁ διδοὺς οὕτω τῷ ἐνάγοντι, ὡς ἤμελλεν αὐτὸ ἔχειν ἐν καιρῷ προκατάρξεως.

ιζ′. Ἀποκαθιστᾶν δοκεῖ ὁ μὴ μόνον τὸ σῶμα τὸ ζητούμενον, ἀλλὰ καὶ ὅλην τὴν τοῦ σώματος αἰτίαν καὶ τύχην διδούς· πᾶσα γὰρ ἀποκατάστασις οὐ μόνον τοῦ σώματος ἀλλὰ καὶ τοῦ δικαίου ἐστίν.

ιη′. Τῇ προσηγορίᾳ τοῦ ἀπελευθέρου καὶ ἡ ἀπελευθέρα δηλοῦται.

ιθ′. Οὐ λέγεται ἄνηβος ὁ ἐν γαστρὶ ὤν.

κ′. Ἐὰν αἵρεσις ἐπιτεθῇ καὶ μὴ ὁρισθῇ, ἡμέρας δύο ἔχει εἰς τὸ πληρῶσαι τὴν αἵρεσιν.

κα′. Ἐὰν αἵρεσις τοιαύτη δοθῇ· ὁ δεῖνα τόδε ποιήσει ἐν ἡμέραις, καὶ μὴ προστεθῇ ἐν πόσαις, ἐν δύο ἢ δέκα ἡμέραις χρὴ αὐτὸν πληρῶσαι τὴν αἵρεσιν.

κβ′. Τὰ λεγόμενα περὶ ἄῤῥενος ὡς ἐπὶ τὸ πλεῖστον καὶ περὶ θηλείας λέγεται.

κγ′. Δοκεῖ γυνὴ υἱὸν ἔχειν ἐν τῷ τελευτᾶν, ἧς ἀνατμηθείσης ἐξῆλθε τὸ βρέφος.

κδ′. Πράγματα ἀπεῖναι δοκεῖ καὶ ταῦτα, ὧν τὸ μὲν σῶμα μένει, ἡ δὲ μορφὴ ἐνήλλακται. διάτοι τοῦτο ἐὰν διαφθαρέντα ἀποδοθῇ ἢ μεταπλασθέντα, δοκεῖ ἀπεῖναι.

---

[16] Att. XIX (27).

ἐστὶν αὐτεξουσία ἡ κόρη, πρὸς αὐτὴν ἡ προῖξ ἀποδίδοται· εἰ δὲ ἡ κόρη ὑπεξουσία ἐστὶ καὶ ἡ προῖξ παρὰ τοῦ πατρὸς ἐδόθη αὐτῇ, γίνεται κοινὴ αὐτῆς τε καὶ τοῦ πατρός. ὅταν δὲ ὁ πατὴρ προικίσῃ τὴν ἑαυτοῦ θυγατέρα καὶ δώσει αὐτῇ τοσήνδε τινὰ ποσότητα, καὶ μετὰ ταῦτα ἢ τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς ἢ διαζυγίου γενομένου θελήσῃ ἡ θυγάτηρ εἰς δεύτερον γάμον ἐλθεῖν, οὐ δύναται ὁ πατὴρ ἐλαττῶσαι τὴν προτέραν προῖκα καὶ δοῦναι τῇ θυγατρὶ ὀλιγώτερον παρὸ εἰς τὴν προτέραν προῖκα δέδωκε ταύτῃ[17].

ιδ'. Ὅταν ὁ ἀνὴρ τελευτήσας τοῦ γάμου συνισταμένου καὶ μὴ γενομένης λύσεως ἢ διαζυγίου καταλείψῃ τινὰ κληρονόμον, ἄδειαν ἔχει ἡ γυνὴ ἀπαιτεῖν τὴν προῖκα καὶ μὴ ἀφιέναι τὸν κληρονόμον τὶ ἐξ αὐτῆς παρυποκρατεῖν[18].

ιε'. Γυνὴ πάντα τὰ προικιμαῖα πράγματα ταύτης ἢ καί τι μέρος αὐτῶν κρυφίως ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἀποκλέπτουσα συνεστῶτος τοῦ γάμου, οὐκ ἐνέχεται τῇ περὶ κλοπῆς ἀγωγῇ,

---

κε'. [Ἐάν τις τελευτήσῃ ἀδιάθετος] ἐπὶ παισὶ φυσικοῖς καὶ παιδὶ θετῷ, ὁμοίως πάντες κληρονο[μοῦσιν].

κϛ'. [Εἴ τις] ἄπορον γυναῖκα κατὰ τὴν τοῦ νόμου παρατήρησιν λάβῃ καὶ ταύτης προτελευτήσῃ, εἰ μὲν ἄχρι τριῶν παίδων ἔχει ὁ ταύτης ἀνήρ, εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνει, τῶν τοῦ ἀνδρὸς χρεῶν πρότερον παρεχομένων ἀπὸ τῆς ἐκείνου περιουσίας, οὕτω μέντοιγε ὥστε μὴ ὑπερβαίνειν τὴν τῶν ρ' τοῦ χρυσίου λιτρῶν ποσότητα. εἰ δὲ πλείονες εἴησαν οἱ παῖδες, τοσοῦτον ἐπὶ τοῦ τοιούτου θέματος λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει, οὕτω δηλαδὴ ὥστε χρῆσιν μόνον ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν, τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ τοῦ γάμου ἔσχεν. εἰ δὲ ἡ τοιαύτη γυνὴ παῖδας ἐξ αὐτοῦ μὴ ἔχοι, κελεύομεν καὶ δεσποτείας δικαίῳ ἔχειν τὰ πράγματα, ἅπερ ἐκ τῆς τοῦ ἀνδρὸς οὐσίας εἰς αὐτὴν ἐληλύθασιν.

κζ. Ἡ δὲ νβ' νεαρὰ τοῦ κυροῦ λέοντος οὕτω φησί· καὶ ταύτην τὴν νομοθεσίαν ἡ βασιλεία ἡμῶν ἐπανορθουμένη θεσπόζει ἀναφαίρετον ἔχειν τὴν κυριότητα τὴν γυναῖκα τοῦ τοιούτου μέρους, καὶ ὅρον ἐπὶ τούτῳ ἐκφέρειν, ὃν ἂν αὐτῇ δόξῃ, μηδενὸς ἄλλου τοῖς παισὶν ὀφειλομένου πλὴν τοῦ κατὰ τὸν φαλκίδιον αὐτοῖς ἐπιλαγχάνοντος· δηλονότι μὴ τῶν προτέρων γάμων ἐπιλελησμένης τῆς μητρὸς μηδ' ἐπεισαγωγῇ δευτέρου ἀνδρὸς τὴν τοῦ πρώτου κοίτην οὐκ ἐν τιμῇ τιθεμένης. ὡς εἴγε τοῦτο συμβαίῃ, πάντως ἐκπεσεῖται τῆς παρ' ἡμῶν διδομένης ἐξουσίας αὐτῇ, καὶ οἱ παῖδες τῆς ζωῆς ἤδη τῇ μητρὶ διαλυθείσης τῶν πραγμάτων ἐξουσιάσουσιν.

---

[17] Att. XIX (27). [18] Att. ibid.

ἀλλὰ τῇ περὶ ὑφαιρέσεως. ἔστι δὲ ἡ μὲν περὶ κλοπῆς ἀγωγὴ, ὅταν εἰς τὸ διπλάσιον ἡ τοῦ πράγματος ἀπαίτησις γίνεται· περὶ ὑφαιρέσεως δὲ, ὅταν ἁπλοῦν ἀντιστρέφηται τοῦτο καὶ χωρὶς προσθήκης τινός. ἐὰν δὲ μετὰ τὸ γενέσθαι διάζευξιν καὶ τυχὸν καταδικασθῆναι τὴν γυναῖκα ἀπολέσαι καὶ τὴν προῖκα αὐτῆς, κρυφίως πᾶσαν τὴν προῖκα ἢ μέρος τὶ ἐκ ταύτης ὑφέληται, ἐνέχεται τῇ περὶ κλοπῆς ἀγωγῇ[19].

ις'. Ἀτιμοποιὸν ἀγωγὴν συνεστῶτος τοῦ γάμου κατὰ τῆς γυναικὸς κινεῖν ὁ ἀνὴρ οὐ δύναται[20].

ιζ'. Τῆς γυναικὸς τελευτησάσης πρὸ τοῦ ἀνδρὸς, οὐκ ἔχει χώραν ἡ τοῦ ὑποβόλου ἀπαίτησις, ἀλλὰ μόνον τὸ θεώρητρον δίδοται, παρθένῳ οὔσῃ· ταῖς γὰρ δευτερογαμούσαις οὐ δίδοται. ἔστι δὲ τὸ θεώρητρον ἐπὶ ἑκάστῃ λίτρᾳ τῆς προικὸς ὑπέρπυρα ἕξ[21].

ιη'. Γυνὴ μετὰ θάνατον τοῦ ἀνδρὸς εἰς δεύτερον γάμον οὐκ ἐρχομένη λαμβάνει καὶ αὐτὴ ἐκ τῶν πραγμάτων τοῦ ἀνδρὸς ταύτης μοῖραν μίαν, ὁπόσην καὶ τῶν παίδων ἕκαστος δέχεται[22].

ιθ'. Τὸν τοκετὸν τῶν δούλων ἡ γυνὴ λαμβάνει, καὶ ταύτης εἰσὶν ἀλλ' οὐ τοῦ ἀνδρός· τοὺς δὲ καρποὺς τῶν γυναικείων κτημάτων καὶ τὰς γέννας τῶν ζώων ὁ ἀνὴρ ἔχει καὶ ὑπὸ τὴν τούτου ἐξουσίαν εἰσίν. ἐνέχεται δὲ ὁ ἀνὴρ, ἐὰν τὰ ζῶα ὅσα παρέλαβεν ἤ τινα τούτων ἢ ἄλλως ἀπολεσθῶσιν ἢ ὡς λέγουσιν οἱ κοινοὶ ψοφήσωσιν, ἕτερα ζῶα ἐκ τῶν ἐπιγεννημάτων διδόναι, καὶ ἀναπληροῦν τὰ πρωτότυπα ἤγουν τὰ ἐξ ἀρχῆς παραδοθέντα αὐτῷ[23].

κ'. Περὶ τῶν εἰς προῖκα δοθέντων ζώων καὶ ἀπολεσθέντων, ἂν μὲν διατιμηθῶσι τὰ ζῶα καὶ διαβιβασθῶσιν ἐν τῇ ποσότητι τῆς προικὸς, ἐνέχεσθαι λέγουσι τὸν ἄνδρα εἰς τὴν τούτων ἀντιστροφὴν καὶ ἀπόδοσιν ἢ τῶν ζώων αὐτῶν ἢ τῆς τῶν ζώων τιμῆς.

κα'. Ἐὰν δὲ μὴ διατιμηθῶσιν, ἀλλὰ δοθῶσιν ἀδιατίμητα, τοῦτο μόνον χρεωστεῖ ὁ ἀνὴρ ἐπ' αὐτοῖς, ἵνα μὴ ἀμελήσῃ μηδὲ ποιήσῃ τινὰ δολιότητα εἰς αὐτά. εἴτι δὲ ἄλλο συμβῇ, ὁ ἀνὴρ οὐκ ἐνέχεται[24].

κβ'. Ἐνδέδοται τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου, ἐὰν ἄπορον βλέπῃ τὸν ἄνδρα αὐτῆς, κρατεῖν τὴν περιουσίαν αὐτοῦ διὰ τὴν προῖκα καὶ τὰ διαφέροντα αὐτῇ δίκαια. καὶ προ-

---

19 Att. XIX (27). 20 Att. ibid. 21 Att. ibid. 22 Att. ibid. 23 Att. XX (28). 24 Att. ibid.

τιμᾶται πάντων τοῦ ἀνδρὸς λοιπῶν δανειστῶν, ἵνα λάβῃ ἡ γυνὴ, δηλονότι εἴτι χρεωστεῖται αὐτῇ παρὰ τοῦ ἀνδρὸς, πρὸ τῶν ἑτέρων δανειστῶν. τοῦτο δὲ τὸ προτιμᾶσθαί τινα παρ' ἄλλου εἰς τὸ κρατεῖν κτῆμά τι ἢ πρᾶγμα δι' ὀφειλόμενον χρέος, περὶ ὑποθήκης ἀγωγὴν ὁ νόμος καλεῖ. ὅταν δὲ οὐκ ἔστι προτίμησις, ἀλλ' ἐπίσης πάντες οἱ δανεισταὶ τὴν ὑπόθεσιν κινεῖν δύνανται[25], ἀγωγὴ περὶ χρέους ἢ περὶ δεσποτείας κατονομάζεται[26].

κγ'. Ἐὰν ἔχῃ τινὰ ἡ γυνὴ καὶ οὐ δύναται δεῖξαι πόθεν ἔχει αὐτὰ, ταῦτα καὶ χωρὶς ἑτέρας τινὸς ἀποδείξεως ἐκ τοῦ ἀνδρὸς δοκεῖ ἔχειν καὶ τῶν ὑπεξουσίων αὐτῷ, καὶ τοῦ ἀνδρὸς λογίζονται πράγματα[27].

κδ'. Ὅταν ὁ ἀνὴρ δαπανήσῃ τὰ ἐξώπροικα τῆς γυναικὸς καὶ ἀποθανὼν ἀφήσει ἕτερον αὐτοῦ κληρονόμον, ἀναγκάζεται ὁ κληρονόμος ἀποδιδόναι καὶ ἀντιστρέφειν τῇ γυναικὶ τὰ ἐξώπροικα, εἰ μὴ αὐτὴ ἡ γυνὴ ἢ ἀπεχαρίσατο τῷ ἀνδρὶ ταῦτα ἢ δαπανῆσαι προέτρεψε· τότε γὰρ ὁ κληρονόμος περὶ αὐτῶν οὐκ ἐνέχεται[28].

κε'. Γυνὴ κατηγορίας ἀφισταμένη, ἤγουν ἀφιεῖσα τὴν κατηγορίαν μετὰ τὸ κινῆσαι αὐτὴν, ἢ ἀστοχοῦσα, τουτέστι νικωμένη εἰς τὴν ὑπόθεσιν ἣν ἐκίνησεν[29], οὐκ ἐνέχεται τῷ περὶ συκοφαντῶν νόμῳ οὐδὲ ταῖς τῆς συκοφαντίας ὑποπίπτει ποιναῖς. ἄνδρες δὲ καὶ ἀφιστάμενοι τῆς κατηγορίας καὶ ἀστοχοῦντες ἤτοι νικώμενοι ὡς συκοφάνται καταδικάζονται[30].

κς'. Γυνὴ κεφαλικὸν ἔγκλημα οὐ κινεῖ, εἰ μὴ ὅταν γονέων αὐτῆς ἀναίρεσις γένηται ἢ παίδων ἢ ἐγγόνων ἢ πατρώνων. κινοῦσι δὲ αἱ γυναῖκες καὶ τὸν περὶ πλαστογραφίας νόμον, καὶ περὶ διαθηκῶν, ἃς ποιοῦσιν οἱ πατρικοὶ ἢ μητρικοὶ αὐτῶν ἀπελεύθεροι, κινοῦσι, καὶ περὶ πατρὸς καὶ πάππου· καὶ ὅταν περὶ τῶν τοιούτων κινῶσιν, οὐ γραφὰς ἀπαιτοῦνται[31].

κζ'. Γυνὴ οὐδὲ ἐν ταῖς ἐγκληματικαῖς ὑποθέσεσι περὶ τῶν οἰκείων καὶ γνησιωτάτων καταναγκάζεται ἄκουσα μαρτυρεῖν[32].

κη'. Γραφὴν κατηγορίας ἀποτιθέμενος, ἤγουν ἔγγραφον ὁμολογίαν διδοὺς ἐφ' οἷς μέλλει κατηγορῆσαί τινος, οὕτως ὀφείλει ἐκτιθέναι τὸν λίβελλον, ἤγουν τὴν τῆς κατηγορίας γραφήν· ἐγὼ ὁ δεῖνα ὁμολογῶ τῷδε τῷ ἄρχοντι ἢ τῷ δικαστῇ δεικνύειν τόνδε ἢ τήνδε πλημμελεῖν τόδε τὶ ἁμάρτημα πρὸς τόνδε τὸν ἄνθρωπον ἐν τῷδε τῷ οἴκῳ ἐπὶ τῆσδε τῆς ὑπατείας ἐν

---

[25] B δυνατοὶ ὦσιν. [26] Att. XX (28). [27] Att. XXII (30). [28] Att. ibid.
[29] A ἐνίκ. [30] Att. XXXV (54). [31] Att. XXXV (67). [32] Att. ibid.

μηνὶ τῷδε. καὶ ἁπλῶς εἰπεῖν, ὁ τὴν γραφὴν τῆς κατηγορίας διδοὺς ἀναγκάζεται σαφηνίζειν καὶ τὸ ἁμάρτημα καὶ τὸν χρόνον καὶ τὸν μῆνα καὶ τὸν τόπον, ἐν ᾧ γίνεται, καὶ τὸ πρόσωπον, πρὸς ὃ γίνεται· τὴν ἡμέραν δὲ ἢ τὴν ὥραν λέγειν οὐκ ἀναγκάζεται[33].

κθ'. Γυνὴ κατὰ τοῦ ἰδίου παιδὸς δημόσιον ἔγκλημα κινεῖν δύναται[34].

λ'. Γυναῖκα εὐγενῆ καὶ σεμνὴν, ἤγουν ἐλευθέραν καὶ γνώμης οὖσαν ἐπαινετῆς, σύνοικον ἔχων ὡς παλλακὴν, ἢ γαμετὴν ἡγείσθω αὐτὴν, ἢ γινωσκέτω, ὅτι ἀσέλγειαν πλημμελεῖ. εἰς μοιχείαν δὲ ὁ τοιοῦτος οὐ κατακρίνεται[35].

λα'. Τὸν νόμον τὸν περὶ μοιχείας οὐ δύναται κινεῖν γυνὴ, οὐδὲ ἐὰν αὐτὴ λέγηται ἡμαρτῆσθαι· τουτέστιν οὐδὲ ἐὰν αὐτὴ ἡ βουλομένη κινεῖν τὴν ὑπόθεσιν λέγηται ἐν αὐτῇ[36] γενομένην τὴν ἁμαρτίαν ἐργάσασθαι, καὶ αὐτὴν εἶναι, μεθ' ἧς τὸ τῆς ἁμαρτίας πταῖσμα τετέλεσται[37].

λβ'. Ἡ μοιχεία καὶ ἐπὶ ἀνδρὸς λέγεται. ὁ γὰρ ἀνὴρ ὁ ἔχων γυναῖκα, ἐὰν πρὸς ἄλλην πταίσῃ, μοιχεία τοῦτο καλεῖται. τὴν γοῦν τοιαύτην μοιχείαν τὴν ἐκ τοῦ ἀνδρὸς οὔτε ἡ οἰκεία γυνὴ οὔτε ἀλλοτρία δύναται ὡς ἔγκλημα ἐπὶ δικαστηρίῳ κινεῖν, οὐδὲ ἐὰν εἰς αὐτὴν ἁμαρτάνειν λέγηται ὁ ἀνήρ[38].

λγ'. Γυνὴ κατηγορουμένη ἐπὶ μοιχείᾳ οὐ δύναται τὴν προῖκα ζητεῖν οὐδὲ ἀπαιτεῖν αὐτὴν πρὸ τοῦ κριθῆναι καὶ τὸ τῆς μοιχείας ἀπολογήσασθαι ἔγκλημα, ἀλλὰ χρὴ τοῦτο ἀποσκευάσασθαι πρότερον, καὶ μετὰ ταῦτα τῆς προικὸς τὴν ἀπαίτησιν ποιεῖσθαι[39].

λδ'. Γυνὴ ὕπανδρος τῷ ἰδίῳ δούλῳ μοιχευθεῖσα πρὸς ταῖς λεχθείσαις ποιναῖς, ἤγουν τὸ τύπτεσθαι καὶ κουρεύεσθαι καὶ ῥινοκοπεῖσθαι καὶ τῆς πολιτείας ἀπελαύνεσθαι, καὶ τῆς οὐσίας ἐκπιπτέτω· κληρονομείσθω δὲ τοῖς παισὶν αὐτῆς ἢ, ἐὰν οὐκ ἔχῃ παῖδας, τοῖς ἐγγυτάτω συγγενέσιν. εἰς δὲ τὸ κινεῖν τὸ τοιοῦτον ἔγκλημα πᾶσιν ἐστὶν εὐχέρεια[40].

λε'. Οἱ γόητες μηδεμιᾶς[41] τιμῆς γινέσθωσαν ἄξιοι, μηδὲ προνομίῳ τινὸς ἀξιώματος χρήσθωσαν[42].

λς'. Ἐὰν γυνὴ ἐγκαλῆται ὡς τὸν οἰκεῖον ἄνδρα διὰ φαρμάκου φονεύσασα, καὶ δοῦλοι οἱ ἴδιοι ταύτης ὑπάρχοντες ἢ καὶ

---

[33] Att. XXXV (67). [34] Att. ibid. [35] Att. XXXV (70). [36] B ἑαυτῇ, inque eodem mox verbum ἐργάσασθαι deest. [37] Att. XXXV (70). [38] Att. ibid. [39] Att. ibid. [40] Att. ibid. [41] A addit τινος. [42] Att. XXXV (71).

ἀλλότριοι βασανίζονται. καθολικῶς δὲ δεῖ γινώσκειν, ὅτι ἄνευ τεκμηρίων οὐ γίνεται βάσανος[43].

λζ΄. Οἱ ἐπισημότατοι ἄνδρες, ἤγουν οἱ ἔνδοξοι καὶ τῶν λοιπῶν ὑπερέχοντες, οὐχ ὑπόκεινται βασάνοις, οὐδὲ ταῖς τιμωρίαις αἷς οἱ ἰδιῶται καθυποβάλλονται· οὐδὲ οἱ παῖδες τῶν τοιούτων οὐδὲ οἱ ἔγγονοι. καὶ ἔχουσι τὸ προνόμιον τοῦτο ἐκ τῆς διαταγῆς ἧς ὁ μακαριώτατος ἐν βασιλεῦσι μάρκος ἐξέθετο. ὁ δὲ τοιοῦτος μάρκος κατά τινας καὶ τὴν τῶν ὀνύχων τιμωρίαν ἐκέλευσεν ἐν τῇ τῶν ῥωμαίων πολιτείᾳ μηδόλως γίνεσθαι[44].

λη΄. Ἐὰν ὁ ἀνὴρ δημευθῇ, τὰ πράγματα τῆς γυναικὸς οὐ συναποφέρονται· ὁμοίως δὲ καὶ ἡ προῖξ. εἰ δὲ ἔλαβέ τι παρὰ τοῦ ἀνδρὸς, ἢ προγάμιον δωρεὰν ἢ ἐν τοῖς γάμοις, ἑαυτῇ κατεχέτω. ἐὰν δὲ ὡς χρεωστῶν ὁ ἀνὴρ ἐδημεύθη, εἴτε εὑρεθῇ ἡ γυνὴ παρ᾽ αὐτοῦ λαβοῦσα πρὶν ἄρξεται διοικεῖν[45], παρακατεχέτω· εἴ τι δὲ μετὰ ταῦτα ἢ αὐτὴ ἔλαβεν ἢ οἱ παῖδες οἱ αὐτεξούσιοι, τοῦτο παρεχέσθω τῷ δημοσίῳ. οἱ δὲ παλατῖνοι, εἰ μὴ ἐλεύθεροι δειχθεῖεν, οὐ δύνανται παραπέμπειν εἰς ἀλλοτρίους τί[46].

λθ΄. Γυνὴ μήτε ὑπὲρ χρηματικῆς αἰτίας μήτε ὑπὲρ δημοσίων χρεῶν εἰς φυλακὴν ἐμβαλλέσθω ἢ ἀνδράσι παραδιδόσθω, ἀλλὰ κατὰ νόμους κρινέσθω ἐπὶ τῇ κινουμένῃ κατ᾽ αὐτῆς ὑποθέσει. εἰ δὲ ἐναποκλεισθῇ, ὁ ἄρχων, εἰ μὲν μείζων ἐστὶν, κ΄ χρυσίου λίτρας· εἰ δὲ ἥττων, ι΄ ἀπαιτείσθω· καὶ οἱ ὑπουργήσαντες στρατιῶται[47] ἐμβασάνως τιμωρείσθωσαν καὶ ἐξοριζέσθωσαν. εἰ δὲ βαρύ ἐστιν ἔγκλημα τὸ κατ᾽ αὐτῆς κινούμενον, εἰς μοναστήριον παραδιδόσθω καὶ ἀνδράσι μὴ καταπιστευέσθω[48].

μ΄. Αἱ γυναῖκες πάντων τῶν πολιτικῶν καὶ τῶν δημοσίων ὀφφικίων κωλύονται, καὶ οὐ δικάζουσιν, οὐκ ἄρχουσιν, οὐ συνηγοροῦσιν, οὐ παρεμβάλλουσιν ὑπὲρ ἄλλων καὶ γίνονται φροντισταί[49].

μα΄. Ἐν πᾶσιν ἀντὶ γενομένου νοεῖται τὸ παρ᾽ αἰτίαν ἄλλου μὴ γινόμενον[50].

μβ΄. Ἡ ἀπελευθέρα νόμιμος γυνὴ γενομένη τοῦ πάτρωνος οὐ δύναται μετὰ θάνατον τούτου ἄνδρα λαβεῖν αὐτοῦ ἀπελεύθερον. κωλύεται δὲ ὁ τοιοῦτος γάμος, ὅτι ἀπρεπές ἐστι τὴν τοῦ δεσπότου γυναῖκα καὶ τοῦ δούλου γενέσθαι γυναῖκα, καὶ

---

[43] Att. XXXV (77). [44] Att. ibid. — Cf. supra lit. *B* c. 38. [45] E in margine: ἤγουν πρὸ τοῦ τὸν ἄνδρα εἰς τὴν δημοσιακὴν ἐνοχὴν ταχθῆναι.
[46] Att. XXXV (79). [47] A recentiore manu in margine: ταξεῶται. [48] Att. XXXV (82). [49] Att. in App. [50] Att. in App.

ὅτι ἀκολουθεῖ καὶ ὑποψία μοιχείας γινομένης ἔτι ζῶντος τοῦ ταύτης ἀνδρός[51].

μγ΄. Γάμος θυγατρὸς ἢ ἐγγόνης ἢ προεγγόνης ἀξιωματικοῦ καὶ μεγάλου ἀνθρώπου πρὸς ἀπελεύθερον, ἢ δοῦλον, ἢ τύχης εὐτελεστάτης καὶ τῆς τῶν παιγνιωτῶν ὑπάρχοντα τάξεως, οὐ δύναται γίνεσθαι· οὐδὲ, ἐὰν γένηται, στέργεται[52].

μδ΄. Ἐπὶ τῶν ἀθεμίτων γάμων καὶ τὰ τοῦ ἀνδρὸς πράγματα καὶ τὰ εἰς προῖκα διδόμενα τούτῳ ἀφαιροῦνται παρὰ τοῦ δημοσίου· καὶ εἰ μὲν ἔχουσι παῖδας ἐκ προτέρων ἐννόμων γάμων, δίδονται αὐτοῖς· εἰ δὲ μὴ, δημόσια γίνονται[53].

με΄. Ὁ ἀθέμιτον γάμον ποιήσας, ἀφαιρεῖται τὴν ἀξίαν καὶ δημεύεται καὶ ἐξορίζεται· εἰ δὲ εὐτελής ἐστι, καὶ τὸ σῶμα μαστίζεται[54].

μϛ΄. Γάμος ἀθέμιτος λέγεται ὁ παράνομος καὶ ἐκτὸς τῶν τῆς φύσεως δικαίων γινόμενος, οἷον ἐπὶ αἱμομικτῶν καὶ τῶν γνησιωτάτων καὶ προσεχῶν συγγενῶν. κεκωλυμένος δὲ γάμος λέγεται, ὁ ὢν οὐχ οὕτω μὲν κακὸς, ὥσπερ ἐστὶν ὁ ἀθέμιτος, μηδὲ εἰς τὴν τοιαύτην ἐμπίπτων παρανομίαν, μετέχων δὲ ὅμως εἰς κακὸν καὶ αὐτὸς καὶ δι' αἰτίαν τινὰ κωλυόμενος. καὶ διὰ τοῦτο ὁ μὲν ἀθέμιτος καὶ κεκώλυται· ὁ κωλυόμενος δὲ οὐκ ἐξ ἀνάγκης ἐστὶ καὶ ἀθέμιτος[55].

μζ΄. Ὅτε διαζύγιον γένηται εἰ καὶ τυχὸν ἡ γυνὴ νικήσει τὸν ἄνδρα, ὡς τῆς αἰτίας τοῦ διαζυγίου ἐξ αὐτοῦ γενομένης, καὶ εἰς τὰ γαμικὰ κέρδη δικαιωθῇ παρὰ τῶν κριτῶν, ἀλλὰ καὶ οὕτως οὐκ ἔχει ἄδειαν εὐθὺς μετὰ τὸ λυθῆναι τὸν γάμον ἄλλῳ συναφθῆναι ἀνδρί· ἀλλὰ ἀναγκάζεται προσμένειν καὶ καρτερεῖν, ἕως οὗ χρόνος ὁλόκληρος πληρωθῇ. ὁ δὲ ἀνὴρ, εἴτε νικήσει τὴν

κη΄. Ὅτι περὶ τοῦ τρίτου γάμου τόμος συνοδικὸς ἐκαλλιγραφήθη ἐπὶ τῆς βασιλείας κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ τοῦ πενθεροῦ αὐτοῦ ῥωμανοῦ, κατησφαλισμένος καὶ τῇ συνήθει τοῦ βασιλέως ὑπογραφῇ, πῇ μὲν λέγων εἶναι συγχωρητέον αὐτὸν, πῇ δὲ ἀσυγχώρητον. τοὺς γὰρ πληρώσαντας τὸ μ΄ ἔτος διγαμήσαντας ἄπαιδας ὄντας συναλλάττειν καὶ τρίτον γάμον διὰ τὴν θεραπείαν τῆς ἀπαιδίας, τοὺς δὲ τριακονταετεῖς ὄντας κἂν παῖδας ἔχωσι τρίτον καὶ αὐτοὺς συναλλάττειν γάμον διὰ τὴν ἐκ τῆς ἡλικίας ἀσθένειαν, πλὴν καὶ τούτους κἀκείνους μετὰ ἐκκλησιαστικῶν ἐπιτιμίων· τοῖς δὲ τὸν μ΄ χρόνον ὑπεραναβᾶσιν ἐξ οὐδενὸς τρόπου τὸν τρίτον γάμον εἶναι συγχωρητέον.

---

[51] Syn. Γ, 2 ex Bas. XXVIII, 5, 9. [52] Syn. Γ, 2 ex Bas. XXVIII, 5, 6. [53] Syn. Γ, 3 ex Bas. XXVIII, 6, 1. [54] Syn. ibid. [55] Syn. ibid.

γυναῖκα εἴτε παρ' αὐτῆς νικηθῇ, ἄδειαν ἔχει, ἡνίκα γένηται διαζύγιον, ἄλλην γυναῖκα δευτέραν λαμβάνειν. θαυμάσιόν τι δοκεῖ μοι τὸν παρόντα νόμον αἰνίττεσθαι, καὶ ἵνα δῆλον εἴη καὶ τοῖς τυχοῦσιν ὃ λέγομεν, κεκρυμμένως πως τὸν νομοθέτην ἐνταῦθα ἔννοιαν παραδιδόναι ξένην ἔμοιγε φαίνεται. ἔστι δὲ αὕτη. ἀπορήσειεν ἄν τις, διὰ τί ἡ μὲν γυνὴ λυομένου τοῦ γάμου οὐκ εὐθὺς εἰς ἑτέρους γάμους ἔρχεσθαι συγχωρεῖται, ἀλλὰ χρόνον ἕνα χωρὶς ἀνδρὸς προσκαρτερεῖν ἀναγκάζεται· ὁ δὲ ἀνὴρ ἐνδεδομένον ἔχει ἅμα τῷ γινέσθαι αὐτῷ διαζύγιον γυναικὶ ἑτέρᾳ[56] *συνάπτεσθαι. αἰτία δὲ τούτου, ὅτι ἡ μὲν γυνὴ ἐν ἑαυτῇ δεχομένη τὰ παρὰ τοῦ ἀνδρὸς καταβαλλόμενα σπέρματα, εἴπερ εὐθὺς μετὰ τὸ ἀπολυθῆναι τοῦ προτέρου ἀνδρὸς ἑτέρῳ*[57] *γένηται, ἄδηλον ἐντεῦθεν τὸ τικτόμενον παιδίον ποιεῖ, καὶ τοιοῦτον, ὁποῖον οὐκ ἂν δύναιτό τις διαγινώσκειν εἴτε τοῦ προτέρου εἴτε τοῦ ὑστέρου ἀνδρός ἐστι· καὶ διὰ τοῦτο ἵνα μὴ ἀμφιβάλληται τὸ παιδίον ἐκ τίνος προήχθη πατρὸς, ἀναγκάζεται ἡ γυνὴ χρόνον τοσοῦτον καρτερεῖν, ὁπόσος ἀρκέσει ἢ γεννῆσαι, εἴπερ ἐκ τοῦ προτέρου ἀνδρὸς συνέλαβεν, ἢ ἀκριβῶς παραστῆσαι διὰ τὸ μὴ γεννῆσαι αὐτὴν, ὅτι οὐδόλως ἐξ ἐκείνου συνέλαβεν. ὁ δὲ ἀνὴρ ἐπεὶ οὐδὲν τοιοῦτον αὐτὸς πανθάνει, ὁποῖον καὶ ἡ γυνὴ (δίδωσι γὰρ μᾶλλον, ἀλλ' οὐ λαμβάνει τὰ σπέρματα), εἰ βούλεται αὐτίκα δευτερογαμεῖν, οὐ κωλύεται. καὶ οἶμαι διὰ τὴν αἰτίαν ταύτην καὶ τὴν γυναῖκα μὲν, ἐὰν ἔχουσα ἄνδρα ἑνωθῇ σαρκικῶς καὶ ἄλλῳ τινὶ, ὡς μοιχείαν ἁμαρτάνουσαν κατακρίνεσθαι, τὸν δὲ ἄνδρα ἔχοντα γυναῖκα καὶ ἄλλῃ ἑνούμενον γυναικὶ τηρεῖσθαι παντελῶς ἀκατάκριτον, ὡς τὴν μὲν διὰ τῆς ἐπιμιξίας συνθολοῦσαν τὰ σπέρματα καὶ περὶ τὰ τικτόμενα ἀμφιβολίαν μεγάλην εἶναι παρασκευάζουσαν, τὸν δὲ μηδὲν τοιοῦτον ἐξ ὧν διαπράττεται παρεισάγοντα*[58].

κθ'. Νεαρὰ κ' τοῦ κυροῦ λέοντος. — Ὅτι οὐκ ἔξεστι ταῖς τῶν αἰχμαλώτων γυναιξὶν ἑτέροις [συνάπτεσθαι], ἀλλ' ὅσοις ἂν δήποτε χρόνοις [ἐν] αἰχμαλωσίᾳ ᾖ τὸ ἐκεῖ ταλαιπωρούμενον πρόσωπον, [περιμένειν τὸ] ἕτερον, κἂν μήτε ἔγγραφος δήλωσις μήτε ἄγραφος ἐκεῖθεν παραλαμβάνῃ.

λ'. [Τούτοις τοῖς] θέμασι προστιθέασι καὶ τὴν μανίαν ἡ ρια' νεαρὰ καὶ ἡ ριβ' τοῦ αὐτοῦ κυροῦ λέοντος· αὗται γὰρ καὶ μανίας ἐπιγενομένης ἑνὶ τῶν συνοίκων λύεσθαι τὸν γάμον θεσπίζουσιν.

---

[56] B *δευτέρᾳ*. [57] Malim *ἑτέρου*. [58] Syn. Γ, 4 ex Bas. XXVIII, 7, 2.

μη΄. Ὅταν ἀνὴρ τινὸς γυναικὸς ἐν ταξειδίῳ καὶ ἐκστρατείᾳ ἀπόδημος ὢν τελευτήσῃ, καὶ μάθῃ ἡ γυνὴ τοῦτο καὶ πληροφορηθῇ εἰς ἀκρίβειαν, ὀφείλει μετὰ τὸ λαβεῖν ἀκριβῆ πληροφορίαν περὶ τοῦ ἀνδρὸς ἀπὸ τότε πάλιν ὁλόκληρον χρόνον ἄνευ ἀνδρὸς καρτερεῖν, καὶ μετὰ τὸν δεύτερον χρόνον ἐπ' ἀδείας ἔχειν εἰ βούλεται δευτερογαμεῖν[59].

μθ΄. Ὅταν ἓν μέρος τῶν συνοικούντων, ἀνδρὸς καὶ γυναικὸς δηλαδὴ, ἀπὸ τῶν πολεμίων αἰχμάλωτον γένηται, καὶ ὁ ἄλλος ὁ τῷ αἰχμαλωτισθέντι σύζυγος ὢν ἐλεύθερος διαμένῃ, ὁ εἰς ἐλευθερίαν ὢν οὐ δύναται δευτερογαμεῖν, ἕως οὗ μανθάνει σώζεσθαι καὶ περιεῖναι τῷ βίῳ τὸν γεγονότα αἰχμάλωτον. εἰ δὲ πολλάκις οὐ δύναταί τι μαθεῖν περὶ τοῦ αἰχμαλωτισθέντος ὁ ἐλεύθερος ὢν, μέχρι ε΄ χρόνων ἢ γ΄ τὸ ἐλάχιστον ὀφείλει ἀναμένειν καὶ μὴ εἰς δευτέρους ἔρχεσθαι γάμους· μετὰ δὲ τὴν τῶν ε΄ χρόνων παρέλευσιν, εἴτε καὶ τῶν γ΄, ἔξεστι τούτῳ δευτερογαμεῖν εἴπερ βούλεται[60].

ν΄. Ὅταν ἀνδρὸς γυναικὶ συνοικοῦντος καὶ νόμιμον ταύτην γαμετὴν ἔχοντος νομίζονται καὶ οἱ δύο εἶναι ἐλεύθεροι, ὕστερον δὲ εἷς ἐκ τούτων δοῦλος φανῇ, ἡ ὕστερον ἐπιφανεῖσα δουλεία λύει τὸν γάμον, καὶ διαζεύγνυσιν αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ἐὰν ἐγένετο θάνατος[61].

να΄. Γυνὴ προῖκα μὴ ἐνεγκοῦσα, ἤγουν μὴ δοῦσα τῷ λαμβάνοντι ταύτην εἰς γάμον ἀνδρὶ, οὐ δύναται λόγῳ καὶ αἰτίᾳ τῆς προγαμιαίας δωρεᾶς οἰκειοῦσθαι τὰ τοῦ ἀνδρός[62].

νβ΄. Γεωργοὶ πατριμονάριοι λέγονται οἱ τοῦ βασιλέως ὑπάρχοντες ἰδιόκτητοι, ἤγουν οὓς ἔχει ἰδίως ὁ βασιλεὺς εἰς τὰς ὑπηρεσίας αὐτοῦ, οὓς καὶ σήμερον οἱ κοινοὶ εἰς ζευγηλατεῖα βασιλικὰ τεταγμένους κατονομάζουσιν[63].

νγ΄. Οἱ διὰ γοητείας σώφρονας λογισμοὺς πρὸς ἔρωτα στρέφοντες δημεύσει καὶ ἐξορίᾳ καθυποβάλλονται. εἰ δὲ καὶ πρὸς πρόσωπον ὑπερέχον τοῦτο τολμήσουσι, τῇ διὰ ξίφους τιμωρίᾳ ὑπόκεινται[64].

νδ΄. Καὶ λυομένων τῶν γάμων τοὺς γονεῖς οἱ παῖδες κληρονομοῦσι, καὶ ἐκ τῆς πατρικῆς περιουσίας τὰς τροφὰς ἀνελλιπῶς ἔχουσι[65].

---

59 Syn. Γ, 4 ex Bas. XXVIII, 7, 3. 60 Syn. Γ, 4 ex Bas. XXVIII, 7, 4. 61 Syn. Γ, 4 ex Bas. XXVIII, 7, 21. 62 Syn. Γ, 5 ex Bas. XXVIII, 12, 1. 63 Cf. Syn. Γ, 6 ad Bas. LV, 9. 64 Syn. Γ, 7 ex Bas. LX, 39, 25. 65 Syn. Γ, 8 ex Bas. XXXI, 6, 13.

νε'. Γυνὴ προῖκα ἐπαγγελλομένη οὐ βοηθεῖται, ἀλλ' ἀναγκάζεται ἀποδιδόναι αὐτήν[66].

νς'. Γυνὴ τὸ ἴδιον ἀγνοήσασα δίκαιον βοηθεῖται καὶ ἀποκαθίσταται εἰς αὐτὸ, μηδὲν βλαπτομένη, ἀλλὰ συγγινωσκομένη διὰ τὸ μὴ γινώσκειν αὐτό[67].

νζ'. Τὰς γυναῖκας τὰς εἰς δεύτερον γάμον οὐκ ἐρχομένας προτιμήσεως ἀξίας εἶναι παρὰ τὰς δευτερογαμούσας προστάττομεν[68].

νη'. Εἰ παῖδας ἐκ τοῦ προτέρου ἀνδρὸς ἔχουσα ἡ γυνὴ εἰς δεύτερον ἔλθῃ γάμον, οὐδὲν εἰς δεσποτείαν δίδοται ταύτῃ ἐκ τῶν πραγμάτων τοῦ προτέρου ἀνδρὸς, ἀλλὰ καὶ αὐτὰς τὰς προγαμιαίας δωρεὰς ἀπόλλυσιν ἡ γυνή. [εἰς χρῆσιν δὲ ταύτας καὶ ἕτερά τινα τῶν τοῦ ἀνδρὸς κεκτῆσθαι οὐδόλως κεκώλυται.][69]

νθ'[70]. Ἐπὶ παρανόμων γάμον τῶν διὰ τοὺς γάμους διδομένων πραγμάτων οὐ τρακταΐζεται κατὰ τοὺς νόμους ἀπαίτησις[71].

ΑΡΧΗ ΤΟΥ Δ[1].

α'. Ὅταν περιορισθῇ τις παρὰ τοῦ δημοσίου καὶ ἀφαιρεθῇ καὶ τὴν ἀξίαν ἣν ἔχει καὶ τὸν βίον αὐτοῦ, ἤδη δὲ μέλλει καὶ ποινὴν πάσχειν ὡς εἰς μέγα τὶ ἔγκλημα εὑρεθεὶς, ὁ τοιοῦτος ἐὰν πολλάκις συμπαθείας τυχὼν ἐλευθερωθῇ ἀπὸ τῆς ποινῆς καὶ λάβῃ καὶ τὴν ἀξίαν ἣν ἀφῃρέθη, ἐὰν μὲν λάβῃ καὶ τὴν

α'. Κανὼν περὶ δικαίου. — Ὁ τὴν ἑτέρου δεσποτείαν ὑπεισιὼν ἢ τὸ δίκαιον, τοῖς αὐτοῦ δικαίοις ὀφείλει κεχρῆσθαι.

β'. Ἕτερος περὶ διαδοχῆς. — Ὁ εἰς ὁλόκληρον διαδεξάμενος ἀντὶ κληρονόμου ἐστίν.

γ'. Ἕτερος. — Ὁ διάδοχος ἐν πᾶσι τόπον ἔχει κληρονόμου.

δ'. Ἕτερος περὶ δοθέντος πράγματος. — Ἐγὼ δοκῶ λαμβάνειν, ὅπερ κατὰ κέλευσίν μου ἑτέρῳ δοθῇ.

ε'. Διαίσιον μεταξὺ ἀνδρὸς καὶ γαμετῆς γίνεσθαι λέγεται, διαζύγιον δὲ καὶ μνηστῇ πέμπεται.

ς'. Καὶ ἡ διαδοχὴ κληρονομία λέγεται.

ζ'. Διαφέρειν δηλοῖ καὶ τὰ ὄντα τῆς δεσποτείας ἡμῶν, καὶ ἅτινα νεμόμεθα ἢ ἐλπίζομεν κτᾶσθαι ἢ νέμεσθαι.

---

66 Syn. Γ, 9 ex Bas. XXVI, 7, 76. 67 Syn. Γ, 9 ex Bas. LVI, 2, 3. 68 Syn. Δ, 7 ex Bas. XXVIII, 12, 1. 69 Inclusa in A rasura deleta sunt. — Syn. ibid. 70 In C est νη'. In AD νζ'. 71 Syn. M, 15 ex Bas. XXVIII, 3, 5.

1 A βιβλίου, C στοιχείου addit.

περιουσίαν τοῦ βίου αὐτοῦ, ἐνέχεται[2] ἀποδιδόναι εἴ τι ὀφείλει εἰς τοὺς δανειστὰς τοὺς δανείσαντας τούτῳ πρὸ τοῦ περιορισθῆναι καὶ κρατηθῆναι αὐτὸν παρὰ τοῦ μέρους τοῦ δημοσίου· εἰ δὲ τὴν ἀξίαν μὲν[3], τὸν δὲ βίον οὐκ ἀπολάβῃ, οὐδὲ τοῖς δανεισταῖς ἀποδίδωσί τι ἀφ᾽ ὧν ἐχρεώστει πρότερον πρὸς αὐτούς[4].

β'. Ὅταν τὶς κεφαλικῇ τιμωρίᾳ περιπεσὼν καὶ πᾶσαν τὴν περιουσίαν καὶ τὸν βίον αὐτοῦ δημοσιευθεὶς, καὶ μετὰ ταῦτα συμπαθηθεὶς καὶ ἀπολυθεὶς καὶ εἰς τὸν οἰκεῖον τόπον ἀποκατασταθεὶς, δοθῇ αὐτῷ ἀπὸ τῆς ἰδίας περιουσίας πρᾶγμα ῥητὸν, κτῆμα τυχὸν ἢ ὀσπήτιον ἢ ἱμάτιον ἢ σκεῦος ἀργυροῦν ἢ χρυσοῦν, οὐκ ἐνάγεται παρὰ τῶν προτέρων αὐτοῦ δανειστῶν, οὐδὲ ἀναγκάζεται ἀποδιδόναι τὶ ἀφ᾽ ὧν πρὸ τοῦ κρατηθῆναι καὶ δημευθῆναι ἐχρεώστει αὐτοῖς. ἐὰν δὲ μέρος τὶ ἐκ τῆς ἰδίας περιουσίας ἀνώνυμον ἔλαβεν, ἤγουν τὸ τρίτον ἢ τέταρτον ταύτης ἢ πλέον ἢ ἔλαττον, ὀφείλει ἀποδιδόναι τὸ χρέος κατὰ ἀναλογίαν πρὸς τὴν δοθεῖσαν τούτῳ ποσότητα. εἰ δὲ πᾶσαν τὴν περιουσίαν λάβῃ, καὶ πάντα τὰ πρότερον χρέη πρὸς τοὺς δανειστὰς ἀποδίδωσιν. δεῖ δὲ γινώσκειν καὶ τοῦτο, ὅτι ταῦτα περὶ τῶν κρατουμένων δι᾽ ἄλλας αἰτίας ὁ νόμος παρακελεύεται. ὅταν δὲ κρατηθῇ τις ὡς χρεωστῶν δημόσια χρήματα, οὐκ ἀποκλείονται καὶ κωλύονται οἱ ἕτεροι δανεισταὶ κινεῖν κατ᾽ αὐτοῦ, ἀλλ᾽ ἔχουσιν ἄδειαν καὶ κατ᾽ αὐτοῦ καὶ κατὰ τῶν ἐγγυητῶν ἐγκαλεῖν[5].

γ'. Πριμιπίλῳ χρεωστεῖν τὸ τῷ δημοσίῳ χρεωστεῖν λέγεται[6].

δ'. Δούλη ἔγκυος, ἐὰν ἐν καιρῷ τῆς γεννήσεως ἐλευθερωθῇ, ἢ πρὸ τῆς γεννήσεως ἐλευθερωθεῖσα, ἐλευθέρα γεννήσει, καὶ τὸ γεννηθὲν ἐξ αὐτῆς παιδίον ἐλεύθερόν ἐστιν. ἐὰν δὲ καὶ ἐλευθέρα ἐγκυμονήσῃ, ἤγουν κοινῶς εἰπεῖν ἐν γαστρὶ ἕξει, εἶτα δουλωθῇ καὶ δούλη γεννήσῃ, καὶ πάλιν τὸ γεννηθὲν παιδίον

η'. Κανὼν περὶ δικαστῶν. — Τὸ ἔξω τῆς δικαιοδοσίας ἐκ τοῦ δικαστοῦ γινόμενον οὐκ ἔῤῥωται.

θ'. Ἕτερος περὶ δούλων. — Δοῦλος οὐκ ἐνέχεται οὔτε ἐνοχοποιεῖται.

ι'. Ἕτερος. — Δοῦλος οὐκ ἐνάγεται οἱᾳδήποτε ἀγωγῇ.

ια'. Ἕτερος. — Ὁ ἐν δουλείᾳ ὢν οὐ διὰ τοῦ χρῆσθαι δεσπόζει, ἐπειδὴ νέμεσθαι οὐ δοκεῖ.

---

[2] Verba ἀφηρέθη, ἐὰν—ἐνέχεται exciderunt in C. [3] AB τὴν μὲν ἀξίαν. Equidem malim τὴν ἀξ. μόνον. [4] Att. XXXV (93). [5] Att. ibid. [6] Glossa nomica.

ἐλεύθερόν ἐστιν, ὡς ἐλευθέρας οὔσης τῆς μητρὸς ὅτε τοῦτο συνέλαβε. τοῦτο φιλανθρώπως ὁ νόμος παρακελεύεται, καὶ διὰ τῶν δύο τρόπων τῷ γεννωμένῳ τὴν ἐλευθερίαν περιποιούμενος[7].

ε΄. Οὐ δεῖ δικάζειν ἢ ἀποκρίνεσθαι ἀπὸ προσκομιδῆς μέρους νόμου, τουτέστιν οὐκ ἐνδέχεται κομμάτιόν τι ἐκ τοῦ νόμου λαμβάνειν καὶ πρὸς ἐκεῖνο τὰς ψήφους ἤγουν τὰς ἀποφάσεις καὶ τὰς κρίσεις ποιεῖν, ἀλλὰ ὁλόκληρον καὶ ἀκέραιον τὸν περὶ τούτου νόμον σκοπεῖν, καὶ μὴ τὸ μέρος προσκομίζειν καὶ προτείνειν καὶ φέρειν εἰς τὸ μέσον, ἀλλὰ τὸν νόμον ὅλον προτείνειν[8].

ς΄. Αἱ μεταγενέστεραι διατάξεις ἰσχυρώτεραί εἰσι καὶ δυνατώτεραι τῶν πρὸ αὐτῶν διατάξεων[9].

ζ΄. Διπλᾶ δικαστήρια λέγονται, ὅταν καὶ τὰ δύο μέρη τὰ ἀντικρινόμενα πρὸς ἄλληλα δύνανται ἐνάγοντες[10] τὴν ὑπόθεσιν καὶ κατήγοροι γίνεσθαι, καὶ οὐκ ἔστιν ὥσπερ εἰς τὰς ἄλλας ὑποθέσεις ὁ εἷς ἐνάγων καὶ ὁ ἕτερος ἐναγόμενος, ἀλλὰ ἰσχύει καὶ ὁ ἐνάγων ἐναγόμενος γενέσθαι καὶ ὁ ἐναγόμενος μετατεθῆναι εἰς τὸν ἐνάγοντα, [ἤγουν ὁ κατηγορούμενος γενέσθαι κατηγορῶν καὶ ὁ κατηγορῶν πάλιν κατηγορούμενος.][11] τοιαῦτα γοῦν διπλᾶ δικαστήρια τρία εἰσί· τὸ περὶ ὁροθεσίων, τὸ περὶ διαιρέσεως κινητῶν[12] πραγμάτων, καὶ τὸ περὶ διαιρέσεως κληρονομίας εἰς τὴν φαμηλίαν ἤγουν πάντας τοὺς ἐν τῷ οἴκῳ γινομένους. τινὲς δὲ δύο τὰ διπλᾶ λέγουσι δικαστήρια, τὸ περὶ ὁροθεσίων καὶ τὸ περὶ διαιρέσεως, κἂν καὶ ὁποία ἂν ἄρα εἴη ἡ διαίρεσις εἴτε περὶ κινητῶν, εἴτε περὶ ἀκινήτων, εἴτε περὶ κληρονομίας· οἱ γὰρ περὶ ὅρων ἤγουν ὁροθεσίων καὶ οἱ περὶ διαιρέσεως μαχόμενοι δύνανται καὶ οἱ δύο κατήγοροι καὶ κατηγορούμενοι γενέσθαι[13].

ιβ΄. Ἕτερος. — Διὰ τῶν δούλων κρείττων ἡ αἵρεσις τῶν δεσποτῶν γίνεται, οὐ μὴν χείρων.

ιγ΄. Ἕτερος. — Ἐπὶ τοῖς μὴ τραχέσιν ἢ μυσαροῖς ἁμαρτήμασιν συγγινώσκονται οἱ δοῦλοι πειθαρχοῦντες τοῖς δεσπόταις, ἢ τοῖς ἐν τάξει δεσποτῶν, οἷον ἐπιτρόποις καὶ κουράτορσιν.

ιδ΄. Ἕτερος. — Ἡ δουλεία σχεδὸν ἔοικε τῷ θανάτῳ.

ιε΄. Ἕτερος περὶ δωρεῶν. — Δωρεά ἐστι τὸ χωρὶς ἀνάγκης διδόμενον.

---

[7] Non invenio. [8] Att. in App. [9] Att. ibid. [10] A recentiori manu ad marginem *ἤγουν κινοῦντες* [11] Inclusa BE in textu habent: A rec. manu in margine. [12] Scribendum fuerat *κοινῶν*. Sed auctor *κινητῶν* legit. [13] Att. in App.

η'. Οὐ δίδοται εἴς τινα ὑπόθεσιν δικαστὴς, ὃν τὸ ἓν μέρος ζητήσει ἐξ ὀνόματος, εἰ μὴ πολλάκις τοῦτο βασιλεὺς διορίσηται[14].

θ'. Οὐδέποτε ὁ αὐτὸς καὶ εἷς δικολόγος καὶ δικαστὴς εἶναι δύναται. ἐστὶ δὲ δικολόγος μὲν ὁ ἀντιλαμβανόμενος τῆς ὑποθέσεως καὶ τὰ συμβαλλόμενα πρὸς τὸ φανῆναι ταύτην δικαίαν διεξιών· δικαστὴς δὲ ὁ κριτής. οὐ πρέπει γοῦν τὸν αὐτὸν καὶ ἕνα δικολογεῖν καὶ δικάζειν κατὰ ταὐτόν[15].

ι'. Οὐκ ἔξεστι τῷ δικολόγῳ τὸν αὐτοῦ διάδικον ὑβρίζειν λάθρα ἢ φανερῶς. εἰ δὲ ὑβρίσει καὶ αὐτὸς ἀτιμοῦται[16].

ια'. Ὁ δικολόγος σύμφωνον ἢ συνάλλαγμα περὶ τῆς δίκης οὐ ποιεῖ[17].

ιβ'. Τινὲς τῶν δικολόγων ἐλάμβανον μισθὸν ὑπὲρ τῆς δικολογίας. κελεύει οὖν ὁ νόμος μηδένα τῶν δικολόγων συμφωνεῖν ἢ συναλλάσσειν περὶ τῆς δίκης ἤγουν τῆς κρίσεως· συμφωνεῖν δὲ καὶ συναλλάσσειν περὶ τῆς δίκης ἐστὶ τὸ ὑπὲρ τοῦ μισθοῦ τοῦ διὰ τὴν δίκην μέλλοντος δίδοσθαι καὶ διὰ τὴν ἀνταμοιβὴν τὴν ὑπὲρ τῆς δικαιολογίας συμφωνεῖν πρὸς τὸν ἔχοντα τὴν ὑπόθεσιν, ὅτι τόδε τὶ μέλλεις μοι δοῦναι, μηδὲ ἐπὶ ταύτῃ ποιεῖν συνάλλαγμα. καὶ καθολικῶς ὁ δικολόγος συμφωνίας καὶ συναλλάγματα ποιεῖν μετὰ τῶν ἐχόντων τὰς ὑποθέσεις, ἃς ἀναδέχεται, παρὰ τοῦ νόμου κεκώλυται[18].

ιγ'. Δεῖ τοὺς δικολόγους μετ' εὐχαριστίας τοὺς ἑκουσίως προσφερομένους τούτοις μισθοὺς ὑποδέχεσθαι καὶ πλέον τὶ μὴ ἐπιζητεῖν[19].

ιδ'. Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ καὶ τὸ πεκούλιον

ις'. Νεαρὰ η' τοῦ κυροῦ κωνσταντίνου. — Θεσπίζομεν μηδένα τῶν πολιτικῶν δικαστῶν μὴ ὑπὲρ οἱασδηποτοῦν ἀφορμῆς τι λαμβάνειν, ἀλλὰ καθαρὰς ἔχειν τὰς χεῖρας, καὶ παντὸς χρυσίου ὑπερφρονεῖν.

ιζ'. Τοῦ αὐτοῦ θ'. — Κελεύομεν τοὺς θεματικοὺς κριτὰς ἐφ' ἑκάστῃ τοῦ χρυσίου λιτρᾷ μὴ περαιτέρω γ' νομισμάτων λαμβάνειν, δηλονότι ἐπὶ τῶν εὐπορούντων, ὑπέρ τε νοταρίων καὶ τῶν ὑπηρετουμένων αὐτοῖς, καὶ μηδὲν ἕτερον. μὴ ὑπερβαινέτω δὲ ἡ ἀπαίτησις τῶν ἐκταγιατικῶν τὰ ρ' νομίσματα, ὅση ἂν ἡ ἀπαιτηθεῖσα περιουσία τυγχάνοι, εἴγε καὶ ρ' λιτρῶν οὖσα τυγχάνει καὶ περαιτέρω, εἰ μὴ καθόσον ὑπὲρ τροφῆς καὶ ὁδοιπορίας ἐπιξενούμενος ὁ ἐκβιβαστὴς ἐδαπάνησεν.

---

14 Att. in App. 15 Att. in App. (Leunel. tit. 95). 16 Att. l. l. 17 Att. l. l. 18 Att. l. l. 19 Att. l. l.

αὐτοῦ. ὅθεν ἐὰν δοῦλος κλέψῃ τὶ τοῦ πεκουλίου, καὶ περιέλθῃ εἰς τὸν ἀγοραστὴν, οὐκ ἐστὶ χώρα τῇ ἀγωγῇ[20].

ιε΄. Ὅτι τὸν μὲν ἐν φυγῇ δοῦλον οὔτε πωλεῖν δύναταί τις οὔτε δωρεῖσθαι οὔτε ἀγοράζειν, ἀλλ' ἓν ἐκ τούτων ποιήσας ὑπόκειται τῷ νόμῳ τῷ περὶ ἀνδραποδισμοῦ, ὑπεξῃρημένου συγκληρονόμου. οὗτοι γὰρ ἐν τῷ διαιρεῖσθαι τὰ ἐπίκοινα πράγματα ἀνάγκην ἔχουσι καὶ περὶ τοῦ ὄντος ἐν φυγῇ οἰκέτου συμφωνεῖν, ὥστε τοῦδε αὐτὸν εἶναι. δυνατὸν δὲ οὕτω πρᾶσιν συμφωνηθῆναι ὑπὸ αἵρεσιν τυχὸν, ὅτι ἐὰν εὑρεθῇ, πιπράσκω σοι αὐτὸν τόσων νομισμάτων[21].

ις΄. Ὅτι δημοτικὴ ἀγωγή ἐστιν ἡ φυλάττουσα τὸ τοῦ δημοσίου δίκαιον[22].

ιζ΄. Δουλεία δέ ἐστι διατύπωσις τοῦ ἐθνικοῦ νόμου, καθ' ἥν τις παρὰ τὴν φύσιν ἀλλοτρίᾳ δεσποτείᾳ καθυποβάλλεται[23].

ιη΄. Ὅσα παρὰ τῶν δικαζομένων καὶ τῶν συνηγόρων παραλιμπάνονται, ταῦτα παρὰ τῶν δικαζόντων ἤγουν κρινόντων ἀναπληρούσθωσαν. ὅσα γὰρ οἱ δικαζόμενοι ἤγουν κρινόμενοι καὶ οἱ συνηγοροῦντες αὐτοῖς ἐξ ἀπροσεξίας ἢ ἀγνωσίας ἀφήσουσι, ταῦτα οἱ κριταὶ ἀναπληροῦσιν ἀφ' ἑαυτῶν[24].

ιθ΄. Τῷ ὀνόματι τῶν δικαιωμάτων δηλοῦνται πάντα τὰ τὴν ὑπόθεσιν δεικνύντα· διὸ καὶ τὰ ἐκμαρτύρια καὶ οἱ μάρτυρες τάξιν δικαιωμάτων ἐπέχουσιν[25].

κ΄. Δάμνη ἰμφέκτου ἐστὶν ἡ περὶ τῆς μελλούσης ζημίας ἀσφάλεια, ὡς ὅταν βλέπων τὶς τὸν τοῦ γείτονος οἶκον πεσεῖν μέλλοντα καὶ ζημιῶσαι αὐτὸν καταναγκάσῃ αὐτὸν, ἢ κτίσαι τὸν οἶκον ἢ ἐπερωτηθῆναι περὶ τῆς μελλούσης ζημίας, ἤγουν συμφωνῆσαι καὶ ἐξασφαλίσασθαι ὅτι ὅση ζημία γένηται ἐκ τοῦ πεσεῖν τὸν οἶκον αὐτοῦ ἀποδώσει αὐτός[26]. καὶ ἡ τοιαύτη ἀσφάλεια ἡ περὶ τῆς μελλούσης ζημίας λέγεται δάμνη ἰμφέκτου[27].

ιη΄. Κατὰ δὲ τὴν νεαρὰν τοῦ κυροῦ λέοντος καὶ οἱ ἄρχοντες τοὺς ἐξ οἱουδήποτε δικαστηρίου οὐκ ὀφείλουσι συγχωρεῖν λαμβάνειν τὶ καθ' οἱονδήποτε τρόπον, οὐδὲ ἐν ὀνόματι συνηθείας δωροδοκεῖσθαι λήμμασιν.

ιθ΄. Περὶ αἱρετῶν δικαστῶν. — Εἴτε δικαία εἴτε ἄδικός ἐστιν ἡ τοῦ αἱρετοῦ δικαστοῦ ψῆφος, ἐμμένειν αὐτῇ δεῖ.

κ΄. Καὶ ὁ ξς΄ κανὼν τῆς ἐν καρθαγένῃ ἁγίας συνόδου φησίν· οἱ αἱρετοῖς κριταῖς δικασθέντες μὴ ἐκκαλείσθωσαν.

---

[20] Syn. *A*, 3 ex Bas. XIX, 1, 29. [21] Syn. l. l. ex Bas. LX, 48, 12. [22] Syn. *A*, 24 ex Bas. LX, 32, 5. [23] Syn. *A*, 47 ex Bas. XLVI, 1, 2. [24] Att. in App. (Leuncl. tit. 95). [25] Syn. *A*, 58 ex Bas. XXII, 1, 30. [26] A *αὐτάς*. [27] Videsis Labbaei Veteres glossas verbor. juris p. 16.

κα΄. Δανειακὸς κονδικτίκιος ὁ ἀπαιτητικὸς ἤγουν ζητητικὸς τοῦ δανείου λόγος ἐστίν[28].

κβ΄. Δεποσίτους ἀγωγὴ ἡ περὶ παραθήκης καλεῖται[29].

κγ΄. Ὁ διαθρέψας τὴν οἰκείαν ἀδελφόπαιδα ἤγουν ἀνεψιὰν δι' εὐσέβειαν, τουτέστιν ἐλεημοσύνης χάριν καὶ θεοφιλεῖ σκοπῷ, τῶν δαπανημάτων τῶν ἐπὶ ταύτῃ δαπανηθέντων οὐκ ἔχει ἀπαίτησιν[30].

κδ΄. Οἱ καλῇ πίστει νεμηθέντες πρᾶγμα ἀλλότριον εἴ τι ἂν ἐπ' αὐτῷ δαπανήσωσι, δύνανται πάλιν ἀναλαμβάνειν· κἂν μετὰ τὸ μαθεῖν ὅτι ἀλλότριόν ἐστι δαπανήσωσιν εἰς αὐτὸ, μόνον καλῇ πίστει λαβόντες τὴν ἀρχὴν τῆς νομῆς, οὐ κωλύονται λαμβάνειν τὰ ἐπ' αὐτῷ δαπανήματα. πλὴν οὕτως, ὥστε μὴ διὰ τῆς ἀφαιρέσεως τῶν ἐσύστερον παρ' αὐτῶν γενομένων δαπανημάτων γενέσθαι τὸ ἀλλότριον πρᾶγμα χεῖρον, ἤπερ ἦν πρὸ τοῦ λαβεῖν τοῦτο τὸν καλῇ πίστει νεμηθέντα αὐτὸ καὶ ἐπ' αὐτῷ δαπανήσαντα. ἀναγκάζεται γὰρ ὁ καλῇ πίστει νεμηθεὶς τοῦτο ἀποδοῦναι πάλιν πρὸς τὸν δεσπότην αὐτὸ τοιοῦτον, οἷον παρέλαβεν[31].

κε΄. Τὰ δαπανηθέντα νοσούσης τῆς γυναικὸς πρὸς θεραπείαν αὐτῆς τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ ἤγουν ἀγάπῃ καὶ διαθέσει καταλογίζεται, καὶ οὐ δύναται ὁ ἀνὴρ ἀπαιτεῖν αὐτά. τὰ δὲ εἰς ταφὴν ταύτης δαπανηθέντα τῷ πατρὶ τῷ τὴν προῖκα ὑποδεχομένῳ ὑποστρεφομένην λογίζονται, καὶ ἀπαιτοῦνται ἀπὸ τοῦ ἀνδρὸς παρ' αὐτοῦ[32].

κς΄. Ἐλαίαν καὶ συκῆν θ΄ πόδας ἀπὸ τοῦ ἀλλοτρίου χρὴ φυτεύειν, τὰ δὲ λοιπὰ δένδρα ε΄ πόδας[33].

κζ΄. Οὐ δεσπόσαι τῶν ἀλλοτρίων δυνήσομαι, εἰ καὶ ἐν κήνσῳ γράψω αὐτὰ, ἤγουν τῇ δημοσίᾳ σανίδι ἢ τῷ μαρμάρῳ, ἐν ᾧ κοινῶς τὰ διαφέροντα ἑκάστῳ τυγχάνει ἀναγραφόμενα[34].

κα΄. Νεαρὰ κζ΄ τοῦ κυροῦ λέοντος περὶ διαθήκης φάσκουσα, ὡς εἴπερ μόνον οἱ μαρτυροῦντες φαῖεν οἰκείαν τοῦ ἀνθρώπου τὴν διαθήκην, μηδὲν πλέον ἀπαιτεῖσθαι ἐπ' αὐτῇ, ἀλλὰ βεβαίαν εἶναι, καὶ μὴ μόνον εἰ αἱ σφραγῖδες ἐνεδέησαν ἐπικεῖσθαι, ἀλλ' εἰ καὶ τῶν μαρτύρων αἱ ὑπογραφαὶ μετὰ τῶν σφραγίδων ἐλλείπουσιν.

κβ΄. Καὶ ἡ λθ΄ νεαρὰ τούτου περὶ τῆς ἀσφραγίστου διαθήκης παρὰ τοῦ ἄρχοντός φησιν, ὥστε καὶ ἐκ μόνης τῆς ἐκμαρτύρων ὑπογραφῆς μὴ στερίσκεσθαι πίστεως.

---

[28] Etiam hic locus glossam nomicam sapit. [29] Cf. Labbaei glossas cit. p. 21. [30] Syn. Δ, 2 ex Bas. XVII, 1, 26. [31] Syn. Δ, 1 ex Bas. XV, 1, 38. [32] Syn. Δ, 2 ex Bas. XVII, 2, 13. [33] Syn. Δ, 3 ad marg. ex Bas. LVIII, 9, 13. [34] Syn. Δ, 4 ex Bas. L, 1, 59.

κη'. Τινὲς ἐξ ἐλαφρᾶς αἰτίας πικρῶς ἤγουν βαρέως τοὺς οἰκείους δούλους τιμωρησάμενοι ἐπὶ ε' χρόνους ἐξωρίσθησαν[35].

κθ'. Δοῦλος ἢ υἱὸς[36] ὑπεξούσιος εὑρὼν θησαυρὸν, εἰ μὲν ἐν τῷ ἀγρῷ ἢ ἑτέρῳ τόπῳ τοῦ πατρὸς ἢ τοῦ δεσπότου εὕρῃ τὸν θησαυρὸν, ὅλον αὐτὸν προσπορίζει τῷ δεσπότῃ ἢ τῷ πατρί. εἰ δὲ ὁ τόπος, ἐν ᾧ ὁ θησαυρὸς εὑρέθη, ξένος ἐστὶν, οὐχ ὅλον τὸν θησαυρὸν, ἀλλὰ μέρος αὐτοῦ τῷ δεσπότῃ προσπορίζει ἢ τῷ πατρί[37].

λ'. Ἐν πάσαις ταῖς δημοσίαις δίκαις κ' χρόνων ἀντίκειται παραγραφὴ, ἐξῃρημένων τινῶν, ἐφ' ὧν ὀλιγώτερον χρόνον ὁ νόμος ὁρίζει[38].

λα'. Ἔξεστι τοῖς δούλοις βαρυνομένοις ἀμέτρως ὑπὸ τῶν δεσποτῶν προστρέχειν ταῖς βασιλικαῖς στήλαις, καὶ ζητεῖν πωλεῖσθαι πρὸς ἄλλους παρὰ τῶν τοιούτων δεσποτῶν[39].

κγ'. Ἡ δὲ κε' νεαρὰ τοῦ αὐτοῦ περὶ τοῦ ἐξεῖναί φησι τοὺς ἐν αἰχμαλωσίᾳ διατίθεσθαι καὶ ἐγγράφως καὶ ἀγράφως παρουσίᾳ ε' ἢ γ' μαρτύρων, καὶ στέργειν τὰ παρ' αὐτῶν διατιθέμενα, εἰ μήτις τὰ αὐτοῦ πράγματα ἑκὼν ἢ ἄκων βιασθεὶς πρὸς τοὺς πολεμίους χωρεῖν διάθοιτο· τότε γὰρ οὐδαμῶς τὰ δεδογμένα βέβαια ἔσται.

κδ'. Ἡ δὲ λε' τοῦ αὐτοῦ φησὶ περὶ τοῦ διατίθεσθαι τυφλοὺς καὶ ἀγραμμάτους καὶ γυναῖκας, οὕτω λέγουσα· ταῖς μυστικαῖς διατυπώσεσιν, ἄντε τυφλῶν ἄντε ἑτέρων ὦσι προσώπων, προσεῖναι θεσπίζομεν σύστασιν, καὶ τοῦτο προσεπιθεσπίζοντες, ὡς πρὸς τῶν μαρτύρων ἐνόρκιον ἐκκεῖσθαι ὑπογραφὴν καὶ τῶν διατάξεις γραφόντων, ὡς εἴησαν ἀληθῶς ἐκεῖνα γράψαντες, ἅπερ ἠκηκόησαν αὐτῆς ἐκείνης ὑποφθεγξαμένης τῆς τοῦ διαθεμένου γλώσσης.

κε'. Νεαρὰ πρώτη τοῦ αὐτοῦ περὶ διαθήκης μοναχῶν, ἐν ᾗ φησιν· εἰ μὲν ὤφθη κατὰ τὸν καιρὸν, ὅτε τὸν μοναστὴν εἵλετο βίον, ὁ ἄνθρωπος ἀφιερωσάμενος τῇ ἐκκλησίᾳ, εἶναι αὐτῷ περὶ τῶν ὕστερον προσκτηθέντων ἀβίαστον καὶ κυρίαν τὴν γνώμην, καθὼς ἂν προαιροῖτο πάντα διοικεῖν. εἰ δὲ μηδὲν ὅλως καταρχὰς τῷ μοναστηρίῳ προσενήνοχε, τότε διχῇ τὴν ὕπαρξιν νέμεσθαι, τῶν μερίδων τῆς μὲν διμοιρίας συγκεφαλαιουμένης τῆς δὲ τρίτῳ μέρει, καὶ διατίθεσθαι μὲν ὥς ποτε δόξει αὐτῷ περὶ τοῦ διμοίρου τμήματος τὸν μονάζοντα, τὸ τρίτον δὲ ἀποκληροῦσθαι τῷ μοναστηρίῳ.

κς'. Καὶ ὁ ς' κανὼν τῆς ἐν τρούλλῳ ἁγίας συνόδου· ὁ μονάσαι βουλόμενός, φησι, περὶ τῶν οἰκείων διατιθέσθω. μετὰ γὰρ τὸ μονάσαι τῶν αὐτοῦ πάντων κυριεύσει τὸ μοναστήριον. εἰ δὲ μετὰ τὸ μονάσαι φωραθείη τῶν αὐτοῦ παρυποκρατήσας, αὐτὸς μὲν προσηκόντως ἐπιτιμάσθω, παρὰ δὲ τοῦ προεστῶτος ἢ τοῦ ἐπισκόπου πιπρασκόμενον πτωχοῖς καὶ ἀπόροις διανεμέσθω.

---

[35] Syn. Δ, 6 ex Bas. XXXI, 1, 2. [36] In A superscriptum *τινός*. [37] Syn. Δ, 4 ex Bas. L, 1, 59. [38] Syn. Δ, 5 ex Bas. LI, 3, 13. [39] Syn. Δ, 6 ex Bas. XXXI, 1, 2.

λβ'. Αἱ δωρεαὶ αἱ πρὸ τοῦ γάμου ἰσχυραί εἰσιν, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ, καθ' ἣν δηλονότι δοθῶσιν αἱ δωρεαὶ, καὶ οἱ γάμοι γένωνται[40].

λγ'. Δρόμον ὁ νόμος πολλάκις καὶ τὰ εἰς τὸν δρόμον τεταγμένα δημόσια ζῶά φησιν[41].

λδ'. Οἱ τοῖς δημοσίοις ζώοις εἰς ἰδίας χρησάμενοι χρείας, πρὸς τοῖς ζώοις ἤγουν σὺν τῇ ἀποδόσει τῶν ζώων ἐφ' ἑκάστῳ ζώῳ καὶ μίαν λίτραν χρυσίου ζημιοῦνται[42].

λε'. Ἡ διαθήκη, ἣν ἐσφράγισε παρὰ μαρτύρων ὁ διαθέμενος, [ἐὰν] ἀποσφραγίσας οἰκονομήσῃ πάλιν ἀνασφραγισθῆναι ὑπὸ ζ' ἢ ε' μαρτύρων, ἔῤῥωται[43].

λς'. Ἐν ἀτελεῖ διαθήκῃ, εἴπερ σὺν τοῖς παισὶ καὶ ἐξωτικὸν πρόσωπον διὰ μνήμης γένηται, ὅσον μὲν εἰς τοὺς παῖδας, ἔῤῥωται ἡ διαθήκη· ὅσον δὲ εἰς τὸ ἐξωτικὸν, οὐκ ἔῤῥωται[44].

λζ'. Ἐάν τις ὡς ἐπὶ τυραννίδι ἐλεγχθεὶς δήμευσιν ὑπομείνῃ, οἱ μὲν ἔχοντες αὐτοῦ πράγματα καὶ διάγοντες ἐν τῇ βασιλίδι πόλει εἴσω δύο μηνῶν ὀφείλουσιν αὐτὰ προσαγγεῖλαι· οἱ δὲ μὴ διάγοντες ἐν τῇ βασιλίδι πόλει ἐντὸς ὀκτὼ μηνῶν. εἰ δὲ μὴ τοῦτο ποιήσουσι, μετὰ τῶν πραγμάτων τὸ τετραπλάσιον παρέχουσιν[45].

λη'. Ὁ δημευθεὶς ἐντελλόμενός τινι ἀγοράσαι τὰ αὐτοῦ παρὰ τοῦ δημοσίου, ἔχει κατ' αὐτοῦ τὴν περὶ ἐντολῆς ἀγωγήν· τὰ γὰρ ἐπικτώμενα τῷ δημευθέντι οὐ λαμβάνει ὁ δημόσιος[46].

λθ'. Ἐὰν ἄρχοντες ἐν καιρῷ τῆς ἀρχῆς δημόσια χρήματα κλέψωσι, καὶ αὐτοὶ κατεχέσθωσαν κεφαλικῇ τιμωρίᾳ καὶ οἱ ὑπουργήσαντες αὐτοῖς ἐν τῷ πράγματι καὶ ὑποδεξάμενοι τὰ παρ' αὐτῶν ὑποκλαπέντα[47].

μ'. Ἡ ἐν αἰχμαλωσίᾳ γενομένη διαθήκη οὐκ ἔῤῥωται[48].

μα'. Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ[49].

μβ'. Καὶ ἀλλότριος δοῦλος καλῶς γράφει τὴν διαθήκην[50].

μγ'. Ἐὰν ὑπεξούσιος κυοφορούμενος ἀμνημόνευτος ἐαθεὶς ἐν διαθήκῃ τεχθῇ μὲν, φωνὴν δὲ μὴ ἀφήσει, εἰ[51] ὅλως τέλειος γεννηθῇ ζῶν, κἂν ἅμα τῷ πεσεῖν ἐν τῷ ἐδάφει ἐτελεύτησεν, ἢ ἐν ταῖς χερσὶ τῆς ἰατραίνης[52], ῥήγνυσι τὴν διαθήκην[53].

---

[40] Cf. infra c. 71. [41] Ad Syn. Δ, 9. [42] Syn. Δ, 9 ex Bas. LVI, 17, 20. [43] Syn. Δ, 14 ex Bas. XXXV, 1, 24. [44] Syn. Δ, 15 ex Bas. XXXV, 2, 16. [45] Syn. Δ, 8 ex Bas. LX, 52, 17. Cf. etiam Att. XXXV (79). [46] Syn. l. l. ex Bas. XIV, 1, 22. [47] Syn. Δ, 13 ex Bas. LX, 45, 16. [48] Syn. Δ, 14 ex Bas. XXXV, 1, 9. [49] Syn. l. l. ex Bas. XXXV, 1, 28. [50] Syn. l. l. ex Bas. XXXV, 1, 29. [51] A ἤ. [52] Sic AB. [53] Syn. Δ, 21 ex Bas. XXXV, 8, 34.

μδ'. Ἄκυρος γίνεται ἡ διαθήκη, ὅταν τὴν ἐλευθερίαν ὁ διαθέμενος ἀπολέσῃ[54].

με'. Ἐὰν ζητῆται, τίνι ὀφείλει ἡ διαθήκη παρατεθῆναι, ὁ γέρων τοῦ νεωτέρου προκρίνεται, καὶ ὁ μείζονος τιμῆς τοῦ ἥττονος, καὶ ὁ ἀνὴρ τῆς γυναικὸς, καὶ ὁ εὐγενὴς τοῦ ἀπελευθέρου[55].

μς'. Οἱ γονεῖς καὶ οἱ παῖδες καὶ οἱ ἀδελφοὶ κινοῦσι τὴν κατὰ τῆς διαθήκης μέμψιν, οὐ μὴν καὶ οἱ λοιποὶ συγγενεῖς[56].

μζ'. Ὁ κινήσας τὴν τῆς διαθήκης μέμψιν καὶ ἡττηθεὶς, καλῶς μετὰ ταῦτα κατηγορεῖ τῆς διαθήκης ὡς πλαστῆς. καὶ τὸ ἐναντίον δὲ ὁ τὸ πλαστὸν πρότερον κινήσας καλῶς μετὰ ταῦτα τὴν κατὰ τῆς διαθήκης μέμψιν κινεῖ[57].

μη'. Ἐὰν διαμάχωνται πρὸς ἀλλήλους ἔνστατος καὶ ὑποκατάστατος, τέως ὁ ἔνστατος ὀφείλει εἶναι ἐν τῇ νομῇ[58].

μθ'. Ἡ διακατοχὴ περαιτέρω τοῦ ὡρισμένου χρόνου οὐδὲ ἐπὶ στρατιωτικῆς διαδοχῆς αἰτεῖται. διακατοχὴ δὲ ἐστὶ δίκαιον τοῦ ἐξεῖναι κρατεῖν τὴν οὐσίαν ἢ τὰ πράγματα τοῦ τελευτήσαντος[59].

ν'. Ὁ καλούμενος εἰς δικαστήριον λέγων ἕτερον ἔχειν φόρον, ὀφείλει ἀπιέναι πρὸς τὸν καλοῦντα, ἵνα τὰ περὶ τούτου παρ' αὐτῷ γνωσθῇ, καὶ μὴ καταφρονείτω αὐτοῦ[60].

να'. Ὁ προπετῶς εἰς δίκην τινὰ καλῶν, καὶ τὰ τῆς ὁδοῦ καὶ τὰ τῆς δίκης δίδωσιν αὐτῷ δαπανήματα[61].

νβ'. Οὐ δύναται δικαστὴς εἶναι ὁ μήτε δικαιοδοσίαν ἔχων, μήτε ἀπὸ βασιλέως ἐξουσίαν λαβὼν, μήτε δοθεὶς ἀπὸ τοῦ δυναμένου δοῦναι δικαστὴν, μήτε ἀπὸ νόμου βεβαιούμενος, μήτε αἱρετὸς ὤν[62].

κζ'. Τῆς ἐν καρθαγένῃ ιε' ἐκ τῶν ἱερῶν κανόνων· Ἐὰν ὑπό τινων δικαστῶν καταδικασθείς τις εἰς ἑτέρους μείζονας καταδράμῃ καὶ παρ' ἐκείνοις δικαιωθῇ, οἱ προδικάσαντες μὴ βλαπτέσθωσαν, εἰ μήπου κατὰ ἔχθραν ἢ δωροδοκηθέντες ἐλεγχθῶσιν ἐκεῖνον καταδικάσαντες. καὶ τοῖς κατὰ συναίνεσιν ἐκλέξασι δικαστὰς καὶ ὀλιγοτέροις οὖσι τοῦ δέοντος μὴ ἐξέστω ἐκκαλεῖσθαι. καὶ τὰ τέκνα τῶν ἱερέων θεώρια κοσμικὰ μὴ ποιείτωσαν, μηδὲ θεωρείτωσαν. τοῦτο δὲ καὶ πᾶσι χριστιανοῖς ἀπείρηται.

---

[54] Syn. Δ, 22 ex Bas. XXXIX, 2, 6. [55] Syn. Δ, 23 ex Bas. XXII, 1, 34. [56] Syn. Δ, 26 ex Bas. XXXIX, 1, 1. [57] Syn. l. l. ex Bas. XXXIX, 1, 42. [58] Syn. Δ, 27 ex Bas. XXXV, 19, 1. [59] Syn. l. l. ex Bas. XXXV, 21, 11 et Syn. Δ, 28 ex Bas. XL, 1, 3. [60] Syn. Δ, 36 ex Bas. VII, 5, 5. [61] Syn. l. l. ex Bas. VII, 9, 72. [62] Syn. Δ, 49 ex Bas. VII, 5, 74.

νγ'. Δοῦλος ἐπηγγείλατο τῷ δεσπότῃ δοῦναί τινα πράγματα, εἰ ἐλευθερώσει αὐτόν· ὁ δεσπότης ἐπίστευσε τῷ δούλῳ, ἠλευθέρωσεν αὐτόν· ὁ δοῦλος οὐκέτι ἐνέχεται εἰς τὴν τῶν ἐπηγγελμένων ἐκπλήρωσιν. εἰ δὲ καὶ μετὰ τὴν ἐλευθερίαν ἐπερώτησις καὶ ὑπόσχεσις καὶ βεβαίωσις παρὰ τοῦ δούλου ὧν εἶπε γένηται, ὁ δοῦλος ἐνέχεται[63].

νδ'. Δοῦλός τινος συνάλλαγμα πρὸς ἕτερον ποιῶν ἔσφαλλεν· ἠλευθερώθη ὁ δοῦλος· κινεῖ ὁ τοῦ συναλλάγματος ζημιωθεὶς κατὰ τοῦ δεσπότου τοῦ ἔχοντος τὸν δοῦλον ἀγωγήν· ὁ νόμος κελεύει τὸν δεσπότην μὴ ἐνέχεσθαι. εἰ δὲ οὐκ εἰς συνάλλαγμα ὁ δοῦλος σφαλῇ, ἀλλὰ τρόπον ἄλλον ἁμάρτῃ, ὁ δεσπότης ἐνέχεται, διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἕπεται[64].

νε'. Ὁ δημόσιόν τι τοῦ τεταγμένου ἐπέκεινα ἀπαιτήσας ἔκ τινος, εἰς τὸ τετραπλοῦν αὐτὸ ζημιοῦται[65].

νς'. Οἱ εἰς τὸ διηνεκὲς ἐκμισθωθέντες χωρὶς κελεύσεως βασιλικῆς οὐκ ἀφαιροῦνται[66].

νζ'. Δοῦλος ὀρθὴν ἐλευθερίαν λαβών, ἤγουν εὔλογον καὶ μηδὲν ἔχουσαν ἐπιλήψιμον μηδὲ μετά τινος διαστίξεως ἢ προσδιορισμοῦ γενομένην, εἶτα κλέψας τῶν δεσποτικῶν πραγμάτων τινά, τὴν ἐλευθερίαν οὐκ ἀφαιρεῖται, ἀλλ' ἔχει ὡς ἐξ ἀρχῆς ἐδόθη αὐτῷ· εἰς δὲ τὸ εἰς τὰ κλαπέντα διδόναι λόγον ἐνέχεται[67].

νη'. Ἐν τοῖς παλαιοῖς νόμοις ἄλλος χρόνος ὥρισται εἰς διαθήκην τὴν περὶ ἄλλων πραγμάτων, καὶ ἄλλος εἰς διαθήκην τὴν περὶ τῆς τῶν δούλων ἐλευθερίας. οἱ μὲν πρότερον νόμοι οὐκ ἐδίδουν ἄδειαν τοῖς νέοις ἐλευθεροῦν οἰκείους δούλους πρὶν ἂν ὑπερβῶσι τὸν τῶν ἀφηλίκων χρόνον[68], διαθήκην δὲ ἐν τοῖς ἄλλοις αὐτῶν πράγμασιν ἄδειαν εἶχον ποιεῖν ἀπὸ τῶν χρόνων, οὓς περὶ τῆς διαθήκης ὁ νόμος ἔταξεν. οἱ δὲ ὕστεροι νόμοι κελεύουσι, ὁπότε μὴ κωλύονται ἐκ τοῦ χρόνου ἐπὶ τῇ λοιπῇ αὐτῶν περιουσίᾳ διατίθεσθαι, ἐνδεδομένον αὐτοῖς εἶναι καὶ περὶ τῆς τῶν δούλων ἐλευθερίας ἃ βούλονται διατίθεσθαι καὶ διατάττεσθαι[69].

νθ'. Ὁ δούλῃ σαρκικῶς ἑνούμενος, ἐὰν μείνῃ μέχρι τελευτῆς οὕτω, καὶ τελευτῶν οὐδὲν εἴπῃ περὶ αὐτῆς, ἐλευθέραν τὴν δούλην ποιεῖ, σεσιωπημένως δοκῶν ταύτην ἐλευθεροῦν[70].

63 Syn. *E*, 23 ex Bas. XXIV, 5, 3. 64 Syn. l. l. ex Bas. XXIV, 5, 4.
65 Syn. *E*, 7 ex Bas. VII, 4, 5. 66 Syn. *E*, 12 ex Bas. LV, 1, 9 (LVI, 14, 20).
67 Syn. *E*, 15 ex Bas. XLVIII, 3, 59. 68 A νόμον ἤγουν τὸν χρόνον.
69 Syn. *E*, 15 ex Bas. XLVIII, 26, 2. 70 Syn. *E*, 17 ex Bas. XLVIII, 19, 3.

ξ'. Εἰσὶν αἰτίαι τινὲς, δι' ἃς οἱ δοῦλοι εὐλόγως ἐλευθεροῦνται παρὰ τῶν αὐτῶν δεσποτῶν· ὁποία ἐστὶ τὸ ῥύσασθαι τὸν δεσπότην ἐκ θανάτου ἢ ἀτιμίας, καὶ τὸ ἀπὸ λῃστῶν ἢ πολέμου ἢ νόσου αὐτὸν ἐλευθερῶσαι, καὶ ὁ καταμηνύσας τὴν τοῦ δεσπότου σφαγὴν, καὶ τὸ τοὺς ποιοῦντας πλαστὴν μονίταν ἐλέγχειν, καὶ τὸ ἁρπαγὴν παρθένου ἢ λειποταξίαν στρατιώτου μηνύσαι[71].

ξα'. Δοῦλος κἂν αὐθαιρέτως λέγῃ κατὰ τοῦ δεσπότου, οὐ πιστεύεται[72].

ξβ'. Δεβίτωρ κατά τινας ὁ χρεωφειλέτης καλεῖται, κρεδίτωρ δὲ πάλιν ὁ δανειστής. ὁ γοῦν δεβίτωρ ἀπαρνησάμενος τὸ χρέος, οὐ δύναται μετὰ ταῦτα ἀποδείξεις προκομίζειν, ὅτι κατεβάλετο τὸ χρέος, ἀλλὰ μετὰ τὴν ἄρνησιν ἀπελεγχθεὶς χρεωστεῖν εἰς τὴν ἀπόδοσιν τοῦ χρέους καταδικάζεται[73].

ξγ'. Ἐὰν ὁ βασιλεὺς τῷ ἤδη τελευτήσαντι ὡς περιόντι ἤγουν ἔτι ζῶντι χαρίσηται ἢ δωρήσηταί τι, οὐκ ἔῤῥωται μὲν τοῦτο ὡς δωρεά· τοῦ δὲ βασιλέως ἐστὶν ἐπὶ τῇ οἰκείᾳ φιλοτιμίᾳ ποιεῖν, ὃ βούλεται[74].

ξδ'. Ὁ διάδοχος ἐν πᾶσι τὸν τοῦ κληρονόμου τόπον ἐπέχει[75].

ξε'. Ἔξεστι τῷ δικαστῇ, τῷ ἡττημένῳ ἐκ τῶν ἀντικρινομένων μερῶν τὰ δαπανήματα τὰ εἰς τὸ δικαστήριον ὑπὲρ τῆς ὑποθέσεως καταβληθέντα ἐπιτιθέναι καὶ αὐτὸν καταναγκάζειν ἀποδιδόναι αὐτὰ, καὶ ὑπὲρ τὰ δαπανηθέντα δὲ καταβαρύνειν αὐτὸν ἕως καὶ τῆς δεκάτης μοίρας τῶν δαπανημάτων. ταῦτα δὲ τὰ ἐπέκεινα τῶν δαπανηθέντων ἀποδίδονται μὲν ὡς ἐπὶ τὸ πλεῖστον τῷ δημοσίῳ· σπανίως δὲ, εἴπερ ὁ δικαστὴς βούλοιτο, καὶ τῷ νικήσαντι μέρει, ἀνθ' ὧν κατετρίβη ἀδίκως, ἀπὸ τούτων δίδοται, πρὸς ὃ ἂν διακρίνῃ ὁ δικαστής[76].

ξϛ'. Τῇ αὐθεντίᾳ ἤγουν τῇ ἐξουσίᾳ τοῦ δικαστοῦ, οὐ μὴν τῇ βουλήσει τοῦ κατηγόρου, ἡ κατηγορία, κἂν ὁποία καὶ εἴη, ὀφείλει ἀπαλείφεσθαι[77].

ξζ'. Δέσποινα, ἤγουν κυρία οἴκου, τὸν ἐπὶ μοιχείᾳ αὐτῆς κατηγορούμενον δοῦλον πρὸ ψήφου, ἤγουν δικαστικῆς ἀποφάσεώς τε καὶ διαγνώσεως, οὔτε ἐλευθεροῦν οὔτε κληρονόμον γράφειν δύναται. εἰ δέ τι ποιήσει τοιοῦτον, ἄχρηστον μένει[78].

---

[71] Syn. *E*, 17 ex Bas. XLVIII, 2. [72] Syn. *Z*, 2 ex Bas. LX, 50, 17. [73] Non invenio. [74] Syn. *K*, 2 ex Bas. II, 3, 191. [75] Syn. l. l. ex Bas. II, 3, 117. [76] Syn. *K*, 5 ex Bas. IX, 3, 69. [77] Syn. *K*, 8 ex Bas. LX, 1, 10. [78] Non invenio.

ξη'. Ὁ διατετιμημένα δεξάμενος, χρεωστεῖ αὐτῶν φυλακήν. ὅθεν ἐάν τις παρ' ἄλλου διατετιμημένα δεξάμενος ἀπολέσῃ αὐτὰ, εἰ μὲν λῃσταὶ μετὰ βίας ἢ ἄλλοι τινὲς δυναστείᾳ ἀφείλοντο ταῦτα, οὐκ ἐνέχεται· εἰ δὲ κλέπται ἢ πῦρ ἀπώλεσεν ἢ ἄλλο τὶ, εἰς ὃ οὐ γίνεται βία, ἐνέχεται[79].

ξθ'. Εἰ καὶ αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἐξ ἀνάγκης στέργονται, ἀλλὰ τὰς μετὰ τὸν γάμον δωρεὰς, ἐὰν μὴ μέχρι τέλους τῆς αὐτοῦ ζωῆς τῇ αὐτῇ βουλῇ ἐπιμένῃ, δύναται ὁ ἀνὴρ ἀναλαμβάνειν[80].

ο'. Ὁ πενθερὸς τῷ μνηστῆρι τῆς ἰδίας θυγατρός τινα δωρησάμενος, κἂν μὴ εἰς πέρας ἔλθῃ ὁ γάμος, οὐ δύναται τὰ δωρηθέντα ἀναλαμβάνειν. ὁ δὲ μνηστὴρ, ἃ δώσει τῇ ἰδίᾳ μνηστῇ ἐλπίδι τοῦ προβῆναι τὸν γάμον, μὴ γενομένου τοῦ γάμου δύναται ἀναλαμβάνειν αὐτά[81].

οα'. Αἱ κατ' αὐτὴν τὴν ἡμέραν, καθ' ἣν ὁ γάμος γίνεται, πρὸς τὴν γυναῖκα παρὰ τοῦ ἀνδρὸς διδόμεναι δωρεαὶ, εἰ μὲν ἔτι ἐν τῷ ἑαυτῆς οἴκῳ ἐτύγχανεν ἡ γυνὴ, ἔῤῥωνται καὶ τὸ στέργον ἔχουσιν, ὡς πρὸς μνηστὴν, οὐ πρὸς γαμετὴν διδόμεναι. εἰ δὲ ἐν τῷ τοῦ ἀνδρὸς ἀφικομένη οἴκῳ τὰς δωρεὰς δέξεται ἡ γυνὴ, οὐκ ἔῤῥωνται αἱ δωρεαὶ, ὡς πρὸς γαμετὴν δεδομέναι[82].

οβ'. Δοῦλος τὴν οἰκείαν κυρίαν μετὰ συνδούλου αὐτοῦ μοιχευομένην ἐλέγξας καὶ μηνύσας, ἐλευθερούσθω[83].

ογ'. Οἱ δικασταὶ τῶν ἁγίων εὐαγγελίων προκειμένων δικάζειν ὀφείλουσιν[84].

οδ'. Ἔξεστι τοῖς δανεισταῖς, τοῦ χρεωστοῦντος αὐτοῖς ἐν τῷ τελευτᾶν περὶ τῆς ἰδίας περιουσίας ὀμόσαντος ἢ καὶ ἄλλως ἀσφαλισαμένου τὴν ταύτης ποσότητα, καὶ ἔτι περὶ ταύτης ἀνερευνᾶν καὶ ζητεῖν[85].

κη'. Νεαρὰ κθ' τοῦ κυροῦ λέοντος περὶ δωρεῶν. — Ἡ μέχρι τῶν φ' ὑπερπύρων τιμωμένη δωρεὰ, εἰ καὶ ἄγραφος εἴη, τρισὶ μάρτυσι κυρουμένη φέρει τὸ βέβαιον· ἡ δὲ ὑπὲρ τὰ φ' νομίσματα τιμωμένη δωρεὰ, ἔγγραφος μὲν οὖσα, ἀναθέτητος διαμένει· ἐγγράφου δὲ συστάσεως ἐρήμη γνωριζομένη, ἀβέβαιός ἐστι κατὰ τὸ ὑπερβαῖνον μέτρον τῶν φ' νομισμάτων, κἂν ὑπὸ μάρτυσιν ὁ τῆς δωρεᾶς ἀντιποιούμενος ταύτης ἀντιποιῆται. καὶ δέον τούτῳ τῷ τύπῳ ἐξεταζομένας ἰσχύειν ἢ ἀκυροῦσθαι τὰς δωρεάς.

---

[79] Syn. *K*, 21 ex Bas. XII, 1, 50. [80] Syn. *M*, 15 ex Bas. XXVIII, 3, 1. [81] Syn. l. l. ex Bas. XXVIII, 3, 10. [82] Syn. l. l. ex Bas. XXVIII, 3, 6. [83] Syn. *M*, 16 ex Bas. LX, 37, 73. [84] Deest haec §. in E. — Syn. *O*, 5 ex Bas. VII, 14, 20. [85] Syn. *O*, 4 ex Bas. XLI, 6.

οε΄. Ὁ ἐπὶ τοῖς κεχρεωστημένοις αὐτῷ δολιευσάμενος καὶ πλείονα τὴν τοῦ χρέους καταστήσας ποσότητα, ἴσως δὲ καὶ τον χρεώστην αὐτὸν κατασκευάσας ὁμολογῆσαι ὡς πλείονα πρὸς τοῦτον χρεωστεῖ, ὁ τοῦτο ποιήσας, εἰ μὲν ἑκὼν τῆς δολιότητος ἑαυτὸν ἀποστῇ[86] καὶ τὴν ῥᾳδιουργίαν αὐτὸς φανερώσει αὐτοθελῶς[87], τὸ μὲν πλέον τοῦ χρέους ἀπολαμβάνειν οὐ δύναται, ἀλλ' οὐδ' ἀπαιτεῖν ἰσχύει αὐτὸ, ἀλλὰ μόνον τὸ ἀρχαῖον χρέος πρὸς τοῦτον δίδοται. εἰ δὲ ἄκων ἀπελεγχθῇ ἐφ' οἷς δολιεύεται, πρὸς τῷ πλείονι τοῦ χρέους καὶ αὐτὸ τὸ κατ' ἀλήθειαν ὀφειλόμενον πρὸς τοῦτον ἀπόλλυσιν[88].

οϛ΄[89]. Τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα προικιμαῖά εἰσίν[90].

ΑΡΧΗ ΤΟΥ Ε[1].

α΄. Τῶν ἐλευθέρων οἱ μὲν λέγονται εὐγενεῖς, οἱ δὲ ἀπελεύθεροι. καὶ εὐγενεῖς μὲν εἰσὶν οἱ ἐλεύθεροι ἐκ γεννήσεως[2], ἀπελεύθεροι δὲ οἱ ἀπὸ δούλων γεγονότες ἐλεύθεροι[3].

β΄. Ὁ ἐλεύθερος καὶ ἄπαις ὢν ὡς βούλεται διατίθεται, καὶ οὐκ ἀναγκάζεται ἢ βιάζεται, ἵνα ἀφήσῃ τί τινι ἀνθρώπῳ ἐξωτικῷ χωρὶς μόνον γονέων, οἷς χρεωστεῖ ἐξ ἀνάγκης φαλκίδιον, τουτέστιν τὸ ἀνῆκον μερίδιον[4].

γ΄. Ὁ ἐλεύθερος ἔτι ζῶν οὐδενὶ δουλεύειν βιάζεται, οὐδὲ σέβεσθαί τινα καὶ τιμᾶν ὃν οὐ θέλει[5].

α΄. Ἐκποιεῖ πρᾶγμα καὶ ὁ ἀνεχόμενος αὐτοῦ τῆς χρήσεως δεσποθῆναι, ἢ τῇ ἀχρησίᾳ ἀπόλλων τὰς δουλείας αὐτοῦ. ὁ δὲ μὴ ἐπικτώμενος, οὐ δοκεῖ ἐκποιεῖν, ὡς ἐπὶ τοῦ ἀπαγορεύοντος κληρονομίαν ἢ μὴ χρωμένου τῇ καταλειφθείσῃ αὐτῷ ἐπιλογῇ.

β΄. Τὸ ἐπερωτῆσαι πρᾶγμα ὀρθῶς ἀποκαταστῆσαι, δηλοῖ μετὰ τῶν καρπῶν.

γ΄. Κανὼν περὶ ἐκχωρήσεως. — Ὁ ἔχων ἐξουσίαν δωρεῖσθαι πρᾶγμα, καὶ πιπράσκειν καὶ ἐκχωρεῖν αὐτὸ δύναται.

δ΄. [Ἐπερώτησίς ἐστι συνθήκη] ῥημάτων, δι' ὧν ἀποκρίνεταί τις πρὸς τὴν [ἐπερώτησιν ποιεῖν τι] ἢ διδόναι.

---

86 A ἀποστήσας. 87 B αὐτοθελῶς φανερ., omissa voce αὐτός. 88 Syn. O, 6 ex Bas. VII, 6, 22. 89 In A ξε΄, in D ξθ΄, in C οη΄. 90 Syn. Π, 29 ex Bas. XXIX, 1, 50.

1 A addit βιβλίου, C στοιχείου. 2 C γενέσεως. 3 Att. I. 4 Att. I. 5 Att. I.

δ'. Οἱ ἐξ ἐννόμων γάμων ὑπόκεινται τῷ πατρὶ καὶ αὐτῷ ὑποτάσσονται. κληρονομοῦσι δὲ τὸν πατέρα καὶ τὴν μητέρα καὶ ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου, εἰ μήτις αἰτία κωλύσει εὔλογος. καὶ ὅσα ἐξ ἰδιωτικῶν ὑποθέσεων κτήσονται, προσφέρουσι τῷ πατρί· καὶ ὑπὸ τὴν τοῦ πατρὸς ἐξουσίαν τὰ τῶν παίδων εἰσί· καὶ χωρὶς γνώμης τοῦ πατρὸς οὐ δύνανται οἱ παῖδες γαμικὸν ποιῆσαι συνάλλαγμα· οὔτε ἀποδημοῦσιν ἄνευ τῆς τούτου βουλῆς τε καὶ προτροπῆς, εἰ μὴ πολλάκις εἰς ἐκστρατείαν τούτους καλέσουσι[6], τότε γὰρ καὶ ἀποδημοῦσι χωρὶς βουλῆς τοῦ πατρός· καὶ ὅσα κτήσονται ἀπὸ τῆς ἐκστρατείας, ὡς ἰδικὰ αὐτῶν ἔχουσι, καὶ τῷ πατρὶ οὐδεμία ἐξουσία ἐστὶν ἐν αὐτοῖς[7].

ε'. Οἱ ἐκ πορνείας παῖδες ὑπόκεινται τῇ μητρὶ, καὶ ἀνάγονται παρ' αὐτῆς, καὶ κληρονομοῦσιν ἀποθανοῦσαν, καὶ παρ' αὐτῆς πάλιν κληρονομοῦνται εἰ πρὸ αὐτῆς τελευτήσουσιν· ἐπὶ δὲ τῷ πατρὶ οὐκ ἔχουσι προνόμιόν τι, οὔτε ὁ πατὴρ ἐν αὐτοῖς. (ἔν τισι τῶν νομίμων ἐνδέδοται καὶ ἐπὶ τούτοις, εἰ βούλεται ὁ πατὴρ, τῆς μητρὸς εἶναι προτιμότερον τοῦτον.)

ϛ'. Ὅτι τρεῖς εἰσὶν ἐναλλαγαὶ καταστάσεως· μεγάλη, μέση καὶ ἐλαχίστη, διότι καὶ τρία εἰσὶν, ἅπερ ἔχομεν· ἐλευθερία, πολιτεία, συγγένεια. καὶ μεγάλη μέν ἐστιν ἐναλλαγὴ καταστάσεως, ἤγουν τῆς τάξεως ἧς ἔχει ἕκαστος ἐλεύθερος ἄνθρωπος, δι' ἧς καὶ τὰ τρία ἀπόλλυται ἤγουν ἐλευθερία, πολιτεία, συγγένεια, καὶ παντελῶς ἡ τάξις πρὸς τὸ χεῖρον ἀλλάττεται.

ε'. Ἐπιβολή ἐστιν ἐπίδοσις [ἀπόρου κτήματος] πρὸς [συγ]κληρονόμους ἢ συνιελεστὰς ἢ ὁμοχώρους [καὶ ὁμοκήνσους].

ϛ'. Κανὼν περὶ ἔθους. Καὶ ἐν τῇ ἐπερωτήσει καὶ ἐν τοῖς λοιποῖς συναλλάγμασιν, εἰ μὴ δηλοῦται τὸ δόξαν τοῖς μέρεσιν, ἀκολουθοῦμεν τῷ ἔθει τοῦ κλίματος, ἐν ᾧ γέγονε τὸ συνάλλαγμα· εἰ δὲ καὶ αὐτὸ ἄδηλον εἴη ἢ ἀδιάφορον, τότε τῷ ἥττονι ἀκολουθοῦμεν.

ζ'. Ἕτερος. — Ἀχρήστως ἐπερωτῶμεν τὸ μὴ δυνάμενον εἶναί τινος. οὐδεμία γὰρ ἐπὶ τούτῳ ἐνοχὴ συνίσταται.

η'. Ἕτεροι περὶ ἐλευθερίας. — Ἡ ἐλευθερία πρᾶγμά ἐστιν ἀδιατίμητον.

θ'. Πλέον παντὸς πράγματος θάλπομεν τὴν ἐλευθερίαν.

ι'. Ἀδήλου τῆς γνώμης οὔσης τοῦ ἐλευθεροῦντος ἡ ἐλευθερία θάλπεται.

ια'. Ἕτερος περὶ ἐγγυητῶν. — Ὁ ὑπὲρ ἄλλων ἐπερωτηθεὶς ὀφείλει τὸ ἱκανὸν ποιῆσαι, κἂν αὐτὸς μὴ ἔλαβεν.

---

[6] Secundum Attalensem legendum est: ἐκστρατεία τούτους καλέσοι. [7] Att. I.

ποιεῖ δὲ τοῦτο ὁ περιορισμός· ὁ γὰρ περιοριζόμενος οὔτε ἐλευθερίαν ἔχει, ἀλλ' εἰς μέταλλον ἐργάζεσθαι κατακρίνεται· οὔτε πολιτείαν, ἀλλὰ δημεύεται καὶ τῷ δημευθῆναι ἡ τῆς πολιτείας στέρησις ἐπακολουθεῖ· οὔτε συγγένειαν, ὁ γὰρ ἐν περιορισμῷ ὑπάρχων οὔτε διατίθεται οὔτε κληρονομεῖται οὔτε κληρονομεῖ οὔτε παῖδας ὑπεξουσίους κεκτῆσθαι δύναται. ἡ δὲ μέση μόνην φθείρει τὴν πολιτείαν. μέση δὲ ἐναλλαγὴ ἐξορία ἐστίν· ἔξω γὰρ πάντων τῆς πολιτείας ἅπας ἐξόριστος. ἡ δὲ ἐλαχίστη μόνην τὴν συγγένειαν ἐναλλάσσει. ἐλαχίστη δὲ ἐναλλαγὴ ἡ υἱοθεσία ἐστὶν, ἥτις καὶ μόνην ὡς εἴρηται μεταποιεῖ τὴν συγγένειαν, μήτε τὴν πολιτείαν μήτε τὴν ἐλευθερίαν ἀλλάττουσα. υἱοθετοῦνται δὲ πολλάκις μὲν ὑπεξούσιοι, ἤγουν οἱ ἔχοντες πατέρα καὶ ὑπὸ τὴν ἐκείνου ἐξουσίαν ταττόμενοι· καὶ ἡ τοιαύτη τῶν ὑπεξουσίων υἱοθεσία ἐξάγει καὶ ἐκβάλλει τοὺς παῖδας, τοὺς υἱοθετουμένους δηλαδὴ, ἀπὸ τοῦ κατὰ φύσιν πατρὸς καὶ μεταφέρει καὶ ὑποτίθησιν ἄλλῳ κατὰ θέσιν πατρί. πολλάκις δὲ υἱοθετοῦνται καὶ αὐτεξούσιοι, καὶ οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες· καὶ ἐπὶ τῶν ἀνδρῶν μὲν κελεύσει βασιλέως ὡς ἐπὶ τὸ πολὺ τοῦτο γίνεται, ἐπὶ δὲ τῶν γυναικῶν ὁ κατὰ τόπους σκοπεῖ ἄρχων, μήπως δι' ἔρωτα σατανικὸν ἢ κακοτροπίαν τινὰ ἡ τοιαύτη υἱοθεσία κακούργως ἐπινενόηται[8].

ζ'. Ἀπαγορεύεται τοῖς ἐπισκόποις ἀφορίζειν καὶ χωρίζειν τῆς ἁγίας κοινωνίας τινὰ ἄνευ εὐλόγου αἰτίας· ὁ δὲ ἀφορίζων παραλόγως ἐπὶ χρόνον ἕνα τῆς ἁγίας κοινωνίας κωλύεται[9].

η'. Οἱ ἐπίσκοποι δωρεὰν καὶ χωρὶς μισθοῦ προχειρίζονται[10].

θ'. Ἐπίσκοπος περὶ ἱερωσύνης διδοὺς ἢ λαμβάνων τὶ, ἐκπίπτει τῆς ἱερωσύνης· εἰ δὲ λαϊκὸς ὑπὲρ ἐπισκόπου δώσει, ζημιοῦται τὸ δεδομένον εἰς τὸ διπλάσιον[11].

ι'. Ἐπίσκοποι καὶ μοναχοὶ ἐπίτροποι ἢ κουράτωρες οὐ γίνονται, κἂν ἐθέλωσιν[12].

ιβ'. Ἐργολάβος ἐστὶν ὁ χρήματα δεδωκὼς ἐπὶ τῷ ἐκχωρηθῆναι ἀγωγήν.

ιγ'. Νεαρὰ νδ' τοῦ κυροῦ λέοντος. — Τοὺς καταμηνυθέντας ἐκ τρίτου καὶ μὴ ἀπαντήσαντας εἰς τὸ δικαστήριον [εὐθύνεσθαι καὶ κατακρίνεσθαι] κελεύομεν.

ιδ'. Ἡ δὲ νγ' τοῦ αὐτοῦ καὶ ἐγγράφεσθαί φησι τοὺς [εἰσάγοντας] δίκην ἐγκλήματος, ὅπερ οὐκ ἀπαιτεῖται ἐπὶ τῶν χρηματικῶν.

---

[8] Att. I. — C hic alia duo capita intercalat, ut in schedis meis invenio.
[9] Att. III. [10] Att. ibid. [11] Att. ibid. [12] Att. ibid.

ια΄. Ἐγγύας οὔτε μητροπολίτης οὔτε ἐπίσκοπος ἀπαιτεῖται[13].

ιβ΄. Ὁ ἐμφυτευτικῶς λαβὼν ἀπὸ ἐκκλησίας τὶ, ἐὰν ἐπὶ δυσὶ χρόνοις οὐ δώσῃ τὸ ἐμφυτευτικὸν, μετὰ τὴν ἐπιφώνησιν ἐκπίπτει τῆς βελτιώσεως[14].

ιγ΄. Ἐπίσκοποι, ὅσα μετὰ τὴν ἐπισκοπὴν κτήσονται, εἰς αἰχμαλώτων ἐλευθερίας καὶ πτωχοτροφίας καινοτομείτωσαν, καὶ εἰς ἄλλας τοιαύτας αἰτίας, καὶ εἰς περιποίησιν τῶν οἰκείων ἐκκλησιῶν. εἴτι δὲ πρὸ τῆς ἐπισκοπῆς εἶχον, καὶ εἴτι μετὰ τὴν ἐπισκοπὴν ἀπὸ τῶν συγγενῶν αὐτοῖς[15] *προσεγένετο, ἐπὶ τούτοις ποιείτωσαν ὅπερ βούλονται καὶ ὡς θέλουσιν αὐτὰ διοικείτωσαν*[16].

ιδ΄. Τῶν ἐνοχῶν, ἃς καὶ ἀγωγὰς καλοῦσί τινες, αἱ μὲν ἀπὸ συναλλαγμάτων καὶ συμφωνιῶν γίνονται· ἐνέχεται γάρ τις πάντως εἰς ὃ συνεφώνησεν· αἱ δὲ ἀπὸ ἁμαρτημάτων ἢ ἐγκλημάτων. διαφέρουσι δὲ τῶν ἁμαρτημάτων τὰ ἐγκλήματα, ὅτι τὰ μὲν ἁμαρτήματα ἐλαφρότερα, βαρύτερα δὲ τὰ ἐγκλήματα, καὶ τὰ μὲν ὀλίγης εἰσὶ τιμωρίας ἄξια ἢ καὶ μόνης εἰ τύχοι μέμψεως, τὰ δὲ ἰσχυροτέρας καὶ μείζονος. καὶ συνάλλαγμα μέν ἐστιν, ὅταν συνέλθωσι πρόσωπα δύο καὶ ἑκουσίως συμφωνήσωσί τι· ἁμάρτημα δὲ, ὅπερ παρὰ γνώμην τινὸς καὶ θέλημα πρὸς λύπην ἐκείνου παρ᾽ ἄλλου πράττεται, ἢ καὶ ὃ κακῶς καὶ ἐπιληψίμως καθ᾽ ἑαυτὸν ἐργάζεταί τις μηδὲν ἄλλον βλάπτων. καὶ τὸ μὲν πρότερον ἁμάρτημα εἰς ἐνοχὴν ἄγεται, τὸ δὲ δεύτερον ἐνοχὴν ὅλως οὐκ ἐπιδέχεται. ἔγκλημα δὲ τὸ καὶ εἰς ἄλλου μεγίστην βλάβην καὶ παράνομον καὶ μετὰ βίας γινόμενον[17].

ιε΄. Ὁ ἐγκληματικὰς κινῶν ἀγωγὰς οὐ δέχεται εἰς τὸ δικαστήριον ἄλλως, εἰ μὴ πρότερον δώσει ἐφ᾽ οἷς λέγει ἀσφά-

---

ιε΄. Ἡ δὲ λδ΄ νεαρὰ τοῦ κυροῦ λέοντος καὶ ἐπιτροπεύειν τοὺς μοναχοὺς καὶ κληρικούς φησιν, ἀπείργεσθαι δὲ οἰκονομίας καὶ προστασίας ὀρφανῶν. φησὶ γάρ· τοὺς θεοφιλεστάτους ἐπισκόπους ἢ μοναχοὺς ἐπιτρόπους ὀρφανικῶν πραγμάτων καὶ ἐξεταστὰς ἢ κουράτορας οἱουδήποτε προσώπου δι᾽ ἑαυτῶν γίνεσθαι οὐ συγχωροῦμεν, ἐπιτροπεύειν δὲ τῶν ὑπὲρ ψυχῆς ὀφειλόντων δίδοσθαι καὶ διοικεῖν προσκαλουμένους οὐ κωλύομεν. καὶ γὰρ τοῖς ἀρχιερεῦσι μᾶλλον ὁ ὑπὲρ τῶν πλημμελημάτων ἱλασμὸς ἀφιέρωται.

ις΄. Περὶ ἐπερωτήσεως κανών. — Ὁ ὑπὲρ ἄλλου ἐπερωτηθεὶς ὀφείλει τὸ ἱκανὸν ποιῆσαι, κἂν αὐτὸς μὴ ἔλαβεν.

---

[13] Att. III. [14] Att. ibid. [15] Deest in A. [16] Att. III. [17] Att. IV.

λειαν ἔγγραφον· ὁ δὲ χρηματικῶς κατηγορῆσαί τινος βουλόμενος καὶ χωρὶς ἀσφαλείας δέχεται[18].

ιϛ'. Ὁ δὲ περὶ πλαστογραφίας λόγος καὶ ὁ περὶ βίας ποτὲ μὲν ἐγκληματικῶς κινεῖται, ποτὲ δὲ χρηματικῶς, καὶ ἐπ' ἀδείας ἐστὶ τῷ κινοῦντι κινεῖν ὡς βούλεται[19].

ιζ'. Τὸ ἐπικλᾶσθαι τὸ βάρος τὶ ἐπιτίθεσθαι παρὰ τῷ νόμῳ δηλοῖ[20].

ιη'. Ἐντολὴ παρὰ τῷ νόμῳ καλεῖται, ὅταν ἀξιώσῃ τὶς ἄλλον εἰς πρόσωπον αὐτοῦ τι ποιῆσαι καὶ ὁμολογήσῃ στέργειν αὐτὸς τὰ παρ' ἐκείνου γινόμενα[21].

ιθ'. Ὁ καταδεξάμενος ἐντολὴν καὶ τελειώσας αὐτὴν καὶ πράξας ὑπὲρ ἄλλου προσώπου ὅσα ἀνετέθη αὐτῷ, εἴ τι καινοτομήσει ἕως οὗ ἐκπληρώσει τὴν πρᾶξιν, λαμβάνει παρ' οὗ τὴν ἐντολὴν ἀνεδέξατο, τουτέστι παρ' ἐκείνου ὑπὲρ οὗ ἔπραξεν. εἰ δὲ μὴ τελειώσει τὴν ἐντολήν, ἢ ποιήσει τὶ παρ' αὐτήν, ἐνέχεται καὶ ἀπαιτεῖται λόγον τῆς ἐπὶ τούτοις ἀμελείας τε καὶ καταφρονήσεως, ἢ τυχὸν καὶ τῆς τοῦ δικαίου προδοσίας καὶ δολιότητος[22].

κ'. Ἐκδικεῖ τις τὸ ἴδιον πρᾶγμα, τουτέστιν ἀνακαλεῖται τὸ ἴδιον πρᾶγμα παρ' ἄλλου κρατούμενον, καὶ λαμβάνει, ὅταν ὁ κρατῶν καὶ κατέχων τοῦτο οὐκ ἔχῃ παραγραφὴν πρὸς τοῦτο ἰσχυρὰν καὶ ἐνδύναμον. παραγραφὴ δὲ ἐστὶν ἐνδύναμος ἡ τριακονταετία καὶ ἡ συμφωνία καὶ ὅσα τοιαῦτα[23].

κα'. Ἐκνικᾶν καὶ ἐκνικᾶσθαι παρὰ τῷ νόμῳ λέγεται πρᾶγμα, ὅταν μετὰ κρίσεως ἢ ἀνακαλέσηταί τις τὸ ὑπὸ δεσποτείαν ἄλλου γενόμενον, ἤ τινα πρᾶξιν προγενεστέραν μεταποιήσῃ πρὸς ὅπερ βούλεται. ἐκνικᾶν δὲ λέγεται τοῦτο ὡς τοῦ ποιοῦντος περιγενομένου καὶ νικῶντος δικαίως τοὺς ἀνθισταμένους καὶ ἀντιπίπτοντας· καὶ διὰ τοῦτο καὶ τὸ πρᾶγμα, εἰς ὃ γίνεται ταῦτα, ὁ νόμος ἐκνικᾶσθαί φησιν, ἐπεὶ αὐτὸ ὡσανεὶ πάσχει τὰ ἐπὶ τούτῳ πραττόμενα[24].

κβ'. Ἡ ἐμφύτευσις οὔτε μίσθωσίς ἐστιν οὔτε ἐκποίησις, ἀλλὰ μέσον πως τούτων τῶν δύο καθίσταται, καὶ ἐκ μέρους μὲν μετέχει εἰς μίσθωσιν, ἐκ μέρους δὲ τῇ ἐκποιήσει ταυτίζεται, καὶ ἐστὶν ὥσπερ μίσθωσις ὁμοῦ καὶ ἐκποίησις. ἡ μὲν γὰρ μίσθωσις οὐκ ἔστιν ἀεὶ οὐδὲ τὸ διηνεκὲς κέκτηται, ἀλλ'

---

[18] Att. IV. [19] Att. ibid. [20] Locus fugitivus, qui scilicet cum Attalensi nihil commune habeat. [21] Att. VIII (9). [22] Att. ibid. — Caeterum A legit *τελειότητος*. [23] Att. IX (10). [24] Att. XI (12).

ἅπαξ γενομένη τοῦ εἶναι μετὰ συμπλήρωσιν[25] παύεται· ἡ δὲ ἐμφύτευσις δύναται καὶ τὸ διηνεκὲς ἔχειν καὶ εἰς ἀεὶ διαμένειν οὐκ ἐμποδίζεται, καὶ κατὰ τοῦτο διαφέρει τῆς μισθώσεως ἡ ἐμφύτευσις. πάλιν δὲ ἡ ἐκποίησις τελεία πρᾶσίς ἐστι, καὶ μετὰ τὸ γενέσθαι τὴν καταβολὴν τοῦ τιμήματος οὐκέτι καταβάλλει τὶ ὁ ἀγοραστὴς οὐδὲ ἀναγκάζεται κατ᾿ ἔτος διδόναι τί· ἡ δὲ ἐμφύτευσις καθ᾿ ἕκαστον χρόνον γίνεται καὶ ἀπαιτεῖται ὥσπερ τέλος ἐτήσιον, καὶ κατὰ τοῦτο διαλλάττει πρὸς τὴν ἐκποίησιν ἡ ἐμφύτευσις. καὶ ὅτι μὲν ὁ λαβὼν κατ᾿ ἐμφύτευσιν εὐκόλως ἀφ᾿ οὗπερ ἔλαβεν οὐκ ἀποδιώκεται, οὐδὲ ἐπ᾿ ὀλίγον καιρὸν τὸ δοθὲν αὐτῷ κέκτηται, οὐκ ἐστὶ μίσθωσις ἡ ἐμφύτευσις· ὅτι δὲ πάλιν τὸ τεταγμένον κατ᾿ ἔτος δίδωσιν, οὐδὲ ἐκποίησίς ἐστιν ἤγουν τελεία πρᾶσις καὶ διαπώλησις. ἀλλὰ θεωρεῖται μέσον μισθώσεώς τε καὶ ἐκποιήσεως, καὶ διὰ τοῦτο καὶ τὰ νόμιμα ταύτης ἰδικά ἐστι παρὰ τὰ νόμιμα, ἅπερ ἔχει ἡ μίσθωσις καὶ ἡ ἐκποίησις[26].

κγ΄. Ὁ εἰς ἐμφύτευσιν λαβών τι ἐὰν μέλλῃ ἐκποιῆσαι τοῦτο καὶ πωλῆσαι πρὸς ἕτερον, ὀφείλει προδηλῶσαι[27] τῷ δεσπότῃ τοῦ πράγματος καὶ διαμαρτύρασθαι, ὅτι ἤδη πωλεῖ ὅπερ εἰς ἐμφύτευσιν ἔλαβε· καὶ ἐὰν θέλῃ ὁ δεσπότης, εἰς τὸ παρ᾿ ἑτέρου διδόμενον τίμημα[28] προτιμᾶται αὐτός[29].

κδ΄. Ὁ ἐμφυτευτὴς ἐὰν ἐπὶ τρισὶ χρόνοις μὴ καταβάλῃ ἤγουν ἀποδώσει τὸ ἐμφύτευμα, ἐκπίπτει τοῦ πράγματος, ἤγουν στερεῖται αὐτοῦ. καὶ τοῦτο μὲν ἐὰν κοσμικὸν πρᾶγμα ᾖ· εἰς δὲ τὸ ἐκκλησιαστικόν, ὁ λαβὼν ἐκκλησιαστικὸν πρᾶγμα εἰς ἐμφύτευσιν, ἐὰν ἐπὶ δυσὶ χρόνοις μὴ δώσει τὸ ἐμφύτευμα, μετὰ τὴν ἐπιφώνησιν στερεῖται τοῦ πράγματος[30].

κε΄. Ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων γίνεται, καὶ τὰς συστάσεις αὐτὸς ἀπαιτεῖται καὶ βαρεῖται ταῖς ἀποδείξεσι. τὸ δέ· βαρεῖται ταῖς ἀποδείξεσι, τοῦτο δηλοῖ, ὅτι τὸ βάρος τῶν ἀποδείξεων δέχεται καὶ αὐτὸς διδόναι τὰς ἀποδείξεις καταναγκάζεται[31]. περὶ δὲ τῆς λέξεως αὐτῆς τῆς παραγραφῆς ἐν τοῖς εἰς τὸ π΄ στοιχεῖον εἰρήκαμεν.

κϛ΄. Τοῦ ἐνάγοντος μὴ ἀποδεικνύντος, ὁ ἐναγόμενος νικᾷ, κἂν μὴ ἀποδείκνυσιν[32].

κζ΄. Ἐνέχυρόν ἐστι πᾶν τὸ εἰς ἀσφάλειαν ὑπὲρ χρέους

---

[25] B τὴν συμπλ. [26] Att. XII (14). [27] Sic lego. A παραδηλ. [28] B addit: παρασχεῖν. [29] Att. ibid. [30] Att. ibid. — Cf. supra c. 12. [31] Att. XIV (17). [32] Att. ibid.

διδόμενον. τοῦτο δὲ τὸ ἐνέχυρον, ὅταν μὲν εἰς χεῖρας τοῦ δανειστοῦ παρὰ τοῦ χρεώστου δοθῇ, τότε κυρίως ἐνέχυρον λέγεται· ὅταν δὲ παρὰ τῷ χρεώστῃ μένῃ, ἄλλως δὲ διὰ λόγου ἢ διὰ γράμματος ὁ χρεώστης ὑποθήσει τοῦτο τῷ δανειστῇ, ἵνα, ὅταν θελήσῃ ἢ καιρὸς ἀπαιτήσῃ, λάβῃ τότε εἰς τὴν τοῦ ὀφειλομένου χρέους ἐκπλήρωσιν, τότε ὑποθήκη τὸ ἐνέχυρον ὀνομάζεται, καὶ τὸ τοιοῦτον πρᾶγμα ὑποτιθέμενον λέγεται. καταχρηστικώτερον δέ τινες καὶ τὸ ὑποτιθέμενον ἐνέχυρον καλοῦσιν[33].

κη΄. Ἔδωκε χρεωφειλέτης ἐνέχυρον *πρὸς τὸν δανειστὴν, καὶ ἐγένετο μέσον αὐτῶν συμφωνία. τοῦτο τὸ κεφάλαιον τοιοῦτον ἐστί. δανείζει τὶς πρὸς πολλούς· καὶ ὑποθετέον, ὅτι πρός τινα τῶν χρεωφειλετῶν ἐδάνεισεν οὐχ ἁπλῶς, ἀλλὰ ῥητῶς εἰπόντος τοῦ δανειζομένου, ὅτι ταῦτα τὰ ὑπέρπυρα δανείζομαι παρὰ σοῦ, ἵνα τόδε τὶ ποιήσω. καὶ πάλιν ὁ δανειζόμενος δανείζεται μὲν ἐκ πολλῶν· δανείζεται δὲ τυχὸν ἐξ ἑνός τινος δανειστοῦ οὕτως ἤγουν ῥητῶς, ἵνα διὰ τῶν τοιούτων ὑπερπύρων ποιήσῃ τί. μετὰ ταῦτα τοῦ χρεωφειλέτου ἢ τελευτήσαντος ἢ ζῶντος καὶ ἀποροῦντος καὶ μὴ ἔχοντος ἀποδοῦναι, πάντες οἱ δανεισταὶ, μηδὲν ἄλλο ἀπὸ τοῦ χρεώστου εὑρίσκοντες, ἀντιλαμβάνονται τοῦ πράγματος ἐκείνου, ὅπερ ἐποίησε μετὰ τῶν ὑπερπύρων τοῦ δανειστοῦ, πρὸς ὃν δανειζόμενος εἶπεν· ὅτι τὰ ὑπέρπυρα ἃ δανείζομαι ἀπὸ σοῦ εἰς τόδε τὶ μέλλω ἐξοδιάσαι καὶ ἐπὶ τούτῳ μέλλω καινοτομῆσαι αὐτά· ἀντιλαμβάνεται δὲ καὶ ὁ τοιοῦτος δανειστὴς τοῦ πράγματος τούτου*[34]. *τοῦτον οὖν προτιμότερον κρίνει ὁ νόμος πάντων τῶν ἑτέρων δανειστῶν, τῶν μὴ δανεισάντων ἐπὶ ὡρισμένῳ τινὶ πράγματι, ἀλλ᾽ ἁπλῶς οὕτως ἀορίστως. ὡσαύτως δὲ καὶ εἴπερ οὐκ ἔδωκεν εἰς χεῖρας τοῦ χρεώστου τὰ νομίσματα ἤτοι τὰ ὑπέρπυρα, ἀλλ᾽ αὐτὸς ὁ δανειστὴς ἐκαινοτόμησε ταῦτα βουλῇ καὶ προτροπῇ ἐκείνου ἐπὶ ποιήσει τινὸς πράγματος, προτιμᾶται καὶ πάλιν οὗτος παρὰ τοὺς ἑτέρους δανειστὰς ἅπαντας εἰς τὸ κατέχειν τὸ*[35] *τοιοῦτον πρᾶγμα, ὡς ἂν ἱκανωθῇ ἐξ αὐτοῦ. καὶ διὰ τὴν τούτου προτίμησιν λέγεται σιωπηρὰ συναλλαγὴ τῆς ὑποθήκης ἢ τοῦ ἐνεχύρου. ὑποθήκην δὲ καὶ ἐνέχυρον λέγει τὸ πρᾶγμα τὸ διὰ τῶν ὑπερπύρων γινόμενον, εἰς ὃ καὶ προτιμᾶται ὁ τὰ ὑπέρπυρα δεδωκὼς ἐπὶ τῷ γενέσθαι αὐτό· σιωπηρὰ δὲ συναλλαγὴ λέγεται, διότι συναλλάσσειν τοῦτο δοκεῖ ὁ ποιῶν αὐτὸ, εἰ καὶ σιωπᾷ*

---

[33] Att. XVII (22). [34] Verba *τοῦ* et *τούτου* A non habet. [35] Etiam haec verba *κατέχειν τὸ* in A desunt.

καὶ ῥητῶς οὐ λέγει αὐτό. λέγεται δὲ τὸ τοιοῦτον καὶ ὑποθηκαρία σεσιωπημένη συναλλαγή[36].

κθ'. Ὅταν τοιαύτη γένηται συμφωνία, ὡς ἂν ὁ χρεωφειλέτης ἐὰν μὴ ἀποδώσῃ τὸ χρέος τῷ δανειστῇ κατὰ τὴν προθεσμίαν, ἤγουν τὴν τεταγμένην ἡμέραν, ὅπερ λέγουσί τινες ἐμπροθέσμως, κατέχηται παρὰ τοῦ δανειστοῦ τὸ ἐνέχυρον καὶ λογίζηται ὡς ἀγορασθὲν παρ᾽ αὐτοῦ· ὅταν γοῦν γένηται τοῦτο, τότε λέγουσιν, ὅτι ὑπὸ αἵρεσιν τὸ ἐνέχυρον ἐπωλήθη. καθολικῶς γὰρ, ὅταν μετὰ διαστιγμοῦ καὶ προσδιορισμοῦ συμφωνηθῇ γενέσθαι τὶ, ὑπὸ αἵρεσιν ὀνομάζουσι. πλὴν ὀφείλει ὁ δανειστὴς εἰς τίμημα δίκαιον δέχεσθαι τὸ ἐνέχυρον, τουτέστι ὁπόσου ἂν εἴη τιμήματος ἄξιον[37].

λ'. Ὅταν δανείσῃ τὶς χρεωφειλέτῃ τινὶ, καὶ οὐχ ἁπλῶς πρὸς τοῦτον διώσει τὸ δάνειον, ἀλλ᾽ εἰς ἔργον τὶ ὡρισμένον, ἤγουν ἵνα ἀνακαινίσῃ ὀσπήτιον ἢ ἵνα κτίσῃ ἢ ἵνα ἀμπελῶνα φυτεύσῃ ἢ ἄλλο τὶ τοιοῦτον, καὶ ὅταν μετ᾽ εἰδήσεως καὶ προτροπῆς τοῦ δεσπότου καὶ τοῦ κυρίου τινὸς πράγματος τὰς ἐξόδους τὰς εἰς περιποίησιν τοῦ τοιούτου πράγματος ἀφ᾽ ἑαυτοῦ καὶ ἀπὸ τῶν οἰκείων δίδωσί τις, τότε λέγεται σιωπηρὰ τῶν ὑποθηκῶν καὶ τῶν ἐνεχύρων συναλλαγή. ἔχει γὰρ τὸ πρᾶγμα εἰς ὃ ἐξωδίασεν ὁ ποιήσας ἢ ἀνακτίσας αὐτὸ, καὶ νικᾷ οὗτος τοὺς λοιποὺς δανειστὰς, ὁπόσοι βούλονται τὸ πρᾶγμα λαβεῖν εἰς ἱκάνωσιν τῶν χρεωστουμένων αὐτοῖς[38].

λα'. Ὁ ἐγγυητὴς ἐν πάσῃ ἐνοχῇ γίνεται, καὶ ὅστις ἂν ἐπὶ ὑποθέσει τινὶ ἐγγυητὴς δι᾽ ἕτερον γένηται, ἐὰν ἐκεῖνος ὃν ἐγγυήσατο ἀπορῇ ποιῆσαι τὸ πρᾶγμα, δι᾽ ὃ γέγονεν ἡ ἐγγύησις, ὁ ἐγγυητὴς ποιεῖν τοῦτο καταναγκάζεται[39].

ιζ'. Νεαρά. — Ὅτι ἐὰν ἐπίτροπος φθείρῃ τὴν ἐπιτροπευομένην παῖδα, ἵνα πρὸς τῇ ἄλλῃ ποινῇ τῇ παρὰ τῶν νόμων ὡρισμένῃ λαμβάνηται καὶ ἡ περιουσία αὐτοῦ πᾶσα, καὶ διδῶται πρὸς τὴν παῖδα κατὰ δεσποτείαν, καὶ οὐχὶ πρὸς τὸν δημόσιον, ὡς οἱ πρότερον διορίζονται νόμοι.

ιη'. Κανών. — Ὁ ὑπὲρ ἄλλου ἐπερωτηθεὶς ὀφείλει τὸ ἱκανὸν ποιῆσαι, κἂν αὐτὸς μὴ ἔλαβεν.

---

[36] Att. XVII (22). [37] Att. ibid. — Caeterum animadvertas, in B et E inter verba *ἐνέχεται* et *τουτέστι* ea intercalari quae habentur infra c. 76 a verbis *οὗτος τὴν ἔκκλητον* usque ad c. 85 verbis *δίδοται αὐτὸν λόγῳ*. Nimirum in prototypo, ex quo descripti sunt, folium aliquod inverso ordine ligatum erat, ut prima pagina legerentur, quae secundam constituerent. In E tamen librarius errorem suum detexit, et signis et notis marginalibus genuinum ordinem restauravit.
[38] Att. XVII (22). [39] Att. XVIII (23).

λβ΄. Καλοῦσι δέ τινες τὸν μὲν ἐγγυητὴν καὶ χρεώστην δεύτερον, τὸν δὲ ἄνθρωπον, ὑπὲρ οὗ ἐποίησε τὴν ἐγγύην, χρεώστην πρωτότυπον[40].

λγ΄. Ἐγγύας γυνὴ οὐ δίδωσι πρός τινα, ἀλλ᾽ οὐδ᾽ ἐὰν δώσει, ἐνέχεται· καὶ τὰ ἑξῆς ἐν τοῖς περὶ γυναικὸς[41] ἐλέχθη πλατύτερον.

λδ΄. Ἐπίτροποι καὶ κουράτωρες μὴ ποιήσαντες ἀπογραφὴν εἰς τὸ πρᾶγμα τὸ παραδοθὲν τούτοις, ἤγουν τὸ πρᾶγμα τῶν κληρονόμων ὧν αὐτοί εἰσιν ἐπίτροποι καὶ κουράτωρες, ἀπαιτοῦνται ὕστερον παρὰ τῶν κληρονόμων ἔνδικον ὅρκον[42].

λε΄. Ἐπιτροπεύονται, ἤγουν ὑπ᾽[43] ἐπιτρόπους τάττονται εἶναι καὶ παρ᾽ αὐτῶν διεξάγεσθαι, οἱ ἐλεύθεροι οἱ διὰ τὸ ἀνήλικον μὴ δυνάμενοι τὸν οἰκεῖον βίον διευθύνειν καλῶς. εἰσὶ δὲ ἀνήλικοι, ἄνδρες μὲν ἕως τὸν ιδ΄ χρόνον πληρώσωσι· αἱ δὲ γυναῖκες, ἕως ὑπὲρ τὸν ιβ΄ χρόνον γίνονται[44].

λς΄. Ὁ ἐπίτροπος ἢ παρὰ τοῦ δικαστοῦ δίδοται· καὶ δίδοται τότε, ὅταν τελευτήσωσιν οἱ γονεῖς καὶ ἀφήσουσιν ἀνηλίκους παῖδας καὶ ἐπιτρόπους τούτοις οὐκ ἐπιστήσουσι· καὶ λέγεται ὁ παρὰ τοῦ δικαστοῦ διδόμενος, ὡς ἐδηλώθη, ἐπίτροπος λεγήτιμος, ὅπερ ἐστὶ παρὰ τοῦ νόμου δοθεὶς ἤγουν τῶν κατὰ νόμους δικαζόντων κριτῶν (λέγες γὰρ οἱ ῥωμαῖοι τοὺς νόμους κατονομάζουσιν)· ἤγουν παρὰ τοῦ δικαστοῦ δίδοται ὁ ἐπίτροπος, ἢ παρὰ τοῦ πατρὸς ἢ παρὰ τῆς μητρός. ἀλλ᾽ ὁ μὲν πατὴρ εἰς τοὺς γνησίους υἱούς, ὡς κυρίως ἐξουσιαστὴς

ιθ΄. Ὅτι ὁ ἀγράφως ἐγγυώμενος ἐντὸς β΄ μηνῶν κατέχεται κατὰ πρόληψιν.

κ΄. Ἐὰν ὑπὲρ ἀλλοτρίου κέρδους ἑαυτὸν καταβαλεῖν ἀντεφώνησας, ἡ ἐπὶ τῇ ἀντιφωνήσει ἀγωγὴ οὐ μόνον κατὰ σοῦ, ἀλλὰ καὶ κατὰ τῶν κληρονόμων τῶν σῶν διηνεκῶς ἁρμόζει.

κα΄. Καὶ αἱ γυναῖκες ἀντιφωνοῦσαι ἐνέχονται, ἐν ᾧ μὴ ἰντερκεδεύουσιν, ἤγουν αἱ γυναῖκες οἰκείῳ ὀνόματι ἢ κέρδει ἀντιφωνοῦσαι ἐνέχονται, ὑπὲρ ἀλλοτρίων δὲ ἀντιφωνοῦσαι βοηθοῦνται.

κβ΄. Περὶ ἐπιτρόπων. — Εἴτε εὔπορός ἐστιν ὁ ἐπίτροπος εἴτε ἄπορος, ὁ δόλος αὐτοῦ τὸν ὀρφανὸν οὐ καταβλάπτει.

κγ΄. Ἐπίτροπός ἐστι δίκαιόν τι καὶ ἐξουσία κατὰ ἐλευθέρας κεφαλῆς διδομένη [καὶ πρὸς ἀσφάλειαν αὐτῆς ἐπι]νοουμένη ἢ διὰ τὸ τῆς ἡλικίας ἀτελὲς ἢ διὰ τὸ τῆς εὐπραγίας ἀληθὲς ἐπιτε[τραμμένη].

---

40 Att. XVIII (23). 41 Lit. Γ c. 3. 42 Att. XXIV (35). 43 Deest in AB; A ἐπίτροποι habet. Quod correximus. 44 B γένωνται. — Att. XXV (36).

ὑπάρχων αὐτῶν, δύναται καὶ κληρονόμους καὶ ἀποκλήρους γράφων τοὺς παῖδας ἐπιτρόπους τούτων ποιεῖν· ἡ δὲ μήτηρ, ὅτε μὲν κληρονομίαν ἀφίησι τοῖς υἱοῖς, τότε μόνον ἄδειαν ἔχει ἀφιέναι τούτοις καὶ ἐπιτρόπους, ἀλλ' οὐδὲ τότε ἁπλῶς, εἰ μὴ ὁ δικαστὴς ἐξετάσει τοῦτο καὶ στέρξει[45].

λζ΄. Οἱ κληρονόμοι μετὰ τὸ ἐλθεῖν εἰς μέτρον ἡλικίας τελείας ἀπαιτοῦσι λόγον τοὺς ἐπιτρόπους περὶ τῆς διοικήσεως τῶν πραγμάτων αὐτῶν, καὶ εὐθύνουσιν αὐτούς, ἐάν τι δέον ὂν ἤγουν πρέπον γενέσθαι παρ' αὐτῶν, οὐκ ἐγένετο· καὶ εἴτι παρὰ τῶν ἐπιτρόπων ἐκαινοτομήθη κακῶς ἢ ἀδιαφόρως ἐξωδιάσθη, καὶ τοῦτο οἱ κληρονόμοι ζητοῦσι καὶ ἀναλαμβάνουσιν, ἤγουν ἀντιστρεφόμενον καὶ ἀποδιδόμενον δέχονται· καὶ οὐ μόνον παρὰ τῶν κληρονόμων, ἀλλὰ καὶ παρὰ τῶν δικαστῶν πολλάκις οἱ ἐπίτροποι ἀνακρίνονται καὶ δι' εὐλόγους αἰτίας τῆς ἐπιτροπῆς ἐκδιώκονται[46].

λη΄. Ἐπιτροπεύειν οὐχὶ γυναῖκες, ἀλλ' ἄνδρες δύνανται[47], εἰ μὴ πολλάκις μητέρες τῶν οἰκείων προϊστάμεναι παίδων τὰ τῶν ἐπιτρόπων ἐπ' αὐτοῖς διαπράττονται[48].

λθ΄. Ἐκπίπτειν τῆς δίκης ἐστὶν τὸ καταδικάζεσθαι, καὶ τοῦ δικαίου, οὗπέρ τις ἀντιποιεῖται, ἐκβάλλεσθαι, καὶ ἐφ' ᾗ ὑποθέσει δίκαιον ἔχειν νομίζει, ἀποτυγχάνειν καὶ ἀστοχεῖν[49].

μ΄. Ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων γίνεται καὶ βαρεῖται ταῖς ἀποδείξεσι, τουτέστιν αὐτὸς ὡς ἐνάγων ἀπαιτεῖται τὰς ἀποδείξεις τοῦ πράγματος παράγειν καὶ προκομίζειν. τί δέ ἐστι παραγραφὴ ἐν τοῖς εἰς τὸ π΄ στοιχεῖον εἰρήκαμεν[50].

μα΄. Αἱ μὴ κατὰ φύσιν ἤγουν μὴ κατὰ τὸν πρέποντα λόγον συνιστάμεναι ἐνοχαί, ἤγουν συμφωνίαι τῶν ὑποθέσεων καὶ ἀρχαί, ἐξ ὧν αἱ περὶ τῶν πραγμάτων γίνονται ἀγωγαί, οὐ δύνανται ἔχειν ἰσχύν, οὐδὲ παρὰ νόμου ἢ δικαστοῦ ἢ πραίτωρος βοηθοῦνταί τινος. ἐστὶ δὲ τοῦτο τοιοῦτον. ἐποίησέ τις συμφωνίαν μετά τινος, καὶ ὡμολόγησεν ἐγγράφως δοῦναι αὐτῷ τοσάδε νομίσματα, ἐὰν ἐκεῖνος πλαστογραφίαν ποιήσῃ ἢ ληστείαν ἢ φόνον ἐργάσηται. ἐπλήρωσεν ἐκεῖνος τὴν συμφωνίαν, καὶ ζητεῖ ἀπὸ τοῦ ὑποσχομένου τὰ νομίσματα δοῦναι, ἵνα δώσει πρὸς αὐτὸν ὃ ὑπέσχετο· ὁ δὲ συμφωνήσας οὐ δίδωσι τὰ νομίσματα, καὶ ὁ πληρώσας τὴν συμφωνίαν ἐγκαλεῖ κατ' αὐτοῦ

[45] Att. XXV (36). — Cf. schol. ad Basil. XXXVII, 2, 11 ed. Heimb. III p. 648.
[46] Att. XXV (36). [47] B *δύνανται ἀλλ' οἱ ἄνδρες.* [48] Att. XXV (36).
[49] Locus fugitivus. [50] Att. XXXI (47).

ὡς δῆθεν ἃ συνεφώνησε παραβαίνοντος· εὑρίσκει δὲ τυχὸν ἐπὶ τούτῳ καὶ παρὰ τῶν δικαζόντων ἀντίληψιν καὶ παρὰ τῶν τὰς δημοσίας ἐνεργούντων ἀρχάς· οἴεται δὲ ἴσως βοηθεῖσθαι παρὰ τοῦ νόμου τοῦ τὰς γενομένας συμφωνίας στερκτέας εἶναι διαγορεύοντος καὶ παρ' αὐτῶν τὰς ἀγωγὰς ἀποκλείεσθαι. ἀλλ' οὔτε ὁ νόμος βοηθεῖ τούτῳ, οὔτε δικαστὴς ἢ δημόσιος ἀντιλαμβάνεσθαι τούτου δύναται. αἱ γὰρ συμφωνίαι τότε ἔχουσι τὴν ἰσχὺν καὶ τὰς ἀγωγὰς ἀποκλείουσι, ὅτε γένωνται κατὰ φύσιν ἤγουν κατὰ τὸν λόγον τὸν πρέποντα. ὅτε δὲ μὴ κατὰ φύσιν προβῶσιν, ἤγουν ἐκτὸς τοῦ πρέποντος γένωνται, ἀνίσχυροι καὶ ἀδύνατοι μένουσι, καὶ οὐδεὶς δύναται αὐτὰς συνιστᾶν, ἀλλ' εὐχερῶς ἀνατρέπονται. ὁ γὰρ νόμος τέλος ἔχει σκοπιμώτατον τὸ καλὸν καὶ τὸ δίκαιον, τὸ δὲ κακὸν καὶ τὸ ἄδικον ἀποβάλλεται· καὶ οὐχ ὁ λύων τὰς ἀπρεπεῖς συμφωνίας ἀντιπράττει τῷ νόμῳ καὶ ἀντιπράττεται, ἀλλ' ὁ σπεύδων πρὸς συνηγορίαν αὐτῶν καὶ σύστασιν, εἰ καὶ δοκεῖ πολλάκις πρὸς οἰκείαν βοήθειαν τὸν νόμον προβάλλεσθαι. ὅθεν φαίνεται ἀπὸ τούτου καὶ εἴ τις ὁμολογήσει υἱὸν, ὃν ἐξ ἀθεμίτων γάμων ἐγέννησεν ἢ ὃν ἐκ μοναζούσης ἀπέτεκεν ἢ ἐξ ἧς ἔσχε καθ' ἁρπαγὴν γυναικὸς, ἔπειτα βεβαιώσει τοῦτο καὶ δικαστὴς τῷ νόμῳ τάχα χρησάμενος συνεργῷ τῷ λέγοντι, τὰς ἅπαξ περὶ τῶν υἱῶν γενομένας ὁμολογίας ἔχειν τὸ στέργον· ἀλλ' ἐπεὶ τῆς ὑποθέσεως ἡ ἀρχὴ ἄτοπος καὶ παράλογος καὶ αἰσχρὰ, οὐκ ἔχει τὸ ἰσχυρὸν, ἀλλ' ἀκυροῦται καὶ ἀποπέμπεται. καὶ ἐστὶ τοῦτο θαυμάσιον καὶ τῆς τῶν νομοθετῶν προμηθείας καὶ φιλανθρωπίας δεῖγμα σαφέστατον, τὸ διὰ τούτου τοῦ νόμου καταλύεσθαι πολλάκις καὶ νόμους διὰ τὸ κακῶς καὶ ἐπὶ βλάβῃ τινῶν αὐτοὺς ἐκλαμβάνεσθαι. τοσοῦτον γὰρ καὶ τῶν νόμων τὸ κράτος οἱ νομοθέται βούλονται εἶναι, ὁπόσον[51] ὠφελεῖν ἔχει τοὺς φυλάσσοντας τοὺς νόμους, ἀλλ' οὐ λυμαίνεσθαι. ἡ δὲ κατάλυσις τῶν τοιούτων συμφωνιῶν δι' αἰσχρᾶς παραγραφῆς γίνεσθαι παρά τινων λέγεται· αἰσχρὰν δὲ νοοῦσι παραγραφὴν τὸ παράλογον καὶ κακὴν καταρχὰς γενέσθαι τὴν τῆς ὑποθέσεως σύστασιν· διὸ καὶ ἡ περὶ αὐτῆς συμφωνία ὡς αἰσχρὰ παραγράφεται[52].

μβ'. Οἱ κτήτορες καὶ οἱ ἐμφυτευτικάριοι τοῦ βασιλέως, κἂν μὴ ἠγόρασαν, βεβαίως κτάσθωσαν· τουτέστιν ὅσοι βασιλικὸν καὶ δημόσιον πρᾶγμα λάβωσιν ἢ ἐπὶ τέλει ἢ πρὸς ἐμφύτευσιν, κἂν οὐκ ἔδωκαν εἰς ἅπερ κατέχουσιν ἀγορᾶς[53] τί-

---

[51] A ὁπόσους. [52] Att. XXXI (47). [53] Sic saepe vulgares pro ἀγορασίας.

μημα, ἀλλ᾽ ὅμως βεβαίαν ἐχέτωσαν τὴν τούτων δεσποτείαν τε καὶ νομὴν, καὶ μηδεὶς ἀφαιρείσθω ταῦτα καὶ ἑτέροις διδότω[54].

μγ΄. Ἐν ταῖς ἐγκληματικαῖς ὑποθέσεσι πάντες οἱ εἰς ταύτας συμμετασχόντες ἐνέχονται, καὶ αὐτὸς ὁ κινῶν τὴν ὑπόθεσιν, καὶ ὁ ἐρεθίζων τοῦτον ἤγουν παρακινῶν, καὶ ὁ ὑποβάλλων ἤγουν ὁ τὴν ἀρχὴν τῆς ὑποθέσεως εἰσηγούμενος, καὶ ὁ κατά τι τούτῳ διακονῶν ἤγουν ὑπηρετῶν, καὶ ἁπλῶς εἰπεῖν ἅπαντες. ἐν δὲ ταῖς χρηματικαῖς ὑποθέσεσιν αὐτὸς ἐνέχεται μόνος ὁ κινῶν τὴν ὑπόθεσιν, καὶ εἴ τις ἄλλος ἐθελουσίως ὁμολογήσας, ὅτι βούλεται συγκερδαίνειν τῷ ἀναδόχῳ τῆς ὑποθέσεως ἢ συγκαταδικάζεσθαι[55].

μδ΄. Τὰ ἐγκλήματα τῇ τελευτῇ τοῦ κατηγορουμένου συναποσβέννυται, καὶ πρὸς τοὺς κληρονόμους οὐ διαβαίνουσι τὰ ἐγκλήματα, χωρὶς τῶν περὶ καθοσιώσεως ἐγκλημάτων. εἰσὶ δὲ ἐγκλήματα περὶ καθοσιώσεως τὰ μέγιστα καὶ βλάβης μεγίστης καὶ ἀπωλείας καὶ παντὸς τοῦ βίου στερήσεως τοῖς κατηγορουμένοις προσώποις αἴτια· ταῦτά γουν μόνα τὰ ἐγκλήματα, τὰ περὶ καθοσιώσεως δηλαδὴ, καὶ εἰς κληρονόμους διαβιβάζονται[56].

μέ. Τῇ εὐθηνίᾳ ἐπιβουλεύοντες λέγονται, ὅσοι ἐν τῷ[57] ἀγοράζειν καὶ ἀποτίθεσθαι τὰ πωλούμενα καὶ καιρὸν ἀφορίας ἤγουν ἀκριβείας ἐκδέχεσθαι στενοχωροῦσι τῆς πολιτείας τὰ πράγματα, καὶ ποιοῦσιν ἕκαστον τῶν χρησίμων πλείονος τιμῆς ἀποδίδοσθαι. τούτους γὰρ τοὺς τῇ εὐθηνίᾳ ἐπιβουλεύοντας, πραγματευτὰς μὲν ὄντας, εἴργουσι τῆς πραγματείας οἱ νόμοι καὶ ἐξορίζουσιν· εὐτελεῖς δὲ καὶ ἀνωνύμους ὑπάρχοντας, ὑπηρετεῖν εἰς δημόσια ἔργα καταδικάζουσιν[58].

μς΄. Ἐν ταῖς ἐγκληματικαῖς δίκαις οὐκ εὐθὺς νομίζεται εἶναι ὁ ἐναγόμενος ἔνοχος, τουτέστιν οὐχ ἅμα τῷ τὴν κατηγορίαν γενέσθαι ὁ κατηγορούμενος ἐν καταδίκῃ τυγχάνειν ὑπολαμβάνεται οὐδὲ εἰς ἅπερ κατηγορεῖται ἐνεχόμενος κρίνεται, ἀλλὰ ὁ ἐνάγων ἤγουν ὁ κατηγορῶν πρῶτον μὲν ὀφείλει ἐγγράψασθαι, ἤγουν διὰ γραφῆς ἀσφαλίσασθαι ἅπερ κατὰ τοῦ κατηγορουμένου κινεῖ. ἡ δὲ ἐγγραφὴ αὕτη οὐκ ἐν πάσαις ταῖς ὑποθέσεσι γίνεται, ἀλλ᾽ ἐν μόναις ταῖς μεγίσταις καὶ ἐγκληματικαῖς· γίνεται δὲ ἐπὶ ταύταις ἡ ἐγγραφὴ, ἵνα μὴ δύνηται ὁ κατήγορος ἢ ἐναλλάξαι τὴν κατηγορίαν ἢ καὶ παντελῶς ἀπολύσαι, καὶ ἵνα γινώσκῃ[59] ὁ τοιοῦτος κατήγορος, ὅτι ἐνέχεται ἀποδεῖξαι ἃ κατηγό-

---

[54] Att. XXXIII (52). [55] Att. XXXV (54). [56] Att. ibid. [57] Verba ἐν τῷ A non habet. [58] Att. XXXV (59). [59] A οὐ γιν.

ρησε, καὶ ὅτι ἐὰν μὴ ἀποδείξῃ αὐτὰ, μέλλει παθεῖν αὐτὸς ἅπερ ἐὰν ἐδείκνυτο ἀληθὴς ἡ κατηγορία, ἔμελλε παθεῖν ὁ κατηγορούμενος. πρῶτον μὲν οὖν ὁ κατηγορῶν ὀφείλει ἐγγράψασθαι, εἶτα πρέπει ἵνα ὑπὸ μίαν παραφυλακὴν ὦσιν ὁ ἐνάγων καὶ ὁ ἐναγόμενος, καὶ τελευταῖον ἵνα ἀκριβοῦς γενομένης περὶ τῆς ὑποθέσεως ἐξετάσεως ἢ ὁ κατηγορῶν τιμωρῆται ἢ ὁ κατηγορούμενος, καὶ οὕτω πέρας τὰ τῆς δίκης λαμβάνουσιν. εἰ δέ τις πολλάκις κατηγορούμενος ἀπελεγχθῇ ὅτι ἐνέχεται ἐφ᾿ οἷς λέγουσι κατ᾿ αὐτοῦ, καὶ ὁμολογήσει τοῦτο, εἴποι δὲ τυχὸν, ὅτι καὶ ἄλλος ἐνέχεται ὁ συγγινώσκων ἢ συνεργῶν ἐφ᾿ οἷς αὐτὸς κατηγόρηται, οὐκ ἐκφύγῃ[60] τὴν τιμωρίαν διὰ τὸ καὶ ἄλλον ὁμολογῆσαι τοῦ πταίσματος συμμετέχοντα, ἀλλὰ τιμωρεῖται μὲν οὗτος ἀναλόγως πρὸς ἅπερ ἔπταισεν, ἐκεῖνος δὲ ὅντινα αὐτὸς καθωμολόγησεν, οὐκ εὐθὺς τιμωρεῖται, ἀλλ᾿ ἀντικρίνεται τούτῳ καὶ τὰ ῥηθέντα κατ᾿ αὐτοῦ ἐξετάζεται, καὶ ἐὰν μὲν φανῶσιν ἀληθῆ, τιμωρεῖται· εἰ δὲ μὴ, ἀπολύεται[61].

μζ΄. Ὅταν τὶς ἀπόθηται κατά τινος ἔγκλημα, ἤγουν ὅταν τὶς κατηγορήσῃ τινὸς, ἐὰν ὁ κατηγορούμενος κατὰ τοῦ κατηγορήσαντος τούτου ἀντεπαγάγῃ ἕτερον βαρύτερον ἔγκλημα, τότε κελεύει ὁ νόμος τὸ ὕστερον ἔγκλημα πρότερον ἐξετάζεσθαι, διὰ τὸ εἶναι τοῦτο βαρύτερον, καὶ μετὰ τὴν ἐξέτασιν αὐτοῦ κινεῖσθαι εἰς κρίσιν τὸ πρότερον[62].

μη΄. Ὁ ὑπὸ κατηγορίαν ἐγκληματικὴν ὢν, οὐ δύναται ἀντιτιθέναι ἕτερον ἔγκλημα, οὔτε ἔλαττον οὔτε ἶσον τοῦ ἐπενεχθέντος τούτου ἐγκλήματος, ἀλλ᾿ ἀναγκάζεται πρότερον ἑαυτὸν καθαρίσαι ἐκ τῆς κατηγορίας, εἶτα μετὰ τοῦτο ἄλλου κατηγορεῖν· ἐν ὅσῳ δὲ κατηγορεῖται, ἀντικατηγορεῖν οὐ δύναται, ἀλλ᾿ οὐδὲ γραφὴν ἀποθέσθαι ἰσχύει κατὰ τῶν κατ᾿ αὐτοῦ ἐναγόντων, ἤγουν κατὰ τῶν κατηγορούντων αὐτοῦ[63].

μθ΄. Ὁ ἔχων ἐγγύην, τουτέστιν ὁ δυνάμενος διδόναι ἐγγυητὰς, οὐ δεσμεῖται οὔτε μὴν εἰς φυλακὴν ἐμβάλλεται, εἰ μὴ πολλάκις οὕτω βαρὺ ὑπάρχει τὸ κατ᾿ αὐτοῦ κινούμενον ἔγκλημα, ὥστε μὴ ἄξιον εἶναι μήτε στρατιώταις παραδοθῆναι μήτε ἐγγυηταῖς ἐμπιστευθῆναι[64].

ν΄. Ὁ ἐγγυησάμενός τινα κατηγορηθέντα, εἶτα ἀπαιτούμενος αὐτὸν καὶ μὴ παριστῶν, ἤγουν μὴ διδοὺς καὶ προκομίζων ἐνώπιον δημοσίων ἀρχόντων καὶ δικαστῶν, χρηματικὴν

---

[60] A ἐκφυγεῖν. [61] Att. XXXV (66). [62] Att. XXXV (67). [63] Att. l. l.
[64] Att. XXXV (68).

ποινὴν δίδωσιν. εἰ δὲ κατὰ δόλον οὐ παρίστησι τοῦτον, καὶ ἐκστραορδίνως καταδικάζεται, τουτέστιν ἐκ τῶν διατετυπωμένων καὶ τεταγμένων περὶ τῶν ἁλισκομένων ἤγουν κρατουμένων εἰς δολιότητα[65].

να΄. Μηδεὶς ἐγκλήματι κατηγορούμενος ἐμβαλλέσθω εἰς δεσμωτήριον, πρὶν ἂν ἐλεγχθῇ παρὰ τοῦ κατηγοροῦντος αὐτοῦ καὶ ἀποδειχθῇ τῷ κατηγορήματι ἐνεχόμενος. εἰ δὲ καὶ ἀποδημεῖ, καὶ διαστήματος πολλοῦ ἢ ὀλίγου ἐστὶν, μὴ πρότερον παριστάσθω ἤγουν ἀναγκαζέσθω παραγίνεσθαι ἐν τόπῳ, ἐν ᾧ ἡ κατ᾽ αὐτοῦ κινεῖται κατηγορία, πρὶν ἂν ὁ ἐνάγων ἐγγράψηται· ἐγγραψαμένου γὰρ ἐκείνου, τότε χρὴ ἢ παρίστασθαι αὐτὸν ἢ ζητεῖσθαι μὴ παριστάμενον[66].

νβ΄[67]. *Ὁ περὶ τῶν ἐπιβούλων νόμος ὅμοιος τῷ περὶ ἱεροσυλίας ἐστὶ, καὶ ἐνέχεται αὐτῷ, τῷ περὶ τῶν ἐπιβούλων δηλαδὴ νόμῳ, ὁ κατὰ ῥωμαϊκοῦ πλημμελήσας δήμου· καὶ ὁ σπουδάσας κατὰ δόλον παρὰ κέλευσιν βασιλέως τοὺς ὁμήρους ἀναιρεθῆναι, ἤγουν φονευθῆναι τοὺς ἀνθρώπους ἐκείνους τοὺς ἐξ ἄλλων ἀρχῶν εἰς τὴν ῥωμαϊκὴν ἀρχὴν ἐπὶ συμβιβάσεσι διδομένους, οὓς οἱ κοινοὶ ὄψιδας ὀνομάζουσι· καὶ ὁ σπουδάσας, ἵνα ἔνοπλοι ἄνδρες ἐν πόλει κατὰ πολιτείας διάγωσι· καὶ ὁ παρακινήσας, ἵνα στασιώδης γένηται σύνοδος, ἤγουν συνδρομὴ καὶ συνέλευσις, ἢ ἵνα φονευθῇ ἄρχων*[68].

νγ΄. Τῷ περὶ τῶν ἐπιβούλων νόμῳ ὑπόκειται καὶ ὁ πρὸς τοὺς πολεμίους ἄγγελον πέμψας ἢ γράμματα· καὶ ὁ σημεῖον δοὺς τοῖς ἐχθροῖς, ἤγουν σύμβολον καὶ γνώρισμά τινος πράξεως· καὶ ὁ κατά τινα τρόπον βοηθήσας αὐτοῖς· καὶ ὁ στρατιώτας ὑπονοθεύσας ἤγουν ἐξαπατήσας καὶ χείρονας εἰς τὴν στρατείαν ποιήσας· καὶ ὁ διεγείρας αὐτοὺς πρὸς στάσιν κατὰ τῆς πολιτείας καὶ θόρυβον τῷ περὶ τῶν ἐπιβούλων ὑπόκειται νόμῳ· καὶ ὁ καταλιπὼν τὸ στρατόπεδον, ἤγουν λαθραίως καὶ ἀπὸ τοῦ φοσσάτου φυγών· καὶ ὁ τῆς ἐπαρχίας μὴ ἀναχωρῶν μετὰ τὴν διαδοχήν· καὶ ὁ ἰδιώτης φεύγειν πρὸς τοὺς πολεμίους βουλόμενος· καὶ ὁ ἐν δημοσίῳ χάρτῃ γράψας ἢ ἀναγνοὺς πλαστόν τι. [ὑπόκειται][69] *τῷ περὶ τῶν ἐπιβούλων νόμῳ καὶ ὁ τοὺς*

---

[65] Att. XXXV (68). [66] Att. l. l. [67] Capita 52 et 53 BE non habent, sed notam addunt hanc: *Περὶ ἐπιβούλων εἰς τὸ ν΄ στοιχεῖον δεδήλωται ἐν τῷ νόμῳ τῷ ἰουλίῳ σοφῶς καὶ πλατέως περὶ τῶν ἐπιβούλων διαλαμβάνοντι. ἁρμόζουσι δὲ ἐκεῖνα καὶ ἐν τῷ παρόντι στοιχείῳ τῷ ε΄, καὶ ὁ βουλόμενος ἐκ τοῦ ν΄ στοιχείου καὶ ἐνταῦθα γραφέτω.* [68] Att. XXXV (69). [69] Hoc vel *ἐνέχεται* addendum est, quum in A parva lacuna sit.

πολεμίους εἰς μάχην παρακινῶν, καὶ ὁ πολίτην τούτοις παραδιδοὺς, καὶ ὁ ἐν πολέμῳ τοῖς πολεμίοις παραχωρῶν, καὶ ὁ καταλαμβάνων ἀκρόπολιν, καὶ ὁ προδιδοὺς πόλιν ἤγουν κάστρον, καὶ ὁ παρὰ βασιλικὴν κέλευσιν πολεμῶν ἢ στρατολογῶν, καὶ ὁ τῷ διαδόχῳ αὐτοῦ μὴ παραδιδοὺς τὸ στρατόπεδον, καὶ ὁ πρὸ τῆς διαδοχῆς ἀποστὰς καὶ καταλιπὼν τὸν λαὸν, οὗτινος ἀνεδέξατο τὴν ἀρχὴν, εἴτε πολιτικῶς ἦρχεν εἴτε στρατιωτικῶς· καὶ ὁ ἰδιώτης ὁ πλαστὴν ἀρχὴν περιποιούμενος ἑαυτῷ· καὶ ὅστις φροντίσει καὶ μελετήσει ποιῆσαί τι τῶν προειρημένων, καὶ ὁ παρασκευάσας ἤγουν οἰκονομήσας γενέσθαι κατὰ τῆς πολιτείας συνωμοσίαν τινὰ, καὶ ὁ ἐπιβουλεύσας τῷ στρατῷ ἢ παραδοὺς τοῖς πολεμίοις αὐτὸν, καὶ ὁ κατὰ δόλον ἐμποδίσας ὑπὸ ῥωμαίους γενέσθαι τοὺς πολεμίους, καὶ ὁ βοήθειαν οἰκονομήσας γενέσθαι τοῖς ἐχθροῖς πλήθει ἢ ὅπλοις ἢ ἵπποις ἢ χρήμασιν ἢ ἑτέρῳ οἱῳδήποτε τρόπῳ, καὶ ὁ τοὺς φίλους τῆς πολιτείας ποιήσας ἐχθροὺς, καὶ ὁ κωλύσας ἕτερον ἔθνος ὑποταγῆναι καὶ πειθαρχῆσαι τῇ πολιτείᾳ, καὶ ὁ παρασκευάσας ὁμήρους δοθῆναι τοῖς ἐχθροῖς, καὶ ὁ χρήματα δοθῆναι τούτοις οἰκονομήσας ἢ ὑποζύγια, καὶ ὁ καταστρέφων ἢ χωνεύων ἢ περιτρέπων ἢ ἄλλο τὶ πλημμελῶν εἰς στήλας καὶ εἰκόνας βασιλικὰς, καὶ ὁ κατὰ δόλον ἐπαρχίαν ἢ πόλιν τοῖς πολεμίοις προδοὺς, οὗτοι πάντες τῷ περὶ τῶν ἐπιβούλων νόμῳ καὶ τῷ περὶ καθοσιώσεώς εἰσιν ὑποκείμενοι. κινοῦσι δὲ κατ᾽ αὐτῶν καὶ ἄτιμοι καὶ στρατιῶται, καὶ κατὰ τῶν πατρώνων αὐτῶν ἀπελεύθεροι, καὶ δοῦλοι κατὰ τῶν ἰδίων δεσποτῶν, καὶ γυναῖκες καὶ ἁπλῶς πάντες[70].

νδ΄. Ἐπὶ ἐγκλήματος τῆς καθοσιώσεως καὶ οἱ ἐνάγοντες καὶ οἱ κεκινηκότες αὐτοὺς καὶ πάντες οἱ ἐπὶ τῇ ὑποθέσει μετέχοντες βασανίζονται, ὅπως παντὶ τρόπῳ ἐξεταζομένης τῆς ὑποθέσεως φανερὰ ἡ ἀλήθεια γένηται[71].

κδ΄. Ἐὰν ἀπατῶσα γυνὴ ἢ γινώσκουσα μὴ ἐνέχεσθαι ἀντιφωνήσῃ, οὐ βοηθεῖται.

κε΄. Ἡ γυνὴ κἂν πολλάκις μετὰ οἱονδήποτε χρόνον ἐπερωτηθῇ ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς, ὡς ἀντιφωνοῦσα βοηθεῖται.

κς΄. Ἐὰν ἀντιφωνήσασα γυνὴ μετὰ β΄ ἔτη τῆς ἀντιφωνήσεως εἰς δεύτερον ἐπερωτηθῇ ἢ ἐγγυητὴν παράσχῃ, οὐ βοηθεῖται. περὶ ξένου τοῦτό φησι, καὶ οὐ περὶ τοῦ ἰδίου ἀνδρός.

κζ΄. Οὐ μόνον ἡ γυνὴ ἀντιφωνοῦσα βοηθεῖται, ἀλλὰ καὶ ὁ ταύτην ἐγγυησάμενος· κἂν ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς ἀντιφωνήσῃ γυνὴ, βοηθεῖται.

---

[70] Att. XXXV (69). [71] Att. l. l.

νε΄. Ἐπὶ τοῦ ἐγκλήματος τῆς μοιχείας οὔτε συμφωνεῖν ἔξεστιν οὔτε διαλύεσθαι, τουτέστιν οὔτε συμφωνία ἐπὶ τούτῳ δύναται γίνεσθαι οὔτε διάλυσις, ὥστε τυχὸν μετὰ τὴν κίνησιν τοῦ ἐγκλήματος εἰς συμβίβασιν ἐλθεῖν καὶ ποιήσασθαι διάλυσιν τῆς τοιαύτης ὑποθέσεως καὶ οὕτως ἐκ συμφωνίας τοῦ κατηγορεῖσθαι καὶ τοῦ κατηγορεῖν παύσασθαι. ἐνέχεται γὰρ ἐξ ἀνάγκης πάσης ὁ κινήσας τὸ τῆς μοιχείας ἔγκλημα ἕως τέλους μάχεσθαι ὑπὲρ τοῦ βεβαιῶσαι αὐτό· εἰ δὲ μή, ὡς συκοφάντης καταδικάζεται[72].

νς΄. Ἐάν τις μοιχείαν ἁμάρτῃ πρὸς ἐκείνην, πρὸς ἣν ἤδη πολλοὶ ἐπόρνευσαν, οὐκ ἐγκαλεῖται μοιχείας[73].

νζ΄. Οἱ ἐπίτηδες, ἤγουν μετὰ σκέψεως καὶ βουλῆς καὶ ἐπ' αὐτῷ τούτῳ τὸν σκοπὸν ἔχοντες, ἐμπρησμὸν ποιοῦντες ἐν πόλει, εὐτελεῖς μὲν ὄντες, θηριομαχοῦσιν· εἰ δὲ ἔν τινι βαθμῷ καὶ τάξει ὑπάρχουσιν, ἀποκεφαλίζονται ἢ εἰς νῆσον περιορίζονται[74].

νη΄. Ἐν τοῖς ἐγκλήμασιν οὐ τὸ γεγονὸς σκοπεῖται, ἀλλ' ἡ διάθεσις[75].

νθ΄. Ἐπίσκοπός ἐστιν ἐπιτηρητὴς καὶ ἐπιμελητὴς πασῶν τῶν ἐκκλησιαζομένων ψυχῶν τῶν ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ, δύναμιν ἔχων τελεστικὴν πρεσβυτέρου, διακόνου, ὑποδιακόνου καὶ ἀναγνώστου καὶ ψάλτου καὶ μοναχοῦ[76].

κη΄. Ὁ ὑπεξούσιος καλῶς ὑπὲρ πατρὸς ἐγγυᾶται. καὶ γινόμενος γὰρ αὐτεξούσιος εἰς ὅσον ἐποίησεν ὑπεξούσιος ἐνέχεται, καὶ ὑπεξούσιος ὢν καταδικάζεται.

κθ΄. Ἐὰν ἐγὼ καὶ γυνὴ ἐγγυησώμεθα εἰς ὁλόκληρον, ἐγὼ μόνος ἐνέχομαι· εἰ δὲ μετὰ ἀφήλικος ἐγγυήσωμαι καὶ ἀποκαταστῇ, τότε εἰς ὁλόκληρον ἐνέχομαι, ὅτε πρῶτος ἐνηγγυησάμην, εἰ μὴ κατὰ δόλον τοῦ δανειστοῦ προσελήφθη.

λ΄. Τοῦ ἁγίου κυρίλλου κανὼν ια΄. — Κειμήλια καὶ κτήσεις ἀκινήτους ἀνεκποίητα ταῖς ἐκκλησίαις φυλάττεσθαι χρή, θαῤῥεῖσθαι δὲ τοὺς κατὰ καιρὸν τὴν ἱερωσύνην διέποντας τῶν παραπιπτόντων ἀναλωμάτων τὴν οἰκονομίαν.

λα΄. Ἐκ πολλῶν ἐγγυητῶν, ἐὰν ὁ εἷς ὑπὲρ τὸ ἀναλογοῦν αὐτῷ μέρος καταβά[λῃ, οὐκ ἀναλαμ]βάνει. οὐ γάρ ἐστι μὴ χρεωστούμενον.

λβ΄. [Ἡ] ἀπρόθεσμος ἀντιφώνησις [δέκα ἡμερῶν] ἔχει προθεσμίαν.

---

[72] Att. XXXV (70). [73] Att. ibid. [74] Att. XXXV (71). [75] Att. ibid.
[76] Epanag. VIII, 1.

ξ'. Ὁ ἐξετάζων καὶ ἀνερευνῶν καὶ ζητῶν γνωρίσαι, τίς ἐποίησέ τινα ὑπόθεσιν περὶ ἧς αὐτοῦ σκοπὸς πρόκειται, ἤγουν ὅταν τὸ πρᾶγμα φανερὸν ᾖ, τὸ δὲ πρόσωπον τὸ ποιῆσαν ἄδηλον ὑπάρχῃ καὶ οὐ γινώσκεται, καὶ ἔχει ὁ τὴν ὑπόθεσιν κρίνων περὶ τοῦ ποιήσαντος προσώπου τὴν ζήτησιν, οὐκ ὀφείλει ὀνομαστὶ ἐρευνᾶν· οἷον ἐὰν πεφονευμένου εὑρεθέντος τινὸς καὶ τοῦ φονέως μὴ γινωσκομένου ζητῇ ὁ δικαστὴς τίς ἐφόνευσεν, οὐκ ὀφείλει οὕτως ἐρωτᾶν, πότερον ὁ δεῖνα ἐφόνευσεν, ὁ γεώργιος τυχὸν ἢ ὁ θεόδωρος· τοῦτο γὰρ ὑποβάλλειν ἐστὶν καὶ οἷον εἰπεῖν παρακινεῖν τὸν ἐρωτώμενον καὶ ὑπάγειν εἰς συγκατάθεσιν καὶ ὥσπερ ἀποτιθέναι τούτῳ κατὰ τοῦ δεῖνος εἰπεῖν· ἀλλ' ἀορίστως λέγειν καὶ ἐρωτᾶν οὕτω· τίς τὸν φόνον ἐποίησεν, ἢ τίς τόδε τὶ ἐμηχανήσατο ἢ εἰργάσατο[77].

ξα'. Πρὸ μιᾶς ἡμέρας ὀφείλει προλέγειν ὁ μέλλων περί τινος ποιῆσαι ἐξέτασιν, ὅτι ἔσται ἐξέτασις, ἵνα μὴ οἱ κατηγορούμενοι τῷ αἰφνιδίῳ εἰς φόβον καὶ θόρυβον ἐμβάλλωνται[78].

ξβ'. Ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν ἐὰν ἐκ μελέτης καὶ σκέψεως ἢ κατὰ τύχην ἥμαρτέ τις· καὶ εἰ μὲν ἐκ μελέτης, κατὰ τὸν νόμον αὐτὸν τιμωρεῖν· εἰ δὲ μή, πρᾳότερον καὶ ἐλαφρότερον αὐτὸν ἐπεξέρχεσθαι[79].

ξγ'. Ὁ ἐκστραορδίνως καταδικάζων καὶ αὔξειν καὶ μειοῦν τὴν ποινὴν δύναται, ὥστε μέντοι ἐπὶ ἑκατέρου μὴ παρεξιέναι τὴν συμμετρίαν[80].

ξδ'. Μόνος ὁ θάνατός [ἐστιν] ἐσχάτη τιμωρία[81].

ξε'. Οἱ τὰς ἐφόδους ποιοῦντες [διὰ] τὸ πραιδεῦσαι ἐοίκασι τοῖς λησταῖς, καὶ ἐὰν τοῦτο μετὰ σιδήρου ποιῶσι καὶ ἐν ταῖς ὁδοῖς, εἰς κεφαλὴν κολάζονται· οἱ δὲ λοιποὶ ἐξορίζονται ἢ περιορίζονται[82].

ξς'. Διὰ τῆς ἑρμηνείας τῶν νόμων πραΰνεσθαι δεῖ τὰς τιμωρίας, οὐ μὴν τραχύνεσθαι[83].

ξζ'. Ὁ κατακριθεὶς καὶ ἐκκαλεσάμενος, εἰ καὶ ἀποθάνῃ τῆς ἐκκλήτου ἠρτημένης, οὐ δημεύεται, ἀλλὰ καὶ ἡ δια-

---

λγ'. Ὁ ἐπὶ ταβουλλαρίου ὡς ἐν καταθέσει τινὰ ἐγγυώμενος [ἐπὶ ἰδιω]τικῇ αἰτίᾳ, ἐντὸς β' μηνῶν μόνον κατέχεται, εἰ μὴ ἄρα ῥητῶς ἐγγυήσατο εἰς πλείονα χρόνον. εἰ δὲ ἐπὶ δημοσίᾳ αἰτίᾳ ἐνηγγυήσατο, δοκεῖ ἐγγράφως ἐγγυᾶσθαι. σημείωσαι οὖν, ὅτι ὁ ἀγράφως ἐγγυώμενος ἐντὸς β' μηνῶν κατέχεται κατὰ πρόληψιν.

---

[77] Att. XXXV (77). [78] Att. ibid. [79] Att. XXXV (78). [80] Att. ibid. [81] Att. ibid. [82] Att. ibid. [83] Att. ibid.

θήκη αὐτοῦ ἔῤῥωται. τὸ αὐτὸ δὲ ἐστὶ, κἂν ἡ ἔκκλητος αὐτοῦ μὴ προσεδέχθη[84].

ξη΄. Ἔξεστι τῷ κινοῦντι τὴν τοιαύτην ὑπόθεσιν ἀπὸ προσωπικῆς ἰδικῆς ζημίας τὴν ἀρχὴν ἔχουσαν (τουτέστιν οὐχὶ καθολικὴ οὖσα καὶ εἰς τὰ κοινὰ πράγματα ἀποβλέπουσα ἀλλ᾽ ἰδικῶς περιοριζομένη[85] εἰς ἓν πρόσωπον), ἐὰν ἡ τοιαύτη ὑπόθεσις δύναται καὶ ἐγκληματικῶς καὶ χρηματικῶς ἐνάγεσθαι, κατὰ τὴν οἰκείαν βούλησιν ταύτην κινεῖν, τουτέστιν εἴτε χρηματικῶς εἴτε ἐγκληματικῶς· εἰ δὲ βούλεται, καὶ κατὰ τοὺς δύο τρόπους καὶ κατὰ τὸν χρηματικὸν καὶ κατὰ τὸν ἐγκληματικόν· καὶ ἀφ᾽ οἵου ἂν ἀπὸ τούτων θελήσῃ ποιεῖν τὴν ἀρχὴν καὶ οἷον ἂν ἐξ αὐτῶν προαιρῆται ἐπάγειν ὕστερον. διὰ τοῦτο δύναταί τις κινῆσαι περὶ βίας ἰδιωτικῆς δικαστήριον καὶ περὶ χρηματικῆς ἀγωγῆς ποιήσασθαι ἔγκλησιν, εἶτα περὶ βίας δημοσίας κινῆσαι καὶ εἰς ἐγκληματικὴν ἀγωγὴν μεταστρέψαι τὴν πρὸ τούτου χρηματικήν. πάλιν δύναταί τις διαθήκης κρυπτομένης τυχὸν περὶ τῆς φανερώσεως τῆς διαθήκης κινεῖν, καὶ μετὰ τοῦτο περὶ πλαστογραφίας ἐνάγειν. ὡσαύτως δὲ καὶ ἐπὶ συμβολαίου ἔξεστί τινι ἀγωνισαμένῳ χρηματικῶς εἶτα καὶ τὸν περὶ πλαστογραφίας νόμον ἐπὶ τῷ συμβολαίῳ κινεῖν ἐγκληματικῶς[86].

ξθ΄. Ὁ εἰς ἐγκληματικὴν ὑπόθεσιν κατηγορήσας τινὸς, ἐντὸς δύο χρόνων ὀφείλει τὴν κατηγορίαν πληροῦν· εἰ δὲ ῥαθυμήσει καὶ ἐν τῇ τελευταίᾳ ἡμέρᾳ μὴ παραγένηται, ἀλλ᾽ ὑπέρθηται, τουτέστι δι᾽ ἀργίας καὶ βραδυτῆτος παραβιβάσει αὐτὴν, ἄτιμος γινέσθω, καὶ τὸ τρίτον τῆς οὐσίας αὐτοῦ ἀφαιρείσθω τῷ δημοσίῳ[87].

ο΄. Ὁ ἐξόριστος οὐ δύναται διάγειν ἐν ῥώμῃ, κἂν μὴ προστεθῇ τοῦτο τῇ ψήφῳ· ἐπειδὴ πάντων ἐστὶν ἡ ῥώμη πατρίς· ἀλλ᾽ οὐδὲ ἐν πόλει, ἐν ᾗ διάγει ὁ βασιλεὺς ἢ δι᾽ ἧς παρέρχεται· μόνοις γὰρ ἔξεστι τὸν βασιλέα βλέπειν τοῖς δυναμένοις εἰς ῥώμην εἰσιέναι[88].

οα΄. Ἐπίτροπος τὴν ὑπ᾽ αὐτοῦ ἐπιτροπευομένην φθείρων, περιορίζεται καὶ δημεύεται καὶ κατὰ τοὺς παρθένων ἅρπαγας τιμωρεῖται[89].

οβ΄. Δεῖ γινώσκειν, ὅτι κατὰ τοὺς πάλαι χρόνους τοιοῦτό τι ἔθος εἰς τὰς κρίσεις ἐκράτει. ἐκρίνοντο οἱ τὴν ὑπόθεσιν ἔχοντες, ἔλεγεν ὁ δικαστὴς τὴν ἀπόφασιν, ἤκουον ταύτην οἱ δύο

---

[84] Att. XXXV (79). [85] B accusativos habet, καθολικήν κτλ. [86] Att. XXXV (87). [87] Att. XXXV (90). [88] Att. XXX (81). [89] Att. XXXV (83).

οἱ πρὸς ἀλλήλους ἀντικρινόμενοι, καὶ εἰ μὲν ἐδόκει καὶ τοῖς δυσὶ μέρεσιν ἀσφαλὴς καὶ δικαία ἡ τοιαύτη ἀπόφασις, ἵσταντο μέχρι τούτου καὶ πλέον ἐπεζήτουν οὐδέν· εἰ δὲ πολλάκις εἷς ἀδικεῖσθαι ἑαυτὸν ὑπελάμβανεν, ἀνεφώνει ἐν μέσῳ τοῦ δικαστηρίου· ἐκκαλοῦμαι. καὶ ἐλέγετο τοῦτο ἔκκλητος. ἐδήλου γὰρ ὁ τό· ἐκκαλοῦμαι εἰπών, ὡς οὐκ ἀρέσκεται τῇ τοῦ κριτοῦ ἀποφάσει, καὶ βούλεται ἀναδραμεῖν εἰς δικαστήριον ἄλλο καὶ ἐκκαλέσασθαι. ὅταν οὖν τοῦτο τὸ ἐκκαλοῦμαι τῶν κρινομένων εἷς ἀνεφώνησεν, ὁ δικαστὴς ἐπεῖχε τὴν ψῆφον, ἤγουν ἐκράτει τὴν οἰκείαν ἀπόφασιν καὶ οὐκ ἐξῆγεν εἰς τέλος τῆς τοιαύτης ὑποθέσεως τὴν ἐκβίβασιν. ἐδίδοντο δὲ ἡμέραι δέκα τῷ ἀνακαλουμένῳ τὴν ἔκκλητον, καὶ ἐντὸς τῶν ἡμερῶν τούτων ἤγουν τῶν δέκα ἐποίει τὴν ἔκκλητον, ἤγουν ἀνέτρεχεν εἰς δικαστὰς ἄλλους καὶ παρ' αὐτῶν εἰς τὴν προτέραν ὑπόθεσιν πάλιν ἐκρίνετο, καὶ ἀνεψηλαφᾶτο παρὰ τῶν ὑστέρων κριτῶν ἡ τοῦ προτέρου κριτοῦ ἀπόφασις, καὶ εἰ μὲν εὑρέθη δικαία, ἐβεβαιοῦτο καὶ παρ' αὐτῶν· εἰ δὲ ἄδικος, διωρθοῦτο. καὶ ἐλέγετο τοῦτο ἔκκλητος, ταὐτὸ δ' εἰπεῖν ἀναψηλάφησις τῆς ἐξενεχθείσης πρότερον ἀποφάσεως· ἡ γὰρ ἔκκλητος τὴν ἀδικίαν ἐπιδιορθοῦται τοῦ δικαστοῦ ἢ τὴν ἄγνοιαν, τουτέστι τὴν ἀγνωσίαν καὶ τὴν ἀπειρίαν αὐτοῦ[90].

ογ'[91]. Ὁ εὐνοῦχος ὄνομά ἐστι γενικόν. τέμνεται δὲ καὶ διαιρεῖται εἰς τρία· οἱ μὲν γὰρ αὐτῶν εἰσι σπάδωνες, οἱ δὲ καστράτοι, οἱ δὲ θλιβίαι. καὶ σπάδωνές εἰσιν, οἵτινες διά τι πάθος ἢ ψύξιν ἐνοχλήσασαν τοῖς γονίμοις μορίοις παιδοποιεῖν κωλύονται, τούτου δὲ ἀπαλλαγέντες παιδοποιοῦσι. θλιβίαι δέ, οἵτινες ὑπὸ τῆς τροφοῦ ἢ τῆς μητρὸς τυχὸν ἔνθλιψιν τῶν διδύμων ὑπέστησαν. καστράτοι δέ εἰσιν, ἐφ' ὧν γέγονεν ἐκτομὴ τῶν γεννητικῶν μορίων. καὶ ὅτι ὁ μὲν καστράτος καὶ ὁ θλιβίας εἰς θέσιν τινὰ οὐ λαμβάνουσιν, ἐπεὶ οὐδὲ παιδοποιεῖν δύνανται· ὁ δὲ σπάδων λαμβάνει, ἐπειδὴ τοῦτον ἐλπὶς εἰκὸς τοῦ πάθους ἀπαλλαγέντα δύνασθαι παιδοποιεῖν[92].

οδ'. Εἴ τις δανείσας καὶ λαβὼν ἐνέχυρον χρήσεται τούτῳ εἰς πρᾶγμα μὴ δοκοῦν τῷ χρεώστῃ, καὶ συμβῇ τῷ ἐνεχύρῳ βλάβη τὶς ἐντεῦθεν ἢ καὶ παντελὴς ἀπώλεια, εἰς τὸν δανειστὴν τὸ ἐπισυμβὰν καὶ οὐκ εἰς τὸν χρεώστην ἀνάγεται[93].

---

[90] Att. tit. περὶ ἐκκλήτου (94). [91] Capita 73 et 74 in BE rectius desunt. Scilicet ordinem capitum turbant, et temere interjecta sunt inter caput 72 et 75, quae arctissime invicem cohaererent. [92] Syn. E, 43 ex Bas. XXXIII, 1, 51. [93] Non invenio.

οε'. Εἰ μὲν οὖν ἕως τῆς τῶν ι' ἡμερῶν συμπληρώσεως ἐκρίθη πάλιν ὁ ἀναφωνήσας ἐν τῷ δικαστηρίῳ τὸ ἐκκαλοῦμαι, ἐγίνετο ταῦτα ὡς εἴπομεν, καὶ ἐλέγετο ἔκκλητος. εἰ δὲ οὐκ ἐποίησεν οὗτος τὴν ἔκκλητον ἐντὸς τῶν ι' ἡμερῶν, ὁ πρότερος δικαστὴς ἐτελείου τὴν ἰδίαν ἀπόφασιν[94].

ος'. Εἰ δὲ καὶ πάλιν τὶς ἐκ τῶν κρινομένων εἰς τὴν τοιαύτην ἀπόφασιν οὐκ ἠρέσκετο, ἐξεκαλεῖτο πάλιν ὁ τοιοῦτος, καὶ ἐλέγετο τοῦτο οὐκ ἔκκλητος, ἀλλὰ ἔφεσις, καὶ κατὰ τοῦτο διέφερεν ἡ ἔφεσις πρὸς τὴν ἔκκλητον, ὅτι ἡ μὲν ἔκκλητος προηγεῖτο τῆς ἐφέσεως καὶ ἐντὸς τῶν ι' ἡμερῶν ἐγίνετο, ἡ δὲ ἔφεσις ὕστερον ἐτελεῖτο μετὰ τὴν τῶν ι' ἡμερῶν συμπλήρωσιν. ἐλέγετο δὲ ἔφεσις ἀπὸ τοῦ κατὰ τὴν ἔφεσιν ἤγουν τὴν ἐπιθυμίαν τοῦ ἐνάγοντος γίνεσθαι (ἐδόκει γὰρ ἐνδεδόσθαι αὐτῷ ποιεῖν ὅπερ ἤθελεν, διότι παρεχωρεῖτο καὶ μετὰ τὰς ι' ἡμέρας περὶ τῆς κριθείσης ὑποθέσεως κινεῖν δικαστήριον)· ἢ ἀπὸ τοῦ ἐφιέναι ἤγουν κρατεῖν τὸ καὶ εἰς ἄλλο μετὰ τὴν ἔφεσιν παραγίνεσθαι δικαστήριον· μετὰ γὰρ τὴν ἔφεσιν οὐκέτι εἶχεν ἄδειαν ὁ κρινόμενος κινεῖν δικαστήριον[95]· ἐπεὶ καὶ καθολικῶς εἰς πάσας τὰς ὑποθέσεις ἕως τρίτου ἐκκαλεῖσθαι ἐνδέδοται, ἐπέκεινα δὲ τούτων οὐ συγκεχώρηται[96].

οζ'. Εἰσὶ δέ τινα δικαστήρια, ἅτινα ἐκκλήτῳ οὐδόλως ὑπόκεινται· οἷόν ἐστι καὶ τὸ τοῦ ἐπάρχου τῶν πραιτωρίων, καὶ τοῦτο γὰρ διὰ τὸ μέγεθος τῆς ἀξίας οὐκ ἔχει ἔκκλητον, εἰ μὴ βασιλικῇ προσταγῇ ἕτεροι κριταὶ τὴν τοῦ ἐπάρχου τῶν πραιτωρίων δίκην καὶ ἀπόφασιν ἀναψηλαφᾶν κελευσθῶσι. τότε γὰρ ἀναψηλαφᾶται καὶ αὕτη. εὑρίσκεται γὰρ ἰουστινιάνειος νεαρὰ, ἥτις παρακελεύεται ἵνα πᾶς ὁ οἰόμενος ἀδικεῖσθαι, κἂν μὴ φθάσῃ ἐν τῷ κρίνεσθαι εἰπεῖν· ἐκκαλοῦμαι, ἄδειαν ἔχῃ προσέρχεσθαι τῷ βασιλεῖ καὶ ἀναφέρειν τὰ κατ' αὐτὸν, καὶ ἵν' οὕτω βασιλικῇ προσταγῇ ἕτεροι κριταὶ ἀναθεωρῶσι καὶ ἀναψηλαφῶσι τὴν προτέραν κρίσιν, καὶ εἰ μὲν εὕρωσιν αὐτὴν δικαίαν, ἐπικυρῶσιν αὐτήν· εἰ δὲ ἄδικον ἢ ἐσφαλμένην, ἐπανορθῶνται[97].

οη'. Αἱ δὲ τῶν κρίσεων ἐπιδιορθώσεις καὶ ἀνερευνήσεις ἐντὸς δύο χρόνων καὶ ἄρχονται καὶ τελειοῦνται, μετὰ δὲ τὴν συμπλήρωσιν τῶν δύο χρόνων, ἤγουν ὅταν μετὰ τὴν ἀπόφανσιν δύο ὁλόκληροι χρόνοι παρέλθωσιν, οὐκέτι δύναται ὁ κριτὴς ἐκκαλεῖσθαι καὶ κινεῖν τὴν προκριθεῖσαν καὶ ἀποφαν-

---

[94] Att. tit. περὶ ἐκκλήτου (94). [95] Verba μετὰ γὰρ — δικαστήριον A ponit ante illa ἢ ἀπὸ τοῦ ἐφιέναι. [96] Att. l. l. [97] Att. l. l.

θεῖσαν ὑπόθεσιν, εἰ μὴ πολλάκις διὰ μέσου τῶν δύο χρόνων ἐγκαλέσῃ καὶ δείξῃ, ὅτι ἡ αἰτία τῆς ὑπερθέσεως ἐκ τοῦ δικαστοῦ ἢ τοῦ ἀντιδίκου ἐστίν· τότε γὰρ καὶ μετὰ τοὺς β′ χρόνους δύναται ὁ καταδικασθεὶς κινεῖν ἔκκλητον. ἡ δὲ προφανῶς παράνομος κρίσις ἀκυροῦται καὶ χωρὶς ἐκκλήτου, καὶ ἐντὸς λ′ χρόνων ἀναψηλαφᾶται καὶ ἀπρακτεῖ[98].

οθ′. Πλέον παντὸς πράγματος θάλπομεν, τουτέστιν ἀγαπῶμεν καὶ στέργομεν καὶ ἀσπαζόμεθα, τὴν ἐλευθερίαν[99].

π′. Ἕπεται, τουτέστιν ἀκολουθεῖ, ὁ ἐνάγων τῷ φόρῳ τοῦ ἐναγομένου, ἤγουν ὁ κατήγορος ἔρχεται εἰς τὸ δικαστήριον τοῦ κατηγορουμένου καὶ εἰς τὸν τόπον ἐν ᾧ ὁ κατηγορούμενος, ὡς ἔχων ἐκεῖ τὰς τῶν πραγμάτων ἀποδείξεις, κρίνεσθαι βούλεται. τοῦτο δὲ οἰκονομεῖται παρὰ τοῦ νόμου πρὸς τὴν τῶν κατηγορουμένων βοήθειαν, ἵνα μὴ οἱ κατήγοροι εὐκόλως αὐτῶν ἐν ξένοις τόποις ἐπικρατέστεροι καὶ ἰσχυρότεροι γίνωνται[100].

πα′. Ἄκοντι ἤγουν μὴ θέλοντι μηδὲ βουλομένῳ τινὶ εὐεργεσία οὐ δίδοται[101].

πβ′. Ὅταν πολλοὶ δικασταὶ ἴσοι κατὰ τὴν ἀξίαν καὶ τὴν λοιπὴν δύναμιν κρίνωσί τινα περὶ ἐλευθερίας, καὶ οἱ μὲν τῶν δικαστῶν ποιήσωσιν ἀπόφανσιν, ὅτι δεῖ εἶναι τὸν κρινόμενον παρὰ τούτοις ἐλεύθερον, οἱ δὲ εἴπωσιν, ὅτι δοῦλον πρέπει εἶναι αὐτὸν, νικῶσιν οἱ ἐλευθεροῦντες αὐτὸν, ἐὰν ὦσι τοσοῦτοι, ὁπόσοι καὶ δοῦλον ἀποφαίνονται αὐτὸν εἶναι, ἢ ὀλιγότεροι μὲν, οὐ κατὰ πολὺ δέ. ὡσαύτως καὶ ἐὰν πολλοὶ κριταὶ κρίνωσι περὶ χρέους τινὰ, καὶ οἱ μὲν ἀπὸ τούτων ὀλίγον ὀφείλειν ἤγουν χρεωστεῖν αὐτὸν ἀποφαίνονται, οἱ δὲ πολὺ, νικῶσιν οἱ ὀλίγον χρεωστεῖν αὐτὸν λέγοντες. τοῦτο δὲ γίνεται παρὰ τοῦ νόμου διὰ φιλανθρωπίαν, ὅθεν καὶ τοὺς ἐλευθεροῦντας κρείττους καὶ καλλίους εἶναι παρὰ τοὺς δοῦλον ποιοῦντας παρακελεύεται, καὶ τοὺς ὀλίγον τὸ χρέος διαγινώσκοντας ἰσχυροτέρους ὑπάρχειν τῶν ἀποφαινομένων πολύ[102].

πγ′. Ἐλευθερία ἐστὶ φυσικὴ εὐχέρεια τοῦ ποιεῖν ὅπερ τὶς βούλεται, εἰ μὴ βίᾳ ἢ νόμῳ κωλύεται[103].

πδ′. Ἐὰν ἐναγόμενός τις ἀρνήσηται χεῖρα ἰδίαν προφερομένην ἐν γραμματείῳ, ἐν προικὶ ἢ ἑτέρῳ χάρτῃ, εἰ μὲν ἀπὸ συγκρίσεως ἐλεγχθείη, τουτέστιν αὐτοῦ ἑτέρας προσφερομένης[104] χειρὸς ἢ καὶ ἀντεξεταζομένης πρὸς τὴν ἐν τῷ γραμματείῳ κει-

[98] Att. l. l. [99] Att. in App. [100] Att. ibid. [101] Att. ibid. [102] Att. ibid. [103] Syn. Δ, 47 ex Bas. XLVI, 1, 2. [104] E προφ.

μένην, διδόναι αὐτὸν λόγῳ προστίμου τῷ ἐνάγοντι ὑπὲρ αὐτοῦ τοῦ ψεύδους νομίσματα κδ΄. ἐὰν δὲ ἢ συμβολαιογράφος παρενεχθῇ, παρ᾽ ᾧ τὸ συμβόλαιον ἐγράφη, ἢ καὶ ἕτεροί τινες μαρτυροῦντες τῇ ἀληθείᾳ, τότε αὐτὸν πρὸς τῷ ἐπιτιμίῳ τῶν κδ΄ νομισμάτων οὐδὲ παῤῥησίαν δύνασθαι ἔχειν πρὸς τὸ ἀντιτιθέναι τὴν τῆς ἀναργυρίας παραγραφὴν, λέγοντα ὅτι κἂν τὸ συμβόλαιον ἐγένετο, οὐκ ἐδόθησαν τὰ ἐν αὐτῷ γεγραμμένα· ἀλλὰ πάντως καταδικάζεσθαι, κἂν εἰ μηδὲν αὐτῷ ταῖς ἀληθείαις κατεβλήθη[105].

πε΄. Ἐξστιπουλάτους ἡ ἐπερώτησις λέγεται, κυρίως δὲ ἡ περὶ ἀφανῶν ἐπερώτησις[106].

πς΄. Ὁ πρὸς ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν ἔχειν δοκεῖ. ἐστὶ δὲ ἐλευθέρα μὲν ἡ μήτινα δουλείαν ὑπομείνασα, πόρον δὲ ἐκ τοῦ σώματος ποιησαμένη ἡ εὐπορίαν ζωῆς περιποιουμένη ἀπὸ τοῦ ἐκδιδόναι τὸ σῶμα εἰς αἰσχρὰς πράξεις, συνήθεια δὲ ἡ συνεχὴς καὶ ἀδιάκοπος ὁμιλία. ὁ γοῦν τοιαύτῃ ἐλευθέρᾳ ἤγουν ἀκαταδουλώτῳ γυναικὶ ἐπὶ πολὺν ἑνούμενος χρόνον, γυναῖκα δοκεῖ ταύτην ἔχειν, ἀλλ᾽ οὐ παλλακήν[107].

πζ΄. Ὁ ἐν ἐπαρχίᾳ τινὶ χειρίζων ὀφφίκιον, ἤγουν ἐνέργειάν τινα καὶ ἀρχὴν μεταχειριζόμενος, αὐτὸς μὲν κατὰ τὸν καιρὸν τῆς ἀρχῆς καὶ τῆς ἐνεργείας γυναῖκα λαβεῖν οὐ δύναται, τοὺς δὲ υἱοὺς ἢ τὰς θυγατέρας εἰς γάμον διδόναι καὶ προκομίζειν[108] ἄδειαν ἔχει καὶ οὐ κωλύεται[109].

πη΄. Ὃ ἐγκατέλιπον οὐκ ἐστὶν ἐμὸν, τοῦ δὲ προκαταλαμβάνοντος γίνεται. ὡς γὰρ κτώμεθα, οὕτω καὶ ἀποκτώμεθα[110].

πθ΄. Ἐν τοῖς ἐγκληματικοῖς δικαστηρίοις οὔτε κατηγορεῖν οὔτε κατηγορεῖσθαι διὰ ἐντολέως δυνατόν[111].

ϛ΄. Εὔπορος νοεῖται ἐγγυητὴς οὐ μόνον ἐκ τῆς οὐσίας, ἀλλὰ καὶ ἐκ τῆς εὐχερείας τοῦ ἐνάγεσθαι[112].

ϛα΄. Ὁ ὑπεξούσιος καλῶς ὑπὲρ τοῦ πατρὸς ἐγγυᾶται· καὶ γινόμενος γὰρ αὐτεξούσιος, εἰς ὅσον ποιήσει ὑπεξούσιος, ἐνέχεται· καὶ ὑπεξούσιος ὢν καταδικάζεται[113].

ϛβ΄. Ἐὰν εἷς τῶν ἐγγυητῶν καταβάλῃ καὶ μὴ ἐκχωρηθῇ

---

[105] Syn. Δ, 59 ex Bas. XXII, 1, 75. [106] Glossa nomica, ut videtur. [107] Syn. Γ, 1 ex Bas. XXVIII, 4, 13. [108] In B προικαίζειν. [109] Syn. Γ, 2 ex Bas. XXVIII, 4, 20. [110] Syn. Δ, 4 ex Bas. L, 7, 1. [111] Syn. Δ, 52 ex Bas. LX, 33, 13. [112] Syn. E, 1 ex Bas. VI, 14, 2. [113] Syn. E, 2 ex Bas. XXVI, 1, 10.

τὰς ἀγωγὰς, ὁ ἄλλος οὔτε παρ' αὐτοῦ οὔτε παρὰ τοῦ δανειστοῦ ἐνάγεται[114].

ϟγ'. Ἐὰν νομίσματα δανείσω, οὐ δύναμαι λαβεῖν ἐγγυητὴν ἐφ' ᾧ δοῦναί μοι ὑπὲρ αὐτῶν σῖτον· εἰ μὴ γὰρ εἰς αὐτὸ τὸ δανεισθὲν, οὐ προσλαμβάνεται ἐγγυητής[115].

ϟδ'. Οἱ μὴ πειθαρχοῦντες τῇ ἐξορίᾳ, ἀλλ' ἢ ἐν ἑτέροις εὑρισκόμενοι τόποις ἢ μὴ ἀπιόντες εἰς τὴν ἐξορίαν, ἀντὶ μὲν ἐξορίας προσκαίρου διηνεκῆ ὑφίστανται, ἀντὶ δὲ διηνεκοῦς ἐξορίας περιορισμὸν, ἀντὶ δὲ περιορισμοῦ κεφαλικὴν τιμωρίαν[116].

ϟε'. Ἔξεστι τῷ μέλλοντι ἐνάγεσθαι ἤγουν κατηγορεῖσθαι περί τινος χρέους ἐξασφαλίζεσθαι, ὅτι ἀποδώσει ἕως τετραμήνου, καὶ ἀπολύεσθαι[117].

ϟϛ'. Κατὰ ψῆφον βασιλέως ἢ συγκλήτου οὐ δίδοται ἔκκλητος· οὔτε ὁ πρὸ ψήφου καταθέμενος μὴ ἐκκαλεῖσθαι δύναται ἐκκαλεῖσθαι[118].

ϟζ'. Ἐπιλογὴ παρὰ τῷ νόμῳ ὡς ἐπὶ τὸ πολὺ ἡ ἐκλογὴ λέγεται, καὶ ἐπιλέξασθαι τὸ ἐκλέξασθαι[119].

ϟη'. Θεσπίζομεν, τουτέστι διοριζόμεθα καὶ προστάσσομεν, μηδένα παντελῶς ἐνεχυριασμὸν κατὰ τὴν ἡμετέραν πολιτείαν κρατεῖν[120].

ϟθ'. Εὔπορον ἐγγυητὴν ὁ νόμος φησὶν μὴ μόνον τὸν πλούσιον, ἀλλὰ καὶ ὃν εὐχερῶς τουτέστιν εὐκόλως δύναται ὁ ἄνθρωπος, πρὸς ὃν γίνεται ἡ ἐγγύη, ἄγειν εἰς τὸ κριτήριον. ὥστε κατὰ τοῦτον τὸν λόγον καὶ ἄπορος ἐγγυητὴς μὴ μόνον ὁ πτωχὸς καὶ ὁ μηδὲν ἔχων, ἀλλὰ καὶ ὃν οὐ μὴ δυνηθῇ τις ἄγειν εἰς τὸ δικαστήριον, εἰ καὶ πολὺς πρόσεστι βίος αὐτῷ[121].

ρ'. Ἐὰν γυνὴ παρὰ ἀφήλικι ἐγγυήσηται, εἰ μὲν εὔπορός ἐστιν ὁ χρεώστης, οὐκ ἐνάγεται ἡ γυνή· εἰ δὲ ἄπορος, ἐνάγεται[122].

ρα'. Ὅταν ἐγγυήσηταί τις εἴς τι πρᾶγμα, ὃ παρὰ τοῦ νόμου ἀθετεῖται καὶ ἀνατρέπεται, καταλυομένου τοῦ πράγματος εἰς τὴν ἐγγύην αὐτὸς οὐκ ἐνέχεται[123].

ρβ'. Πολλῶν ἐγγυησαμένων ἐὰν ὁ εἷς τῶν ἐγγυητῶν καταβάλῃ καὶ ἀποδώσει ἐπέκεινα τοῦ κατὰ ἀναλογίαν ἀνήκοντος αὐτῷ, οὐ δύναται ἀνακαλεῖσθαι ὃ ἔδωκεν ὑπὲρ τὸ ἀνῆκον

[114] Syn. *E*, 2 ex Bas. XXVI, 1, 39. [115] Syn. l. l. ex Bas. XXVI, 1, 42. [116] Syn. *E*, 29 ex Bas. LX, 51, 4. [117] Non invenio. [118] Syn. *E*, 9 ex Bas. IX, 1, 28. [119] Non invenio locum, ad quem haec commentetur auctor. [120] Syn. *E*, 24 ex Bas. XXIII, 3, 77. [121] Syn. *E*, 1 ex Bas. VII, 14, 2. [122] Syn. l. l. ex Bas. X, 4, 12. [123] Syn. *E*, 2 ex Bas. XXVI, 1, 46.

αὐτῷ. ἐχρεωστεῖτο γὰρ τὸ δοθὲν, καὶ τὰ κεχρεωστημένα μετὰ τὸ δοθῆναι οὐκ ἀνατρέπονται. καὶ ἐστὶ τοῦτο καινότερον καὶ παρασημειώσεως ἄξιον[124].

ργ΄. Ἐγγυήσατό τις χρεωφειλέτην πρὸς τὸν αὐτοῦ δανειστήν. μετὰ τὴν ἐγγύην διηνώχλησε τῷ χρεωφειλέτῃ. ἐποίησε διαμαρτυρίαν εἰς τοῦτο. μετὰ ταῦτα παρὰ τοῦ δανειστοῦ ἐνάγεται περὶ ὧν ἠγγυήσατο. προβάλλεται, ὅτι τάδε πρὸς τὸν χρεωφειλέτην διὰ τὴν γενομένην ἐγγύην ἐποίησε. πειρᾶται διὰ τοῦτο τὸν δανειστὴν παραγράφεσθαι. ὁ νόμος κελεύει, ἰσχύειν τὸν δανειστὴν, καὶ τὸν ἐγγυητὴν μηδὲν ἐκ τούτων ὠφελεῖσθαι, ἀλλ᾽ εἰς τὴν ἐγγύην ἐνέχεσθαι[125].

ρδ΄. Ἐπὶ τόκοις ἐγγυητὴς οὐκ ἐνέχεται, εἰ μὴ τοιοῦτό τι συμφωνηθῇ[126].

ρε΄. Ὁ εἰς ὁλόκληρον[127] ἐγγυησάμενος καὶ εἰς πολιτικὸν τέλος καὶ ἐπὶ τόκοις[128] ἐνέχεται[129].

ρς΄. Οἱ ἐγγυώμενοι, ἵνα μέχρι τόσου καιροῦ ἀγάγωσι καὶ παραστήσωσί τινα, ἐὰν διαβάσωσι[130] τὸν τεταγμένον καιρὸν, καὶ ὃν ἐγγυήσαντο ἀγαγεῖν μὴ ἀγάγωσι, λαμβάνουσι καὶ ἕτερον ἑξαμηνιαῖον καιρὸν εἰς τὸ ἀγαγεῖν αὐτὸν, καὶ ἐὰν ἀγάγωσιν ἕως τῆς αὐτῆς συμπληρώσεως, οὐκ ἐνέχονται[131].

ρζ΄. Οἱ ἐγγυώμενοι ἀφήλικα, ἀφισταμένου αὐτοῦ τοῦ ἀφήλικος καὶ μὴ ποιοῦντος εἰς ὃ αὐτὸν ἠγγυήσαντο, βοηθοῦνται καὶ συγγινώσκονται[132].

ρη΄. Ἐκβιβαστὴς ἐστὶν ὁ μετὰ τὴν ἀπόφασιν διδόμενος ἐπὶ τῷ ἐκβιβάσαι ἤγουν ἀγαγεῖν εἰς τέλος καὶ ἐκπληρῶσαι τὰ ἀποφανθέντα. ἀπὸ τούτου δὲ καὶ πᾶς ἄλλος ὁ ἀποστελλόμενος ποιῆσαί τι καὶ ἐκπληρῶσαι τὸ κελευσθὲν αὐτῷ ἐκβιβαστὴς λέγεται, ὁποῖον πολλάκις ἐκβιβαστὴν εὑρίσκομεν καὶ τὸν λεγόμενον παρὰ τοῦ κοινοῦ ἀπαιτητὴν παρὰ τοῦ νόμου καλούμενον ἐκβιβαστὴν, ὡσαύτως δὲ καὶ τὸν τῶν κρίσεων διεκδικητήν. ἀπαιτητὴς γὰρ καὶ διεκδικητὴς[133] ἐκβιβάζει καὶ ἐκπληροῖ τὰ αὐτῷ ἀνακείμενα[134].

ρθ΄. Τοῖς ἐγκυμονουμένοις, ἤγουν τοῖς ἔτι βασταζομένοις καὶ φερομένοις ἐν τῇ γαστρὶ, πλέον ὀφείλει βοηθεῖν ὁ δικαστὴς, ἢ τοῖς γεννηθεῖσι παισίν[135].

---

[124] Syn. *E*, 2 ex Bas. XXVI, 1, 49. [125] Syn. l. l. ex Bas. XXVI, 1, 62. [126] Syn. l. l. ex Bas. XXVI, 1, 68. [127] A jungit haec praecedentibus, sic: *συμφωνηθῇ εἰς ὁλόκλ.* [128] B verba *καὶ ἐπὶ τόκοις* non habet. [129] Syn. *E*, 2 ex Bas. LIV, 10, 7. [130] A *διαβιβάσωσι.* [131] Syn. *E*, 2 ex Bas. XXVI, 1, 90. [132] Syn. l. l. ex Bas. XXXV, 14, 80. [133] B *ἐκδικ.* [134] Syn. *E*, 7 ex Basil. IX, 3, 84. [135] Syn. *E*, 6 ex Bas. XL, 4, 3.

ρι΄. Εἴκει τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις, τουτέστι συνυπάγεται καὶ συγκαταδουλοῦται τοῖς κάτω καὶ ὑποδεχομένοις τὰ ἄνω καὶ ἐπὶ τούτων φερόμενα, εἰ μὴ πολλάκις τὰ μὲν ἄνω θεῖά τινα εἶεν καὶ ἱερά, τὰ δὲ κάτω κοινά· τότε γὰρ τὰ κάτω εἴκει τοῖς ἄνω, οὐχὶ τὰ ἄνω τοῖς κάτω[136].

ρια΄. Ἔξεστι καὶ ἑτέρου δικασαμένου ἕτερον ἐκκαλεῖσθαι, ἐὰν αὐτῷ διαφέρῃ τὸ πρᾶγμα, εἰς ὃ ἡ κρίσις ἐγένετο[137].

ριβ΄. Ὁ ἐκκαλούμενος, ἐὰν ὑβρίσῃ τὸν πρότερον δικαστὴν, τυπτόμενος σωφρονίζεται[138].

ριγ΄. Ἐὰν γίνηται ἔκκλητος ἐπὶ ὑποθέσεσι μὴ ἐπέκεινα οὔσαις δέκα λιτρῶν, εἷς μόνος δικαστὴς ἔστω. ἐπὶ δὲ ταῖς ἐπέκεινα τῶν ι΄ λιτρῶν δύο δικάζουσιν· εἰ δὲ οἱ δύο διαφωνοῦσι καὶ τρίτος παραλαμβάνεται, καὶ ὁ τρίτος οὗτος ὡς ἐπὶ τὸ πολὺ ὁ κοιαίστωρ ἐστίν. ἐπὶ δὲ ταῖς ὑπερβαινούσαις τὰς κ΄ λίτρας τότε πρέπει κινεῖσθαι τὴν ὑπόθεσιν ἐπὶ κοινῆς ἀκροάσεως πάντων τῶν συγκλητικῶν. οἱ δὲ δύο οὓς εἴπομεν δικασταὶ δύνανται καὶ ἅμα καὶ ἀνὰ μέρος κρίνειν τὴν ὑπόθεσιν διά τινων μέσων ὑπηρετούντων[139].

ριδ΄. Τοῖς μέλλουσιν ἐκκαλεῖσθαι δίδοται καὶ καιρὸς κατὰ λόγον τῆς διαστάσεως τοῦ τόπου, ἐν ᾧ κατοικοῦσι· καὶ διὰ τοῦτο τοῖς μὲν ἑξαμηνιαῖος καιρὸς, τοῖς δὲ τριμηνιαῖος πρὸς τὸ ἐκκαλέσασθαι ὥρισται. προστίθενται δὲ τῷ τριμήνῳ ἢ τῷ ἑξαμήνῳ καὶ ἄλλαι ς΄ ἡμέραι διὰ τὰ παρεμπίπτοντα ἐμποδίσματα[140]. ὁ δὲ τελεώτατος χρόνος τῆς ἐγκλήτου εἰς ἔτος ἓν ἤγουν χρόνον[141] ὁρίζεται. ἐὰν δὲ ὁ μέλλων ἐκκαλεῖσθαι τελευτήσῃ, οἱ κληρονόμοι αὐτοῦ καὶ ἑτέρους δ΄ λαμβάνουσι μῆνας πρὸς τὸ κινῆσαι τὴν ἔκκλητον. ἡ δὲ ἔφεσις εἰς β΄ χρόνους ὁρίζεται[142].

ριε΄. Ἡ ἐπίτηδες ἐκτρώσασα, ἤγουν οἰκειοθελῶς ἐπιτηδεύσασα τὸ ἐγγάστριον βρέφος ἀποβαλέσθαι, τυπτομένη ἐξοριζέσθω. ἡ διὰ χρήματα τοῦτο ποιοῦσα κεφαλικῶς τιμωρεῖται. μετὰ τὸ διαζύγιον διὰ μῖσος τὸ πρὸς ἄνδρα πρὸς καιρὸν ἐξορίζεται[143].

ρις΄. Δοῦλος κληρονόμος ἔνστατος ἢ ὑποκατάστατος γεγραμμένος ἐλευθεροῦται, εἰ καὶ εἰς λεγάτον τῷ κληρονόμῳ παρὰ τοῦ ἔχοντος ἀφεθῇ. δοκεῖ γὰρ ὁ κληρονόμον αὐτὸν ποιῶν,

---

[136] Syn. E, 8 ex Bas. XV, 1, 82. [137] Syn. E, 9 ex Bas. IX, 1, 4. [138] Syn. l. l. ex Bas. IX, 1, 8. [139] Syn. l. l. ex Bas. IX, 1, 127. [140] B καὶ ἐμπ. [141] B εἰς ἐνιαυτὸν ἤγουν ἔτος ἓν καὶ χρ. [142] Syn. E, 9 ex Bas. IX, 1, 133. [143] Syn. E, 13 ex Bas. LX, 22, 4 et 51, 35.

εἰ καὶ μὴ λέγει ῥητῶς, ἀλλ' οὖν σεσιωπημένως ἐλευθεροῦν. ἐλευθεροῦται δὲ ἀπὸ μὲν τῆς ἐνστάτου κληρονομίας αὐτίκα, ἀπὸ δὲ τῆς ὑποκαταστάτου ὑπὸ αἵρεσιν, τουτέστιν ἐὰν ὁ κληρονόμος, ᾧ καὶ αὐτὸς εἰς λεγάτον ἀφείθη, οὐ φθάσει ἐγκρατῶς τῆς κληρονομίας ἐπιλαβέσθαι, ἄνηβος τυχὸν τελευτήσας ἢ ἄλλως πως κωλυθείς[144].

ριζ'. Ὁ ἐπιβὰς τῆς τελευταίας ἤγουν ὑστέρας ἡμέρας τοῦ κ' χρόνου δύναται ἀκωλύτως τὸν ἑαυτοῦ δοῦλον ἐλευθεροῦν[145].

ριη'. Τὸν δοῦλον ὅντινα ἐνεχυράσει τὶς, ἤγουν εἰς ἐνέχυρον δώσει, οὐ δύναται ἐλευθεροῦν, εἰ μὴ τοῦ ἐνεχυρασμοῦ αὐτὸν ἀπολύσει[146].

ριθ'. Ἐλευθερωθέντος δούλου οἱ παῖδες αὐτοῦ οὐκ ἀπαιτοῦνται λόγους, περὶ ὧν δοῦλος ὢν ἔπραξεν ὁ πατὴρ, εἰ μὴ ῥητῶς οὕτως ἠλευθερώθη, ὥστε λόγους δοῦναι περὶ ὧν ἔσχεν εἰς διοίκησιν δοῦλος ὤν. τότε γὰρ καὶ αὐτὸς καὶ μετ' αὐτὸν οἱ παῖδες ἀπολογεῖσθαι ὑπὲρ τῶν τοιούτων ἐνέχονται[147].

ρκ'. Ἐὰν ὁ κληρονόμος τὸν ὑπὸ αἵρεσιν δοῦλον πωλήσῃ, παραχρῆμα ὁ δοῦλος ἐλευθεροῦται. ὑπὸ αἵρεσιν δὲ δοῦλος λέγεται ὁ μὴ ἁπλῶς δοῦλος καταλειφθεὶς, ἀλλὰ μετά τινος προσδιορισμοῦ, οἷον ὥστε τοῦτο ποιεῖν ἢ οὕτω διάγοντα ἐλευθερωθῆναι αὐτόν[148].

ρκα'. Ἐάν τις τελευτῶν ἐπαφήσῃ τῷ κληρονόμῳ ἕνα τῶν παίδων τῆσδε τῆς δούλης ἐλευθερῶσαι, ὃν[149] αὐτὸς ὁ κληρονόμος ἐκλέξηται, καὶ τελευτήσῃ ὁ κληρονόμος μηδένα εἰς ἐλευθερίαν ἐξ αὐτῶν ἐκλεξάμενος, πάντες οἱ τῆς τοιαύτης δούλης παῖδες ἐλευθεροῦνται[150].

ρκβ'. Ὁ τὸν οἰκεῖον δοῦλον ἅπαξ ἐλευθερώσας, τὴν ἐλευθερίαν οὐκέτι ἀνατρέψαι δύναται, χωρὶς τῶν διωρισμένων αἰτιῶν δηλονότι εἰς τοῦτο[151].

ρκγ'. Δούλη ὑπὸ αἵρεσιν ἐλευθερωθῆναι ταχθεῖσα, ἐὰν γεννήσῃ πρὸ τοῦ ἐκπληρωθῆναι τὴν αἵρεσιν, δούλους γεννᾷ· ἐὰν δὲ μετὰ ἐκπλήρωσιν τῆς αἱρέσεως, ἐλευθέρους γεννᾷ[152].

ρκδ'. Ἐπίδικον πρᾶγμα θεῷ καθιεροῦν οὐ δύναται. ἐστὶ δὲ ἐπίδικον, οὗ ἡ δεσποτεία φιλονεικεῖται καὶ ἀμφιβάλλεται[153].

---

144 Syn. E, 14 ex Bas. XXXV, 13, 39. 145 Syn. E, 15 ex Bas. XLVIII, 1, 1. 146 Syn. l. l. ex Bas. XLVIII, 1, 3. 147 Syn. l. l. ex Bas. XLVIII, 3, 62. 148 Syn. l. l. ex Bas. XLVIII, 5, 10. 149 B ὃν ἄν. 150 Syn. E, 16 ex Bas. XLVIII, 13, 14. 151 Syn. l. l. ex Bas. XLVIII, 20, 20. 152 Syn. l. l. ex Bas. XLVIII, 13, 2. 153 Syn. E, 35 ex Bas. XXVII, 1, 8.

ρκε΄. Ὅταν ἀλλότριον δοῦλον ἐλευθερώσῃ τὶς ἐνώπιον ἄρχοντος δημοσίου, ὁ μὲν δοῦλος καὶ πάλιν τοῦ οἰκείου δεσπότου γενέσθω δοῦλος, ὁ δὲ ἐλευθερώσας αὐτὸν ζημιοῦται οὐδέν. ὅταν δὲ ἐνώπιον βασιλέως ἐλευθερώσῃ τὶς ἀλλότριον δοῦλον, τοῦ δούλου ὑπὸ τὸν οἰκεῖον γινομένου δεσπότην καὶ ὁ ἐλευθερώσας αὐτὸν ζημίας ὑφίσταται· δίδωσι γὰρ τῷ μὲν δεσπότῃ καὶ ἄλλους β΄ δούλους κατὰ πάντα ὁμοίους τῷ παρ᾽ αὐτοῦ ἐλευθερωθέντι, τῷ δὲ μέρει τοῦ δημοσίου τρεῖς ἄλλους δούλους τοιούτους. ἰστέον δὲ ὅτι παρά τισι τῶν νομικῶν βιβλίων εὕρηται οὐχὶ δουλοῦσθαι καὶ πάλιν τὸν ἐνώπιον βασιλέως ἐλευθερωθέντα ἀλλότριον δοῦλον, ἀλλὰ τοῦτον μὲν ἐλεύθερον μένειν διὰ τὸ ἐνώπιον βασιλέως ἐλευθερωθῆναι αὐτὸν, εἰ καὶ κακῶς ἡ ἐλευθερία ἐγένετο· τὸν δὲ ἐλευθερώσαντα αὐτὸν τὰς λεχθείσας ζημίας ὑφίστασθαι. καὶ τοῦτο δοκεῖ καὶ ἐμοὶ ἀσφαλέστερον εἶναι καὶ ἀκριβέστερον, τέως δὲ κἀκεῖνο οὐκ ἀνεύλογον πάντῃ οὐδ᾽ ἀπαράδεκτον[154].

ρκς΄. Οἱ ἀπὸ κωδικέλλων πλαστῶν ἐλευθερωθέντες, φανέντος καὶ ἀπελεγχθέντος τοῦ πλαστοὺς εἶναι τοὺς κωδικέλλους, τὴν μὲν ἐλευθερίαν ἔχουσι καὶ οὐκ ἀφαιροῦνται αὐτὴν, ἀποδιδόασι δὲ τῷ κληρονόμῳ τὰς τῶν δούλων τιμὰς, ἤγουν κατὰ δοῦλον ἕκαστον νομίσματα κ΄[155].

ρκζ΄. Ὁ νόμος φησίν· ὁ ἀπρονόητος ἐλευθεροῦται. τίς δ᾽ ἂν εἴη οὗτος ὁ ἀπρονόητος, οὐ δηλοῦται παρά τινος. δοκεῖ δὲ ἀπρονόητος εἶναι ὁ μὴ δυνάμενος εἴς τινα προνοεῖσθαι δεσποτικῶς[156] καὶ κήδεσθαι τούτου ὀφείλοντα, ἢ περὶ οὗ οὐκ ἐστὶ πρόνοια ἤγουν πρόγνωσις παρά τινων ὡς τοῦδέ τινος ὀφείλει δοῦλος νομίζεσθαι· ὁ γὰρ τοιοῦτος ὡς μὴ ἔχων δεσπότην ἐλευθεροῦται. τινὲς δὲ τὸν ἑαυτοῦ μὴ ἰσχύοντα προνοεῖσθαι ἀπρονόητον φασὶν, ἤγουν τὸν παράφορον καὶ μαινόμενον[157].

ρκη΄. Ὁ κ΄ χρόνους τῇ ἐλευθερίᾳ διατρέψας, οὐκέτι περὶ τῆς τύχης διενοχλεῖται, ἀλλὰ μένει ἐλεύθερος, χωρὶς εἰ μὴ φυγὰς γενόμενος τὰ κ΄ διεβίβασεν ἔτη. τότε γὰρ ὁ φυγὰς δοῦλος εἰς δουλείαν καὶ μετὰ τοὺς κ΄ χρόνους ἐνάγεται[158].

ρκθ΄. Ὅταν τῷ κοινῷ[159] τις ἐν ἀπορίᾳ δοῦλον οἰκεῖον ἀφήσῃ καὶ δανειστὰς, οὐκ ἐλευθεροῦται ὁ δοῦλος, εἰ μὴ πρότερον οἱ δανεισταὶ τὸ χρεωστούμενον ἀπολάβωσιν[160].

---

[154] Syn. *E*, 16 ex Bas. XLVIII, 16, 7. [155] Syn. l. l. ex Bas. XLVIII, 13, 1. [156] An *δεσποτικά*? [157] Syn. *E*, 17 ex Bas. XLVIII, 6, 2. [158] Syn. l. l. ex Bas. XLVIII, 24, 1. [159] Lege *κληρονόμῳ*. [160] Syn. *E*, 19 ex Bas. XLVIII, 7, 5.

ρλ΄. Τὰ κατὰ τύχην ἐπὶ ἐνεχύρῳ συμβαίνοντα, εἴτε χρηστὰ εἶεν εἴτε κακὰ, τὸν δεσπότην τοῦ ἐνεχύρου ἤγουν τὸν χρεώστην ὁρᾷ[161].

ρλα΄. Οὐδὲν τῶν εἰς γεωργίαν ἐπιτηδείων ἐνεχύρου λόγῳ λαμβάνεται[162].

ρλβ΄. Δύναται ὁ δανειστὴς ὁ κατέχων τινὸς χρεώστου ἐνέχυρον καὶ αὐτὸς ἑτέρῳ δανειστῇ διδόναι πάλιν αὐτὸ εἰς ἐνέχυρον, πλὴν ὑπὲρ τόσου τιμήματος ὑπὲρ οὗ καὶ αὐτὸς κατέσχεν αὐτό[163].

ρλγ΄. Ἔξεστι τῷ δανειστῇ μετὰ β΄ χρόνους τῆς συμπληρώσεως τοῦ συμφωνηθέντος καιροῦ, παρόντος καὶ τοῦ χρεώστου, πωλεῖν τὸ ἐνέχυρον. εἰ δὲ ἄπεστιν ὁ χρεώστης, καὶ ὁ δανειστὴς οὐχ εὑρίσκει τὸν ἀγοράσαντα τὸ ἐνέχυρον, ὁ δικαστὴς τάττει ὡρισμένον καιρὸν, ἵν᾽ ἐντὸς αὐτοῦ ὁ χρεώστης ἔλθῃ καὶ δώσῃ τὸ χρέος καὶ λάβῃ τὸ οἰκεῖον ἐνέχυρον· εἰ δὲ μὴ παραγένηται ἐντὸς τοῦ ταχθέντος καιροῦ, ἢ παραγενόμενος οὐκ ἀποδώσει τὸ χρέος ὁλόκληρον, ὁ δανειστὴς προσιὼν ἤγουν προσερχόμενος τῷ βασιλεῖ εἰς τελείαν δεσποτείαν τὸ ἐνέχυρον δέχεται. μετὰ τοῦτο δὲ πάλιν ἄλλη διετία ἤγουν ἄλλοι β΄ χρόνοι δίδονται τῷ χρεώστῃ, καὶ εἰ παραγένηται ἐντὸς αὐτῶν, δύναται τὸ χρέος ἅπαν καὶ τὰς ζημίας, ἃς μεθ᾽ ὅρκου δείξει ὁ δανειστὴς, ἀποδιδοὺς ἀναλαμβάνειν καὶ αὖθις τὸ οἰκεῖον ἐνέχυρον. εἰ δὲ καὶ ἡ τοιαύτη διετία παρέλθῃ, εἰς παντελῆ δεσποτείαν κατέχει τὸ οἰκεῖον[164] ἐνέχυρον, καὶ οὐκέτι δύναται ὁ χρεώστης ἀπαιτεῖν αὐτό[165].

ρλδ΄. Ἕως οὗ ὁ ἔνοικος τὸ μίσθωμα, ἤγουν τὸ κοινῶς λεγόμενον ἐνοίκιον, πρὸς τὸν δεσπότην τοῦ οἴκου δίδωσιν, οὐκ ἐκβάλλεται τοῦ οἴκου, εἰ μὴ ὁ δεσπότης εἰς ἰδίαν ἀναγκαίαν χρείαν τῷ οἴκῳ χρήσασθαι βούλοιτο, ἢ ἐνοικοδομῆσαι ἢ μεταποιῆσαι πρὸς τὸ κρεῖττον αὐτὸν, ἢ ὁ ἔνοικος κακῶς καὶ ἐπιβλαβῶς αὐτῷ χρᾶται. εἰ γὰρ ἕν τι τούτων τῶν τριῶν εἴη, ἐκβάλλεται τοῦ οἴκου ὁ ἔνοικος, κἂν τὸ ἐνοίκιον δίδωσι· χωρὶς δὲ τούτων ἕως ὅτου εὐγνωμόνως τὸ ἐνοίκιον δίδωσιν, οὐκ ἐκβάλλεται[166].

ρλε΄. Ἐντολεὺς λέγεται ὁ ἄλλου τινὸς ὑπόθεσιν κατὰ ἐντολὴν ἤγουν προτροπὴν ἐκείνου ἀναδεχόμενος[167].

---

161 Syn. *E*, 25 ex Bas. XXV, 2, 21. 162 Syn. *E*, 24 ex Bas. XXV, 5, 27. 163 Syn. *E*, 25 ex Bas. XXV, 7, 19. 164 B τοιοῦτον. 165 Syn. *E*, 25 ex Bas. XXV, 7, 59. 166 Syn. *E*, 26 ex Bas. XX, 1, 65. 167 Ad Syn. *E*, 28.

ρλς′[168]. Ἐντολεὺς[169] τὰ τῆς δίκης προδιδοὺς δικαιώματα, εἰ μὲν εὐτελής ἐστι, μεταλλίζεται· εἰ δὲ τιμιώτερος, ζημιοῦται εἰς τὸ ἥμισυ τοῦ βίου αὐτοῦ παρὰ τοῦ δημοσίου καὶ διηνεκῶς ἐξορίζεται[170].

ΑΡΧΗ ΤΟΥ Ζ[1].

α′. Οὐ δεῖ τῆς ζητήσεως ἀπὸ βασάνων ἄρχεσθαι. τότε γὰρ οἱ δοῦλοι βασανίζονται, ὅτε καὶ ὕποπτός ἐστιν ὁ κατηγορούμενος καὶ ὕπεισι τεκμήρια ἤγουν σύμβολά τινα καὶ σημεῖα τῆς ὑποθέσεως, ὥστε μόνην τὴν τῶν δούλων ἐλλείπειν κατάθεσιν καὶ ὁμολογίαν[2]. πρῶτον δὲ βασανίζονται οἱ ὕποπτοι, δι᾽ ὧν δυνατὸν γνωσθῆναι τὸ ἀληθές. οὐ δεῖ δὲ φέρεσθαί τινας ἀπὸ τοῦ οἴκου τοῦ κατηγόρου πρὸς ζήτησιν[3].

β′. Ἐὰν ἀποδύσω ἤγουν ἐκδύσω γυμνώσας τῶν ἱματίων ἃ περιβέβληται δοῦλόν σου, καὶ ἀπὸ ψύχους ἀποθάνῃ, ἐπὶ μὲν τοῖς ἐσθήμασιν ἁρμόζει ἡ περὶ κλοπῆς ἀγωγὴ εἰς τὸ διπλοῦν, ἐπὶ δὲ τῷ δούλῳ ἡ τοῦ διπλοῦ ἀπαίτησις[4].

γ′. Ἐὰν ἀλλότριον σκεῦος ῥίψω εἰς βυθὸν, οὐκ ἐπὶ τῷ κερδᾶναι, ἀλλὰ διὰ τὸ ζημιῶσαι τὸν δεσπότην, ἐνέχομαι εἰς τὸ διπλοῦν[5].

δ′. Οἱ δεσπόται τῶν ἀγρίων καὶ ἀνθρωποφάγων ζώων, ἐὰν ἔχωσιν αὐτὰ λελυμένα, ἢ μὴ ἰσχυρῶς δεδεμένα καὶ οὕτως ὥστε μὴ δύνασθαι βλάπτειν, καὶ συμβῇ ἐλεύθερον ἄνθρωπον ἐξ αὐτῶν τελευτῆσαι, σ′ νομίσματα παρὰ τοῦ δημοσίου ζημιοῦνται· ἐὰν δὲ οὐ τελευτήσῃ, ἀλλὰ ἄλλως βλαβῇ, πρὸς τὴν τοῦ δικαστοῦ διάγνωσιν κατ᾽ ἀναλογίαν τῆς βλάβης καταδικάζονται[6].

α′. Κανὼν περὶ ζημίας. — Ὁ ἐξ οἰκείου ἁμαρτήματος ζημιούμενος οὐ δοκεῖ ζημιοῦσθαι.

β′. Ἕτερος. — Οὐ δεῖ γίνεσθαί τινα πλουσιώτερον ἐκ τῆς ἑτέρου ζημίας.

---

168 D ρλβ′. C ρλδ′. A ρλς′. 169 C Ὁ ἐντολεύς. 170 Syn. E, 28 ex Bas. LX, 51, 34.

1 A addit βιβλίου, D στοιχείου. In C haec rubrica omnino deest. Apud eundem initio haec leguntur: Τὰ περὶ ζημίας καὶ περὶ ζητήσεως ἐν ἑτέροις γραφέντα στοιχείοις καὶ ἐνταῦθα ἐν τοῖς εἰς τὸ ζ′ δηλαδὴ στοιχεῖον γραφῆναι ἁρμόζουσι καὶ τοῖς βουλομένοις ἐκεῖθεν καὶ ὧδε μεταγραφέσθωσαν. 2 Verba καὶ ὁμ. in C desunt. 3 Att. XXXV (77). 4 Syn. Z, 1 ex Bas. XX, 4, 14. 5 Syn. ibid. 6 Syn. l. l. ex Bas. XIX, 10, 40.

ε΄. Ἐὰν ἄγριον ζῶον ἀποφυγὸν βλάψῃ, οὐκ ἐνέχεται ὁ δεσπότης αὐτοῦ. ὁ γὰρ δεσπότης τοῦ ζώου ἕως τότε ὑπὲρ τούτου ἐνέχεται, ἕως ὅτου δεσπότης εἴη τοῦ ζώου· ἐπεὶ δὲ μετὰ τὴν φυγὴν οὐκέτι τούτου δεσπότης ἐστὶν, οὐδὲ ὑπὲρ τῆς βλάβης ἧς φυγὸν ποιήσει ἐνέχεται. δῆλον δὲ, ὅτι οὐ δεσπόζει τοῦ τοιούτου ζώου ὁ ἔχων αὐτὸ, ἐκ τούτου· εἰ γάρ τις μετὰ τὴν φυγὴν αὐτὸ κτείνῃ, ἐκεῖνος τοῦ σώματος τοῦ ζώου δεσπότης γίνεται[7].

ς΄. Ἐὰν ζῶον ἕτερον ζῶον ἐρεθίσῃ, ἤγουν παροξύνῃ τε καὶ παρακινήσῃ, καὶ ἐκ τούτου ἢ ἓν ἀπὸ τῶν δύο ζώων τελευτήσῃ, ἢ ἄλλῳ τινὶ γένηται βλάβη ἀπολέσαντί τι τῶν οἰκείων ἐκ τῆς τῶν ζώων μάχης, ὁ δεσπότης τοῦ ἐρεθίσαντος ἤγουν παρακινήσαντος ζώου ἐνέχεται[8].

ζ΄. Ἐὰν ζῶον ἑτέρῳ ζώῳ πρὸς μάχην συμβάλλῃ, εἰ μὲν κατὰ τοῦ ἄλλου ὁρμῆσαν τελευτήσῃ, οὐδεμία ἀγωγὴ κινεῖται· εἰ δὲ τὸ ἕτερον ἀπολεσθῇ, κινεῖ ὁ δεσπότης αὐτοῦ κατὰ τοῦ ἔχοντος τὸ ζῶον τὸ πρώτως εἰς τὴν μάχην ὁρμῆσαν, καὶ ἢ αὐτὸ τὸ πρώτως ὁρμῆσαν ζῶον καὶ τὸ ἑαυτοῦ ζῶον ἀποκτεῖναν ἀντ' ἐκείνου λαμβάνει, ἢ ἀλλοτρόπως ἐπὶ τῇ γενομένῃ ζημίᾳ τὴν θεραπείαν ἀνάλογον δέχεται[9].

η΄. Ὁ ἰατρὸς ἢ ἀπείρως τεμὼν, ἢ καλῶς μὲν τεμὼν τὴν δὲ ἰατρείαν καταλιπὼν, ἐνέχεται τῇ μισθώσει ἤγουν τῇ ζημίᾳ τοῦ τιμήματος τοῦ μέλλοντος εἰς μισθὸν δοθῆναι αὐτῷ. πολλάκις δὲ, ἐάν τι χεῖρον ἐκ τῆς τοῦ ἰατροῦ ἀπειρίας ἢ ἀμελείας ἐπισυμβῇ, καὶ τῷ ἀκουϊλίῳ ὑπόκειται ἤγουν τῷ εἰς τὸ διπλοῦν ζημιοῦντι αὐτόν[10].

θ΄. Ἐάν[11] τις οἰκειοθελῶς βαλὼν πῦρ ἐπὶ τῷ καῦσαι οἶκον, ἢ ἐκεῖνον τὸν οἶκον καύσῃ καθ' οὗ τὸ πῦρ ἔβαλλεν, ἢ ἄλλον πλησίον αὐτοῦ, ἐνέχεται καὶ παρὰ τοῦ δεσπότου τοῦ οἴκου τῷ ἀκουϊλίῳ ἤγουν τῇ εἰς τὸ διπλάσιον ζημίᾳ, καὶ παρὰ τῶν ἐνοίκων διὰ τὰ πράγματα αὐτῶν, ἃ ἐν τῷ οἴκῳ ὄντα ἐκαύθησαν καὶ ἀπώλοντο[12].

ι΄. Ζῶον ἀλλότριον εὑρών τις ἐν ἰδίῳ κτήματι ποιῆσαν ζημίαν, οὐκ ὀφείλει ἢ φονεύειν ἢ σφοδρῶς ἀπελαύνειν καὶ τύπτειν, ἀλλ' ὡς οἰκεῖον κρατεῖν. περὶ γὰρ τῆς ζημίας, ἧς τὸ ζῶον ἐποίησε, κατὰ τοῦ δεσπότου κινήσας, λήψεται ταῦτα· εἰ

---

7 Syn. *Z*, 1 ex Bas. LX, 2, 1. 8 Syn. ibid. 9 Syn. ibid. 10 Syn. l. l. ex Bas. LX, 3, 7. 8. 11 A manu recentiori, quae scripturae vitia in eo corrigere solet, in margine haec habet: *Εἰ τὴν καλάμην τοῦ ἰδίου χωραφίου κτλ.* Explicit: *ὡς παρὰ γνώμην αὐτοῦ γενόμενον.* 12 Syn. *Z*, 1 ex Bas. LX, 3, 27.

δὲ φονεύσει[13], διπλοῦν ἀπαιτεῖται αὐτό· ὡσαύτως δὲ καὶ, εἰ σφοδρῶς ἀπελάσει ἢ τύψει, καὶ πάθῃ τινὰ τὸ ζῶον βλάβην ἐκ τούτου, οἷον ἀμβλώσῃ καὶ ἀποβάληται ἐγγάστριον ἔχον ἢ ἄλλο τὶ τοιοῦτον ἐπ' αὐτῷ γένηται, ἀπαιτεῖται τὴν ζημίαν εἰς τὸ διπλοῦν[14].

ια'. Ὁ διὰ καπνοῦ φονεύσας ἢ φυγεῖν ποιήσας ἀλλοτρίας μελίσσας ὑπόκειται τῇ ἀπαιτούσῃ τὸ διπλοῦν ἀγωγῇ[15].

ιβ'. Ζητήσεως οὔσης περὶ δημοσίων συντελειῶν, ἤγουν φόρων καὶ τελεσμάτων, καὶ οἰκέται βασανίζονται· ἐπειδὴ καὶ συνειδότες τῇ κατὰ τοῦ δημοσίου περιγραφῇ, τουτέστιν ἀπάτῃ καὶ τῇ ἐκ ταύτης ζημίᾳ, κεφαλικῶς τιμωροῦνται[16].

ιγ'. Κατήγορος ζητῶν βασανισθῆναι δοῦλόν τινος, ἵνα εἴπῃ κατὰ τοῦ οἰκείου δεσπότου, οὐκ ἀκούεται· κἂν καὶ τὸ τίμημα τοῦ δούλου λέγῃ ἀποδιδόναι εἰ[17] βασανισθῇ ὁ δοῦλος, οὐδ' οὕτως ἀκούεται[18].

ιδ'. Οἱ συλληφθέντες, ἤγουν ἐπί τισιν αἰτίαις κρατηθέντες, κατὰ τῶν αὐτοὺς παραδεδωκότων λέγοντες, οὐ πιστεύονται[19].

ιε'. Ὁ ἥττων, ἤγουν ἐλάττων καὶ κατωτέρω τῶν ιδ' χρόνων, ἐπὶ ζητήσεσιν, ἐν αἷς ἐνάγεται, οὐ βασανίζεται, εἰ μὴ

γ'. Νεαρὰ μα' τοῦ κυροῦ λέοντος. — Εἴ τις δή τινα εἰς ὀφθαλμοὺς ἐπενέγκοι τινὶ ζημίαν, τοῦτον κελεύομεν, εἰ μὲν ἕνα, τῷ ἑνὶ καὶ αὐτὸν ζημιοῦσθαι τὴν ἴσην ὑπέχοντα δίκην· εἰ δὲ δύο, θατέρου μὲν τῶν ὀφθαλμῶν καὶ αὐτὸν ἀποστερεῖσθαι, ὡς ἂν εἴη σημεῖον φέρων τοῦ οἰκείου πονηρεύματος· ἐπειδὴ δὲ καὶ χειρὸς ὀφείλει τῆς ἀνοσίου τὴν ἐκτομὴν, ἀντὶ τῆς ζημίας τῆς χειρὸς τῶν ὑπαρχόντων ζημιούσθω τὴν διμοιρίαν, καὶ ταῦτα εἰς παραμυθίαν τοῦ βίου ὁ ὑπ' αὐτοῦ ἐκκοπεὶς τοὺς ὀφθαλμοὺς λαμβανέτω. ἀλλ' εἰ μὲν τῶν εὐπόρων εἴη, οὕτως ἡ ζημία προβαινέτω· εἰ δὲ τῶν ἀπόρων, γινέσθω καὶ οὗτος τῆς παραπλησίου συμφορᾶς κοινωνὸς καὶ μεριστὴς, καὶ τὸν βίον ἐχέτω ἐν σκότει τῇ ἀμφοτέρων τῶν ὀφθαλμῶν ἐκκοπῇ. καὶ εἴτινες δὴ τῷ κακουργήσαντι πρὸς τὴν πρᾶξιν συνήραντο, εἰ μὲν αὐτόχειρες γεγόνασι τοῦ κακοῦ συνεξορύξαντες τοὺς ὀφθαλμοὺς, παραπλησίως καὶ αὐτοὶ κολαζέσθωσαν· εἰ δ' ἀπέσχοντο μὲν τοῦ τὰς χεῖρας τοῖς ὀφθαλμοῖς συνεπιβαλεῖν, ἄλλην δέ τινα συνεργείαν παρέσχον τῷ πονηρεύματι, τοῖς μὲν ὁρίζεσθαι τὴν ποινὴν μέχρι τῶν εἰς τὸ σῶμα πληγῶν καὶ τῆς ἐν χρῷ κουρείας καὶ τῷ τρίτῳ μέρει τῆς τῶν ὑπαρχόντων ζημίας· τοὺς δὲ αὐτουργοὺς τῆς τυφλώσεως τοῖς προειρημένοις ὑπάγεσθαι.

---

[13] A φονεύσας. [14] Syn. Z, 1 ex Bas. LX, 3, 39. [15] Syn. l. l. ex Bas. LX, 3, 49. [16] Syn. Z, 2 ex Bas. LX, 50, 1. [17] B ἵνα βασ. A ἢ habet pro εἰ. [18] Syn. Z, 2 ex Bas. LX, 50, 1. [19] Syn. ibid.

πολλάκις κατὰ βασιλέως εἴη τὸ ἔγκλημα[20]. περὶ τούτου δὲ εἴπομεν ἀλλαχοῦ.

ις'[21]. Προφανῶν ὄντων τῶν τεκμηρίων ἤγουν τῶν σημείων, ἐφ' οἷς ὁ κατηγορούμενος βασανίζεται, καὶ δὶς βασανίζεται, εἰ πρὸς τὰ δῆλα καὶ προφανῆ ἀντιλέγει τεκμήρια, ἐπιπλέον τε[22], εἰ καὶ τῇ ψυχῇ καὶ τῷ σώματι δείκνυται τὰς βασάνους φέρειν δυνάμενος[23].

ΑΡΧΗ ΤΟΥ Η[1].

α'. Ἐν τῷ καιρῷ τοῦ θέρους καὶ τῆς τρύγης οὐδεὶς ἀναγκάζεται δικάσασθαι, ἤγουν εἰς δικαστήριον ἐλθεῖν ἐπὶ τῷ κριθῆναι· εἰ δὲ κατὰ ἄγνοιαν ἢ ῥαθυμίαν, ἤγουν ὀλιγωρίαν καὶ μικροψυχίαν τινὰ καὶ τὸ μὴ ἀνέχεσθαι ἀναρτῆσαι εἰς ἀναβολὴν τὰ τῆς ὑποθέσεως, ὁ δικαστὴς αὐτοὺς προσκαλέσεται, εἰ μὲν παροῦσιν αὐτοῖς ἑκουσίως δικαζομένοις ψηφίζεται, ἔῤῥωται· εἰ δὲ ἀποῦσιν, ἀνίσχυρος ἡ ψῆφος ἤγουν ἡ ἀπόφασις καὶ χωρὶς ἐκκλήτου. εἰ δὲ μέλλει φθείρεσθαι ἡ ἀγωγὴ, ἀναγκάζονται συνελθεῖν μέχρι τοῦ προκατάρξασθαι, οὐ μὴν περαιτέρω[2].

β'. Ἐν δὲ τῷ ιθ' κεφαλαίῳ· καὶ οἱ δικασταὶ πάντες καὶ

α'. Ὁ λέγων ποιῆσαι εἴσω ἡμερῶν καὶ μὴ προσθεὶς πόσων, εἴσω δύο δοκεῖ λέγειν.

β'. Ὁ λέγων μέρος καὶ μὴ προσθεὶς ποῖον, τὸ ἥμισυ δηλοῖ.

γ'. Ὅτι ἡ ἡμέρα ἀπὸ τῆς ζ' ὥρας τῆς νυκτὸς ἄρχεται καὶ τελευτᾷ εἰς ς' ὥραν τῆς ἐπιούσης νυκτὸς, ὥστε καὶ τὸ πραττόμενον ἐν μιᾷ τούτων τῶν κδ' ὡρῶν ἐν τῇ αὐτῇ ἡμέρᾳ δοκεῖ γίνεσθαι.

δ'. Εἴτε ἐν τῇ πρώτῃ ἡμέρᾳ τοῦ βισσέξτου εἴτε ἐν τῇ δευτέρᾳ τεχθῇ τις, ἀδιάφορόν ἐστιν· ἐξ ἐκείνου γὰρ τὸ κε' ἔτος ψηφίζεται ὡς τῶν δύο ἡμερῶν ἀντὶ μιᾶς παραλαμβανομένων.

ε'. Μέτριος χρόνος ι' ἡμέραι εἰσίν· ὀλίγος δὲ χρόνος οἱ δύο μῆνες.

---

[20] Syn. Z, 2 ex Bas. LX, 50, 9. [21] A ιε'. [22] Sequor Cod. B. — Particula τε in ACD deest: D totum hunc locum aliter legit, et quidem primo verba καὶ δὶς βασανίζεται omittit, et deinde ἐπιπλέον βασανίζεται habet. [23] Syn. Z, 2 ex Bas. LX, 50, 17.

[1] A addit βιβλίον, CD στοιχείου. — Idem D praemittit hos versiculos (in margine addens στίχοι):

Πᾶς τις δικαστὴς ὀρθὰ κρίνειν εἰ θέλῃ,
τοὺς νόμους προσθεὶς τοῖσδε κρίνων οὐ πταίσει.

[2] Syn. H, 1 ex Bas. VII, 17, 1. — Idem locus habetur apud Attalensem in Appendice

οἱ δῆμοι τῶν πόλεων καὶ οἱ τεχνῖται πάντες ἐν τῇ κυριακῇ ἀργείτωσαν· γεωργοὶ δὲ μόνοι ἐν τῇ ἡμέρᾳ ταύτῃ γεωργείτωσαν, ἐπειδὴ πολλάκις συμβαίνει αὐτὴν ἐπιτηδειοτέραν εὑρεθῆναι πρὸς ἀροτρίασιν ἢ πρὸς τὴν τῶν ἀμπελώνων γεωργίαν, καὶ ἄτοπόν ἐστιν αὐτοὺς κωλύεσθαι τῆς ἐκ τῶν ἀέρων ἀπολαύειν εὐκαιρίας[3].

γ'. Ἐν δὲ τῷ κβ' κεφαλαίῳ· ἐν δὲ τῇ τεσσαρακοστῇ τοῦ πάσχα μηδεμία παντελῶς ἐγκληματικὴ δίκη γυμναζέσθω παρὰ μηδενὶ ἄρχοντι[4].

δ'. Ἐν δὲ τῷ κγ' κεφαλαίῳ· πᾶσα ἡμέρα ἔμπρακτος ἔστω. οἱ δὲ δύο μῆνες καθ' ἕκαστον ἔτος πρὸς ἀνάπαυσιν τοῦ καμάτου συγκεχώρηνται, τουτέστιν ὁ τῶν θεριστικῶν καὶ ὁ τῶν τρυγητικῶν. καὶ ἐν τῷ ἰαννουαρίῳ αἱ συνήθεις ἡμέραι ἔστωσαν ἄπρακτοι, [καὶ] ἡ γενεθλιακὴ ἑκατέρας ῥώμης ἤγουν τῆς παλαιᾶς καὶ τῆς νέας ἡμέρα· χρὴ γὰρ ἐν τοῖς δύο τούτοις ναταλίοις ἤγουν γενεθλίοις ἀργεῖν τὰ δικαστήρια, ὡς ἐκ τῶν δύο τούτων πόλεων ἐπινοηθέντα. καὶ ἑπτὰ δὲ πρὸ τοῦ πάσχα ἡμέραι καὶ ἑπτὰ μετὰ τὸ πάσχα· καὶ αἱ τοῦ γενεθλίου τοῦ σωτῆρος ἡμῶν· καὶ αἱ τῶν ἐπιφανίων, καὶ ὅτε μνήμη τοῦ πάθους τῶν ἁγίων ἀποστόλων γίνεται, ἄπρακτοι ἔστωσαν καὶ μηδεμία θέα ἐπιτελείσθω. καὶ τὴν κυριακὴν μὲν ὁμοίως ταύταις ταῖς ἡμέραις προσήκει τιμᾶσθαι, καὶ μηδὲ παρὰ τοῖς ἄρχουσιν ἢ χαμαιδικασταῖς ἤγουν τοῖς ταπεινοτέροις καὶ χαμηλοῖς ἢ παρ' ἑτέροις δικασταῖς ὑπόθεσις γυμναζέσθω. καὶ ἡ ἡμέρα δὲ ἡ γενεθλιακὴ τοῦ βασιλέως ἢ καθ' ἣν ἀνηγορεύθη βασιλεύς, ἄπρακτος ἔστω. ἐν δὲ ταῖς ιε' πασχαλίαις ἡμέραις μηδὲ περὶ δημοσίων συντελειῶν μηδὲ περὶ ἰδιωτικῶν χρεῶν ὑπόμνησις παραγέσθω τινί[5].

ε'. Ἐν δὲ τῷ κδ' κεφαλαίῳ· πᾶσα πρᾶξις καὶ ἐπὶ δημοσίοις καὶ ἐπὶ ἰδιωτικοῖς ἡσυχαζέτω ἐν ταῖς ιε' πασχαλίαις ἡμέραις· μόνον δὲ ἐλευθερίαι δούλων καὶ αὐτεξουσιότητες παίδων γινέσθωσαν[6].

ς'. Ἡ διάταξις βούλεται τοὺς λῃστὰς καὶ τοὺς ἰσαύρους, ἤγουν τοὺς ἐν ταῖς δημοσίαις παρόδοις ὑφεδρεύοντας καὶ παρακαθημένους ὥστε τοῖς ἐκεῖσε διερχομένοις ἐπιτίθεσθαι ἅρπαγας καὶ φονεῖς (τοιοῦτο γὰρ τὸ τῶν ἰσαύρων γένος), οὐ μόνον ἐν τῇ τεσσαρακοστῇ ἀλλὰ καὶ ἐν οἱαδήποτε ἡμέρᾳ τοῦ πάσχα ἐξετάζεσθαι καὶ βασάνοις ὑποβάλλεσθαι. συγγινώσκεται

---

[3] Syn. H, 1 ex Bas. VII, 17, 19. [4] Syn. l. l. ex Bas. VII, 17, 22.
[5] Syn. l. l. ex Bas. VII, 17, 23. [6] Syn. l. l. ex Bas. VII, 17, 24.

γὰρ τὸ θεῖον ἡμῖν, φησι, πολλῶν ἀνθρώπων σωτηρίας ἐντεῦθεν ἀσφαλιζομένης καὶ πολλῶν ἐλεγχομένων διὰ τῆς ἐπ' ἐκείνοις ἐξετάσεως[7].

ζ. Ἐν δὲ τῷ κϛ' κεφαλαίῳ· τῇ πρώτῃ τῶν πασχαλίων ἡμέρᾳ καὶ μὴ βασιλικῆς ἰδικῆς ἐπὶ τοῦτο καταλαβούσης κελεύσεως πάντες οἱ ἐν φυλακαῖς ἀπολυέσθωσαν, εἰ μὴ ἄρα ἱερόσυλός ἐστιν, ἢ μοιχὸς, ἢ παρθένων ἅρπαξ, ἢ τυμβωρύχος[8], ἢ γόης, ἢ φαρμακὸς, ἢ μονίταν πλαστὴν καταδεξάμενος, ἢ φονεὺς, ἢ πατροκτόνος, ἢ κατὰ βασιλέως ἢ πόλεως μηχανησάμενος[9].

η'. Ἐν δὲ τῷ κζ' κεφαλαίῳ· ἐν ταῖς ἀφωρισμέναις ἡμέραις εἰς τὴν τοῦ θεοῦ τιμὴν οὐ χρὴ θέαν ἤγουν θεωρίαν τινὰ καὶ πανήγυριν τελεῖσθαι οὐδὲ ἀπαιτήσεις ἐν αὐταῖς προβαίνειν. ὅθεν καὶ ἡ κυριακὴ οὕτω τιμάσθω, ὥστε μηδὲ ἕνα προβαίνειν ἐκβιβασμὸν ἐν αὐτῇ, μηδὲ ὑπόμνησιν μηδὲ ἐγγυῶν ἀπαίτησιν· σιωπᾶν δὲ καὶ τοὺς ταξεώτας καὶ τοὺς δικολόγους, καὶ μηδὲ τοὺς κήρυκας κεχρῆσθαι τῇ συνήθει φωνῇ, μήτε δικάζεσθαί τινα· σύμφωνα δὲ καὶ διαλύσεις καὶ ἐν κυριακῇ ποιεῖν ἐξέστω· μήτε δὲ ἱππικὸν ἢ κυνηγέσιον τελείσθω ἐν κυριακῇ, κἂν συμβῇ τὴν γενεθλιακὴν ἡμέραν τοῦ βασιλέως ἢ καθ' ἣν ἀνηγορεύθη εἰς κυριακὴν ὑπαντῆσαι. ὁ δὲ ταῦτα παραβαίνων ἄρχων ἢ ταξεώτης τῆς ζώνης ἐκπιπτέτω[10].

θ'. Ὡς ἐπὶ τὸ πολὺ εἰς τὰς διακατοχὰς ρ' ἡμέραι παρὰ τῷ νόμῳ ὁρίζονται. ὁ δὲ ἐκ πολιτικοῦ δικαίου ὡς συγγενὴς κληρονομῆσαι δυνάμενος οὐκ ἀποκλείεται διὰ τῶν τοιούτων ἡμερῶν, ἤγουν τῶν ρ'. ἐπὶ δὲ τῶν ἀνιόντων καὶ κατιόντων ἐνιαυτὸς τουτέστι χρόνος ὁρίζεται, ὥστε δι' ὅλου αὐτοῦ τὸν βουλόμενον κινεῖν περὶ διαθήκης ἢ τῆς ἀνηκούσης αὐτῷ διακατοχῆς, τουτέστι κληρονομίας[11].

---

[7] Syn. *H*, 1 ex Bas. VII, 17, 25. [8] Haec verba ἢ παρθ. ἅρπ. ἢ τυμβ. A non habet. [9] Syn. *H*, 1 ex Bas. VII, 17, 26. [10] Syn. l. l. ex Bas. VII, 17, 27. [11] Syn. *K*, 16 ex Bas. XLV, 2, 24. — Caeterum quod Mortreuil Hist. du droit Byzantin III p. 322 not. c notavit, in C caput περὶ τειχῶν πόλεως accedere, de indice (πίνακι) verum est, de textu hujus tituli non item. Ὁ πίναξ scilicet c. 1 literae *Θ* perperam ad lit. *H* traxit.

ΑΡΧΗ ΤΟΥ Θ[1].

α'. Θείου δικαίου εἰσὶ καὶ τὰ τείχη ὡς ἐμψύχων καὶ ἀψύχων φυλακτικά. τείχη δὲ τὰ τῶν πόλεων ἤγουν κάστρων νοητέον ἐνταῦθα. ὁ γοῦν τρυπῶν τεῖχος, ἢ βάρος ἐπιτιθεὶς, ἢ συνάπτων ὀσπήτιον, ἢ ἀναβαίνων καὶ ἐξερχόμενος δι' αὐτοῦ καὶ μὴ διὰ τῆς πόρτης, κεφαλικῶς τιμωρεῖται, ὥσπερ καὶ ὁ ῥῶμος τολμήσας ὑπερπηδῆσαι τῆς ῥώμης τὸ τεῖχος ἀφῃρέθη καὶ ἀπετμήθη τὴν κεφαλήν[2].

β'. Θυγάτηρ ἐκ τῶν πατρικῶν ὑφαιρουμένη πραγμάτων τῇ περὶ ὑφαιρέσεως ἐνέχεται ἀγωγῇ, οὐ μὴν τῇ περὶ κλοπῆς[3].

γ'. Τὸ θεώρητρον νομίσματα ἓξ ἐστὶν ἐπὶ ἑκάστῃ λίτρᾳ τῶν τῆς προικὸς πραγμάτων διδόμενα[4].

δ'. Οἱ θετοὶ παῖδες ὑπεξούσιοι μὲν ὄντες ἔχουσι διακατοχὴν, ἤγουν τὴν ἐκ τῶν πατέρων διαβαίνουσαν πρὸς τούτους κληρονομίαν· αὐτεξούσιοι δὲ γεγονότες οὐκ ἔχουσιν[5].

ε'. Θεῖα γράμματα τὰ βασιλικὰ προστάγματα ὁ νόμος καλεῖ, καὶ θείους θησαυροὺς τοὺς δημοσίους τε καὶ κοινοὺς, ταὐτὸν δ' εἰπεῖν τοὺς βασιλικούς[6].

ς'. Ὁ ἐν θυσιαστηρίῳ εἰσιὼν, τουτέστιν ἐν τῷ ἱερῷ βήματι εἰσερχόμενος, ἐν ἡμέρᾳ ἢ νυκτὶ καὶ τῶν ἐν αὐτῷ τι

α'. Κανὼν περὶ τοῦ θέλειν. — Ὁ δυνάμενος θέλειν δύναται καὶ μὴ θέλειν.

β'. Θόρυβος λέγεται ἀπὸ ι' ἀνθρώπων καὶ πλειόνων· ἡ γὰρ τῶν ἡττόνων μάχη καὶ οὐ θόρυβος λέγεται.

γ'. Νεαρὰ ιζ' τοῦ κυροῦ λέοντος περὶ τοῦ ἐξεῖναι υἱοθετεῖσθαι καὶ εὐνούχους καὶ γυναῖκας, καὶ περὶ τοῦ ἐπίσης πάντας υἱοθετεῖσθαι καὶ ἄνδρας καὶ γυναῖκας, εἴτε παῖδας ἔχοιεν εἴτε μὴ, εἴτε καὶ παρθενεύειν εἵλοντο· καὶ μὴ μόνον παρὰ βασιλέως τὸν υἱοθετεῖσθαι βουλόμενον, ἀλλὰ καὶ παρὰ παντὸς τοῦ καθ' ἑκάστην χώραν τὸ ἄρχειν καὶ διέπειν λαχόντος τὴν ἐξουσίαν λαμβάνειν.

δ'. Ὅτι δεῖ τὸν λαμβάνοντα εἰς υἱοθεσίαν τινὰ εἶναι μείζονα τοῦ λαμβανομένου, ἐπειδὴ πρὸς μίμησιν τῆς φύσεως ἐπινενόηται, ἀπαιτούσης πρεσβύτερον εἶναι τοῦ υἱοῦ τὸν πατέρα. δεῖ δὲ προηγεῖσθαι τὸν πατέρα ιη' ἐνιαυτούς· ἡ γὰρ τοιαύτη ἡλικία ἐφηβότης λέγεται τελεία.

ε'. Ὅτι οὐδεὶς υἱοθετεῖσθαι τὸν ἄνηβον δύναται, εἰ μὴ συγγενὴς αὐτοῦ ἢ χρηστὴν ἔχων πρὸς αὐτὸν διάθεσιν.

---

[1] A addit *βιβλίου*, D *στοιχείου*. [2] Att. II. [3] Att. XIX (27). [4] Att. ibid. [5] Att. XXVIII (40). [6] Att. XXXIII (52).

ἱερῶν ἀφαιρούμενος, τυφλούσθω· ὁ δὲ ἐκ τοῦ ἄλλου ναοῦ λαμβάνων τὶ ἱερὸν καὶ ἀνατεθειμένον αὐτῷ[7] τῷ θεῷ, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω[8].

ζ'. Ἐν τοῖς ἔχουσι θάνατον τὴν καταδίκην ἔξεστι τῷ ἐναγομένῳ ὑποφθείρειν τὸν ἀντίδικον[9].

η'. Ἐκείνου ἐστὶ τὸ [μὴ] θέλειν τοῦ δυναμένου θέλειν[10].

θ'. Ἐπὶ πασῶν τῶν ἐνοχῶν, ἐφ᾽ ὧν ἡμέρα οὐ τίθεται, τῇ παρούσῃ ἡμέρᾳ χρεωστεῖται[11].

ι'. Τὸ θεώρητρον κατά τινων δόξαν καὶ δευτερογαμούσαις εἰς δεσποτείαν δίδοται[12].

ια'. Ἐὰν ἐν δημοσίῳ καὶ βασιλικῷ τόπῳ θησαυρὸς εὑρεθῇ, τὸ ἥμισυ τῷ δημοσίῳ διαφέρει· ὁ δὲ ἀποκρύψαι βουληθεὶς τὸ διαφέρον τῷ δημοσίῳ, καὶ ὕστερον ἐλεγχθεὶς, ὅλον τὸν θησαυρὸν ἀποδιδόναι τῷ δημοσίῳ καταναγκάζεται. εἰ δὲ εἰς τόπον ἴδιόν τινος εὑρεθῇ, ἐξ οὗ οὐδὲν διαφέρει τῷ δημοσίῳ, οὐ βιάζεται μηνύειν, ὅτι εὗρε θησαυρόν[13].

ιβ'. Ὁ ποιῶν ἢ ἔχων ἀπηγορευμένας θυσίας κεφαλικῶς τιμωρεῖται[14].

ιγ'. Ὁ παρὰ τὰ διωρισμένα θύσας ἅμα τοῖς κοινωνήσασιν ἢ ὑπηρετησαμένοις δημευθεὶς, ἤγουν παρὰ τοῦ δημοσίου τὸν βίον ἀφαιρεθεὶς, τὴν ἐσχάτην ὑπομενέτω ποινὴν, ἤγουν τὴν διὰ ξίφους τιμωρίαν. εἰ δὲ ὁ ἄρχων ἢ ἡ ὑπ᾽ αὐτὸν τάξις μετὰ τὴν ἀπόδειξιν ῥαθυμήσει καὶ τὴν ἐκδίκησιν οὐ ποιήσει, ἀνὰ ν' λίτρας χρυσίου τῷ δημοσίῳ δοῦναι καταναγκάζονται[15].

ιδ'. Θάλπονται ἤγουν βοηθοῦνται καὶ συγγνωμονοῦνται μᾶλλον οἱ ἐναγόμενοι ἤπερ οἱ ἐνάγοντες[16].

ιε'. Θυγατέρα τὶς οἰκείαν ἐπροίκισε. προσέθετο ἐν τῷ συμφώνῳ ἀρκεσθῆναι τὴν θυγατέρα τοῖς δοθεῖσιν αὐτῇ, καὶ μηδὲν πλέον ἐκ τῆς πατρικῆς περιουσίας ζητεῖν, κἂν ἀδιάθετος ὁ πατὴρ τελευτήσῃ. εἶτα καὶ ἐτελεύτησεν ἀδιάθετος. ἔξεστι τῇ θυγατρὶ μηδὲν τῆς ἐν τῷ συμφώνῳ προσθήκης καὶ διαστολῆς φροντισάσῃ εἰς τὴν πατρικὴν κληρονομίαν εἰσελθεῖν, εἰ βουληθῇ μόνον καὶ ὅπερ εἰς προῖκα ἔλαβε συνεισενεγκεῖν καὶ τὴν πατρικὴν περιουσίαν ἐπίσης τοῖς αὐταδέλφοις μερίσασθαι, καὶ οὐδόλως κωλύει ταύτην τὸ ἐν τῷ συμφώνῳ τὸν πατέρα τοῦτο προσδιορίσασθαι[17].

[7] A *αὐτό*. [8] Att. XXXV (74). [9] Att. XXXV (80). [10] Att. in App. [11] Att. ibid. [12] A *δέδοται*. [13] Syn. Θ, 2 ex Bas. LVI, 2, 3. [14] Syn. Θ, 3 ex Bas. LX, 39, 9. [15] Syn. l. l. ex Bas. I, 1, 17. [16] Syn. K, 2 ex Bas. II, 3, 125. [17] Rec. manus in A addit: *ζήτει καὶ εἰς τὸ σ' κεφ. ια'*. — Syn. K, 14 ex Bas. XLI, 7, 21.

ις'. Πάλιν ἔδωκέ τις προῖκα τῇ ἑαυτοῦ θυγατρί. ὁ ἀνὴρ ταύτης ἀπορῶν ἐδαπάνησε τὴν προῖκα. ὕστερον βούλεται ἡ θυγάτηρ εἰς τὴν πατρικὴν κληρονομίαν εἰσελθεῖν. ἀπαιτεῖται παρὰ τῶν ἀδελφῶν τὴν δοθεῖσαν προῖκα συνεισβαλεῖν, ἤγουν ἀγαγεῖν, καὶ οὕτως ἐπίσης τούτοις τὰ πατρικὰ μερίσασθαι πράγματα. ἡ δὲ οὐκ ἔχει, μόνην δὲ συνεισφέρει τὴν κατὰ τοῦ ἀνδρὸς ἀγωγήν. τί γουν δεῖ ἐπὶ τούτοις γενέσθαι; ὁ νόμος ὁρίζει, ὡς εἰ μὲν αὐτὴ ἡ θυγάτηρ καθ' αὑτὴν αὐτεξουσία ἐγένετο, ἐπεὶ τὸν ἄνδρα ἔβλεπε τὰ οἰκεῖα καταναλίσκοντα, καὶ οὐδὲν ἔλεγεν οὐδὲ ἐκίνει κατὰ τοῦ ἀνδρὸς ἀγωγὴν, ἑαυτῇ ὀφείλει ἐπιμέμφεσθαι καὶ οὕτω τῆς πατρικῆς κληρονομίας ἐξάγεσθαι. εἰ δὲ ὑπὸ τὸν πατέρα ἦν ὡς ἔτι ὑπεξουσία, ἢ καὶ ἄλλως διῆγε μὲν καθ' ἑαυτὴν, ἠδύνατο δὲ τῷ πατρὶ ἀνενεγκεῖν καὶ ἀνήνεγκε καὶ παρεκίνησεν αὐτὸν, ἵνα ἀντιλάβηται αὐτῆς καὶ βοηθήσῃ κατὰ τοῦ ἀνδρὸς, ὁ δὲ πατὴρ οὐκ ἐβοήθησε ταύτῃ, τότε ἵνα εἰσέρχηται καὶ αὐτὴ εἰς τὴν πατρικὴν κληρονομίαν οὕτως, ὥσπερ ἐὰν εἶχε σωζομένην τὴν προῖκα καὶ συνεισέφερε ταύτην, ὡς τῆς αἰτίας ἁπάσης ἀναγομένης εἰς τὸν πατέρα τὸν μὴ κατὰ τοῦ ἀνδρὸς αὐτὴν ἐκδικήσαντα[18].

ιζ'. Αἱ θήλειαι ἤγουν αἱ γυναῖκες ὑπεξουσίους οὐκ ἔχουσιν, οὔτε παύονται ἔχειν δι'[19] ἐναλλαγῆς καταστάσεως[20].

ϛ'. Τῆς ἐν λαοδικείᾳ. — Ἐν τοῖς οἴκοις προσφορὰ μὴ γινέσθω παρ' ἐπισκόπου ἢ πρεσβυτέρου.

ζ'. Τῆς ἐν καρθαγένῃ πη'. — Καὶ θυσιαστήριον, ἐν ᾧ οὔτε σῶμα οὔτε λείψανον ἀπόκειται μάρτυρος, καταστρεφέσθω· εἰ δὲ τὰ πλήθη θορυβεῖ, τελετὴ ἐν αὐτῷ μὴ γινέσθω.

η'. Ἡ δὲ νεαρὰ ἡ ιε' τοῦ κυροῦ λέοντος καὶ εἰς τοὺς εὐκτηρίους οἴκους διορίζεται ἀδιστάκτως ἱεροτελεστίαν καὶ βάπτισμα γίνεσθαι. διὸ καὶ ὁ μετὰ ἀντιμινσίων ἱερουργήσας ἢ βαπτίσας εἰς εὐκτήριον οἶκον μὴ ἱερωθέντα δι' ἐγκαινίων ἀνοιξίων καὶ τοῦ συνήθους ἐνθρονισμοῦ, ναὶ μὴν καὶ διὰ λειψάνων ἁγίων ἐνσοριασμοῦ, ἀλλὰ εἰς εὐχὴν οἰκειακὴν ἀφορισθέντα πιστῶν ἢ εἰς οἰκίσκον πλοιαρίου τινὸς ἀποταμιευθέντα θεῷ καὶ ἁγίαις εἰκόσι κεκοσμημένον, οὐ προκριματισθήσεται ὡς παραβάτης κανόνων καὶ ἀδιάφορος.

---

[18] Syn. *K*, 14 ex Bas. XLIV, 7, 38. [19] Sic C. Verba *δι' ἐναλλ. καταστ.* in BDE plane desunt, in A autem a secunda demum manu addita sunt. D in margine notat: *λείπει*. [20] Syn. *K*, 16 ex Bas. XLV, 1, 23.

ΑΡΧΗ ΤΟΥ Ι[1].

α΄. Τὰ ἱερὰ ἀδιατίμητα εἰσὶ καὶ ἀδέσποτα. λέγονται δὲ ἱερὰ καὶ τὰ ἐκκλησιαστικὰ πάντα, οἷον ναοὶ, μοναστήρια, οἱ εὐαγεῖς οἶκοι. διὸ καὶ ἡ ἑξηκοντάβιβλος τὴν ἀρχὴν ἀπὸ τῆς πίστεως ποιησαμένη παρευθὺς περὶ ἐκκλησιῶν καὶ μοναστηρίων καὶ πραγμάτων ἐκκλησιαστικῶν καὶ μοναχῶν καὶ μοναζουσῶν διαλέγεται[2].

β΄. Ἰουδαῖος χριστιανὴν μὴ λαμβανέτω εἰς γάμον, μηδὲ χριστιανὸς ἰουδαίαν[3].

γ΄. Οἱ ἰλλουστρίους φονεύοντες, τουτέστιν ἄνδρας ἐνδόξους τε καὶ τιμίους καὶ περιφανεῖς, ὁμοίως τιμωροῦνται τοῖς συγκλητικοὺς καὶ στρατιώτας φονεύουσι[4]. περὶ δὲ τῶν τοιούτων φονευτῶν ἐν τοῖς εἰς τὸ φ΄ στοιχεῖον τρανότερον δηλωθήσεται.

δ΄. Οἱ ἰουδαῖοι χριστιανὸν περιτέμνοντες κεφαλικῶς τιμωροῦνται καὶ τὰ προσόντα αὐτοῖς δημεύεται[5].

ε΄. Ὁ ἀπὸ χριστιανῶν ἰουδαῖος γενόμενος δημευέσθω καὶ τὴν δι᾽ αἵματος τιμωρίαν ὑπομενέτω[6].

ϛ΄. Ὅτι ἡ τὰ ἴδια ἐκδικοῦσα ἀγωγὴ οὐ κινεῖται κατὰ τοῦ ἀλλότριον πεπρακότος, ἀλλὰ κατὰ τοῦ ἀγοραστοῦ νεμομένου τὸ πρᾶγμα. ἐναγόμενος δὲ ὁ ἀγοραστὴς οὐ καλῶς ἀπαιτεῖ τὸν δεσπότην κινῆσαι κατὰ τοῦ πράτου τὴν τὰ ἴδια ἐκδικοῦσαν ἀγωγήν· αὐτὸς γάρ ἐστιν ὁ νεμόμενος, οὐχ ὁ πράτης[7].

ζ΄. Ἡ κατὰ τῶν ὑφελομένων δημόσια ἢ ἱερὰ χρήματα καταδίκη, τουτέστιν ὁ περιορισμὸς, μετὰ πενταετίαν τοῦ ἁμαρτήματος οὐ κινεῖται[8].

η΄. Ἡ περὶ τῆς ἀποπληρώσεως τῆς καταδίκης ἱκανοδοσία παραχρῆμα μὲν τοῦ ψηφισθῆναι βεβαιοῦται· ἔχει δὲ πρὸς ὑπόδειγμα τοῦ ἐναγομένου τὴν τετράμηνον εἰς ὑπέρθεσιν, ἤγουν ὑπερημερίαν καὶ ἀργίαν τοῦ τὴν ἱκανοδοσίαν καταβληθῆναι[9]· οὕτω γὰρ καὶ ὁ ἐναγόμενος μέχρι τετραμήνου βαστάζεται καὶ περιμένεται εἰς τὴν ἀπόδοσιν παρὰ[10] τοῦ ἐνάγοντος κατ᾽ αὐτοῦ[11].

---

[1] A addit βιβλίον. [2] Att. II. [3] Att. III. [4] Att. XXXV (71). [5] Att. ibid. [6] Att. XXXV (81). [7] Syn. Δ, 26 ex Bas. VII, 5, 51. [8] Syn. Ι, 2 ex Basil. LX, 45, 8. [9] Haec verba: ἔχει — καταβληθῆναι A et E in fine capitis post verba κατ᾽ αὐτοῦ subjiciunt. [10] A περί. [11] Syn. Ι, 3 ex Bas. IX, 10, 1. — Caeterum in fine E glossam addit: Τὸ ὑπόδειγμα τοῦ ἐναγομένου· ἢ καθὼς ἐπὶ τῶν ἐναγομένων τέτακται τετράμηνον δέδοται αὐτῷ εἰς ὑπέρθεσιν· ἢ

θ'. Εἰ καὶ μετὰ προκάταρξιν ἀποθάνῃ ὁ ἐκδικούμενος δοῦλος, οὐκ ἐλευθεροῦνται οἱ τῆς ἐπὶ ἐκπληρώσει[12] τῶν κριθέντων ἱκανοδοσίας ἐγγυηταί, τοῦ ἐναγομένου τὴν δίκην καταλιμπάνοντος. διαφέρει γὰρ αὐτὴν πληρωθῆναι καὶ διὰ τὴν ἀγωγὴν τῆς ἐκδικήσεως καὶ διὰ τοὺς καρπούς[13].

ι'. Ἐπὶ τῆς ἀσφαλείας τῆς ἱκανοδοσίας οὐ σκοποῦμεν τὸ κέρδος τοῦ ἐναγομένου ἢ τοῦ ἐνάγοντος, ἀλλὰ τί διέφερε τῷ ἐπερωτήσαντι κύριον ἡγηθῆναι τὸ πραθέν[14].

ια'. Ἐὰν ἐν τῇ τῆς ἱκανοδοσίας μνήμῃ[15] καὶ κληρονόμων καὶ διαδόχων μὴ γένηται, εἰ μὲν ἐκ προνοίας, οὐ βεβαιοῦται τὸ τοῦ δόλου κεφάλαιον κινούντων[16] αὐτῶν· εἰ δὲ κατὰ ἄγνοιαν παρελείφθησαν, βεβαιοῦται[17].

ιβ'. Ἡσυχάζοντας τοὺς ἰουδαίους ἐὰν οἱ χριστιανοὶ θορυβήσωσι καὶ διαρπάζωσιν, εἰς τὸ διπλάσιον καταδικαζέσθωσαν[18].

ιγ'. Κατὰ τοὺς κοινοὺς ἰουδαῖοι γαμείτωσαν νόμους[19].

ιδ'. Κατὰ τοὺς κοινοὺς ἰουδαῖοι καθ' ἑαυτοὺς πολιτευέσθωσαν νόμους, καὶ κινείτωσαν ἢ ἐναγέτωσαν[20] παρὰ δικασταῖς χριστιανοῖς. εἰ δὲ κατὰ συναίνεσιν ἰουδαῖοι περὶ χρημάτων αἰτίας παρὰ ἰουδαίοις δικάσονται, ἐῤῥώσθω ὡς ἡ τοῦ νομίμου δικαστοῦ ψῆφος, καὶ παρὰ τῶν ἀρχόντων ἐκβιβαζέσθω[21].

ιε'. Ἰουδαῖοι καὶ οἱ τούτων ἔξαρχοι τὰς τιμὰς ἑαυτοῖς τῶν ὠνίων ὁριζέτωσαν· κἂν τις ἕτερος ἐπιχειρήσῃ τοῦτο, τιμωρείσθω[22].

ιϛ'. Μηδεὶς βιαζέσθω τοὺς μηδὲν ἁμαρτάνοντας ἰουδαίους, ἢ τὰς συναγωγὰς αὐτῶν ἢ τὰς οἰκίας καιέτω. ἐὰν δέ τι ἁμαρτήσωσι, παρὰ τῷ ἄρχοντι κατηγορείσθωσαν[23].

α'. Κανὼν περὶ ἰδίου. — Οὔτε ἐνέχυρον οὔτε παρακαταθήκη οὔτε πρᾶσις οὔτε ἀγορασία οὔτε μίσθωσις ἐπὶ ἰδίῳ πράγματι συνίσταται.

β'. Ἕτερος περὶ ἰδιωτῶν. — Οἱ ἰδιῶται τὰ τῶν ἀρχόντων πράττειν οὐ δύνανται.

πρὸς δεῖγμα καὶ διαμαρτυρίαν τοῦ ἐπὶ τούτοις ἐναγομένου, ἵνα δηλονότι δεικνύηται καὶ φανερὸν γένηται τῷ ἐναγομένῳ, τί ὀφείλει, καὶ εἴη ἐντεῦθεν εἰς ὃ κατεδικάσθη ἀναπολόγητος.

[12] B *οἱ τῆς ἐκπληρώσεως.* [13] Syn. *I*, 3 ex Bas. IX, 10, 11. [14] Syn. l. l. ex Bas. IX, 11, 2. — Pro *πραθὲν* lege *πραχθέν.* [15] Sic etiam Synopsis Leunclaji p. 120. — Leunclajus autem legere jussit *ἀσφαλείᾳ μνήμῃ.* [16] A *οὐ βεβαιούντων.* [17] Syn. *I*, 3 ex Bas. IX, 11, 22. [18] Syn. *I*, 4 ex Bas. I, 1, 16. [19] Syn. l. l. ex Bas. I, 1, 39. [20] B *ἐναγέσθωσαν.* [21] Syn. *I*, 4 ex Bas. I, 1, 40. — In fine recentior manus in A addit: *ἤγουν εἰς πέρας προαγέσθω καὶ ἐκτελείσθω.* [22] Syn. l. l. ex Bas. I, 1, 41. [23] Syn. l. l. ex Bas. I, 1, 44.

ιζ΄. Μὴ ἐξέστω κατὰ τῆς τῶν χριστιανῶν θρησκείας θρασύνεσθαι ἰουδαῖον[24].

ιη΄. Δημόσιος τόπος παρὰ κέλευσιν βασιλέως οὐ γίνεται ἱερός[25].

ιθ΄. Καὶ οἱ νόμοι ἱεροί εἰσι, καὶ οἱ τόποι, ἐν οἷς ἀποτίθενται· οὗτοι ὡς χρησιμεύοντες ἱεροῖς παρὰ τῷ νόμῳ λογίζονται· καὶ καθολικῶς πᾶς τόπος, ἐν ᾧ τίθενται ἱερά, οὐκ εἰσὶν ἱεροὶ[26], ἀλλὰ χρήσιμοι ἱεροῖς, καὶ μετατιθεμένων τῶν ἱερῶν ἀφίενται[27].

κ΄. Πᾶς ὃς μὴ ὢν χριστιανὸς δοῦλον ἔχων χριστιανὸν ζημιοῦται παρὰ τοῦ δημοσίου λ΄ λίτρας χρυσίου· ἐλευθεροῦται δὲ ἀπὸ τούτου καὶ ὁ δοῦλος ὁ χριστιανός[28].

κα΄. Τὰ ἰδικά, ἤγουν τὰ ἐπὶ τῶν μερικῶν ὑποθέσεων, ἐπικρατέστερά εἰσι καὶ ἰσχυρότερα τῶν γενικῶν, τουτέστι τῶν καθολικῶν. ἐὰν γὰρ κοινῶς ὁ νόμος παρακελεύηταί τι, ἐπὶ πράξει τυχὸν ἢ συναλλάγματι, τινὲς δὲ πρὸς ἀλλήλους πράγματα ποιούμενοι ἀφήσουσι τὸ κοινὸν καὶ συμφωνήσουσιν ἄλλο τὶ, εἰς τὴν πραγματείαν αὐτῶν ἰσχυρότερον γίνεται τοῦ καθολικοῦ, καὶ ἐνεργεῖ τοῦτο, ἐκεῖνο δὲ ἀπρακτεῖ[29].

κβ΄. Ἰμφακτοὺμ οὔτιλις[30] ἡ περὶ τῆς γενομένης ζημίας ἀγωγή[31].

κγ΄. Ἰδιωτικὸν σύμφωνον οὐκ ἀναιρεῖ κοινὸν νόμιμον[32].

κδ΄. Ἐν ἴσῳ ἁμαρτήματι χείρων ἐστὶν ἡ αἵρεσις τοῦ ἐνάγοντος, τουτέστιν ὁ τὴν ὑπόθεσιν κινῶν καὶ ἀνακαλεῖσθαι πειρώμενος πρᾶγμά τι κατεχόμενον παρ᾽ ἄλλου τινός, καθ᾽ οὗ ἐνάγει, ἡττᾶται καὶ χείρων ἡ αἵρεσις τοῦ ἐνάγοντος γίνεται ἴσου ὄντος καὶ ἐν ἀμφοτέροις τοῦ πταίσματος, ἤγουν ἐν τῷ ἐνάγοντι καὶ ἐν τῷ ἐναγομένῳ. ἐπεὶ γὰρ τὸ μὲν ἁμάρτημα ἶσον καὶ οὐδεὶς ἐκ τούτου δύναται δικαιωθῆναι, ὁ ἐναγόμενος δὲ ἔχει καὶ τὴν νομήν, νικᾷ οὗτος καὶ ὁ ἐνάγων ἀποδιώκεται. σημείωσαι δὲ ἐνταῦθα τὴν αἵρεσιν τὴν βούλησιν δηλοῦσαν καὶ τὴν ἐγχείρησιν καὶ ὁρμὴν τὴν ὑπὲρ τῆς ὑποθέσεως[33].

---

[24] Syn. *I*, 4 ex Bas. I, 1, 44. [25] Syn. *I*, 1 ex Bas. XLVI, 3, 7. [26] Lege *ἐστὶν ἱερός*. [27] Syn. I. l. ex Bas. XLVI, 3, 8. [28] Syn. *I*, 4 ex Bas. I, 1, 51. [29] Syn. *K*, 2 ex Bas. II, 3, 80. [30] AB *οὐιτίμ.* [31] Glossa, ut videtur, nomica. [32] Syn. *K*, 2 ex Bas. II, 3, 45. [33] Syn. l. l. ex Bas. II, 3, 154.

ΑΡΧΗ ΤΟΥ Κ[1].

α΄. Ἡ κοινωνία ἢ οὕτω γίνεται, ὥστε συνίστασθαι ταύτην ἕως οὗ ζῶσιν οἱ κοινωνοὶ, καὶ καλεῖται διηνεκὴς, ἢ κατὰ ἄλλον τρόπον. καὶ ὄνομα μὲν οὐκ ἔχομεν ἐπὶ ταύτῃ καθολικὸν, καλεῖται δὲ προσφόρως ἀπὸ τῆς πράξεως, καθ' ἣν γίνεται· ἢ γὰρ πρὸς καιρὸν ἢ ἀπὸ καιροῦ ἢ ὑπὸ αἵρεσιν ὀνομάζεται. πρὸς καιρὸν μὲν, ὡς ὅταν μέχρι β΄ χρόνων τυχὸν κοινωνίαν ἔχειν πρὸς ἀλλήλους συμβιβασθῶσί τινες· ἀπὸ καιροῦ δὲ, ὡς ὅταν οὐκ αὐτίκα καὶ παρευθὺς συμφωνήσωσι κοινωνεῖν, ἀλλὰ μετὰ τὸ παρελθεῖν τοσόνδε καιρόν· ὑπὸ αἵρεσιν δὲ, ὡς ὅταν μετὰ δισταγμοῦ καὶ προσδιορισμοῦ τινος τὴν κοινωνίαν ποιήσωνται· καθολικῶς γὰρ πάντα τὰ μετὰ δισταγμοῦ καὶ προσδιορισμοῦ παρά τινων λεγόμενα γίνεσθαι, οἷον δώσω σοι τόδε ἐὰν καὶ σὺ ποιήσῃς μοι τόδε, παρὰ τῷ νόμῳ ὑπὸ αἵρεσιν ὀνομάζεται, ἢ διότι αἵρεσιν καὶ πρόκρισίν τινος πράγματος ὑπεμφαίνει ὁ συμφωνῶν ἢ ὅτι εἰς τὴν αἵρεσιν καὶ τὴν βουλὴν τοῦ μετ' αὐτοῦ συμφωνοῦντος ὅπερ ἐκεῖνος λέγει ἀφίησιν, ὡς οὕτω καὶ αὐτοῦ τόδε τὶ ποιῆσαι ὀφείλοντος, ἐὰν καὶ ἐκεῖνος ἄλλο τὶ διαπράξηται[2].

β΄. Ὁ την κοινωνίαν βλάψας ἢ ἀπὸ δόλου ἢ ἀπὸ ἀμελείας ἐνέχεται, τουτέστιν ὑπόκειται ἀγωγῇ καὶ κρίσει ἐπὶ τῷ δοῦναι λόγον ὑπὲρ ὧν ἔπραξεν[3].

α΄. [Πᾶς] νομικὸς κανὼν σαθρός ἐστιν· εὐχερῶς γὰρ ἀνατρέπεται.

β΄. Περὶ κανόνων. — Κανών ἐστιν σύντομος τοῦ πράγματος ἀφήγησις καὶ σύνδεσμος, ὅστις ἅμα τῷ περί τι πταῖσαι οὐ σημαίνει τὸ ὑποκείμενον. ὁ δὲ κανὼν ἐκ τῶν νόμων, οὐ μὴν ὁ νόμος ἐν τῶν κανόνων λαμβάνεται. — Ζήτει ἕκαστον τῶν κανόνων εἰς τὸ ἁρμόζον στοιχεῖον.

γ΄. Ἕτερος περὶ κωλύοντος. — Οὐδὲ ἓν ἔγκλημα ὑπομένει ὁ μὴ δυνάμενος κωλῦσαι καὶ [μὴ] κωλύων.

δ΄. Ἕτερος περὶ κέρδους. — Δύο περὶ κέρδους ἀγωνιζομένων χείρων ἐστὶν ἡ τοῦ ἐνάγοντος αἵρεσις.

ε΄. Ἕτερος περὶ προκατάρξεως. — Διὰ τῆς προκατάρξεως ὡς ἐπίπαν κρείττων ἡ αἵρεσις γίνεται τοῦ ἐνάγοντος. λοιπὸν γὰρ ἁρμόζει κληρονόμοις καὶ κατὰ κληρονόμων.

ς΄. Τὰ κεφαλικὰ θάνατον δηλοῦσιν ἢ πολιτείας ἔκπτωσιν.

ζ΄. Τὸ κουνδουνεκτὶ ῥῆμα τουτέστι τὸ παραχρῆμα γ΄ ἡμέρας σημαίνει.

---

[1] A addit *βιβλίου*, D *στοιχείου*. [2] Att. VI (7). [3] Att. ibid.

γ'. Κοινωνία καὶ κοινοπραξία οὐκ ἐστὶ ταὐτὸν, ἀλλά τισι μὲν καθολικώτερον ἡ κοινωνία τῆς κοινοπραξίας δοκεῖ· τινὲς δὲ κοινωνίαν μὲν λέγουσιν, ὅταν πρᾶγμά τι κοινὸν εἴη πολλοῖς καὶ οἱ ἔχοντες τοῦτο κοινωνῶσιν ἀλλήλοις ἐπὶ τῇ κτήσει τυχὸν ἢ τῇ χρήσει αὐτοῦ ἢ καὶ τῷ μερισμῷ (κοινὸν γὰρ καὶ τὸ μερισθῆναι ὀφεῖλον, πρὶν ἂν ὁ μερισμὸς γένηται)· κοινοπραξίαν δὲ καλοῦσιν, ὅταν δύο τινὲς ἢ καὶ πλείονες συμφωνήσωσιν ἐργασίαν μίαν μεταχειρίσασθαι καὶ κοινῶς ποιῆσαί τι καὶ διαπράξασθαι[4].

δ'. Ἐκδικεῖ τις τὸ ἴδιον πρᾶγμα τουτέστιν ἀνακαλεῖται τὸ πρᾶγμα παρ' ἄλλου κρατούμενον καὶ λαμβάνει, ὅταν ὁ κρατῶν καὶ κατέχων τοῦτο οὐκ ἔχει παραγραφὴν πρὸς τοῦτο ἰσχυρὰν καὶ ἐνδύναμον. παραγραφὴ δὲ ἐστὶν ἐνδύναμος ἡ τριακονταετία καὶ ἡ συμφωνία καὶ ὅσα τοιαῦτα[5].

ε'. Κακῇ πίστει λέγει ὁ νόμος γίνεσθαί τι, ὅταν τὶς ἀδίκως καὶ παραλόγως ποιήσῃ τί. κυρίως δὲ κακῇ πίστει ποιεῖ ὁ μηδὲ ἀπατώμενος εἴς τι καὶ ὑπολαμβάνων ἐξ ἀγνωσίας γίνεσθαι καλῶς, ὃ πράττει κακῶς, ἀλλὰ καὶ τοῦτο προβάλλεσθαι μὴ δυνάμενος, μηδὲ ἔχων εἰπεῖν ὅτι οὐκ ἐγίνωσκον, ἀλλὰ τόδε μοι ἐφαίνετο· πολλάκις γὰρ λέγομεν, ὅτι ἀλήθεια[6] ἐποίησα τόδε, ἀλλὰ διότι ἐδόκει καὶ ἐφαίνετό μοι οὕτως ἔχειν ἐποίησα[7].

ς'. Τὸ κῆνσος πολλάκις οὐ τὸ νόμισμα δοκεῖ τοῖς πολλοῖς δηλοῦν, ἀλλὰ σανίδα τινὰ δημοσίαν ἢ τυχὸν μάρμαρον, ἐν ᾧ αἱ εἰς τὸ δημόσιον ἐναγόμεναι[8] ὑποθέσεις ἐγράφοντο[9].

ζ'. Καλῇ πίστει νέμεταί τις ἢ κατέχει τὶ, ὅταν εὐλόγως καὶ μετὰ δικαίας αἰτίας δεσπόζῃ τοῦ πράγματος, καὶ ὅταν ὃ πράττει, οἷον τυχὸν ἀγοράζει ἢ πραγματεύεται, μηδὲν ὑποδηλοῖ καὶ ἐμφαίνῃ τυχὸν ἄτοπον καὶ παράλογον. εἰ δὲ πολλάκις καὶ ἐστὶ τοιοῦτόν τι, ἐκεῖνος δὲ οὐ γινώσκει, καλῇ πίστει καὶ οὕτω ποιεῖ. κακῇ δὲ πίστει τὸ ἐναντίον τούτων ἐστίν[10].

η'. Τὸ κληρονομιαῖον χρέος ἐν τοῖς περὶ χρέους δεδήλωται.

θ'. Κληρονόμοι ἀποθανόντος τινὸς ἄχρι τῶν ἐννάτων αὐτοῦ εἰς τὸ δικαστήριον οὐκ ὀφείλουσιν ἕλκεσθαι, κἂν εἴ τι ἄρα καὶ λέγοιτο παρά τινος κατ' αὐτῶν[11].

ι'. Εἰ καὶ ἐν τοῖς ἄλλοις τὸ ὑφαιρεῖσθαι πρὸς τὸ κλέ-

---

[4] Att. VI (7). [5] Att. IX (10). — Idem locus supra E, 20. [6] Sic Codices, lingua vulgari. [7] Pertinet ad Att. IX (10). [8] B ἀγόμ. An ἀναγόμεναι? [9] Pertinet ad Att. XIII (16). [10] Pertinet ad Att. XIV (18). [11] Att. XV (19).

πτειν οὐκ ἔχει διαφορὰν, ἀλλ' ὁ νόμος ἄλλο γινώσκει τὸ κλέπτειν καὶ τὸ ὑφαιρεῖσθαι πάλιν ἕτερον τίθεται. καὶ τὸ μὲν ἤγουν τὸ κλέπτειν ἐπὶ ξένων τάττει καὶ ἀλλοτρίων καὶ καθ' ὧν ἔξεστί τινι ἄτιμον κινεῖν ἀγωγὴν, τὸ δὲ ἀφαιρεῖσθαι ἐπὶ τῶν ἰδίων καὶ οἰκειότητας ἐχόντων πρός τινας τίθησι καὶ καθ' ὧν οὐκ ἔχει τὶς ἄδειαν ἄτιμον κινεῖν ἀγωγήν. καὶ ἐστὶ κλέπτων μὲν ὁ τῶν ἀλλοτρίων προσώπων ἀφαιρούμενος[12] πράγματα, ὑφαιρούμενος δὲ ὁ κλέπτων τὰ τῶν οἰκείων, ἤγουν τὰ τοῦ πατρὸς παῖς καὶ τὰ τοῦ συζύγου γυνὴ καὶ τὰ τοῦ ἀδελφοῦ ἀδελφός[13].

ια'. Οἱ κληρονόμοι κατὰ δύο λέγονται τρόπους. ἐστὶ γὰρ κληρονόμος ἔνστατος καὶ ἐστὶ πάλιν κληρονόμος ὑποκατάστατος. καὶ ἔνστατος μέν ἐστι κληρονόμος, ὅστις αὐτὸς καθ' ἑαυτὸν καὶ ἀμέσως καὶ πρώτως χωρίς τινος προσδιορισμοῦ καὶ διαστολῆς κληρονόμος καταλιμπάνεται, οἷον εἴ τις εἴποι· ὁ γεώργιος ἔστω κληρονόμος ἐμοῦ ἢ τυχὸν ὁ δεῖνα ἢ ὁ δεῖνα. ὑποκατάστατος δὲ κληρονόμος ἐστὶν ὁ κατὰ ἀποτυχίαν ἄλλου αὐτὸς εἰς τὴν κληρονομίαν ταττόμενος, οἷον ὅταν εἴπῃ τίς· κληρονομείτω με ὁ γεώργιος, ἐὰν μὴ κληρονομήσῃ με ὁ γεώργιος, κληρονομησάτω με ὁ θεόδωρος. τότε γὰρ ὁ μὲν γεώργιος ἔνστατος κληρονόμος ἐστὶν, ὁ δὲ θεόδωρος ὑποκατάστατος[14]. λέγεται δὲ ὁ μὲν ἔνστατος ἀπὸ τοῦ ἐνίστασθαι, ἤγουν πλησίον καὶ ἐγγυτάτω τάττεσθαι καὶ ἀμέσως ἑνοῦσθαι καὶ οὐ[15] δι' ἄλλου συνάπτεσθαι· τοιοῦτο γὰρ τὸ ἐνίστασθαι παρὰ τοῖς νό-

---

η'. Κανὼν περὶ κληρονόμων. — Ἐπὶ τῶν ἁμαρτημάτων οὐκ εἰς τὴν ποινὴν, ἀλλ' εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται.

θ'. Ἕτερος. — Τότε εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται, ὅτε οὐκ ἐξ οἰκείου δόλου, ἀλλὰ τοῦ τελευτήσαντος ἐνάγεται.

ι'. Ἕτερος. — Ὁ κληρονόμος τὸ αὐτὸ δίκαιον ἔχει ὅπερ ὁ τελευτήσας.

ια'. Ἕτερος. — Κληρονομία ἐστὶν εἰς ὁλόκληρον διαδοχὴ τοῦ δικαίου, ὅπερ ὁ διαθέμενος εἶχεν.

ιβ'. Ἕτερος. — Ὅπου ἡ κληρονομία, ἐκεῖ καὶ ἡ ἐπιτροπὴ, χωρὶς γυναικός.

ιγ'. Ἕτερος. — Οὐδεὶς πλέον οὗ ἔχει τῷ ἰδίῳ παραπέμπει κληρονόμῳ.

ιδ'. Ἕτερος. — Ὅτε ἀπὸ δόλου τοῦ τελευτήσαντος εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνάγεται, ἀρκεῖ πρὸς ῥοπὴν περιελθεῖν εἰς αὐτόν.

---

[12] B ὑφαιρούμενος. [13] Att. XIX (27). — Cf. *A*, 30. [14] A ἐνυποκ.
[15] Deficit in A.

μοις ἐστὶν, καὶ οὕτω λέγεται καὶ τὸ ἔνστατος καθ' ὁμοιότητα τοῦ ἐνίστασθαι. ὁ δὲ ὑποκατάστατος ἐκ τοῦ ὑπὸ ἄλλων καθίστασθαι λέγεται, ἤγουν μετὰ ἄλλον προτιμότερον κληρονόμον δεύτερος αὐτὸς κατὰ ἀποτυχίαν ἐκείνου εἰς τὴν κληρονομίαν εἰσάγεσθαι[16].

ιβ'. Εἰπέ τις οὕτως· ὁ δεῖνα (ἓν δηλώσας ῥητῶς ὄνομα) καὶ οἱ δεῖνα (πολλοὺς δηλώσας δι' ἑνὸς ὀνόματος) τὸν ἐμὸν βίον κληρονομείτωσαν, τυχὸν δὲ οὕτως· ὁ γεώργιος καὶ οἱ ἀνεψιοί μου, εἰ μὲν προσθήσει καὶ τὸ ἐπίσης, ὁ γεώργιος καὶ εἷς ἕκαστος τῶν ἀνεψιῶν ἐπίσης ἐκ τῆς κληρονομίας λαμβάνουσιν· εἰ δὲ οὐδὲν εἴπῃ πλέον, ὁ γεώργιος μόνος ἔχει τὸ ἥμισυ τῆς κληρονομίας, καὶ οἱ ἀνεψιοὶ πάντες κἂν ὁπόσοι καὶ εἶεν τὸ λοιπὸν ἥμισυ τῆς κληρονομίας λαμβάνουσι καὶ μερίζουσι πρὸς ἑαυτοὺς ἐπίσης[17].

ιγ'. Καὶ πάλιν ὁ κληρονόμος ἢ ἁπλῶς κληρονόμος κατονομάζεται ἢ φειδικομισσάριος λέγεται. οἷον εἰπέ τις· κληρονομείτω με ὁ γεώργιος, πλὴν οὐχ ἵνα αὐτὸς ἕως τέλους κληρονομήσῃ τὸν βίον μου, ἀλλ' ἵνα κυβερνήσῃ καὶ διασώσῃ καὶ ἀποδώσει αὐτὸν ὡς γνησίῳ μου κληρονόμῳ τῷ θεοδώρῳ· τότε γοῦν ὁ μὲν θεόδωρος φειδικομισσάριος λέγεται καὶ τὸ δίμοιρον τῆς καταλειφθείσης οὐσίας κληρονομεῖ, ὁ δὲ γεώργιος κληρονόμος καλεῖται καὶ τὸ τρίτον τῆς κληρονομίας λαμβάνει[18].

ιδ'. Λέγεται κληρονόμος καὶ ὑπὸ αἵρεσιν. ἐστὶ δὲ τοῦτο, ὅταν μὴ ἁπλῶς ἀλλὰ μετὰ διαστολῆς καὶ προσθήκης ταχθείη τὶς κληρονόμος. οἷον· ὁ δεῖνα, ἐὰν τόδε ποιήσῃ, κληρονομείτω με. ὅταν γοῦν ὑπὸ αἵρεσιν κληρονόμος γένηταί τις, εἰ μὲν οὐκ ἐστὶν ἡ αἵρεσις ἢ παντελῶς ἀδύνατος ἢ αἰσχρὰ ἢ μεγίστην κακίαν καὶ βλάβην προξενοῦσα κοινὴν, οὐκ ἄλλως ὁ ὑπὸ αἵρεσιν καταλειφθεὶς κληρονόμος τὴν κληρονομίαν λαμβάνει, εἰ μὴ πρότερον ἐκπληρώσει τὴν αἵρεσιν καὶ ποιήσῃ ἐκεῖνο ὃ εἶπεν ὁ ἄνθρωπος ὃς ἀφῆκε κληρονόμον αὐτόν· εἰ δὲ ἡ αἵρεσις ἀδύνατός ἐστι γενέσθαι (ὡς ὅταν εἴπῃ τίς· ὁ δεῖνα, ἐὰν εἰς τὸν οὐρανὸν ἀναβῇ ἢ ἐὰν ξηράνῃ τὴν θάλασσαν ἢ ἄλλο τὶ ποιήσῃ τοιοῦτον, κληρονομείτω με), καὶ ὅταν ἡ αἵρεσις ὑπάρχῃ αἰσχρὰ (ὡς ὅταν εἴπῃ τις· ὁ δεῖνα, ἐὰν τὴν ἑαυτοῦ ἀδελφὴν πρὸς ὕβριν ἐκδώσει), καὶ ὅταν ἡ αἵρεσις κακίαν δηλοῖ (οἷον· ὁ δεῖνα ἐὰν τὸν δεῖνα φονεύσῃ), καὶ ὅταν βλάβην κοινὴν προξενῇ

---

[16] Att. XXIII (33). [17] Non invenio apud Att. in editione Leunclavii.
[18] Att. XXIII (33).

(οἷον· ὁ δεῖνα, ἐὰν δι' ἧς ἐργάζεται πραγματείας ἀκρίβειαν τοῦ σίτου ποιήσῃ ἢ τῶν ἀπὸ τῶν δένδρων καρπῶν ἢ τοῦ οἴνου ἢ τοῦ ἐλαίου τυχὸν, ἢ πάλιν· ὁ δεῖνα, ἐὰν γένηται προδότης πόλεως)· ὅταν γοῦν τοιαύτη τὶς αἵρεσις ᾖ καὶ οὕτω τὶς ἀφήσει τινὰ κληρονόμον τῶν πραγμάτων αὐτοῦ, τότε ὁ ὑπὸ τὴν αἵρεσιν κληρονόμος, κἂν οὐκ ἐκπληρώσῃ τὴν αἵρεσιν ἤγουν τὴν αἰτίαν δι' ἣν γένηται[19] κληρονόμος, ἀκωλύτως εἰς τὴν κληρονομίαν εἰσάγεται. τοῦτο τοῖς κληρονόμοις ἐπενοήθη, ἵνα τοὺς βουλομένους εἰς κακίαν προτρέπειν τινὰς τῆς τοιαύτης προαιρέσεως παύωσι, καὶ ἵνα μηδεὶς κακόν τι διὰ κέρδος ποιῇ ὡς γινώσκων, ὅτι καὶ χωρὶς τοῦ ποιῆσαι τὴν κακίαν κερδαίνει τὸ πρᾶγμα, ὅπερ ἔμελλε διὰ τὴν κακίαν λαβεῖν[20].

ιε'. Ὁ κωδίκελλος ἐλλιποῦς διαθήκης ἐστὶν ἀναπλήρωσις, καὶ ἀναπληροῖ τὰ τῇ διαθήκῃ ἐλλείποντα. καὶ ἐὰν ποιήσῃ τὶς διαθήκην, καὶ ἀφήσει[21] τινὰ ἅπερ ἤθελεν ἐν αὐτῇ γράψαι, καὶ ὕστερον ἐνθυμηθῇ ταῦτα, τότε γράφει χαρτίον ἄλλο διαλαμβάνον περὶ ὧν ἐπελάθετο ἐν τῇ διαθήκῃ εἰπεῖν, καὶ λέγεται τοῦτο κωδίκελλος, ἤγουν μικρὸν χαρτόπουλον ἢ βιβλίδιον, ὡς τοῦ μὲν κώδικος τὸ ὁλόκληρον βιβλίον δηλοῦντος καὶ τὸν ἀκέραιον χάρτην, τοῦ κωδικέλλου δὲ σημαίνοντος τὸ μικρότερον[22].

ις'. Πολλάκις γράφων τὶς διαθήκην ἀφῆκε ταύτην ἀπλήρωτον, ἀνυπόγραφον τυχὸν ἢ ἀσφράγιστον, καὶ ἐστὶ τοῦτο διαθήκης ἀποτυχία· καὶ εἰ μὲν εἴποι ὁ ποιήσας αὐτὴν, ὅτι ἐὰν μὴ ἔχῃ τὸ στέργον ὡς διαθήκη, στεργέτω ὡς κωδίκελλος, τότε ἰσχύει καὶ στέργεται ὡς κωδίκελλος. εἰ δὲ ὁ ταύτην ποιήσας οὐκ εἴπῃ τοῦτο, οὔτε διαθήκη ἐστὶν οὔτε ὡς κωδίκελλος ἰσχύει λογίζεσθαι, ἀλλὰ παντελῶς ἄπρακτος μένει καὶ ἀνενέργητος[23].

ιζ'. Γίνεται πολλάκις καὶ χωρὶς τοῦ ποιῆσαι διαθήκην κωδίκελλος. ὁπόταν γὰρ διά τινα αἰτίαν τυχὸν καιρὸν ἀνεπιτήδειον ἢ σπουδὴν οὐ θέλει ἢ οὐ δύναταί τις τελείαν διαθήκην ποιῆσαι καὶ περὶ τῶν προσόντων αὐτῷ καθολικῶς διατάξασθαι, περὶ τῶν ἀναγκαιοτέρων ἰδικῶς γράφει, καὶ καλεῖται καὶ τοῦτο κωδίκελλος[24].

ιη'. Διαφέρει δὲ ὁ κωδίκελλος τῆς διαθήκης οὐ κατὰ μόνα τὰ ἀνωτέρω λεχθέντα, ἀλλὰ καὶ κατὰ ταῦτα· ἐν μὲν γὰρ τῷ κωδικέλλῳ οὐκ ἔξεστι γράφειν ἐξωτικὸν κληρονόμον οὐδὲ

---

[19] B γίνεται. [20] Att. XXIII (33). [21] B παραλίπῃ. [22] Att. XXIV (35). [23] Att. l. l. [24] Att. l. l.

ποιεῖν κληρονόμον ὑποκατάστατον, ἐν δὲ τῇ διαθήκῃ καὶ τὰ δύο ποιεῖν οὐκ ἐμποδιζόμεθα[25].

ιθ'. Τῷ κωδικέλλῳ ἀρκοῦσι μάρτυρες ε', εἰ καὶ κατὰ τύχην ἦλθον. μόνον ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ τὰ μέλλοντα γράφεσθαι προσκαλείσθωσαν εἰς ἀκρόασιν καὶ τὰ ἐν τῷ κωδικέλλῳ γραφόμενα ἀκουέτωσαν[26].

κ'. Κατέλειψέ τις κληρονομίαν ἑτέρῳ τινὶ, ἀφῆκε δὲ καὶ λεγάτα πρὸς οὓς ἐβούλετο. ὁ κληρονόμος γοῦν εἰ θέλει τῆς κληρονομίας κύριος εἶναι, καταναγκάζεται ἀποδοῦναι τὰ χρέη, καταναγκάζεται ἀποδοῦναι καὶ τὰ λεγάτα, καὶ τυχὸν ἡ κληρονομία οὐ σώζει πρὸς ἀποπλήρωσιν τῶν δύο, ἤγουν τῶν λεγάτων καὶ τῶν χρεῶν, καὶ γίνεται ἐπὶ τούτοις ἀμφιβολία καὶ ζήτησις· καὶ οἱ μὲν λεγατάριοι καὶ οἱ χρεωφειλέται πολὺν λέγουσιν εἶναι τὸν βίον τοῦ τὴν κληρονομίαν καταλιπόντος καὶ δυνατὸν ἀρκέσαι καὶ εἰς τὰ χρέη καὶ εἰς τὰ λεγάτα, ὁ δὲ κληρονόμος ὀλίγον. ὅταν τοίνυν ἐπὶ τῇ καταλειφθείσῃ κληρονομίᾳ γένωνται ταῦτα, ὁ κληρονόμος ὅρκον ἀποκρυβῆς ἀπαιτεῖται, ἤγουν ὀμνύειν καταναγκάζεται, ὅτι οὐδὲν τῶν εἰς κληρονομίαν καταλειφθέντων αὐτῷ πραγμάτων ἀπέκρυψε (τοῦτο γὰρ ἐστὶν ὅρκος ἀποκρυβῆς), καὶ ἐὰν φθάσῃ καὶ ποιήσῃ ἀπογραφὴν, ἤγουν ἐὰν τὸ πρᾶγμα ὅσον καταλειφθῇ πρὸς αὐτὸν καταγράψηται, ἐμφανίζει καὶ ποιεῖ δῆλον τῷ δικαστῇ, ὅσην εὗρε τοῦ κληρονομουμένου παρ' αὐτοῦ πράγματος τὴν ποσότητα, καὶ ἐνέχεται εἰς αὐτὴν μόνην, ἐπέκεινα δὲ αὐτῆς οὐκ ἐνέχεται, εἰ καὶ τὰ λεγάτα καὶ τὰ χρέη πλείονά εἰσι καὶ παρ' αὐτὴν περισσότερα. εἰ δὲ οὐ ποιήσει ἀπογραφὴν, ἔνοχός ἐστι καὶ πάντα τὰ λεγάτα καὶ πάντα τὰ χρέη ἀποδιδόναι, καὶ ἢ ἀποδίδωσι ταῦτα ἢ τῆς κληρονομίας στερεῖται[27]. τί ἐστὶν ἀπογραφὴ καὶ πῶς γίνεται, ἐν τοῖς εἰς τὸ α' στοιχεῖον δεδήλωται, καὶ ὁ βουλόμενος μαθεῖν τὰ περὶ αὐτὴν ἀκριβῶς ζητείτω τὰ ἐκεῖ γεγραμμένα.

κα'. Εἰ ἄνεμος πνέων ἐμβάλλει εἰς ἁλώνιον ἑτέρου[28] τινὸς, οὐκ ἔξεστί τινι κτίσμα ἐγεῖραι ἐμποδίζον τῷ ἀνέμῳ εἰσέρχεσθαι εἰς τὸ ἁλώνιον, εἰ καὶ πολλάκις κύριος τοῦ τόπου ἐστὶν ἐν ᾧ κτίσαι βούλεται[29].

κβ'. Κουράτωρ ἐστὶ μὲν καὶ ὁ φροντίζων τινὸς καὶ ἐπιμελούμενος, καὶ τοῦτο δηλοῖ ἡ λέξις τὸν φροντιστήν· δίδοται δὲ τοῖς νέοις διὰ τὸ ἀτελὲς τῆς ἡλικίας αὐτῶν, δίδοται δὲ καὶ ἀσώτοις καὶ μαινομένοις[30].

---

[25] Att. XXIV (35). [26] Att. ibid. [27] Att. ibid. [28] In B ἑτέρους deest.
[29] Cf. Syn. K, 9 ex Bas. LVIII, 7, 11. [30] Att. XXV (36).

κγ΄. Δίδοται ὁ κουράτωρ καὶ καθολικῶς χωρίς τινος προσδιορισμοῦ, καὶ ἰδικῶς ἐπί τινι ὑποθέσει, ὡς ὅταν ὁ ἀνῆλιξ ἐνάγων ἢ ἐναγόμενος κουράτωρα λάβῃ τινὰ ἐπὶ τῷ ἀντιλαβέσθαι καὶ βοηθῆσαι αὐτῷ εἰς τὸ δικαστήριον καὶ ὥσπερ ἀντ' αὐτοῦ κριθῆναι μετὰ τοῦ δικαζομένου[31].

κδ΄. Εἰς τὴν κληρονομίαν οἱ κατιόντες πρῶτοι καλοῦνται. προτιμᾶται γὰρ ὁ νόμος τοὺς ἐξ ἡμῶν εἰς τὴν κληρονομίαν ἡμῶν παρὰ τοὺς ἐξ ὧν ἡμεῖς ἐγεννήθημεν, ἐπειδὴ καὶ ἡ φύσις κάτω μὲν φέρεσθαι οἶδεν, ἄνω δὲ ἀνατρέχειν ἀδυνατεῖ, καὶ οὐχ οἱ πατέρες τοῦ διαμένειν αἴτιοι τοῖς παισὶν, εἰ καὶ τοῦ εἶναι πεφύκασι τούτοις αἴτιοι, οἱ παῖδες δὲ τὴν τῶν πατέρων μνήμην ἐν τῷ βίῳ παρασκευάζουσι περισώζεσθαι. πρῶτοι μὲν οὖν εἰς κληρονομίαν οἱ κατιόντες καλοῦνται παρὰ τοῦ νόμου, καὶ ἐὰν ὦσι κατιόντες, οἱ ἀνιόντες οὐκ ἔχουσι κληρονομεῖν· ἐὰν δὲ μὴ ὦσι κληρονόμοι[32], οἱ ἀνιόντες εἰς τὴν κληρονομίαν εἰσάγονται. ἐὰν δὲ μὴ ἀνιόντες ὦσι, κληρονομοῦσιν οἱ ἐκ πλαγίου. ἐπὶ πάντων δὲ καὶ τῶν ἀνιόντων καὶ τῶν κατιόντων καὶ τῶν ἐκ πλαγίου ὅσοι μὲν τοῦ αὐτοῦ βαθμοῦ καὶ τῆς αὐτῆς σχέσεως πρὸς τοὺς τεθνηκότας εἰσὶν, οἷον ἀδελφοὶ τυχὸν ἢ ἐξάδελφοι ἢ παῖδες ἢ πατέρες ἢ ἔγγονοι ἢ προέγγονοι, ἐπίσης εἰς τὴν κληρονομίαν εἰσάγονται· ὅταν δὲ οἱ μὲν ἐγγυτέρω, οἱ δὲ ἀπωτέρω τυγχάνωσιν, οἷον ἐὰν πάπποι καὶ πατέρες ὑπάρχωσιν, ἢ ἔγγονοι καὶ υἱοὶ, ἢ ἀδελφοὶ καὶ ἐξάδελφοι, ἀεὶ προτιμῶνται οἱ ἐγγυτέρω τῶν ἀπωτέρω. πολλάκις δὲ καὶ τῶν ἐκ τοῦ αὐτοῦ βαθμοῦ διά τινας αἰτίας προτιμοῦνταί τινες· εἰ δὲ μὴ εἶεν αἰτίαι, οἱ ἐκ τοῦ αὐτοῦ βαθμοῦ πάντες ἐπίσης τοὺς ἐξ ἀδιαθέτου κληρονομοῦσι[33] τοὺς τελευτήσαντας[34].

κε΄. Τὰ περὶ τῶν κτισμάτων νομοθετηθέντα τὰ μὲν ἀλλὰ πάντα ἐν πάσαις χώραις καὶ πόλεσι τὰ αὐτά ἐστι, [ἔνια δὲ οὔ, οἷον][35] τὰ περὶ τῆς ἀπόψεως τῆς εἰς θάλασσαν. ἐστὶ δὲ ἄποψις ἡ ἀπόβλεψις, [ἥτις] ἰδία ἐστὶν ἐν κωνσταντινουπόλει καὶ τοῖς περὶ αὐτὴν, καὶ ἰδία ἐν ταῖς ἑτέραις χώραις καὶ πόλεσιν· ἐπιπλέον γὰρ εἰς κωνσταντινούπολιν καὶ τὰ περὶ αὐτὴν ἢ ἐν τοῖς ἄλλοις τόποις ἡ ῥηθεῖσα ἄποψις ὀφείλει φυλάττεσθαι[36].

κϛ΄. Δεῖ δὲ γινώσκειν καὶ τοῦτο· οἱ παλαιοὶ τῶν συγγε-

---

[31] Att. XXV (36). — B legit ἀντιδίκου. [32] Malim κατιόντες. [33] B: κληρονομουμένους ὑπ' αὐτῶν διαδέχονται. [34] Att. XXVIII (41). [35] Inclusa in A desunt. [36] Pertinent haec ad c. 38 infra. Cf. Syn. K, 9 ex Bas. LVIII, 11, 12.

νῶν τινὰς ἀδνάτους ὠνόμαζον, ἄλλους δὲ ἐκάλουν κογνάτους. ἦσαν δὲ οἱ ἀδνάτοι καὶ οἱ κογνάτοι ἕνα καὶ τὸν αὐτὸν βαθμὸν πρός τι πρόσωπον περισώζοντες, ἤγουν ἐξάδελφοι πρῶτοι τοῦ γένους ἢ θεῖοι ἢ ἀνεψιοί· διέφερον δὲ οἱ ἀδνάτοι τῶν κογνάτων, ὅτι οἱ μὲν ἐξ ἀῤῥενογονίας ἦσαν ἤγουν ἐξ ἀνδρῶν εἷλκον τὴν τοῦ γένους σειρὰν, οἱ δὲ ἐκ θηλυγονίας εἴτουν ἐκ γυναικῶν τῷ γένει συνήπτοντο. ἐστὶ δὲ τοῦτο τοιοῦτον· ὁ λέων ὑποθετέον ἀδελφὴν γνησίαν ἔσχε καὶ ἀδελφὸν, ἐγένοντο παῖδες τῷ τοῦ λέοντος ἀδελφῷ, ἐγένοντο καὶ ἄλλοι τῇ τοῦ αὐτοῦ λέοντος ἀδελφῇ· εἰσὶν οὖν καὶ οἱ τοῦ ἀδελφοῦ καὶ οἱ τῆς ἀδελφῆς παῖδες ἀνεψιοὶ μὲν τοῦ λέοντος, ἐξάδελφοι δὲ πρῶτοι πρὸς τοὺς παῖδας αὐτοῦ, καὶ σώζουσι καὶ τὰ δύο μέρη τὸν αὐτὸν βαθμὸν πρὸς τὸν λέοντα, καὶ πάλιν ὡσαύτως σώζουσι τὸν αὐτὸν βαθμὸν καὶ πρὸς τοὺς παῖδας τοῦ λέοντος· ἀλλ' οἱ τοῦ ἀδελφοῦ παῖδες ἀδνάτοι τουτέστιν ἐξ ἀῤῥενογονίας λεγόμενοι, ὡς ἐξ ἀνδρὸς τοῦ ἀδελφοῦ τοῦ λέοντος καταγόμενοι, πολλὴν εἶχον διαφορὰν πρὸς τοὺς παῖδας τῆς ἀδελφῆς, οἵτινες καὶ κογνάτοι ὡς ἐκ θηλείας γεγονότες κατωνομάζοντο. καὶ ἡ διαφορὰ τῶν ἀδνάτων πρὸς τοὺς κογνάτους αὕτη ἦν, ὅτι εἰς τὴν κληρονομίαν τοῦ λέοντος, πρὸς ὃν εἶχον τὸν αὐτὸν καὶ οἱ δύο βαθμὸν, οἱ ἀδνάτοι προετιμῶντο καὶ αὐτοὶ εἰς τὴν κληρονομίαν εἰσήγοντο, οἱ δὲ κογνάτοι ἀδνάτων μὲν ὄντων οὐκ ἐκληρονόμουν, ὅταν δὲ οὐκ ἦσαν ἀδνάτοι, κατὰ ἀποτυχίαν οἱ κογνάτοι τὴν κληρονομίαν ἐδέχοντο. τοῦτο μὲν ἦν ἔθος τοῖς παλαιοῖς. ὁ δὲ βασιλεὺς ἰουστινιανὸς ἐπίσης καὶ τοὺς ἀδνάτους καὶ τοὺς κογνάτους ἔταξεν εἰς τὴν κληρονομίαν καλεῖσθαι, εἰ μόνον τὸν αὐτὸν βαθμὸν περισώζουσι, καὶ ἡ τάξις αὕτη κρατεῖ καὶ ἐν τοῖς ἄρτι καὶ πολιτεύεται. καὶ διὰ τοῦτο οὐδὲ ζητοῦσι περὶ ἀδνάτων καὶ κογνάτων, οὐδὲ γινώσκουσιν οἱ πολλοὶ, τίνες οἱ ἀδνάτοι καὶ τίνες οἱ κογνάτοι τυγχάνουσιν. ὥσπερ οὖν οὐ ζητοῦμεν τίνες εἰσὶν ἀδνάτοι καὶ τίνες εἰσὶ κογνάτοι, ἀλλὰ μόνον τὸν αὐτὸν εὑρόντες βαθμὸν, κἂν ἀδνάτοι κἂν κογνάτοι ὑπάρχωσιν, ἐπίσης αὐτοὺς ποιοῦμεν κληρονόμους τοῦ τελευτήσαντος, οὕτω κἂν ὑπεξούσιοι ὦσιν οἱ παρελθόντες κἂν αὐτεξούσιοι, οἱ γεννώμενοι ἐξ αὐτῶν παῖδες πρωτιμῶνται τῶν γονέων αὐτῶν, καὶ πάντες οἱ κατιόντες παρὰ τοὺς ἀνιόντας εἰς τὴν κληρονομίαν πρῶτοι καλοῦνται, καὶ ἡ ὑπεξουσιότης οὔτε τοῖς κατιοῦσι βλάβην ποιεῖ ὥστε προτιμᾶσθαι ἄλλους αὐτῶν, οὔτε τοῖς ἀνιοῦσι δύναται βοηθεῖν ὥστε πρὸ τῶν κατιόντων αὐτοὺς εἰς τὴν τῶν ὑπεξουσίων παίδων κληρονομίαν εἰσάγεσθαι. ἐστὶ δὲ τοῦτο τοιοῦτον·

εἶχέ τις υἱὸν ὑπεξούσιον, ἤγουν ὑπὸ τὴν αὐτοῦ τοῦ πατρὸς ἐξουσίαν ἔτι ταττόμενον, ὁ ὑπεξούσιος οὗτος πάντα ὅσα ἂν ἔχοι, τοῦ πατρὸς λογίζονται εἶναι, καὶ οὐκ ἔχει οὐδεμίαν ἐπ' αὐτοῖς δεσποτείαν ὁ ὑπεξούσιος· οὗτος ὁ ὑπεξούσιος ἐν τῇ ὑπεξουσιότητι μένων ἔλαβε γυναῖκα, ἐγέννησε παῖδας, εἶτα ἐτελεύτησεν ὑπεξούσιος ἔτι ὤν· οἱ παῖδες τούτου μετὰ τὴν αὐτοῦ τελευτὴν προτιμότεροι παρὰ τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ εἰς τὴν κληρονομίαν εἰσίν. καὶ ἐστὶ τοῦτο ὥσπερ τι ξένον, ἐὰν ὁ πατὴρ τοῦ παιδὸς ζῶντος τῶν ἐκείνου κυριεύων πραγμάτων μετὰ τελευτὴν τοῦ παιδὸς οὐκ ἀξιοῦται[37] ταῦτα κληρονομεῖν, ἀλλ' ἕτεροι πρὸ αὐτοῦ εἰς τὴν τῶν[38] τοῦ παιδὸς πραγμάτων κληρονομίαν εἰσάγονται. ἀλλ' οἶμαι τοῖς ἀκριβῶς σκοποῦσιν οὐ ξένον· ζῶντι μὲν γὰρ τῷ παιδὶ ἀνάγκη πρὸς τοὺς γονεῖς τὸ κατὰ φύσιν ὀφειλόμενον πρεσβεῖον ἀποδιδόναι, καὶ ἐστὶ τοῦτο πρὸς τὴν συντήρησιν τῆς εὐταξίας γινόμενον· τελευτήσαντος δὲ αὐτοῦ δικαίως οἱ παῖδες τῶν πατέρων εἰς τὸ κληρονομεῖν προτετίμηνται, καθολικῶς γὰρ κατὰ τὴν παρακέλευσιν τῶν νόμων εἰς τὴν ἡμετέραν κληρονομίαν οἱ ἐξ ἡμῶν τῶν ἐξ ὧν ἡμεῖς προτιμότεροι[39].

κζ'. Τῷ λόγῳ τοῦ οἴκτου τουτέστι τῆς ἐλεημοσύνης κληρονομοῦσιν οἱ γονεῖς τῶν παίδων, οἱ δὲ παῖδες τῶν γονέων καὶ φυσικῷ λόγῳ καὶ τῇ εὐχῇ τῶν γονέων[40].

κη'. Ἔτι τοῖς εἰρημένοις προσθετέον καὶ τοῦτο· πολλάκις ἕνα τινὰ ἐπίσης κληρονομοῦσι πολλοί. γίνεται δὲ τοῦτο, ὅταν πάντες αὐτοὶ τὸν αὐτὸν ἔχουσι βαθμὸν πρὸς τὸν τελευτήσαντα. τριῶν γοῦν ὄντων ὑποθετέον τῶν ἐπίσης ὀφειλόντων ἕνα κληρονομεῖν, ὁ εἷς αὐτῶν ἐτελεύτησεν, ἀφῆκε δὲ τῷ βίῳ τρεῖς παῖδας, εἴτε πλείονας εἴτε καὶ ἐλάττονας τῶν τριῶν. κληρονομοῦσι δὲ οἱ ἔτι ζῶντες καὶ τὸν αὐτὸν ἔχοντες βαθμὸν ἐπίσης τὸν τελευτήσαντα, τοῦ δὲ προαποθανόντος κληρονόμου οἱ παῖδες εἰσάγονται εἰς τὸν τόπον τοῦ οἰκείου πατρὸς, καὶ συγκληρονομοῦσι καὶ αὐτοὶ τοῖς ζῶσιν οὕτως, ὡς εἴπερ ἔζη κληρονομεῖν ἔμελλεν ὁ πατὴρ, καὶ λαμβάνουσιν ὁμοῦ πάντες τοσοῦτον, ὅσον ἔμελλε δοθῆναι τῷ πατρὶ τούτων· καὶ τὸ μέρος αὐτὸ πρὸς ἑαυτοὺς πάλιν ἐπίσης οἱ τοῦ ἀποθανόντος παῖδες μερίζουσι. καὶ λέγεται ἡ τοιαύτη κληρονομία κατὰ σειρὰν, ἤγουν κατὰ τὸν τοῦ γένους βαθμὸν, οὐ κατὰ κεφαλὴν γίνεσθαι.

---

[37] B ἄξιος ᾖ. [38] Deest in A. [39] Att. XXVIII (41). [40] Cf. Syn. K, 16 ex Bas. XLV, 1, 7.

τὴν δὲ κληρονομίαν τὴν κατὰ κεφαλὴν οἱ νόμοι καὶ προσωπικὴν ὀνομάζουσιν[41].

κθ΄. Ἐτελεύτησέ τις καὶ κατιόντας οὐκ ἀφῆκε τῷ βίῳ, κατέλιπε δὲ ἀνιόντας, κατέλιπε καὶ ἐκ πλαγίου τινάς· εἰς δὲ τοὺς ἐκ πλαγίου καὶ οἱ ἀδελφοὶ καὶ οἱ τῶν ἀδελφῶν παῖδες τάττονται. οἱ γοῦν ἀνιόντες, κἂν καὶ τῶν ἄλλων τῶν ἐκ πλαγίου τυγχάνωσι προτιμότεροι, ἀλλὰ τῶν ἀδελφῶν καὶ τῶν παίδων τῶν ἀδελφῶν προτιμᾶσθαι οὐ δύνανται. ἀδελφοὺς δὲ καὶ παῖδας ἀδελφῶν τοιούτους ἐνταῦθα ληπτέον, οἵτινες καὶ ἐκ τοῦ πατρὸς καὶ ἐκ τῆς μητρός εἰσιν ἀδελφοί, οὓς καὶ καλεῖν ἀμφιθαλεῖς παρέδωκεν ἡ συνήθεια. οἱ γὰρ τοιοῦτοι ὑπάρχοντες ἀδελφοὶ καὶ οἱ παῖδες αὐτῶν ἐπίσης τοῖς ἀνιοῦσι κληρονομοῦσι, καὶ οὐχ ἁπλῶς μόνον τοῖς ἀνιοῦσιν, ἀλλὰ καὶ τοῖς ἐγγυτάτω τῶν ἀνιόντων, οἷον εἰ πατέρες εἶεν καὶ πάπποι, τοῖς πατρᾶσιν, ἀλλ᾽ οὐ τοῖς πάπποις· προτιμότεροι γὰρ οἱ πατέρες τῶν πάππων εἰς τὴν κληρονομίαν εἰσὶν, καὶ τοῖς πατρᾶσι συγκληρονομοῦσιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τῶν ἀδελφῶν, τῶν δὲ πάππων κατὰ πολύ εἰσι προτιμότεροι. καὶ σημειωτέον, ὅτι οἱ ἐκ πλαγίου οὗτοι τισὶ μὲν τῶν ἀνιόντων ἐπίσης κληρονομοῦσι, τινῶν δὲ καὶ προτιμῶνται κατὰ πολύ. καὶ οἱ μὲν κατιόντες ὡς προειρήκαμεν καὶ τῶν ἐκ πλαγίου καὶ τῶν ἀνιόντων ἁπάντων ὑπάρχουσι προτιμότεροι, οἱ δὲ ἀνιόντες καὶ οἱ ἐκ πλαγίου ὅπως ἔχωσι προδεδήλωται. ἐπεὶ δὲ εἰσὶν ἀδελφοὶ οὐκ ἐκ τῶν δύο μερῶν ἀλλ᾽ ἐξ ἑνὸς μόνου τῷ τελευτήσαντι συναπτόμενοι, οἳ καὶ ἑτεροθαλεῖς ἀδελφοὶ καλοῦνται, εἰσάγονται καὶ οὗτοι εἰς τὴν κληρονομίαν μετὰ τοὺς κατιόντας καὶ ἀνιόντας καὶ τοὺς ἐκ πλαγίου τοὺς συγκληρονομοῦντας τοῖς ἀνιοῦσιν ἤγουν τοὺς ἐκ δύο μερῶν ἀδελφοὺς καὶ τοὺς παῖδας αὐτῶν, τῶν δὲ ἄλλων τῶν ἐκ πλαγίου αὐτοὶ προτιμῶνται· καὶ συμβαίνει τοὺς παῖδας τῶν ἀμφιθαλῶν ἀδελφῶν ἤγουν τῶν ἐκ πατρὸς καὶ μητρὸς συναπτομένων τῷ τελευτήσαντι, τρίτου ὄντας πρὸς τὸν ἀποθανόντα βαθμοῦ, προτιμοτέρους εἶναι τῶν ἑτεροθαλῶν ἤγουν ἐκ μέρους ἑνὸς ἀδελφῶν, δευτέρου ὄντων πρὸς τὸν ἀποθανόντα βαθμοῦ, καὶ τὸν τρίτον ἐν τούτοις τοῦ δευτέρου εἶναι κατὰ πολὺ προτιμότερον. τοῦτο δὲ γίνεται διὰ τὸ τοὺς μὲν τὴν συγγένειαν ἔχειν μονομερῆ, τοὺς δὲ περισώζειν αὐτὴν καὶ ἐκ τῶν δύο μερῶν. εἰ δὲ τῶν ἐξ ἑνὸς μέρους ὡς εἴπομεν ἀδελφῶν οἱ ἐκ τῶν ἀμφιθαλῶν ἀνεψιοὶ προτιμότεροι, πολλῷ ἂν

[41] Att. XXVIII (41).

μᾶλλον οἱ τοιοῦτοι ἀνεψιοὶ προτιμῶνται τῶν θείων τοῦ τελευτήσαντος, κἂν καὶ τυχὸν ἑκατέρωθεν ἤγουν ἐκ τῶν δύο μερῶν ἕλκωσι τὴν συγγένειαν. καὶ πάλιν ἐν τούτοις συμβαίνει τὸν ἕνα τρίτον βαθμὸν (τρίτου γὰρ βαθμοῦ οἱ ἀνεψιοὶ πρὸς τὸν θεῖον) ἄλλου βαθμοῦ καὶ αὐτοῦ τρίτου εὑρίσκεσθαι προτιμότερον. ὥσπερ γὰρ οἱ ἀνεψιοὶ τοῦ θανόντος τρίτον ἔχουσι βαθμὸν πρὸς τὸν τελευτήσαντα, οὕτω καὶ αὐτὸς ὁ θανὼν πρὸς τοὺς ἰδίους θείους τὸν τρίτον σώζει βαθμόν. ἀλλ' οὐκ ἐστὶ ταὐτὸν θεῖον αὐτὸν βλέπειν πρὸς ἄλλους ἀνεψιοὺς, καὶ ἀνεψιὸν τοῦτον πρὸς ἑτέρους θείους ὑπάρχοντας θεωρεῖν· τὸ μὲν γὰρ τὸ ἐκ θείου τούτου πρὸς ἄλλους ἀνεψιοὺς τοῖς κατιοῦσιν ὡμοίωται, ἀνωτέρω γὰρ ὁ θεῖος τῶν οἰκείων ἀνεψιῶν, ἐπεὶ καὶ τοῦ πατρὸς ἢ τῆς μητρός ἐστιν ἀδελφὸς, οἵτινες ὁμολογουμένως ἀνιόντες εἰσὶ καὶ ἡ ἐξ αὐτῶν σχέσις πρὸς τοὺς ἀνεψιοὺς ὡς ἐξ ἀνιόντος πρὸς τοὺς κατιόντας ἐστί[42]· τὸ δὲ πρὸς ἄλλους θείους ἐκ τούτου ἀνεψιοῦ τοῖς ἀνιοῦσιν εἰκάζεται (ἄνεισι γὰρ οὗτος πρὸς τοὺς θείους αὐτοῦ ἀναγόμενος), καὶ διὰ τοῦτο ὡς ἐπὶ πάντων τῶν κατιόντων ὑπὲρ τοὺς ἀνιόντας προτιμωμένων καὶ οἱ ἀνεψιοὶ τῶν θείων τάττονται προτιμότεροι, εἰ καὶ ἀμφότεροι βαθμὸν τρίτον πρὸς τὸν αὐτὸν ἔχουσιν[43].

λ'. Κληρονομοῦσιν ἐξ ἀδιαθέτου κατὰ τάξιν οὗτοι· κατιόντες, ἀνιόντες, ἐκ πλαγίου, ἀνὴρ ἢ γυνὴ, τὸν τελευτήσαντα[44].

λα'. Κτίζοντί τινι, εἴτε δικαίως κτίζει εἴτε ἀδίκως, δύναται καλῶς παραγγέλλειν μὴ κτίζειν τὶς πρὸ τοῦ τελειωθῆναι τὸ ἔργον· μετὰ δὲ τὸ τελειωθῆναι τὸ ἔργον οὐκ ἔχει χώραν ἡ παραγγελία[45]. ἐὰν δὲ ὁ παραγγελθεὶς μετὰ τὴν παραγγελίαν κτίσῃ χωρὶς προτροπῆς, καταλύεται τὸ ἔργον αὐτοῦ[46].

λβ'. Τὸ καλῶς ποιεῖν τόδε τὶ ἢ πάσχειν σύνηθες τῷ νόμῳ ἐστί· δηλοῖ δὲ τὸ ἀμέμπτως καὶ ἀνεπιλήπτως καὶ ἀκωλύτως ἐκ τῶν νομικῶν διατάξεων ποιεῖν[47].

λγ'. Ὅταν διὰ τῆς τοῦ νόμου βοηθείας καὶ προσταγῆς γίνεσθαι δύναταί τι, συνίστασθαι τυχὸν ἢ ἀνατρέπεσθαι, καὶ ὅταν οὐκ ἔξεστί τινι ποιῆσαί τι εἰ μὴ μετὰ τῆς τοῦ δικαστοῦ προτροπῆς καὶ τῆς τῶν νόμων ἐκχωρήσεως, τότε λέγεται ἐκτελεῖσθαι τὸ οὕτω γινόμενον διὰ νομικῆς παραγγελίας[48].

λδ'. Ἡ καινοτομία, ἤγουν τὸ ἐπί τινι πράγματι παρὰ τὴν παλαιὰν συνήθειαν ἐκ νέου πραττόμενον, εἰ μὲν μὴ γένηται

---

[42] A εἰσί. [43] Att. XXVIII (41). [44] Att. XXVIII (42). [45] A ἐπαγγ. [46] Att. XXXIV (53). [47] Att. ibid. [48] Att. ibid.

συμφωνία τὶς ἐπ' αὐτῇ, ἀθετεῖται καὶ ἀνατρέπεται καὶ ἐπανάγεται τὸ πρᾶγμα εἰς τὴν προτέραν κατάστασιν· εἰ δὲ γένηται συμφωνία, ἡ καινοτομία τὸ στέργον ἔχει[49].

λε'. Τὰ κτίσματα ἢ ἰδιωτικά εἰσιν ἢ δημόσια. λέγονται δὲ ἰδιωτικὰ μὲν τὰ ἴδια ἑνὸς ἑκάστου τῶν πολιτῶν[50], δημόσια δὲ τὰ τῷ δημοσίῳ ἀνήκοντα, οἷον τείχη κάστρων καὶ πύργοι πρὸς ἀσφάλειαν ἀνεγειρόμενοι τῶν ἔνδον, καὶ ὅσα τούτοις παρόμοια. ὅταν γοῦν βούληταί τις κτίσματος δημοσίου πλησίον ἰδιωτικὸν ἀνεγεῖραι κτίσμα, ὀφείλει τὸ ἐλάχιστον τουτέστι τὸ ὀλιγότερον ιε' πόδας ἀπέχειν τοῦ δημοσίου κτίσματος· οὕτω γὰρ οὔτε τὸ δημόσιον κτίσμα κινδυνεύσει ποτὲ, οὔτε τὸ ἰδιωτικὸν ἐκ τούτου βλαβήσεται· εἰ δὲ μὴ, ἐξ ἀνάγκης πάσης τὸ ἰδιωτικὸν καταλύεται[51].

λϛ'. Τὸν κοινῶς λεγόμενον ἡλιακὸν ἐξώστην τινὲς ὀνομάζουσιν, ἀπὸ τοῦ ἔξω τῶν λοιπῶν οἰκημάτων ἵστασθαι ἢ ἀπὸ τῆς ἑστίας ἤγουν ἔξω καθίστασθαι. φαίνεται δὲ κατά τινα κοινωνίαν τούτου καὶ ἄνεμός τις ἐξώστης κατονομάζεσθαι ὁ μακρὰν διώκειν καὶ ἐξωθεῖν ἐκεῖνα καθ' ὧν ἂν πνεύσῃ δυνάμενος. τοῦτον γοῦν τὸν ἡλιακὸν τὸν παρά τινων ἐξώστην καλούμενον ὅστις ἂν βουληθῇ ποιῆσαι, εἰ μὲν ἔχει πλησίον ἰδιωτικὰ κτίσματα, ἀναγκάζεται ποιεῖν τὸν ἡλιακὸν ι' πόδας τῶν ἰδιωτικῶν κτισμάτων ἀπέχοντα· εἰ δὲ δημόσια τούτῳ πλησιάζουσι κτίσματα, ιε' πόδας ἀπεχέτω τῶν κτισμάτων ὁ γινόμενος παρὰ τούτου ἡλιακός. εἰ δὲ μὴ, καὶ τὸ ἔργον καταλυθήσεται καὶ πᾶς ὁ οἶκος ἔσται τοῦ δημοσίου[52].

ιε'. Νεαρὰ τοῦ κυροῦ λέοντος λϛ'. — Ὁρίζομεν τοὺς ἐπὶ νοῦν βαλομένους ἐν ἀροσίμοις τόποις καινῶν οἰκήσεων κατασκευὰς ποιεῖν, εἰ μὲν ἡ ἀφθονία παρέχει, δύο τόξου βολαῖς ἐκ τῶν γειτόνων ὁρίων μετρεῖσθαι τὸ διάστημα τῆς νέας κατασκευῆς· εἰ δ' οὐ χαρίζεται δι' ἔνδειαν ἀφθονίας τοσοῦτον μέτρον ἡ χώρα τῷ διαστήματι μετρεῖσθαι, καὶ μιᾷ τόξου βολῇ. ἐντὸς δὲ τοῦ εἰρημένου ὁρίσματος οὐδενὶ παρέχεται ἄδεια τῆς τοιαύτης τῶν οἰκήσεων νεουργίας.

ιϛ'. Νεαρὰ τοῦ αὐτοῦ μγ'. — Ἀγρῶν ἀλλήλοις διαφόρου δεσποτείας παρακειμένων, καὶ τοῦ μὲν ὑπερκειμένην ἔχοντος τὴν χώραν, τοῦ δὲ ὑποκειμένου ὄντος καὶ ἐν ἐπιπέδῳ ὁριζομένου, ἐὰν ὁ ὑπερκείμενος ἀγρὸς μέρει τινὶ συγκατασπασθεὶς ἢ σὺν φυτοῖς ἢ τούτων χωρὶς τὸν ὑποκείμενον τὸ ῥῆγμα δεξάμενον ἐπικαλύψῃ, μὴ

---

[49] Att. XXXIV (53). [50] AE πολιτικῶν, B πολιτιῶν. [51] Att. XXXIV (53).
[52] Att. ibid.

λζ΄. Ὁ κτίζων ἐκ νέου ιβ΄ πόδας τῶν παλαιῶν ἀπέχων κτισμάτων, τῶν ἰδιωτικῶν δηλαδὴ, ἄδειαν ἔχει κτίζειν ὡς βούλεται, καὶ θυρίδας ποιεῖν οὐ κωλύεται. εἰ δέ τινος ἐμποδίζει τὴν πρὸς θάλασσαν ἄποψιν, κωλύεται καὶ τοῦ κτίζειν καὶ τοῦ θυρίδας εἰς τὸν τοιοῦτον ἀνοίγειν. ἡ γὰρ ἄποψις τῆς θαλάσσης ἐπὶ τῆς κωνσταντινουπόλεως καὶ τῶν περιοίκων ἤγουν τῶν πλησιοχώρων αὐτῆς ρ΄ πόδας ἀπὸ τῶν παλαιῶν κτισμάτων ἀποδιώκει τὰ νέα κτίσματα, καὶ χρὴ τὴν ἄποψιν ταύτην, ἐάν τε[53] ἐξ ὀρθοῦ ἐάν τε ἐκ πλαγίου ἐστὶ, μὴ ἀφαιρεῖσθαι ἀλλ᾽ ἀνεμπόδιστον παραφυλάττειν τοῖς ἔχουσιν. ἐὰν δὲ καὶ περὶ τῆς ἀπόψεως ταύτης ποιήσωνταί τινα συμφωνίαν οἱ γείτονες, ἡ συμφωνία καὶ ἐπὶ ταύτῃ κρατεῖ[54].

λη΄. Ἐὰν ἐν στενῇ ὁδῷ κτίζῃ τὶς, καὶ ἐκείνη ἡ ὁδὸς ἐπὶ τοσοῦτόν ἐστι στενὴ ὥστε τῶν ιβ΄ ποδῶν μὴ εἶναι τὸ ταύτης πλάτος ἐπέκεινα, ὁ κτίζων οὐκ ὀφείλει τὶ ἀπὸ τῆς ὁδοῦ ἀφαιρεῖσθαι, ἵνα μὴ εἰς τὸ παντελὲς αὐτὴ στενωθῇ. εἰ δέ τι ἐκ τῆς τοιαύτης ὁδοῦ παρυφελέσθαι τολμήσει, ἅπαν αὐτοῦ τὸ ἔργον καταλυθήσεται. αἱ δὲ περιφραγαὶ ἤγουν οἱ τῶν ἀμπελώνων καὶ τῶν περιβολίων φραγμοὶ, καὶ τὰ ἀλλότρια ἐδάφη ἐν οἷς οὐκ εἰσιν οἰκίαι, καὶ τὰ τῶν γειτόνων ἐξάερα ἓξ μόνον πόδας ἀφ᾽ ἑαυτῶν τοὺς πλησίον κτίζειν βουλομένους ἀποδιώκουσιν[55].

λθ΄. Ὁ κτίζων ἐπ᾽ ἀλλοτρίῳ ἐδάφει ἢ τὰ μηδόλως ὄντα, ἢ πρότερον μὲν ἄλλο τὶ ὄντα ὕστερον δὲ παρὰ τούτου ἄλλο γινόμενα, οἷον λοετρὸν ἐξ οἰκίας ἢ οἰκίαν ἀπὸ λουτροῦ, καὶ τὴν δαπάνην ἀπόλλυσι καὶ τῶν κτισθέντων ἀφαιρεῖται τὴν δεσπο-

---

ἁπλῶς ἔχειν ἄδειαν μήτε τὸν δεσπότην τοῦ ὑποβεβηκότος ἀγροῦ ὡς ἰδίας ἀντιποιεῖσθαι τῆς κατασπασθείσης ὕλης, ὅτι ἐν τοῖς αὐτοῦ ὁρίοις ἐπίκειται, μήτε μὴν τὸν τοῦ ὑπερκειμένου κύριον καὶ τὴν ῥῆξιν πεπονθότα κἀκείνων προσφιλονεικῶν τῶν ὁρίων κυριεύειν, ὡς τὸ ῥῆγμα τὸ ἔτι πεπτωκὸς ἐπιδέδεκται, ἀλλὰ τὸν μὲν τοῦ ὑποκειμένου ἀγροῦ κύριον παραχωρεῖν τῷ τοῦ ὑπερτεθειμένου ἀγροῦ κυρίῳ εἰ βούλοιτο τὴν κατασπασθεῖσαν ὕλην, εἴτε σύμφυτος εἴη εἴτε φυτῶν ἔρημος, ἀναλαβεῖν καὶ ἀνακομίζεσθαι. τὸν δὲ τῶν δύο αἱρεῖσθαι τὸ ἕτερον, ἢ τὴν ὕλην λαβόντα καθὼς ἐξ ἀρχῆς δεσπόζειν αὐτῆς κειμένης ἐν τοῖς ἰδίοις ὁρίοις, ἢ εἰ τοῦτο μὴ βούλοιτο ἀπέχεσθαι παντελῶς αὐτὸν μετὰ τῆς ὕλης καὶ τῶν δεξαμένων ταύτην ὁρίων, καὶ μὴ παρέχειν πράγματα τῷ τοῦ ὑποδεξαμένου ἀγροῦ τὰ συγκατασπασθέντα δεσπόζοντι. τὰ αὐτὰ καὶ ἐπὶ οἰκιῶν παρακειμένων ἀλλήλαις, τῆς μὲν ὑπερκειμένης τῆς δὲ ὑποκειμένης.

---

[53] B εἴτε — εἴτε. [54] Att. XXXIV (53). [55] Att. ibid.

τείαν, καὶ ὁ τοῦ ἐδάφους δεσπότης τῶν παρ' αὐτοῦ κτιζομένων κύριος γίνεται[56].

μ'. Τινὲς τῶν περὶ κλοπῆς ἀγωγῶν κινοῦνται εἰς τὴν διπλασίονα τοῦ[57] κλαπέντος ἀπόδοσιν, διδομένου καὶ αὐτοῦ[58] τοῦ κλαπέντος ἔξωθεν, ὥστε τριπλασιάζεσθαι τὸ κλαπέν. καὶ ὡς ἐπὶ τὸ πολὺ ἡ περὶ κλοπῆς ἀγωγὴ εἰς τριπλασίονα καθίσταται τὴν ἀπόδοσιν. εἰ δέ τις πολλάκις κλέψας πάλιν τὸ κλαπὲν οἰκειοθελῶς προσαγάγῃ καὶ ἀποδώσει, οὐκ ἐνάγεται τῇ περὶ κλοπῆς ἀγωγῇ, οὐδὲ εἰς τὴν ἐπὶ τὸ τριπλάσιον ζημίαν ἔρχεται[59]. ἐὰν δὲ τὸ κλαπὲν οὐκ ἔχῃ τοιοῦτον οἷον ἔκλεψεν, ἀλλὰ χεῖρον τοῦτο ποιήσῃ, ἀποπληροῖ τὸ ἐλάττωμα, καὶ δίδωσι τῷ δεσπότῃ τοῦ πράγματος ὅσον ἐκ τοῦ γενέσθαι χεῖρον τὸ πρᾶγμα ἐξέπεσε τῆς τιμῆς, ἧς ὑπῆρχε πρότερον ἄξιον. εἰ δὲ τὸ κλαπὲν πρᾶγμα τοιοῦτον ἦν, ὥστε καὶ καρποὺς ἀποδοῦναι διὰ μέσου τοῦ καιροῦ καθόσον κλαπὲν ἐκ τοῦ δεσπότου ἀφῄρητο, ἢ ἄλλο τὶ κέρδος προξενῆσαι τῷ δεσπότῃ ἐν τῷ τοιούτῳ καιρῷ, ὁ κλέψας αὐτὸ καὶ τοὺς καρποὺς ἢ τὸ κέρδος τὸ γενησόμενον τῷ δεσπότῃ, ἐὰν οὐκ ἐκλάπη τὸ πρᾶγμα, ἀπαιτεῖται καὶ ἀποδίδοται[60].

μα'. Ἡ κλοπὴ ἢ φανερά ἐστιν ἢ ἀφανής. καὶ φανερὰ μὲν κλοπή ἐστιν, ὅταν ὁ κλέπτης κατασχεθῇ ἤγουν κρατηθῇ ἔχων καὶ ὅπερ ἔκλεψε πρᾶγμα· ἀφανὴς δὲ κλεψία ἐστὶν, ὅταν ὁ κλέπτης κρύψας τὸ πρᾶγμα τὸ παρὰ τούτου κλαπὲν ἢ ἄλλῳ τινὶ παραδοὺς αὐτὸς μόνος κρατηθῇ καὶ ἀναγκασθεὶς ὁμολογήσῃ περὶ τοῦ πράγματος. καὶ ὁ μὲν εἰς φανερὰν κρατηθεὶς κλεψίαν ἀποδίδωσι τὸ κλαπὲν εἰς τὸ τετραπλοῦν· ὁ δὲ ἀφανῆ ποιήσας κλεψίαν τὸ κλαπὲν τριπλοῦν ἀποδίδωσιν[61].

μβ'. Ἑάλω τὶς κλέπτων κατὰ τὴν νύκτα, καὶ ἐποίει τὴν τοιαύτην κλεψίαν ἔξω τῆς πόλεως· οὐκ ἔλαθε τὸν δεσπότην οὗπερ ἐπεχείρει κλέπτειν τὰ πράγματα, ἀλλ' ἐνόησεν ὃ παρὰ τοῦ κλέπτου ἐγένετο· ὥρμησε κατὰ τούτου· ἐδυνήθη καὶ τὸν κλέπτην ἀπέκτεινε· καλῶς ἐποίησε τοῦτο, καὶ οὐκ ἐνέχεται.

ιζ'. [Ἡ] μὲν περὶ κλοπῆς ἀγωγὴ κατὰ κληρονόμων οὐ παραπέμπεται· ἡ δὲ ἀγωγὴ ἡ ἀπαιτοῦσα τὸ κλαπὲν πρᾶγμα κατὰ παντὸς κληρονόμου ἁρμόζει.

---

[56] Att. XXXV (55). [57] E τὴν τοῦ. [58] A E χωρὶς καὶ αὐτοῦ. Et A in margine secunda manu ad particulam χωρὶς notat ἤγουν ἀνὰ μέρος. Denique E κλέποντος, non κλαπέντος legit. [59] In A corr. manus supra ἔρχ. adscribit ἕλκεται. [60] Att. XXV (56). [61] Att. ibid.

ἔξεστι γὰρ φονεύειν τοὺς κατὰ τὸν καιρὸν τῆς νυκτὸς ἔξω τῆς πόλεως κλέπτοντας. ἐὰν δὲ ἐντὸς πόλεως ἡ κατὰ τὴν νύκτα κλεψία γίνηται, οὐκ ἔξεστι τὸν κλέπτην φονεύειν. ὡσαύτως οὐδὲ τὸν ἡμερινὸν κλέπτην φονεύειν ἔξεστιν, οὔτε ἐντὸς πόλεως οὔτε ἐκτός. ἡμερινὸς δὲ κλέπτης ἐστὶν ὁ κατὰ τὸν καιρὸν τῆς ἡμέρας τὴν κλεψίαν ποιούμενος. καθολικῶς δὲ ἤγουν ἐπὶ πάσης κλεψίας καὶ ἐπὶ παντὶ καιρῷ γινομένης ἔξεστι φονεύειν τὸν κλέπτην, ὅταν ἔν ποῖον[62] ἀπὸ τῶν δύο τούτων ὧν μέλλομεν εἰπεῖν γένηται, ἤγουν ὅταν ὁ τῷ κλέπτῃ μαχόμενος οὐκ ἔχῃ δυνατὸν ἄλλως τὸν κίνδυνον ἐκφυγεῖν, εἰ μὴ τὸν κλέπτην φονεύσῃ· πολλάκις γὰρ ἢ ἐκ τῆς τοῦ κλέπτου κραταιᾶς ἀντιστάσεως ἢ ἐξ ἄλλων, οἳ τῷ κλέπτῃ συμπράττουσιν, ἐπιθέσεως ἢ ἐξ ἑτέρου τινὸς τρόπου ἀναγκάζεται ὁ τῷ κλέπτῃ μαχόμενος φονεύειν αὐτὸν, ὡς εἰ μὴ φονεύσει τοῦτον οὐ δυνάμενος τὸν κίνδυνον ἐκφυγεῖν· καὶ τότε ἔξεστι φονεύειν τὸν κλέπτην, κἂν ἡμέρα εἴη κἂν νὺξ, κἂν ἐντὸς πόλεως κἂν ἐκτός. πάλιν ὁ κλέπτης πολλάκις εἰς δεφένδευσιν καὶ ἐκδίκησιν αὐτοῦ ἐχρήσατο δόρατι, ἤγουν[63] τῷ λεγομένῳ παρὰ τοῖς κοινοῖς κονταρίῳ, ἢ ξίφος ἄλλο προέτεινε, καὶ τότε γοῦν τῷ μαχομένῳ τῷ κλέπτῃ ἔξεστι φονεύειν αὐτὸν, ὅπου ἂν καὶ ὅτε ποιεῖν τὴν κλεψίαν ἐπιχειρῇ. πρέπει δὲ ταῦτα τοῖς τὸν κλέπτην ἀναιρεῖν μέλλουσι καὶ φωναῖς μεγάλαις καὶ περιβοήτοις κραυγεῖν πρὸς τοὺς παρευρημένους διαμαρτύρεσθαι[64].

μγ΄. Τῆς γυναικὸς κλεψάσης ὁ ἀνὴρ κατακρίνεται. ἁμάρτημα γάρ ἐστι καὶ ἡ κλεψία. καθολικῶς δὲ τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται[65].

μδ΄. Ὅταν τὶ πρᾶγμα ἐν πανδοχείῳ κλαπῇ, καὶ ὅταν πάλιν ἐν καπηλείῳ κλαπῇ[66], ἄδειαν ἔχει ὁ τοῦ πράγματος κύριος, εἰ μὲν θέλει κατὰ τοῦ κλέψαντος τὸ πρᾶγμα κινεῖν καὶ ποιεῖν τὴν εἰς τὸ διπλάσιον[67] ἀγωγὴν, εἴτε μὴν, εἰ μεῖζον εἴη τὸ πρᾶγμα τῶν εὐτελῶν, τὴν εἰς τὸ τριπλάσιον· εἰ δὲ βούλεται κατὰ τοῦ προεστῶτος τοῦ καπηλείου ἢ τοῦ πανδοχείου διεγκαλεῖν, καὶ ποιεῖν τὴν εἰς τὸ ἁπλοῦν ἀγωγήν· τουτέστιν ἢ ἀπὸ τοῦ κλέπτου ἀπαιτεῖν τὸ πρᾶγμα εἰς τὸ διπλάσιον εἴτε καὶ εἰς τὸ τριπλάσιον, ἢ ἀπὸ τοῦ ἐν τῷ καπηλείῳ προϊσταμένου ἁπλῆν αὐτὴν ἐκείνην ζητεῖν τοῦ κλαπέντος πράγματος τὴν ποσότητα.

---

[62] Deest in B. [63] Verba ἤγ.—κονταρίῳ desunt in B. [64] Att. XXXV (56). [65] Non invenio apud Attal. in editione Leunclavii. [66] Deest in A. [67] B ἐν διπλῷ.

καλεῖται δὲ τὸ μὲν εἰς διπλάσιον ἀπαιτεῖν περὶ κλοπῆς ἀγωγὴ, τὸ δὲ μοναπλοῦν τὸ πρᾶγμα ζητεῖν πραιτωρίαν ἀγωγὴν ὀνομάζουσι, καὶ μᾶλλον ὅταν ὡς εἴπομεν ἀνωτέρω περί τινος καπηλείου ἢ πανδοχείου προστασίαν ἔχοντος γίνεται. πραιτώρια γὰρ τοὺς δημοσίους ἔλεγον οἴκους, καὶ ἐκ τούτων καὶ τὰ πανδοχεῖα καὶ καπηλεῖα καταχρηστικώτερον καλοῦσι πραιτώρια, καὶ τὴν κατὰ τῶν προϊσταμένων αὐτῶν ἀγωγὴν πραιτωρίαν κατονομάζουσιν. ἔθος δὲ ἐστὶν ἐπὶ ταῖς πραιτωρίαις ἀγωγαῖς ἁπλῆν τὴν ζημίαν ἀλλ᾽ οὐ διπλῆν ἀπαιτεῖν, καὶ ἐκ ταύτης ἤγουν τῆς πραιτωρίας ἀγωγῆς καὶ αἱ λοιπαὶ ἀγωγαὶ, ἐν αἷς τὴν ζημίαν ἁπλῆν ἀπαιτοῦσιν, ἀγωγαὶ πραιτώριαι ὀνομάζονται. κυρίως δὲ πραιτώριαι ἀγωγαὶ αἱ κατὰ τῶν ἀρχόντων τῶν πραιτωρίων κινούμεναι. δεῖ δὲ εἰδέναι καὶ τοῦτο· ὁ καπηλείου ἢ πανδοχείου τινὸς προϊστάμενος ἐάν τινος ἐλθόντος ἐκεῖσε ἀναδέξηται φυλάττειν τὸ πρᾶγμα, εἶτα τὸ τοιοῦτο πρᾶγμα κλαπῇ, αὐτὸς ὡς κλέπτης ἔχει[68] τὴν περὶ κλοπῆς τῶν ἄλλων ἀγωγὴν, καὶ αὐτὸς μὲν ἀπαιτεῖται ἱκανῶσαι τῷ δεσπότῃ τὸ πρᾶγμα, τὴν δὲ περὶ κλοπῆς ἀγωγὴν αὐτὸς κατὰ τῶν λοιπῶν τῶν εὑρισκομένων ἐν τῷ καπηλείῳ κινεῖ[69].

με΄. Κλέπτουσι πολλάκις δοῦλοι πολλοὶ ἕνα δεσπότην καὶ κύριον αὐτὸν ἔχοντες, καὶ κλέπτουσιν ἢ μετ᾽ εἰδήσεως τοῦ δεσπότου ἢ ἀγνοοῦντος αὐτοῦ. ὅταν μὲν οὖν γινώσκῃ ὁ δεσπότης τὴν κλεψίαν, ἣν οἱ δοῦλοι τούτου ἐργάζονται, καὶ εἰδήσει τούτου καὶ προτροπῇ ποιῶσιν αὐτὴν, ἐνάγεται ὁ δεσπότης καὶ ὀνόματι οἰκείῳ καὶ ὀνόματι ἑκάστου τῶν δούλων, τουτέστιν ἀπαιτεῖται λόγον καὶ ὑπὲρ αὐτοῦ[70] καὶ ὑπὲρ ἑκάστου τῶν δούλων αὐτοῦ· ὅταν δὲ τὴν τῶν δούλων κλεψίαν οὐδόλως ὁ δεσπότης γινώσκει, ἀλλ᾽ ἐκεῖνοι ποιοῦσιν αὐτὴν τοῦ δεσπότου ἀγνοοῦντος ἃ πράττουσιν, ἐπιλογὴ τῷ δεσπότῃ δίδοται, τουτέστιν ἐκλογὴ καὶ πρόκρισις, ὃ θέλει ἐκ τῶν δύο τούτων αἱρήσασθαι[71] καὶ προκρῖναι παρὰ τὸ ἕτερον. τί δέ ἐστιν ἐκεῖνα τὰ δύο; ἢ πάντας τοὺς δούλους τοὺς τὴν κλεψίαν ἐργασαμένους ἐκδοῦναι τῷ παρὰ τούτων ζημιωθέντι, ἢ δοῦναι διὰ τὴν ζημίαν τοσοῦτον ὁπόσον ἔμελλε δοῦναι, ἐὰν ἔκλεψέ τις ἐλεύθερος, ἵνα ἀπὸ τῆς τῶν κλεπτῶν ἐνοχῆς ἐλευθερωθῇ. ἐκ τούτων οὖν τῶν δύο ἔξεστι τῷ δεσπότῃ προελέσθαι ὃ βούλεται[72].

μς΄. Ὁ κατηγορῶν ὀφείλει ἀποτίθεσθαι τὴν γραφὴν καὶ

---

[68] Sic AB. Legerim ὑπέχει. [69] Att. XXXV (56). [70] B ἑαυτοῦ. [71] B ἑλέσθαι. [72] Att. ibid.

ἐξασφαλίζεσθαι μέχρι ψήφου παραμένειν, ἤγουν μὴ ἀφίστασθαι τοῦ δικαστηρίου μέχρις ἂν ἐξενεχθῇ ἡ περὶ τῆς ὑποθέσεως τῆς περὶ τούτου κινηθείσης ἀπόφασις[73].

μζʹ. Ὁ κατηγορούμενος ἠρτημένου ἔτι ἤγουν ἀκμὴν κρεμαμένου τοῦ κατὰ τούτου κεκινημένου ἐγκλήματος πρᾶγμα καταμηνύειν δημόσιον οὐ κωλύεται[74].

μηʹ. Ὁ κατηγορίαν κινήσας, ἤγουν ἀρχὴν τοῦ κινεῖν αὐτὴν ποιησάμενος, εἶτα ὁμολογήσας ἐκ τῆς κατηγορίας ἀφίστασθαι καὶ εἰπών, ὡς ἢ μεταμεληθεὶς ἢ δι' ἄλλον τρόπον τινὰ τὴν κατηγορίαν ἀφῆκεν, οὐκέτι δύναται ταύτην κινεῖν[75].

μθʹ. Ὁ κατηγορούμενος ἢ φυλακῇ ἐμβάλλεται ἢ στρατιώταις παραδίδοται ἢ ἐγγυηταῖς καταπιστεύεται, καὶ ἔχει ἄδειαν ὁ δικαστὴς καὶ ὁ δημόσιος ἄρχων ἓν ἐκ τῶν τριῶν τούτων ἐπὶ τῷ κατηγορουμένῳ ποιεῖν. τοῦτο δὲ ὀφείλει ποιεῖν ἀφορῶν πρὸς τὴν ποιότητα τοῦ ἐγκλήματος, καὶ τὴν ἀπορίαν ἢ εὐπορίαν τοῦ κατηγορουμένου, καὶ τὴν γνώμην τούτου καὶ τὴν τιμήν[76].

νʹ. Κληρικὸς ἐν οἱῳδήποτε ἐκκλησιαστικῷ βαθμῷ ὢν οὐ δύναται τὸν οἰκεῖον καταλιμπάνειν βαθμὸν καὶ κοσμικὴν τιμὴν δέχεσθαι· εἰ δὲ μή, καὶ τῆς κοσμικῆς καὶ τῆς ἐκκλησιαστικῆς ἐκπίπτει τιμῆς[77].

ναʹ. Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως φαινομένης, εἰ μὲν θέλει λαβεῖν αὐτὴν εἰς γυναῖκα καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω ὁ γάμος· εἰ δὲ ἓν μέρος τῶν γονέων ἑκατέρου προσώπου οὐ θελήσει, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεύς, διδότω τῇ φθαρείσῃ χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος ᾖ, τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως· εἰ δὲ πάντη ἄπορος ᾖ, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω[78].

ιηʹ. Κανὼν κδʹ τῆς δʹ συνόδου. — Ὁ κληρικοὺς ἄλλης ἐκκλησίας δεξάμενος, εἰ μήπου δι' ἅλωσιν τῆς αὐτῶν πατρίδος, ἀκοινώνητος σὺν ἐκείνοις ἔστω.

ιθʹ. Κανόνος τῶν ἀποστόλων. — Κοσμικὰς ἱερεὺς ἀναλαμβάνων φροντίδας καθαιρείσθω. περὶ τούτου καὶ οἱ πολιτικοὶ νόμοι φασίν, ἄνευ μόνον ὀρφανῶν διοικήσεως.

κʹ. Ἕτερος κανὼν τῶν αὐτῶν πγʹ. — Καὶ στρατεύων ἱερεὺς καθαιρείσθω. τὰ γὰρ καίσαρος καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. στρατεύων εἶπεν, ἀντὶ τοῦ στρατιωτικὰ πράγματα διοικῶν.

---

[73] Att. XXXV (67). [74] Att. ibid. [75] Att. ibid. [76] Att. XXXV (68).
[77] Locus nescio unde desumtus. [78] Att. XXXV (70).

νβ'. Ὁ βιασάμενος κόρην καὶ φθείρας αὐτὴν ῥινοκοπείσθω, δοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς αὐτοῦ ὑποστάσεως[79].

νγ'. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἤγουν πρὸ τοῦ ιγ' χρόνου ῥινοκοπείσθω, διδοὺς τῇ φθαρείσῃ καὶ τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως[80].

νδ'. Ὁ κατὰ δόλον καύσας οἶκόν τινος κεφαλικῶς τιμωρεῖται[81].

νε'. Ὁ σωρὸν σίτου ἢ οἰκίαν δεκτικὴν σίτου πλησιάζουσαν οἴκῳ ἑτέρῳ καύσας ἐν εἰδήσει, ἤγουν μετὰ βουλῆς οἰκείας καὶ προαιρέσεως, τυπτόμενος πυρίκαυστος γίνεται. τοῦτο δὲ γίνεται ἐὰν ἐντὸς πόλεως τολμήσῃ τὶς καῦσαι τὸν σῖτον καὶ τὸν σωρὸν ἢ τὴν οἰκίαν ἐν ᾗ ὁ σῖτός ἐστιν· εἰ δέ τις ἔξω πόλεως τοῦτο ποιήσει, χειροκοπεῖται. εἰ δὲ οὐ κατὰ δόλον, ἀλλὰ κατὰ ἀμέλειαν καὶ ῥαθυμίαν συνέβη τοῦτο, εἰ μὲν ἰσχύει ὁ πταίσας, θεραπεύει τὴν γενομένην ζημίαν καὶ τὸ ζημιωθὲν ἀποδίδωσιν· εἰ δὲ μὴ, διὰ μετρίας παιδεύσεως σωφρονίζεται, πολλάκις δὲ καὶ ζημίᾳ ἀναλόγῳ καθυποβάλλεται[82].

νς'. Οὐδένα τῶν ἐκκλησιαστικῶν βαθμῶν ἢ ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον ἢ ἁπλῶς τινα τοῦ καταλόγου τοῦ ἱερατικοῦ ἄκοντα ἢ ἑκόντα κριτηρίοις κοσμικοῖς παρίστασθαι ἀνεχόμεθα. εἰ γὰρ ἄκοντά τις ἄγοι τινὰ τῶν ἱερατικῶν καὶ τῶν ἐκκλησιαστικῶν πρὸς κριτήριον κοσμικὸν, παρὰ τῆς ἡμετέρας γαληνότητος τὴν πρέπουσαν ὑποστήσεται δίκην. εἰ δὲ ἑκὼν ὁ ἱερατικὸς τῷ κοσμικῷ κριτηρίῳ παραστῇ καὶ πρῶτον τὴν ἐκεῖθεν κρίσιν τοῦ ἐκκλησιαστικοῦ ἀκροατηρίου προτιμήσαιτο, οὗτος κἂν ἐκεῖθεν νομίσῃ τὸ δίκαιον λαβεῖν, ὑπὸ τῶν ἱερῶν κανόνων καταδικάζεται· ποῦ γὰρ ἄξιος τυχεῖν, ὧν ζητεῖ, ὁ τὴν ἀρχὴν τοῦ ἀγῶνος ἀπὸ τῆς τῶν θείων θεσμῶν καταβαλλόμενος ὕβρεως[83];

κα'. Κανὼν λβ' τῶν ἀποστόλων. — Ἀφωρισμένος ἱερεὺς παρ' ἑτέρου μὴ δεχέσθω, εἰ μὴ τύχοι ταχέως τελευτήσας ὁ ἀφορίσας. οὐ περὶ ἄλλης ἐνορίας ἐπισκόπου φησὶν, ἀλλὰ περὶ τοῦ διαδεξαμένου τὴν ἀρχιερατικὴν ἀξίαν τοῦ ἀφορίσαντος μετὰ τὴν ἐκείνου τελευτήν. καὶ ζῶντος δὲ τοῦ ἀφορίσαντος συνοδικῶς ὁ ἀφορισμὸς λύεται, εἰ μὴ δικαίως φανείη γενόμενος.

κβ'. Ὁ θ' τοῦ πατριάρχου νικολάου. — Ὁ δὲ ἄλογος δεσμὸς ἀνίσχυρος καὶ παρὰ ἀρχιερέως λύεται.

κγ'. Ὁ λγ' τῶν ἀποστόλων καὶ ὁ ιγ' τῆς δ' συνόδου

---

[79] Att. XXXX (70). [80] Att. ibid. [81] Att. XXXV (71). [82] Att. ibid.
[83] Epanag. XI, 11.

νζ΄. Τοὺς θεοφιλεστάτους ἐπισκόπους οὐδεὶς τῶν ἀρχόντων ἀναγκάζει εἰς δικαστήριον παραγενέσθαι δοῦναι μαρτυρίαν, ἀλλ᾿ ὁ δικαστὴς πεμπέτω πρὸς αὐτούς τινας ἐκ τῶν προσώπων τῶν ὑπηρετουμένων αὐτῷ, ἵνα κατὰ τὸ πρέπον ἱερεῦσιν ἐνώπιον θεοῦ εἴπωσιν ἃ γινώσκουσιν[84].

νη΄. Κεφαλικὴ καταδίκη ἐστὶν ἡ θάνατον ἢ εὐθύνην ποινῆς ἢ πολιτείας ἔκπτωσιν ἐπάγουσα, ὅπερ ἐστὶν ὁ περιορισμός[85].

νθ΄. Ὁ κατήγορος ἐὰν ἀποστῇ τῆς κατηγορίας ἄνευ συγχωρήσεως, ἤγουν ἐὰν ἀφήσει τὴν ἣν ἐκίνησε κατηγορίαν χωρὶς τῆς τοῦ δικαστοῦ γνώμης ἢ προτροπῆς, ἢ καὶ τῆς μετὰ τοῦ κατηγορουμένου καταλλαγῆς τε καὶ διαλύσεως, καὶ ἀπὼν ἤγουν καὶ λείπων καταδικάζεται. πολλάκις καὶ ἐπὶ πολλῶν ὑποθέσεων κατὰ τὴν τῶν νόμων διάταξιν ἔξεστι διαλύεσθαι, καὶ τοῦτο κατά τινας ὁ νόμος ἐνταῦθα προσδιορίζεται[86].

ξ΄. Κατηγόρου ἀποστάντος ἢ ἀφέντος τὸ δικαστήριον, οὐ χρὴ τοὺς δικαστὰς πλείονας ἡμέρας αὐτῷ παρέχειν εἰ μὴ τὰς ἀναγκαίας εἰς προθεσμίαν, ἤγουν εἰς τὸν ὡρισμένον καὶ δεδομένον καιρὸν ὑποστρέψαι καὶ ἐπανελθεῖν εἰς τὸ δικαστήριον ἐπὶ τῷ τὴν κατηγορίαν ἣν ἐκίνησε συμπληρῶσαι. καὶ ἁπλῶς εἰπεῖν τόσας ἡμέρας ἀποστάντι τῷ κατηγόρῳ οἱ δικασταὶ διδόναι ὀφείλουσιν, ὁπόσαι κἂν οὐκ[87] ἀπέστη ἤρκεσαν ἂν αὐτῷ πρὸς τὴν τῆς ὑποθέσεως κίνησιν καὶ ἐκπλήρωσιν. εἰ δὲ οἱ δικασταὶ ἢ τῷ κατηγόρῳ ἡμέρας δώσουσι πλείονας ἢ ἄλλως τὴν τῆς ὑποθέσεως τομὴν ὑπερθῶνται, ὑπόκεινται οἱ τοιοῦτοι δικασταὶ κ΄ λιτρῶν χρυσίου ζημίᾳ[88].

καὶ ὁ ζ΄ τῆς ἐν ἀντιοχείᾳ. ξένος ἱερεὺς ἄνευ συστατικοῦ μὴ προσδεχέσθω. καὶ μετὰ συστατικοῦ, ἀνακρινέσθω, καὶ εἰ ὀρθοτομεῖ, προσδεχέσθω· εἰ δ᾿ οὖν, ἀποπεμπέσθω, τὰ πρὸς χρείαν λαβών.

κδ΄. Ὁ λδ΄ τῶν ἀποστόλων. — Ἱερεὺς ἢ διάκονος μηδὲν τελείτω παρὰ γνώμην τοῦ ἐπισκόπου. τελείτω εἶπεν, ἐπιτιμῶν δηλονότι ἢ ἀφορίζων ἢ λύων ἀφορισμοῦ ἢ μειῶν ἢ ἐπιτείνων.

κε΄. Ὑποδιάκονος ἱερῶν σκευῶν μὴ ἁπτέσθω, μηδὲ ὠράριον φορείτω, μηδὲ τὰς θύρας ἐγκαταλιμπανέτω, μήτε ἄρτον διδότω μήτε ποτήριον εὐλογείτω.

κς΄. Ὑποδιάκονος οὐ δεῖ καὶ πρὸς βραχὺ τὰς θύρας καταλιπόντα προσεύχεσθαι, ὡς ὁ κα΄ τῆς ἐν λαοδικείᾳ σονόδου φησὶ κανὼν καὶ ὁ κβ΄ καὶ ὁ κε΄ καὶ ὁ μ΄.

κζ΄. Ὁ ἄτιμος οὐ δύναται δημόσιον ἔγκλημα κατηγορεῖν.

---

84 Epanag. XI, 12. 85 Att. XXXV (78). 86 Att. eod. 87 B μή.
88 Att. XXXV (90).

ξα΄. Δύναταί τις καταδικάζεσθαι μὴ προελθεῖν τοῦ ἰδίου οἴκου, οὐ μὴν μὴ κεχρῆσθαι τοῖς ἀναγκαίοις δαπανήμασιν[89].

ξβ΄. Παρὰ τὰ κοινὰ νόμιμα συμφωνεῖν οὐκ ἔξεστιν οὐδὲ λεγατεύειν, καὶ ἐάν τις ὁμόσῃ ἐπὶ τούτοις μὴ ἐνεγκεῖν[90], οὐκ ἔῤῥωται[91].

ξγ΄. Ἐπὶ τῶν ἁμαρτημάτων τοῦ τελευτήσαντος οὐκ εἰς τὴν ποινήν, ἀλλ᾽ εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται[92].

ξδ΄. Πάντων τῶν πραγμάτων τῶν ὄντων ἐν κοινωνίᾳ μετὰ ψῆφον ἢ ὅρκον ἢ συγκατάθεσιν οὐδὲν ζητεῖται. τοῦτο δὲ τοιοῦτόν ἐστιν. ἔχουσί τινες κοινωνίαν εἴς τινα πράγματα, ἀμφιβάλλουσι πρὸς ἀλλήλους τυχὸν ὑπολαμβάνοντες εἷς κατὰ τοῦ ἑτέρου ὅτι παρυπεκράτησεν ἢ παρενοσφίσατό τι, κρίνονται περὶ τούτου, ἢ δίδωσιν ὅρκον εἷς τις πρὸς τὸν ἄλλον πιστούμενος τὴν ἀλήθειαν καὶ λύων τὴν ὑποψίαν, ἢ συγκατατίθενται ἄμφω καὶ ὁμολογοῦσι πρὸς ἀλλήλους οὕτως ἔχειν τὸ ἀληθές. ὅταν οὖν ἓν ἐκ τούτων τῶν τριῶν γένηται, οὐδὲν ἔτι περὶ τῶν τῆς κοινωνίας πραγμάτων ζητεῖται. δοκοῦσι δὲ καὶ οἱ ὁμολογοῦντες ὡς κριθέντες ὑπάρχειν καὶ περὶ ὧν πρὸ τοῦ συγκαταθέσθαι καὶ ὁμολογῆσαι τὴν ἀμφιβολίαν ἐκέκτηντο[93].

ξε΄. Ὁ παρὰ γνώμην τοῦ δεσπότου ψηλαφῶν κλοπὴν ἁμαρτάνει, ἤγουν ὡς κλέπτης ποιεῖ καὶ ὡς κλέπτης ἐνέχεται[94].

ξϛ΄. Κομοδάτους ἐνοχὴ ἡ περὶ χρήσεώς ἐστιν.

ξζ΄. Τὸ κλοπιμαῖον διὰ τῆς χρήσεως οὐ δεσπόζεται.

ξη΄. Ἡ περὶ κληρονομίας τῆς διακατοχῆς λεγομένης ἀγωγὴ κινεῖται παρὰ μὲν τῶν ἐκ πλαγίου ἕως ρ΄ ἡμερῶν, παρὰ δὲ τῶν κατιόντων ἢ ἀνιόντων ἕως χρόνου.

ξθ΄. Κουράτωρ ἑρμηνεύεται μὲν φροντιστὴς ἤγουν ἐπιμελητὴς καὶ προνοητής, ἐστὶ δὲ μείζων τοῦ ἐπιτρόπου, καὶ αὐτῷ τουτέστι τῷ κουράτωρι ἀποδίδωσι τοὺς λόγους ὁ ἐπίτροπος, καὶ ὑπ᾽ αὐτοῦ ἀνακρίνεται καὶ εὐθύνεται.

ο΄. Κληρονόμος ἐν διαθήκῃ τοῦ κληρονομουμένου οὐ δύναται μαρτυρεῖν, λεγατάριος δὲ καὶ ἐπίτροπος μαρτυρεῖν οὐ κωλύονται[95].

οα΄. Ὁ κληρονόμος τοῦ ἐν ἀγνοίᾳ ἀγοράσαντος διὰ χρονίας νομῆς δεσπόζει, πλὴν εἰ μὴ αὐτὸς παραλάβῃ εἰδὼς τὸ ἀληθές[96].

---

[89] Att. XXXV (81). [90] Lege ἐνάγειν. [91] Att. in App. ex Bas. XI, 1, 8. [92] Att. ibid. ex Bas. II, 3, 37. [93] Att. ibid. [94] Capita 65—69 unde sumta sint nescio. Nonnulla glossas nomicas sapiunt. [95] Syn. Δ, 14 ex Bas. XXXV, 1, 21. [96] Syn. Δ, 4 ex Bas. L, 3, 41.

οβ'. Ὁ κληρονόμος τοῦ καλῇ πίστει νεμηθέντος, κἂν αὐτὸς καλῇ πίστει νεμηθῇ, οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν. τὰ γὰρ ἐλαττώματα τοῦ τελευτήσαντος διαβαίνουσιν ἐπὶ τὸν κληρονόμον[97].

ογ'. Τὸ ἐγκαταλειφθὲν ἢ καὶ νομιζόμενον καταλειφθῆναι διὰ τῆς χρονίας νομῆς δεσπόζομεν, κἂν ἀγνοῇται ὁ καταλείψας[98].

οδ'. Οὔτε τὰς ἀνήβους κόρας ὑπεξουσίας ἔτι τυγχανούσας καλεῖν εἰς δικαστήριον ἐπιτέτραπται[99].

οε'. Ὁ παρὰ τὸν νόμον ποιήσας ἤγουν καλέσας ν' νομίσματα δίδωσιν[100].

ος'. Ὁ κληρονόμος καὶ πρὸ τοῦ νεμηθῆναι δύναται περὶ τῶν κληρονομιαίων πραγμάτων κινεῖν ἀγωγήν. ὁ δὲ ἀγοραστὴς οὐ δύναται κινεῖν ἀγωγὴν περὶ τῶν παρ' αὐτοῦ ἀγοραζομένων πραγμάτων, πρὶν ἂν παραδοθῶσιν αὐτῷ[101].

οζ'. Ἐὰν κλέψωσί τινες ἀλλότριον πρᾶγμα ἢ ἄλλως πως ἀφέλωνται ἀλλότριον πρᾶγμα καὶ πωλήσωσι τοῦτο, εἶτα ὁ δεσπότης βούλεται ἀνακαλέσασθαι τὸ οἰκεῖον, οὐκ ἀναγκάζεται διδόναι τὸ ὑπὲρ αὐτοῦ καταβληθὲν τίμημα, ἀλλὰ καὶ χωρὶς τοῦ τιμήματος λαμβάνει αὐτό[102].

οη'. Οἱ κανόνες οἱ ἐκκλησιαστικοὶ οἱ παρὰ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων ταχθέντες ἢ βεβαιωθέντες, ἤγουν παρ' ἄλλων μὲν μερικῶν γεγονότες συνόδων παρ' αὐτῶν δὲ ἐπικυρωθέντες, τάξιν νόμων ἐπέχουσιν· ἔν τισι δὲ καὶ ἐπικρατέστεροι τῶν νόμων εἰσίν[103].

οθ'. Ὅταν κωδίκελλος γένηται, διαλαμβάνων μὲν καὶ ἄλλα τινὰ, ἐλευθερῶν δὲ καὶ δοῦλον, εἰ καὶ ἄχρηστος ὁ κωδίκελλος ἀπελεγχθῇ, ἀλλ' ὅμως εἰ μόνον τινὰ τῶν ἐν τῷ κωδικέλλῳ ἀποπληρώσει ὁ κληρονόμος, ἀναγκάζεται καὶ τὸν δοῦλον ἐλευθεροῦν, καὶ τὸ τὸν κωδίκελλον ἄχρηστον εἶναι οὐ κωλύει ἐλευθερωθῆναι τὸν δοῦλον, οὐδὲ δύναται ὁ κληρονόμος διὰ τοῦ προβάλλεσθαι τοῦτο τὸν δοῦλον τῆς ἐλευθερίας στερεῖν[104].

π'. Ὁ κλέψας ἀλλοῖα πράγματα καὶ διὰ τῶν τοιούτων κλοπιμαίων πραγμάτων νούμους ἤγουν νομίσματα καὶ ὑπέρπυρα συναγαγὼν, καὶ δοὺς τὰ τοιαῦτα ὑπέρπυρα ὑπὲρ τῆς ἑαυτοῦ

---

[97] Syn. Δ, 4 ex Bas. L, 5, 5. [98] Syn. l. l. ex Bas. L, 7, 4. [99] Syn. Δ, 36 ex Bas. VII, 8, 22. [100] Syn. l. l. ex Bas. VII, 8, 24. [101] Syn. E, 8 ex Bas. XV, 1, 50. [102] Syn. l. l. ex Bas. XV, 1, 103. [103] Syn. E, 10 ad Bas. III, 3, 1. [104] Syn. E, 15 ex Bas. XLVIII, 4, 30.

ἐλευθερίας, ἐλευθεροῦται· ὁ δὲ ὑπέρπυρα κλέψας οὐ δύναται διδόναι ταῦτα καὶ ἐλευθεροῦσθαι, ἀλλὰ δοῦλος μένει καὶ τούτων ἀφαιρουμένων ἀπ' αὐτοῦ[105].

πα'. Κανών ἐστι σύντομος τοῦ πράγματος ἀφήγησις καὶ πολλῶν ὁμοίων ἐν ὀλίγῳ σύνδεσμος εἷς[106]. ὁ γὰρ εἰπών· ὁ ἀπὸ τοῦ δημοσίου ἀγοράσας εὐθὺς ἔχει τὸ ἀσφαλές, πάντας τοὺς ἐκ τοῦ δημοσίου ἀγοράζοντας περιέλαβε καὶ πάντας τοὺς τοιούτους εὐθὺς ἔχειν τὸ ἀσφαλὲς παρεδήλωσεν[107].

πβ'. Ὁ κανὼν ἐκ νόμου, οὐ μὴν ὁ νόμος ἐκ κανόνος λαμβάνεται[108].

πγ'. Ὁ κοινωνὸς τοῦ κοινωνοῦ μου οὐκ ἐστί μου κοινωνός[109].

πδ'. Ὁ κατηγορηθεὶς ἀντικατηγορεῖν οὐ δύναται, εἰ μὴ πρότερον αὐτὸς τῆς κατηγορίας ἀπολυθῇ. καὶ ὁ τὴν πολιτείαν ἢ τὴν ἐλευθερίαν ἀπολύσας προκατάρξασθαι δίκης οὐ δύναται, τὴν δὲ προκαταρχθεῖσαν πληροῦν οὐ κωλύεται[110].

πε'. Κατὰ[111] τὴν νεαρὰν τοῦ κυροῦ λέοντος τοῦ σοφοῦ αἱ ἐκ νέου ἀνεγειρόμεναι οἰκίαι τῶν παλαιοτέρων οἰκιῶν, εἰ μὲν πολὺς εἴη τόπος, δύο βολὰς ἀπέχειν ὀφείλουσι τόξου· εἰ δὲ ὀλίγος, μίαν τόξου βολήν, ὃ καὶ παρὰ τοῖς κοινοῖς τοξόβολον λέγεται[112].

πϛ'. Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκει ὁ κοινωνός[113].

πζ'. Κοινωνὸς ἐπὶ κοινῇ ἐμπορίᾳ ἀποδημήσας ἢ ἴδια προσεπιφερόμενος πράγματα, ἅτινα ἐὰν ἔλιπεν ἡ ἐμπορία ἢ εἰς κοινὸν ὄφελος[114] οὐκ ἂν ἐπεφέρετο, εἰ κινδυνεύσει ἢ πληγὰς παρά τινων λάβῃ ἢ τὰ ἴδια πράγματα ἀπολέσῃ, συμμεριστὴν ἔχει ἐπὶ πᾶσι τὸν κοινωνόν, εἴς τε τὰ χρήματα δηλαδὴ καὶ τὰς ἐπὶ τῆς ἰατρείας δαπάνας[115].

πη'. Ὁ κοινωνὸς καὶ ἀπὸ δόλου καὶ ἀπὸ ἀμελείας ἐνέχεται[116].

πθ'. Ἡ κοινωνία θανάτῳ λύεται, καὶ οὐ διαβαίνει εἰς κληρονόμους, εἰ μὴ μόνον πολλάκις ἐπὶ δημοσίων χρεῶν[117].

---

105 Syn. *E*, 15 ex Bas. XLVIII, 5, 3. 106 E *σύντομος εἷς σύνδεσμος*. 107 Syn. *K*, 2 ex Bas. II, 3, 1. 108 Syn. ibid. 109 Syn. *K*, 2 ex Bas. II, 3, 47. 110 Syn. *K*, 8 ex Bas. LX, 33, 5. 111 A in marg.: *νεαρά*. 112 Nov. Leonis 71. 113 Syn. *K*, 21 ex Bas. XII, 1, 25. 114 Haec verba *ἢ εἰς κοινὸν ὄφελος* omnino transponenda et superius ante *ἴδια* collocanda sunt: imo litera *ἢ — ἢ* nonnisi signa quaedam transpositionis faciendae sunt. 115 Syn. *K*, 21 ex Bas. XII, 1, 50. 116 Syn. ibid. 117 Syn. l. l. ex Bas. XII, 1, 57.

ϛʹ. *Κοινωνὸς* τῶν ἄλλων κοινωνῶν ἀμελούντων αὐτὸς τὸν κοινὸν οἶκον ἀνανεώσας, ἐπιλογὴν ἔχει ἐντὸς τετραμήνου μετὰ τὴν ἀνανέωσιν ἢ τὸν οἶκον ἀπαιτεῖν ἢ τὰς δαπάνας μετὰ τῶν τόκων· μετὰ δὲ τὸ τετράμηνον δίδοται παρὰ τοῦ νόμου ἡ δεσποτεία τοῦ οἴκου τῷ τοῦτον ἀνανεώσαντι[118].

ϛαʹ. Ὁ *κοινωνὸς* τοῦ κέρδους τόκον οὐ δίδωσιν[119].

ϛβʹ. Τὰ περὶ τὴν *κοινωνίαν*, οὐ[120] διὰ τὴν κοινωνίαν δαπανηθέντα κοινά[121].

ϛγʹ. Ὁ *κοινωνὸς* ἐὰν ὁ ἕτερος κοινωνὸς[122] δανείσηται ἀπό τινος καὶ οὐ συναγάγῃ τὰ δανεισθέντα εἰς τὸ κοινόν, οὐκ ἐνέχεται διὰ τὴν κοινωνίαν εἰς τὴν τοῦ δανείου ἀπότισιν. φησὶ γὰρ ὁ νόμος· τῷ δικαίῳ τῆς κοινωνίας ὁ κοινωνὸς οὐκ ἐνέχεται ὑπὲρ ὧν ὁ κοινωνὸς αὐτοῦ ἐδανείσατο, εἰ μὴ εἰς τὸ κοινὸν ἦλθε τὰ χρήματα[123].

ϛδʹ. Ἔξεστιν ἐκ τῶν *κυβευόντων* κλέπτειν, εἴτε συγκυβεύει τούτοις ὁ βουλόμενος κλέπτειν εἴτε καὶ μή. οὐδεὶς δὲ ἄκων κυβεύειν παρά τινος ἀναγκάζεται· ὁ δὲ τὸν μὴ θέλοντα κυβεύειν καταναγκάζων ἀναλόγως τιμωρεῖται[124].

ϛεʹ. *Κυοφορουμένου* ἐπιτικτομένου, ἤγουν μετὰ τὴν τελευτὴν τοῦ πατρὸς γεννωμένου, αἱ διαθῆκαι ῥήγνυνται, οὐ μὴν οἱ κωδίκελλοι[125].

κηʹ. *Τῶν ἁγίων ἀποστόλων κανὼν* κβʹ εὐλʹ..κγʹ. — Ὁ ἑαυτὸν ἀκρωτηριάσας οὐ κληροῦται· εἰ δὲ καὶ κληρικὸς εἴη, ἀφοριζέσθω.

κθʹ. *Κανὼν* αʹ *τῆς* αʹ *συνόδου*. — Ἀνάγκῃ τὶς χειρουργηθεὶς καὶ ἄκων ἐκτμηθεὶς κληρούσθω.

λʹ. *Τῶν ἀποστόλων* ξαʹ. — Ἐλεγχθεὶς ἐπὶ πορνείᾳ ἢ μοιχείᾳ ᾗ τινι τῶν ἀπηγορευμένων πιστὸς μὴ κληρούσθω.

λαʹ. *Τῶν αὐτῶν* κθʹ. — Ὁ δαιμονῶν μήτε κληρούσθω μήτε πιστοῖς συνευχέσθω· καθαρισθεὶς δέ, εἰ ἄξιος, προσδεχθήτω.

λβʹ. *Τῶν αὐτῶν* πβʹ. — Οἰκέτης οὐ κληροῦται παρὰ γνώμην δεσπότου.

λγʹ. *Τῆς ἐν τῷ τρούλλῳ* λγʹ. — Κληρικὸς μὴ ὁ ἐκ γένους ἀλλ᾽ ὁ ἄξιος γινέσθω.

λδʹ. *Τῆς ἐν καισαρείᾳ* ηʹ. — Λαϊκός, οὗ ἡ γυνὴ φανερῶς ἠλέγχθη μοιχευθεῖσα, μὴ κληρούσθω· καὶ ὁ κεκληρωμένος, εἰ κατέχει τὴν μοιχευθεῖσαν, ἐξωθείσθω τῆς ἐγχειρισθείσης αὐτῷ διακονίας.

λεʹ. *Κανὼν τῆς* δʹ. ιʹ. — Μηδεὶς δύο πόλεων ναοῖς κλη-

---

118 Syn. *K*, 21 ex Bas. XII, 1, 50. 119 Syn. l. l. ex Bas. XII, 1, 58. 120 B *οὐ τά*. 121 Syn. ibid. 122 A *ἕτερον κοινωνόν*. 123 Syn. l. l. ex Bas. XII, 1, 80. 124 Syn. *K*, 25 ex Bas. LX, 8, 1. 125 Syn. *K*, 28 ex Bas. XXXVI, 1, 9.

ϛϛ'. Ἐάν τις μὴ γινώσκων ἐγκυμονεῖν ἤγουν ἐν γαστρὶ ἔχειν τὴν γυναῖκα αὐτοῦ πρὸς ἄλλον υἱὸν διὰ κωδικέλλου ἐλευθερίας δούλων ἀφήσει, καὶ μετὰ ταῦτα ἤγουν μετὰ θάνατον τοῦ πατρὸς τεχθῇ τουτέστι γεννηθῇ ὁ ἐγκυμονούμενος, αἱ ἐλευθερίαι εἰς τὸν πρῶτον καὶ ἐγνωσμένον υἱὸν ἀνάγονται καὶ αὐτὸς ἀπαιτεῖται ποιεῖν αὐτὰς καὶ τὸ ὑπὲρ αὐτῶν βάρος αὐτὸς ἀναδέχεται, ὁ δὲ ἐγκυμονούμενος, ὅταν ἐγένετο ὁ κωδίκελλος, ἐλεύθερος ἐκ τούτων ἐστίν[126].

ϛζ'. Οἱ κληρικοὶ, κἂν ἐμπορεύωνται, μετὰ τῶν οἰκείων ὑπεξουσίων παίδων καὶ τῶν γαμετῶν αὐτῶν εἰσιν ἀτελεῖς[127].

ϛη'. Κυνηγοῖς ἢ τοῖς ὁμοίοις χωρὶς βασάνων οὐ πιστεύομεν[128].

ϛθ'[129]. Οἱ γνησίως τινὰ κληρονομεῖν ὀφείλοντες, ἐὰν ὁ μέλλων παρὰ τούτων κληρονομεῖσθαι ἐνόρκως ἢ ἄλλως ἀσφαλισάμενος τὴν ἑαυτοῦ παραστήσῃ περιουσίαν, οὔτε ζητεῖν ἔτι περὶ ταύτης ὀφείλουσιν οὔτε κατ' ἀλλήλων κινεῖν. εἰ δὲ μὴ, ὁ τοῦτο τολμῶν τῆς ἀνηκούσης αὐτῷ κληρονομίας ἐξάγεται καὶ ἀνάξιος κληρονομῆσαί τι τῶν πραγμάτων τοῦ τελευτήσαντος κρίνεται. εἰ δὲ μὴ κατὰ λόγον κληρονομίας ἀλλὰ διά τι προηγησάμενον δάνειον τὴν περιουσίαν ζητοῦσι τοῦ τελευτήσαντος, ἔξεστι μετὰ τὴν ἔνορκον ἐκείνου ἀσφάλειαν περὶ ταύτης ζητεῖν[130].

ρούσθω. εἰ δέ τις ἐξ ἄλλης εἰς ἄλλην ἐκκλησίαν μετετέθη, κατὰ μηδὲν μετεχέτω τῶν τῆς προτέρας, ἢ τοῦ ἰδίου βαθμοῦ ἐκπεσεῖται.

λϛ'. Τῆς ζ'. ιε'. — Μηδεὶς ἐν κωνσταντινουπόλει ἐν δυσὶν ἐκκλησίαις κληρούσθω· αἰσχροκέρδεια γάρ. ἀλλαχοῦ δὲ τοῦτο γινέσθω διὰ τὴν τῶν ἀνθρώπων ἔνδειαν.

λζ'. Τῶν ἀποστόλων ιε', τῆς δ'. ε', τῆς ἐν ἀντιοχείᾳ γ'. — Κληρικὸς τῆς οἰκείας ἐκστὰς καὶ ἐπ' ἀλλοτρίας οἰκῶν ὡς ὁ λαϊκὸς μενέτω, καὶ μάλιστα εἰ παρὰ τοῦ ἐπισκόπου καλούμενος οὐχ ὑπήκουσε.

λη'. Τῶν ἀποστόλων ιϛ'. — Καὶ ὁ τοῦτον ἐν γνώσει κατέχων ἐπίσκοπος ἀφοριζέσθω.

λθ'. Τῶν αὐτῶν κ'. — Κληρικὸς ἐγγύας διδοὺς καθαιρείσθω.

μ'. Τῶν αὐτῶν κϛ'. — Ἀναγνῶσται μόνον καὶ ψαλταὶ καὶ μετὰ τὸ κεκληρῶσθαι γαμείτωσαν.

---

[126] Syn. K, 28 ex Bas. XXXVI, 1, 12. [127] Syn. Λ, 2 ex Bas. III, 3, 3. [128] Syn. M, 6 ex Bas. XXI, 1, 20. — C εἰς μαρτυρίαν οὐ πιστεύομεν. In eodem hoc caput sequenti postponitur. [129] A ϛη', C ϛζ', D ρβ'. [130] Syn. O, 4 ex Bas. XLI, 6, 1.

ΑΡΧΗ ΤΟΥ Λ[1].

α'[2]. Ὁ ταράσσων τὰς ἁγίας λειτουργίας καὶ τὰς λιτὰς κωλύων μὴ γίνεσθαι κεφαλικῶς τιμωρεῖται[3].

β'. Λεγάτον ἅπαν πρᾶγμά ἐστιν, ὅταν τελευτῶν τις καταλείψῃ τινὶ, οὐ κατὰ λόγον κληρονομίας ἀφεὶς τοῦτο, ἀλλ' εἰς δήλωσιν ἀγάπης, καὶ ἵνα ὁ λαμβάνων αὐτὸ ἀνάμνησιν ἔχῃ τοῦ τελευτήσαντος[4].

γ'. Ἐὰν δέ τις ἀπαιτῶν λεγάτον οὔτε διαθήκην[5] προκομίζειν ἰσχύῃ οὔτε προβάλλεσθαι μάρτυρας, ἀλλὰ βούλεται δι' ὅρκου βεβαιῶσαι ὃ λέγει, ὁ δικαστὴς οὐκ ἐπιτρέπει τὸ πᾶν εἰς τὸν ὅρκον οὔτε ἀπὸ μόνου τούτου δικαιοῖ τὸν ὀμόσαντα, ἀλλὰ παραχωρεῖ μὲν γενέσθαι τὸν ὅρκον, ἔπειτα δὲ ἀναψηλαφᾷ καὶ ζητεῖ, ἐὰν ὁ ὀμόσας ἀληθῶς ὤμοσε· κἂν εὕρῃ ψευδῶς τὸν τοιοῦτον ἐπομοσάμενον, καταδικάζει καὶ ἀποπέμπει αὐτὸν, εἰ δὲ καὶ ὅπερ ἐζήτει ἔλαβε, καὶ τοῦτο ἐξ αὐτοῦ ἀφαιρεῖται, καὶ ἐκ τῆς ἐπιορκίας οὐδὲν κερδαίνειν παραχωρεῖ, ἵνα μὴ δύο ἅμα παράλογα καὶ ἄτοπα γίνωνται, ἐπιορκία καὶ ἀδικία. ἐπὶ τούτου γοῦν καὶ τῶν ἄλλων τῶν ὁμοίων αὐτῷ ἀναψηλαφᾶσθαι τὸν ὅρκον ὁ νόμος παρακελεύεται[6].

δ'. Ὅστις ἔχει ἐξουσίαν διαθήκην ποιεῖν καὶ [οὐ] διὰ τύχην ἢ ἡλικίαν ἢ ἑτέραν αἰτίαν εἰς τοῦτο παρὰ τοῦ νόμου κωλύεται, οὗτος ἔχει ἐπ' ἀδείας καὶ λεγάτα καταλιμπάνειν οἷς βούλεται[7].

ε'. Γίνεται δὲ τὸ λεγάτον ἢ ἁπλῶς, ὅταν οὐκ ἔχῃ διαστολὴν, οἷον τῷ δεῖνι τόδε δοθήτω· ἢ ὑπὸ αἵρεσιν, ἤγουν μετὰ αἰτίας καὶ προσδιορισμοῦ τινος καὶ διαστολῆς, οἷον τῷ δεῖνι ἐὰν ποιήσῃ τόδε τόδε δοθήτω. καὶ λέγεται τοῦτο οὐχ ἁπλῶς λεγάτον, ἀλλ' ὑπὸ αἵρεσιν. τὴν δὲ αἵρεσιν ταύτην πότε ἀναγκάζεται φυλάττειν ὁ λεγατάριος καὶ πότε οὐκ ἀναγκάζεται, ἐν τῷ περὶ κληρονομίας εἰρήκαμεν[8].

ς'. Λεγάτον ἐστὶ δωρεὰ ἐν διαθήκῃ καταλειφθεῖσα ἢ κατὰ ἄλλους κληρονομίας μείωσις[9].

ζ'. Ὁ λεγάτα ταῖς θυγατράσι διδοὺς οὐ δοκεῖ διὰ τῶν

---

[1] A addit βιβλίου. D τοῦ μ' (sic) στοιχείου. B infra demum ante c. 9 hanc rubricam ponit. [2] In C praecedit α'. Τί ἐστι λεγάτον. Λεγάτον ἐστὶ κ. τ. λ. Cf. c. 6 infra. [3] Att. III. [4] Cf. Veteres glossas verborum juris ed. Labbaeus p. 67. [5] Deest in A. [6] Att. XIV (18). [7] Att. XXVII (39). [8] Att. ibid. [9] C addit: ἤγουν ἐλάττωσις. — Att. ibid.

θυγατέρων καὶ τοὺς υἱοὺς συμπαραδηλοῦν, οὐδὲ ἐν τῷ λέγειν ἢ γράφειν τῶν θυγατέρων τὸ ὄνομα σημαίνειν καὶ τοὺς υἱούς· ἀλλὰ τοὐναντίον διὰ τοῦ ὀνόματος τῶν υἱῶν καὶ αἱ θυγατέρες δηλοῦνται, καὶ ὁ εἰπών· τοῖς ἐμοῖς υἱοῖς ἀφίημι τόδε, καὶ τὰς θυγατέρας κἂν οὐκ εἶπε δηλοῖ, καὶ ἁπλῶς πάντας τοὺς παῖδας οὓς ἔχει οὐ μόνον ἐπὶ λεγάτων ἀλλὰ καὶ ἐπὶ οἱουδήτινος πράγματος. τὸ γὰρ προτιμότερον ὄνομα τό· υἱὸς συμπεριλαμβάνει καὶ τὸ τῶν θυγατέρων ὡς ἔλαττον, τὸ δὲ τῶν θυγατέρων ὡς ἀτιμότερον ὂν οὐ δύναται σημαίνειν τὸ τῶν υἱῶν· οὐδὲ γὰρ ἂν τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος περιέχοιτο, οὐδὲ τὸ ἄῤῥεν τῇ προσηγορίᾳ δηλοῖτο τοῦ θήλεος[10].

η'. Τὰ ὑπὸ αἵρεσιν λεγάτα, ἃ καὶ αἱρετικὰ παρά τινων λέγονται, τότε χρεωστοῦνται, ὅταν ὁ λεγατάριος πληρώσῃ τὴν αἵρεσιν· πρὸ δὲ τοῦ πληρωθῆναι τὴν αἵρεσιν οὔτε ζητοῦνται οὔτε δίδονται, οὔτε οἱ κατέχοντες αὐτὰ ἀπαιτοῦνται ὡς οὔπω κεχρεωστημένα γενόμενα[11].

θ'. Λεγατάριος ἢ κληρονόμος ὑπὸ αἵρεσιν ὢν, ἐὰν ὁ τὸ λεγάτον ἢ τὴν κληρονομίαν καταλείψας αὐτῷ πολλὰς αἱρέσεις γράψῃ διαζευκτικῶς, οἷον τῷ δεῖνι ἐὰν ποιήσῃ τόδε ἢ τόδε ἢ τόδε δίδωμι τοῦτο, καὶ μίαν μόνην ὁποίαν ἄρα καὶ τύχῃ ποιήσας αἵρεσιν λαμβάνει τὸ λεγάτον ἢ τὴν κληρονομίαν αὐτοῦ[12].

ι'. Ἀφῆκέ τις καθ' οἱονδήτινα τρόπον πρᾶγμά τινι. συνέβη μετὰ ταῦτα καὶ ἀπέθανεν ὁ ἀνὴρ, πρὸς ὃν ἀποδοθῆναι τὸ πρᾶγμα ἔμελλε καὶ ᾧ τὴν τελείαν δεσποτείαν ὁ τελευτήσας ἀνέθετο, ζῇ δὲ ἔτι ὁ μέλλων διακομίζειν καὶ ἀποδιδόναι αὐτό[13]. τὸ τοιοῦτον πρᾶγμα κερδαίνει ὅστις ἔφθασε καὶ ἔλαβε τοῦτο, ἵνα φυλάξῃ καὶ μετακομίσῃ πρὸς ἕτερον, καὶ οὐ δύναται τὸ μέρος τοῦ μέλλοντος λαμβάνειν τὸ πρᾶγμα ἀνακαλεῖσθαι αὐτὸ, εἰ μὴ πολλάκις ὁ πρῶτος τοῦ πράγματος κύριος, ὅστις καὶ ἀφῆκε τοῦτο, ἄλλο τι ῥητῶς περὶ αὐτοῦ διατάξοιτο[14].

ια'. Λιμιτάριος[15] ἀγρός ἐστιν ὁ κρατηθεὶς ὑπὸ πολεμίων ἀνδρῶν. καλοῦνται δὲ καὶ λιμιταναῖοι[16] ἀγροί[17].

ιβ'. Λησταὶ λογίζονται καὶ ὅσοι δυνάμενοι κρατῆσαι λῃστὰς ἀπολύσουσι, λαβόντες ἐπὶ τῷ ἀπολῦσαι αὐτοὺς ἢ χρήματα ἢ μέρος τῶν λῃστευθέντων ἤγουν ἀφ' ὧν λῃστεύσαντες ἔλαβον, καὶ τιμωροῦνται ὡς λῃσταί[18].

---

[10] Att. XXVII (39). [11] Att. l. l. [12] Att. l. l. [13] B αὐτῷ. [14] B διετάξατο. — Att. l. l. [15] B Λιμιτάτος. [16] B λιμιναῖοι. [17] Att. XXX (45). [18] Att. XXXV (63).

ιγ΄. Ὅταν ἁμαρτήσας τὶς λέγῃ, ὅτι οὐκ ἐποίησεν ἀφ' ἑαυτοῦ, ἀλλ' ἕτερος ἐνετείλατο τούτῳ ποιῆσαι τὸ πρᾶγμα ἐκεῖνο δι' ὃ κρίνεται, αὐτὸς μὲν οὐκ ἀπολύεται, κατέχεται δὲ μετ' αὐτοῦ καὶ ὁ ἐντειλάμενος. τοῦτο δὲ γίνεται, ὅταν ὁ πράξας τὸ πταῖσμα φρονήσεως εἴη τελείας καὶ καταστάσεως· ὅταν δὲ ἀτελοῦς ἡλικίας ὑπάρχῃ ἢ ἄλλως σῶα φρονεῖν μὴ δύνηται, ὁ ἐντειλάμενος πᾶσαν τὴν καταδίκην ὑφίσταται. λέγεται δὲ ἐντειλάμενος ὁ προτρέψας καὶ παρακινήσας εἰς τὸ ποιῆσαι αὐτό[19].

ιδ΄. Ἔξεστι λεγατεύειν μέχρι τοῦ ὀκταουγγίου· τὸ γὰρ τετραούγγιον τῷ γεγραμμένῳ κληρονόμῳ φυλάττεται[20].

ιε΄. Τῆς τῶν ιβ΄ ποσότητος εἶναι πάντα τὸν βίον ὁ νόμος παρακελεύεται, καὶ ἑκάστου τὴν πᾶσαν περιουσίαν εἰς ιβ΄ περιίστησιν. τὰ ιβ΄ γοῦν ποσοῦνται ἐκ τοῦ τρὶς τέσσαρα· τρὶς γὰρ τέσσαρα ιβ΄· ἐπεὶ γοῦν ἀεὶ τὸ τρίτον τῷ κληρονόμῳ φυλάττεται, τὸ δὲ δίμοιρον ἐπ' ἐξουσίας τοῦ δεσπότου κεῖται ποιεῖν ἐπ' αὐτῷ ὅπερ βούλεται, φησὶν ὁ νόμος, ὅτι ἔξεστι λεγατεύειν μέχρι τοῦ ὀκταουγγίου ἤγουν τὴν τοῦ διμοίρου ποσότητα. τὸ γὰρ τετραούγγιον ἤγουν τὸ τρίτον τῷ κληρονόμῳ φυλάττεται[21].

ις΄. Ὁ τοκετὸς τῆς λεγατευθείσης δούλης πρὸ τῆς προχωρήσεως τῷ κληρονόμῳ ἁρμόζει, καὶ λογίζεται αὐτῷ εἰς τὸ φαλκίδιον καὶ τοὺς καρποὺς αὐτοῦ[22].

ιζ΄. Οἱ λεγατάριοι λαμβάνοντες ὤφειλον ἐγγύας διδόναι περὶ τοῦ περιττῶς ὡς εἰκὸς αὐτοῖς διδομένου. εἰ καὶ τὰ μάλιστα γὰρ ὑπόκεινται ἀναλήψει, ἀλλ' οὖν δέος ἐστὶ μήποτε ἀπορήσωσιν ἐλπιζομένων ἁρμόζειν τῶν αἱρετικῶν λεγάτων ἢ τῶν ἐν τῇ ὀρφανικῇ ὑποκαταστάσει[23].

ιη΄. Ὅτε ἀμφιβάλλεται, εἰ ἔχει χώραν ὁ φαλκίδιος, δίδωσιν ὁ λεγατάριος ἐγγύας τῷ κληρονόμῳ περὶ τοῦ περιττοῦ καὶ ὅτι δόλον οὐ ποιεῖ. ἀδιάφορον δὲ, εἴτε ἐν τῇ αὐθεντικῇ εἴτε ἐν τῇ ὀρφανικῇ ἐλεγατεύθη· εἰς γὰρ ἐξ ἀμφοτέρων παρακρατεῖται φαλκίδιος. καὶ ἐὰν μὴ λάβωσι τὴν ἀσφάλειαν οἱ ἐπίτροποι, ἐνέχονται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ τοῖς ὑποκαταστάτοις. ἔσθ' ὅτε καὶ τῷ ἀνήβῳ ἡ τοιαύτη ἐπερώτησις βεβαιοῦται, ἐὰν ζῶντος αὐτοῦ ἁρμόσῃ φαλκίδιος[24].

ιθ΄. Ὅτε τῶν λεγάτων τὰ μέν εἰσιν αἱρέσεως χωρὶς, τὰ δὲ ὑπὸ αἵρεσιν, ὁλόκληρα δίδοται τὰ χωρὶς αἱρέσεως παρεχο-

---

[19] Att. XXXV (66). [20] Syn. *Λ*, 1 ex Bas. XLI, 1, 1. [21] Commentarius ad c. 14. [22] Syn. *Λ*, 1 ex Bas. XLI, 1, 23. [23] Syn. l. l. ex Bas. XLI, 1, 30. [24] Syn. l. l. ex Bas. XLI, 2, 1.

μένης τῆς περὶ τοῦ περιττοῦ ἀσφαλείας. ἀναγκαῖον δέ ἐστιν αὐτὴν δίδοσθαι· καὶ γὰρ δύναται τὸ περιττὸν ἀναλαμβάνεσθαι, ὅμως συμβαίνει ἀπορῆσαι τὸν λαβόντα. ἔχει δὲ χώραν καὶ ἐπὶ τῶν θανάτου αἰτίᾳ δωρεῶν ἡ τοιαύτη ἀσφάλεια. ἐστὶν ὅτε καὶ τὸ πᾶν ἀνατρέπει· τυχὸν γὰρ μεγάλου χρέους μετὰ ταῦτα φανέντος ἢ αἱρετικῶν ἐλευθεριῶν ἁρμοσασῶν· μετὰ γὰρ ὑπεξαίρεσιν τῶν τιμῶν αὐτῶν τὰ λεγάτα δίδονται[25].

κ'. Ἡ[26] *διάταξις κελεύει μὴ μόνον ἐν ταῖς ἐγκληματικαῖς δίκαις, ἀλλὰ καὶ ἐν ταῖς χρηματικαῖς ἕκαστον ἀναγκάζεσθαι μαρτυρεῖν ἅπερ ἐπίσταται μεθ' ὅκρου δόσεως, ἢ ὀμνύειν ὡς οὐκ ἐπίσταται, ὑπεξῃρημένων τῶν προσώπων τῶν ἀπὸ νόμου κωλυομένων μαρτυρεῖν, καὶ τῶν ἰλλουστρίων καὶ τῶν ὑπερβεβηκότων αὐτούς, εἰ μήγε θεῖος γένηται τύπος. καὶ εἰ μὲν ἐνδημοῦσιν ἐν τῇ βασιλίδι πόλει, δι' οἰκείας φωνῆς μαρτυρεῖν· εἰ δὲ ἀπολιμπάνονται, στέλλεσθαι τοὺς τῶν μερῶν ἐντολέας, ἐφ' ᾧ καταθέσθαι ἅπερ ἐπίστανται, ἢ ἐπομόσασθαι ἅπερ ἀγνοοῦσι, δηλονότι καὶ ἐπὶ τῆς ἐν ὑπομνήμασι μαρτυρίας τῶν αὐτῶν προσώπων ὑπεξῃρημένων. πάσας δὲ τὰς ἐπὶ τούτων διαλαλιὰς καὶ τὰς παραγωγὰς ἀζημίους εἶναι τοῖς μάρτυσιν*[27].

κα'. Ὁ προάγων μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ' αὐτοῦ οἱ τοιοῦτοι μάρτυρες προφέροιντο, μὴ ἐχέτω ἐξουσίαν παραιτήσασθαι αὐτοὺς τυχὸν ὡς εὐτελεῖς ἤ τι τοιοῦτον. εἰ μέντοιγε δείκνυσιν ἐν τῷ μεταξὺ ἢ ἔχθραν γενομένην αὐτῷ δεκτὴν τοῖς νόμοις καὶ ποιοῦσαν ὑπόπτους τοὺς μάρτυρας, ἢ πολλάκις ἐλεγχθῇ φανερῶς ἐπὶ λημμάτων χρημάτων ἢ ὑποσχέσει γενομένην τὴν μαρτυρίαν, ἐξέστω αὐτῷ παραιτήσασθαι τοὺς μάρτυρας. εἰ δὲ καὶ δύναται ψευδῆ τὰ παρ' αὐτῶν λεγόμενα δεῖξαι, καὶ τοῦτο ποιείτω· τοῦτο γὰρ μόνον εἶπεν ἡ διάταξις, μὴ δύνασθαι αὐτοὺς παραιτεῖσθαι, οὐ μὴν ἵνα καὶ πάντως πιστεύωμεν τῇ[28] *τούτων φωνῇ*[29].

κβ'. Οἱ ἐγγράφως ὁμολογήσαντες χρεωστεῖν οὐκ εὐχερῶς ἀκούονται λέγοντες, ἢ ὅλον τὸ χρέος ἢ μέρος αὐτοῦ καταβεβληκέναι ἀγράφως ἐπὶ μάρτυσιν. ἐὰν οὖν μὴ ε' μάρτυρες ἀξιόπιστοι πάρεισιν ἐν τῇ ἀγράφῳ καταβολῇ καὶ ἐνωμότως κατάθωνται, ὡς παρόντων αὐτῶν κατεβλήθη τὸ χρέος ἢ κατάθεσις καταβολῆς παρὰ τοῦ δανειστοῦ γέγονεν, οὐκ ἄλλος τίς ἐστιν εὐπρόσδεκτος καταβολὴν ἄγραφον γεγονέναι λέγων. εἰδότες οὖν

---

[25] Syn. *Δ*, 1 ex Bas. XLI, 2, 1. [26] Capita 20—22 fugitiva sunt: literae *M* inserenda erant. [27] Syn. *M*, 6 ex Bas. XXI, 1, 40. [28] E pro verbis *τῇ τ. φ.* habet *αὐτοῖς*. [29] Syn. *M*, 6 ex Bas. XXI, 1, 41.

ἅπαντες τοῦ λόγου τὴν δύναμιν μὴ ἄλλως τὸ πᾶν χρέος καταβαλλέτωσαν ἢ μέρος αὐτοῦ, εἰ μὴ ἔγγραφος αὐτοῖς ἀπόδειξις γένηται, ἢ ε΄ μάρτυρες ἀξιόπιστοι μὴ εὐτελεῖς πάρεισι τῇ καταβολῇ ἢ τῇ καταθέσει. ἢ[30] εἰ γέγονε μὲν ἀπόδειξις ἔγγραφος, κατὰ δὲ τυχηρὰν περίστασιν ἢ ἐμπρησμὸν τυχὸν ἢ ναυάγιον[31] ἢ ἄλλως[32] πως ἀπώλετο[33].

κγ΄. Τὰ ἐν τῇ ἀτελεῖ διαθήκῃ καταλειφθέντα λεγάτα τότε ὀφείλουσιν ἐκπληροῦσθαι, ὅτε ἐξ ἀδιαθέτου τὰ ἐν τῇ διαθήκῃ παρά[34] τινων γένωνται. ἐστὶ δὲ τοῦτο τοιοῦτον· ἀτελὴς διαθήκη οὐ στέργεται· οἱ ἐξ ἀδιαθέτου δὲ κληρονόμοι καὶ ἀπὸ τῆς ἀτελοῦς διαθήκης κληρονομοῦσιν, οὐ διὰ τὴν διαθήκην, ἀλλὰ διὰ τὸ φυσικῶς πρὸς αὐτοὺς δίκαιον· ὅταν οὖν οἱ ἐξ ἀδιαθέτου κληρονομοῦντες τὰ ἐν τῇ ἀτελεῖ διαθήκῃ παραφυλάξωσι, καὶ τὰ λεγάτα ἀποδιδόναι καταναγκάζονται· ἐπεὶ γὰρ[35] εἰς τἄλλα τὴν διαθήκην οὐκ ἀθετοῦσιν, οὐ δύνανται οὐδ᾽ ἐν τοῖς λεγάτοις αὐτὴν ἀθετεῖν[36].

κδ΄. Τὸ λεγατευθὲν χρυσίον ὡς ἂν δι᾽ αὐτοῦ ἀγορασθῇ δοῦλός τις ἑτέρου δεσπότου ὢν καὶ ἐλευθερωθῇ, πωλουμένου μὲν τοῦ δούλου ἀνάγκη ἐστὶ δίδοσθαι τὸ χρυσίον καὶ ἀγοράζεσθαι καὶ ἐλευθεροῦσθαι αὐτόν· μὴ πωλουμένου δὲ, κληρονομεῖ αὐτὸς ὁ ὡς λεγάτον τοῦτον[37] λαβών[38].

κε΄. Ἐὰν ἐν λεγάτοις οἱ μὲν συνεζευγμένοι ὦσιν, οἱ δὲ διεζευγμένοι, οἱ συνεζευγμένοι ἓν ἐπέχουσι πρόσωπον, κἂν ὅσοι ἄρα καὶ εἶεν[39].

κς΄. Ἔγραψέ τις διαθήκην καὶ ἀφῆκεν ἐν ταύτῃ τινὶ λεγάτον ἀγρὸν, δηλώσας κατ᾽ ὄνομα τὸν ἀγρὸν[40] καὶ εἰπὼν ἐγγράφως· τὸν δεῖνά μου ἀγρὸν ἢ τυχὸν οἶκον ἢ ἀμπέλιον· ἔπειτα μετὰ τὸ γενέσθαι τὴν διαθήκην προσέθηκεν ὁ διαθέμενος καὶ ἄλλο τὶ τῷ λεγατευθέντι ἀγρῷ, ἢ ἀφείλετό τι ἐξ αὐτοῦ· καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὸν λεγατάριον ὁρᾷ[41].

κζ΄. Ἐὰν πολλοὺς ἔχων πέτρους λεγατεύσω σοι, καὶ μὴ δηλώσω ποῖον, εἰς τὸν κληρονόμον μού ἐστιν ἐκλέξασθαι οἷον

---

[30] Legendum εἰ δὲ γέγ. [31] A ναυαγίῳ. [32] Verba ἄλλως πως ἀπώλετο in B desunt. AE autem post ἀπώλετο lacunam habent. Nimirum exciderunt haec: ἐξέστω τότε τοῖς καταβεβληκόσιν ἀποδεικνύειν ὡς ἀπώλετο ἡ γενομένη αὐτοῖς περὶ τῆς καταβολῆς ἀσφάλεια, καὶ μηδὲν ἐκ τῆς τοιαύτης ἀπωλείας ζημιούσθωσαν. [33] Syn. *M*, 6 ex Bas. XXI, 1, 42. [34] A περί. [35] A δέ. [36] Non invenio. [37] Sic AB. Legerim τοῦτο sc. τὸ χρυσίον. [38] Syn. *Λ*, 1 ex Bas. XLIV, 1, 88. [39] Syn. l. l. ex Bas. XLIV, 1, 33. [40] Verba δηλώσας — ἀγρὸν A praetermisit. [41] Syn. l. l. ex Bas. XLIV, 1, 24.

θέλει ἀπὸ τῶν πέτρων καὶ δοῦναί σοι, καὶ οὐ δύνασαι σὺ αἰτεῖν ἕτερον, ἀλλ' ἀναγκάζῃ λαβεῖν τὸν παρὰ τοῦ κληρονόμου διδόμενον[42].

κη'. Ἐν διαφόροις διαθήκαις τοῦ αὐτοῦ πράγματος λεγατευθέντος τινὶ δύναται ὁ λεγατάριος ἀπὸ μὲν τῆς μιᾶς διαθήκης τὸ πρᾶγμα λαβεῖν, ἀπὸ δὲ τῆς ἑτέρας τὸ αὐτοῦ τίμημα. δὶς δὲ ἢ τρὶς καὶ τὸ πρᾶγμα καὶ τὸ τίμημα λαμβάνειν οὐ δύναται[43].

κθ'. Δούλου ἁπλῶς λεγατευθέντος οὔτε ὁ κάλλιστος οὔτε ὁ χείριστος δίδοται, ἀλλ' ὁ μέσος[44].

λ'. Τὸν λεγατευθέντα δοῦλον μὴ παραδοθέντα τῷ λεγαταρίῳ, ἀλλὰ φυγόντα ἢ ἄλλως μακρὰν ἀποδημήσαντα, ὁ κληρονόμος ἰδίοις δαπανήμασιν ἀναζητεῖν αὐτὸν ἀναγκάζεται, καὶ ἄγειν καὶ κομίζειν καὶ διδόναι τῷ λεγαταρίῳ[45].

λα'. Καρποὺς, ζῶα, ὑπηρεσίας, συνεισφορὰς παντοίας τοῖς λεγαταρίοις ἀποδίδωσιν ὁ κληρονόμος, οὐχ οἵους οὐδὲ ὅσους αὐτὸς ἔλαβεν, ἀλλ' οἵους καὶ ὅσους δυνατὸν εἶχον λαβεῖν οἱ λεγατάριοι παρὰ τοῦ κληρονόμου ἐπὶ τῇ ἀπολήψει αὐτῶν μὴ ἐμποδιζόμενοι· εἰ δὲ ἐξ αἰτίας ἑαυτῶν οὐκ ἔλαβον ταῦτα οἱ λεγατάριοι, ὁ κληρονόμος ἐπ' αὐτοῖς οὐδ' ὅλως ἐνέχεται[46].

λβ'. Ἡ διαφορὰ πᾶσα τοῦ ὑποκειμένου κεφαλαίου ἀπὸ τοῦ ὅλου καὶ τοῦ μέρους ἐστὶ, καὶ ἔοικεν ὁ νομοθέτης τὸν κατὰ μέρος ἀνανεούμενον οἶκον τὸν παλαιὸν εἶναι βούλεσθαι καὶ σώζεσθαι τὸ ἐπὶ τούτῳ ταχθέν[47].

λγ'. Ἐλεγατεύθη οἶκός τινι, μετὰ ταῦτα κατεβλήθη ὁ οἶκος ὅλος ὁμοῦ, καὶ ἐγένετο ἕτερος ἢ παρὰ τοῦ λεγατεύσαντος τὸν οἶκον τυχὸν ἐπιζήσαντος ἢ παρὰ τοῦ κληρονόμου αὐτοῦ· ἔσβεσται τὸ λεγάτον καὶ οὐκέτι ἔῤῥωται. εἰ δὲ κατὰ μικρὸν καὶ κατὰ μέρος ὁ οἶκος ἀνανεωθῇ, σώζεται τὸ λεγάτον, κἂν οὐδὲν τῆς προτέρας ὕλης ἀπολειφθῇ[48].

λδ'. Ἀνθρώπου μὲν εἰς λεγάτον καταλειφθέντος, ἔξεστι τῷ κληρονόμῳ εἰ βούλεται διδόναι τῷ λεγαταρίῳ τὴν τοῦ ἀνθρώπου τιμὴν καὶ ἔχειν αὐτόν· ἄλλου δὲ σκεύους καὶ εἴδους καταλειφθέντος οὐκ ἔξεστιν, ἀλλ' ἀναγκάζεται αὐτὸ τὸ καταλειφθὲν τῷ λεγαταρίῳ διδόναι[49].

λε'. Τοῦ λεγατευθέντος δούλου φυγόντος ἔτι ζῶντος

---

[42] Syn. Δ, 1 ex Bas. XLIV, 1, 31. [43] Syn. l. l. ex Bas. XLIV, 1, 33. [44] Syn. l. l. ex Bas. XLIV, 1, 36. [45] Syn. l. l. ex Bas. XLIV, 1, 38. [46] Syn. ibid. [47] Est scholium ad c. 33. [48] Syn. Δ, 1 ex Bas. XLIV, 1, 61. [49] Syn. l. l. ex Bas. XLIV, 1, 67.

τοῦ διαθεμένου, ὁ λεγατάριος, ᾧτινι ὁ φυγὼν δοῦλος ἀφείθη λεγάτον, ἀλλ' οὐχ ὁ κληρονόμος ἀναζητεῖν αὐτὸν ἀναγκάζεται[50].

λϛ'. Κληρονόμος κλέπτην δοῦλον τῷ λεγαταρίῳ ἐν εἰδήσει ἤγουν μετὰ γνώσεως, τουτέστι γινώσκων αὐτὸν κλέπτην εἶναι, διδοὺς τὴν παρὰ τοῦ κλέπτου δούλου γενομένην ζημίαν ἀποκαθιστᾶν ἤγουν ἀναπληροῦν ἀναγκάζεται. πολλάκις δὲ τὸν μὲν κλέπτην δοῦλον ἀντὶ τῆς ζημίας κατέχει λεγατάριος, ἕτερον δὲ πάλιν δοῦλον ἀντὶ τοῦ καταλειφθέντος αὐτοῦ ἀπὸ τοῦ κληρονόμου λαβεῖν ἀπαιτεῖ[51].

λζ'. Πράγματα ὑποκείμενα, ἤγουν ἐπὶ χρέει τεθειμένα παρὰ δανεισταῖς ὡς ἐνέχυρα, λεγατευθέντα τισὶν ὁ κληρονόμος ἀναῤῥύεται τὸ χρέος ἀποδιδοὺς, καὶ τοῖς λεγαταρίοις αὐτὰ ἀποδίδωσιν. εἰ δὲ πολλάκις διὰ τὸ χρέος καὶ πωληθῶσι παρὰ τοῦ δανειστοῦ, ἀγοράζει καὶ ἀποδίδωσιν[52].

λη'. Ἐν ἐπιστολῇ καὶ ἐν οἱῳδήποτε λιβέλλῳ καὶ ἀγράφως καὶ νεύματι λεγάτον καταλιμπάνεται[53].

λθ'. Τὰ τῷ δούλῳ λεγατευθέντα τῷ δεσπότῃ ἀνήκει καὶ αὐτῷ προσπορίζεται[54].

μ'. Δούλῳ δὲ ἀπὸ ἰδίου δεσπότου οὐκ ἀφίεται λεγάτον εἰ μὴ αὐτῷ ἐλευθερία ἐπιχορηγηθῇ. κἂν ἀφεθῇ, οὐ δίδοται, εἰ μὴ πολλάκις ὕστερον ἐλευθερωθῇ[55].

μα'. Ἐγράφη πρός τινα ἐπιστολὴ δηλοῦσα, ὅτι κατελείφθη αὐτῷ λεγάτον τόδε τί· ἀνοίγεται μετὰ θάνατον τοῦ διαθεμένου ἡ τοιαύτη ἐπιστολή· εὑρίσκεται τὸ ἐν ταύτῃ δηλούμενον· ἔῤῥωται τὸ λεγάτον, κἂν μὴ πρὸς τὸν κληρονόμον, ἀλλὰ πρὸς αὐτὸν τὸν τὸ λεγάτον λαμβάνειν μέλλοντα γέγραπται[56].

μβ'. Τελευτήσαντος τοῦ λεγατευθέντος βοὺς οὐ δίδοται τῷ λεγαταρίῳ οὔτε τὸ κρέας οὔτε ἡ βύρσα ἤγουν τὸ δέρμα· τελευτήσας γὰρ οὐκέτι ἐστὶ βοῦς· ἔτι δὲ ζῶντα καὶ τελευτῶντα τὸν βοῦν δύναται ἀπαιτεῖν καὶ λαμβάνειν ὁ λεγατάριος[57].

μγ'. Τεθρίππου λεγατευθέντος, καὶ τοῦ ἑνὸς ἵππου τελευτήσαντος, οὐ δίδοται τὸ λοιπόν· οὐκέτι γάρ ἐστι τέθριππον. δηλοῖ δὲ τέθριππον τὸ ἅρμα τὸ ἐκ δ' ἵππων συγκείμενον. εἰ δὲ ζῶν ὁ διαθέμενος ἀναπληρώσει τὸ τέθριππον, δίδοται τῷ λεγαταρίῳ· τέθριππον γάρ ἐστιν[58].

---

[50] Syn. Δ, 1 ex Bas. XLIV, 1, 103. [51] Syn. l. l. ex Bas. XLIV, 1, 105. [52] Syn. l. l. ex Bas. XLIV, 1, 127. [53] Syn. l. l. ex Bas. XLIV, 1, 142. [54] Fortasse haec pertinent ad Syn. l. l. ex Bas. XLIV, 2, 34. [55] Forte Syn. l. l. ex Bas. XLIV, 4, 29. [56] Syn. l. l. ex Bas. XLIV, 2, 71. [57] Syn. l. l. ex Bas. XLIV, 2, 47. [58] Syn. l. l. ex Bas. XLIV, 2, 63.

μδ'. Ἐὰν βιβλία λεγατευθῶσιν ρ' ἢ πλείονα ἢ ἐλάττονα, οὐχὶ βιβλία τόσα ἀλλὰ τεύχη τουτέστι κομμάτια ἀριθμοῦνται εἰς τὴν ἀπόδοσιν, ὥστε μὴ δύνασθαι τὸν τὰ λεγάτα ἀποδιδόντα ἐν ἑνὶ τεύχει πολλὰ τυχὸν βιβλία ἐντὸς περιέχοντι τὸν ἀριθμὸν τῶν βιβλίων λογίζεσθαι, ἀλλ' ἓν τεῦχος ἡγεῖσθαι αὐτὰ, καὶ τὰ καταλειφθέντα τεύχη ἀποδιδόναι ἀλλ' οὐ βιβλία[59].

με'. Εἶχέ τις ἀγροὺς δύο καὶ βόας ἐν τῷ ἑνὶ μὲν ἀγρῷ μένοντας, ἐν τῷ λοιπῷ δὲ ἐργαζομένους. τελευτῶν ὁ κύριος τῶν ἀγρῶν ἀφῆκε λεγάτα τοὺς τοιούτους ἀγροὺς, τινὶ μὲν τὸν ἕνα, ἄλλῳ δὲ τὸν ἕτερον· τοὺς δὲ βόας οὐκ ἀφῆκέ τινι. λαμβάνει καὶ τούτους ὁ καὶ τὸν ἀγρὸν λαβὼν ἐν ᾧ εἰργάζοντο, ἐπεὶ καὶ εἰς τοῦτον, ἀλλ' οὐκ εἰς ἐκεῖνον συμβάλλονται. οὐ γὰρ ἕπονται κατὰ νόμον τῷ ἀγρῷ, ἐν ᾧ ἔμενον, ἀλλὰ τῷ ἑτέρῳ, ἐν ᾧ ἔκαμνον[60].

μς'. Ἀγροῦ λεγατευθέντος μετὰ τοῦ οἰκείου ἐξοπλισμοῦ, εἶτα τοῦ ἀγροῦ ἐκποιηθέντος ἤγουν διαπραθέντος καὶ πωληθέντος, οὐδὲ τὸν ἐξοπλισμὸν δύναται ὁ λεγατάριος ἀπαιτεῖν. ὡσαύτως καὶ δούλου μετὰ τοῦ οἰκείου πεκουλίου λεγατευθέντος, εἶτα ἐλευθερωθέντος ἢ ἐκποιηθέντος ἤγουν πωληθέντος ἢ ἀποθανόντος τοῦ δούλου, οὐδὲ τὸ πεκούλιον αὐτοῦ λαμβάνει ὁ λεγατάριος. καθολικῶς γὰρ ὁ νόμος φησίν· αἱ προσθῆκαι συναναιροῦνται τοῖς πρωτοτύποις[61].

μζ'. Τῷ λεγάτῳ τοῦ οἴκου ἡ οἰκοσκευὴ οὐχ ἕπεται, οὐδὲ λαμβάνει ᾧ ἂν ὁ οἶκος εἰς λεγάτον καταλειφθῇ καὶ τὰ ἐν τῷ οἴκῳ εὑρισκόμενα, εἰ μὴ τοῦτο ῥητῶς δηλωθῇ. ὡσαύτως οὐδὲ τῷ λεγάτῳ τοῦ ἀγροῦ ὁ τοῦ ἀγροῦ ἐξοπλισμὸς ἕπεται[62].

μη'. Ταῖς ἐν τοῖς λεγάτοις καταλιμπανομέναις διατροφαῖς καὶ ἡ τροφὴ καὶ ἡ ἐσθὴς καὶ ἡ οἴκησις περιέχεται[63].

μθ'. Ἥβη ἐπὶ τῶν ἐν λεγάτοις καταλιμπανομένων διατροφῶν ἕως τοῦ ιη' χρόνου ἐπὶ τῶν ἀῤῥένων ὁρίζεται, καὶ ἕως τοῦ ιδ' ἐπὶ τῶν θηλειῶν· καὶ ἐὰν ὁ διαθέμενος εἴπῃ τρέφεσθαι τὸν ἄνηβον, ἕως ἔφηβος γένηται, ἕως ιη' χρόνων τὸν ἄνδρα καὶ ἕως ιδ' τὴν γυναῖκα, τουτέστιν ἕως ὁ ἀνὴρ ιη' χρόνων γένηται καὶ ἡ γυνὴ ιδ', τρέφεσθαι αὐτοὺς πρέπει ἐκ τῶν πραγμάτων τοῦ διαθεμένου. καὶ ὅρα πῶς ἐνταῦθα διὰ φιλανθρωπίαν ἐπὶ πλέον τὸν χρόνον τῶν ἐφήβων ὁ νόμος ὥρισεν, ἵνα ὡς ἄνηβοι

---

59 Syn. Λ, 1 ex Bas. XLIV, 3, 50. 60 Syn. l. l. ex Bas. XLIV, 10, 4. 61 Syn. l. l. ex Bas. XLIV, 10, 5. 62 Syn. l. l. ex Bas. XLIV, 13, 12. 63 Syn. l. l. ex Bas. XLIV, 14, 6.

ἔτι ὄντες οἱ ὀφείλοντες διατρέφεσθαι εἰς περισσότερον καιρὸν ἐπαπολαύωσι[64] τῶν διατροφῶν. εἰ δὲ ἀπροσδιορίστως εἴπῃ ὁ διαθέμενος, διατρέφεσθαι ἐκ τῶν αὐτοῦ πραγμάτων τινὰς, καὶ οὐ δηλώσει ἕως πόσου καιροῦ, δεῖ τοὺς τοιούτους ἕως οὗ ζῶσιν ἀπολαμβάνειν ἐκ τῶν τοῦ διατιθεμένου πραγμάτων τὰς διατροφάς[65].

ν΄. Οὔτε χρυσοῦ λεγατευομένου τὰ κεχρυσωμένα μόνον, οὔτε ἀργύρου τὰ ἠργυρωμένα μόνον ἐμπεριέχεται. εἰ δέ τι εἴη ὁλόχρυσον ἢ ὁλοάργυρον, πρὸς τὸν σκοπὸν τοῦ διαθεμένου κρίνεται[66].

να΄. Τῶν πρὸς χρῆσιν λεγατευομένων τὰ ἐν συνεχεῖ χρήσει δηλοῦται, ἀλλ' οὐ τὰ ἅπαξ καὶ σπανίως εἰς χρῆσιν ἐρχόμενα, καὶ τὰ ἅπερ αὐτὸς ὁ διατιθέμενος εἰς χρῆσιν ἔχει, οὐ τὰ ἄλλοις παρ' αὐτοῦ εἰς χρῆσιν διδόμενα[67].

νβ΄. Ἐὰν ἐν διαθήκῃ ἐκ πολλῶν δούλων εἷς ἐλευθερωθῇ, καὶ μὴ δηλωθῇ τὸ ποῖος, οὐδεὶς ἐλευθεροῦται[68].

νγ΄. Ἐὰν τὸ λεγατευθέν τινι ἄλλῳ μετὰ ταῦτα ὁ διαθέμενος δωρήσηται τοῦτο, σβέννυται τὸ λεγάτον[69].

νδ΄. Ἡ πλαστὴ ἀπαρίθμησις οὐδέποτε βλάπτει τὰ λεγάτα. ὅθεν καὶ εἴ τις λεγατεύων εἴπῃ· δίδωμι τῷ δεῖνι τοσάδε νομίσματα ἃ χρεωστῶ αὐτῷ, κἂν μὴ χρεωστῇ, ἀλλὰ ψευδῶς εἶπεν, ἔῤῥωται τὸ λεγάτον[70].

νε΄. Ὁσάκις ἀμφιβάλλεται φράσις ἐν ἀγωγαῖς ἢ παραγραφαῖς, τὴν πρὸς σύστασιν τοῦ ὑποκειμένου δέχεσθαι χρὴ, οὐ τὴν πρὸς ἀναίρεσιν[71].

νς΄. Ἐάν τις ἔχῃ ἀμπελῶνα καὶ λεγατεύσῃ τινὶ τὸν ἐξ αὐτοῦ γενησόμενον οἶνον, τοσόνδε προσθεὶς ῥητὸν καὶ τὸ τοῦ οἴνου ποσὸν, ἔπειτα δὲ ὁ ἀμπελὼν οὐ ποιήσῃ τόσον οἶνον, ὅσον ὁ διαθέμενος εἴπῃ, ἀλλ' ὀλιγότερον, ὁ λεγατάριος οὐκ ἔχει ἄδειαν ἐξ ὁλοκλήρου ζητεῖν τὴν λεγατευθεῖσαν αὐτῷ τοῦ οἴνου ποσότητα, ἀλλ' ἀναγκάζεται ἀρκεσθῆναι εἰς ὅσον ὁ ἀμπελὼν, ἐξ οὗ ἐτάχθη τὸν οἶνον λαβεῖν, κατὰ τὸν χρόνον ἐκεῖνον ἐκαρποφόρησεν[72].

νζ΄. Εἶχέ τις δοῦλον, ὃν οὐκ ἠδύνατο ἐλευθερῶσαι, ἀλλ' ἐξ ἀνάγκης ἁπάσης ἦν πρὸς τὸν οἰκεῖον κληρονόμον παραπέμψαι τὴν δουλείαν αὐτοῦ· ἔπειτα διατιθέμενος ἀφῆκεν αὐτὸν

[64] A ἐπαπολάβωσι. [65] Syn. Δ, 1 ex Bas. XLIV, 14, 14. [66] Syn. l. l. ex Bas. XLIV, 15, 19. [67] Syn. l. l. ex Bas. XLIV, 15, 26. [68] Syn. l. l. ex Bas. XLIV, 18, 26. [69] Syn. l. l. ex Bas. XLIV, 17, 17. [70] Syn. l. l. ex Bas. XLIV, 16, 32. [71] Syn. l. l. ex Bas. XLIV, 18, 11. [72] Syn. l. l. ex Bas. XLIV, 9, 5.

ἑτέρῳ, οὐ τῷ κληρονόμῳ, προσθεὶς ἵνα ἐλευθερώσῃ τὸν δοῦλον ὁ τοῦτον λαβών· ὁ νόμος ὁρίζει, ἵνα ὁ τὸν δοῦλον λαβὼν εἰς λεγάτον μὴ καταναγκάζεται ἐλευθερῶσαι αὐτὸν, ἀλλὰ λαμβάνῃ μὲν αὐτὸν ὡς λεγάτον, ἔχῃ δὲ καὶ χρῆται αὐτῷ ὡς βούλεται. καὶ τὸ μὲν, τουτέστι τὸ λαμβάνειν τὸν δοῦλον τὸν λεγατάριον, γίνεται, ἵνα μὴ πάντῃ ἡ τοῦ διαθεμένου βούλησις καὶ διάταξις ἄκυρος παροραθείη καὶ ἄπρακτος· τὸ δὲ, ἤγουν τὸ μὴ ἐλευθερωθῆναι τὸν δοῦλον, ἐπάγεται, ἵνα μὴ τὸ κατὰ πανουργίαν πεπραγμένον ἰσχύσῃ περιγενέσθαι τῆς ἀδολιεύτου ἁπλότητος, μηδὲ ὁ διαθέμενος δυνηθῇ τῷ οἰκείῳ δούλῳ ἀλλοτρίῳ ὄντι διὰ τῆς ἐλευθερίας πλέον χαρίσασθαι ἢ τῷ κληρονόμῳ, ᾧ φυσικῶς ὤφειλε μᾶλλον προστίθεσθαι[73].

νη'. Εἶχέ τις ἀγρὸν, καὶ παρ' αὐτοῦ τούτου τοῦ ἔχοντος τὸν ἀγρὸν ἠξιώθη ἄλλος ἤγουν ἄξιος ἐκρίθη ὡς λεγατάριος λαβεῖν τὸν ἀγρὸν ὅλον, πλὴν οὕτως, ἐὰν δώσει διὰ τὴν τοῦ ἀγροῦ κτῆσιν νομίσματα ι'. ὁ δὲ μὴ δυνάμενος τὰ ι' ἀποδοῦναι νομίσματα, ζητεῖ δοῦναι τὰ ε' καὶ λαβεῖν τὸ ἥμισυ τοῦ ἀγροῦ. ὁ νόμος ὁρίζει, μὴ εἰσακούεσθαι τούτου τὴν ζήτησιν, ἀλλὰ καθ' ὁλοκληρίαν τοῦ ἀγροῦ στερεῖσθαι αὐτόν[74].

νθ'. Ἀφείθη λεγάτον, ἵνα δοθῇ τινι, ὅταν τοσῶνδε χρόνων γένηται· ἐγένετο εἰς τὴν τοιαύτην ἡλικίαν, καὶ τὸ λεγάτον οὐκ ἀπήτησεν οὐδὲ ἔλαβεν, ἢ ἀπήτησε μὲν, λαβεῖν δὲ οὐκ ἔφθασε, καὶ ἐτελεύτησε μὴ λαβών· ὁ νόμος ὁρίζει, ἵνα λογίζηται τὸ λεγάτον τοῦ ταχθέντος αὐτὸ λαβεῖν καὶ παραπέμπηται ἀνεμποδίστως πρὸς τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ[75].

ξ'. Λεγάτα χωρὶς χρόνου καταλειφθέντα αὐτίκα ὀφείλουσιν ἀποδίδοσθαι[76].

ξα'. Ὁ κληρονόμος ἀπαιτεῖται πρὸς τοὺς λεγαταρίους διδόναι περὶ τῶν λεγάτων ἀσφάλειαν[77].

ξβ'. Ὁ λεγατάριος ἅπαξ ἐγγυητὰς δεξάμενος περὶ τῆς τῶν λεγατευθέντων αὐτῷ ἀποδόσεως οὐ δύναται αὐτοὺς παραιτεῖσθαι καὶ ζητεῖν ἄλλους[78].

ξγ'. Μετὰ τὸ τοὺς λεγαταρίους εἰς κρίσιν ἀναδραμεῖν ἐὰν ἓξ παρέλθωσι μῆνες συναπτῶς ἤγουν ἡνωμένως ἐξ ἐκείνου τοῦ καιροῦ ἀριθμούμενοι, καὶ οὐ δώσει ὁ κληρονόμος περὶ τῶν λεγάτων ἀσφάλειαν εἰς αὐτοὺς, οἱ λεγατάριοι καρποῦνται τὰ

---

[73] Syn. Δ, 1 ex Bas. XLIV, 19, 36. [74] Syn. l. l. ex Bas. XLIV, 19, 55. [75] Syn. l. l. ex Bas. XLIV, 19, 112. [76] Syn. l. l. ex Bas. XLIV, 20, 18. [77] Syn. l. l. ex Bas. XLIV, 21, 1. [78] Syn. l. l. ex Bas. XLIV, 22, 3.

τοῦ κληρονόμου πράγματα καὶ νέμονται ταῦτα, ἕως οὗ τὰ λεγάτα πρὸς τούτους ἀποδοθῇ. τοῦτο γίνεται καὶ ἐπὶ παντὸς, ὅστις χρεωστεῖ ἵνα τὶ πρᾶγμα ἀποκαταστήσῃ καὶ ἀποδώσει πρὸς ἄλλους. δύνανται γὰρ ἐκεῖνοι, οἷς ἀνήκει τὰ πράγματα, ἐὰν οὐ διδῷται πρὸς αὐτοὺς παρὰ τῶν κατεχόντων τὰ ἀνήκοντα τούτοις ἀσφάλεια, παρελθόντων μηνῶν ἓξ τὰ πράγματα ἐκείνων ἀντὶ τῶν ἰδίων τουτέστι τῶν ἀνηκόντων αὐτοῖς καρποῦσθαι καὶ νέμεσθαι. τοῦτο δὲ τοιοῦτον ἐστίν· οὐ μόνον ὁ κληρονόμος ὀφείλει τοῖς λεγαταρίοις ἀποκαθιστᾶν τὰ λεγάτα, ἀλλὰ καὶ ἄλλοι τινὲς, οἳ[79] *κατέχουσι πράγματα ἀνήκοντα ἑτέροις καὶ ὀφείλοντα ἀποκατασταῆναι αὐτοῖς. ἀπαιτεῖται γοῦν καὶ ὁ κληρονόμος καὶ οἱ ἄλλοι οἱ κατέχοντες πράγματα ἀνήκοντα ἄλλοις διδόναι πρὸς τοὺς κυρίως δεσπότας τῶν πραγμάτων ἀσφάλειαν, ὡς ἀποδώσουσιν αὐτοῖς ταῦτα κατὰ τὸν καιρὸν τὸν προσήκοντα. καὶ εἰ μὲν δώσουσιν ἀσφάλειαν, θαῤῥοῦσιν οἱ κύριοι τῶν πραγμάτων ἐπὶ τῇ ἀσφαλείᾳ τούτων καὶ ἡσυχάζουσιν· εἰ δὲ οὐκ ἐξασφαλίσονται, παρελθόντων μηνῶν ἓξ λαμβάνουσιν οἱ δεσπόται τῶν πραγμάτων τὰ προσόντα τούτοις καὶ νέμονται, ἕως οὗ τὰ ἴδια ἀποδοθῶσιν αὐτοῖς. τοῦτο δὲ γίνεται, κἂν μέγα κἂν μικρὸν εἴη τὸ λεγατευθέν*[80].

ξδ΄. Ὁ κατὰ τῆς διαθήκης κινῶν καὶ τῶν λεγάτων *ἐκπίπτει καὶ πάντων τῶν ἀπὸ γνώμης τοῦ τελευτήσαντος, εἰ μὴ τοιοῦτος πολλάκις εἴη, ὁποῖος καὶ ἐξ ἀδιαθέτου κληρονομεῖν αὐτὸν δύναται*[81].

ξε΄. Ἐπαφῆκέ τις εἰς λεγάτον *τινὶ ναῦν, εἶτα ταύτην κατὰ μέρος καὶ μέρος καινίζων ἀνενεώσατο πᾶσαν, μόνην τὴν τρόπιν καταλείψας τὴν παλαιάν. ἡ τοιαύτη ναῦς κατὰ τὴν τῶν νόμων διάταξιν ἤγουν ἡ ἀνακαινισθεῖσα ἐκείνῳ δίδοσθαι εἰς λεγάτον ἐξ ἀνάγκης ὀφείλει, ᾧτινι κατελείφθη λεγάτον οὖσα παλαιά*[82].

ξς΄. Τῶν λειτουργιῶν, *ἤγουν τῶν δημοσιακῶν ὑπηρεσιῶν τε καὶ δουλειῶν, αἱ μὲν εἰς πρόσωπα τίθενται καὶ καλοῦνται προσωπικαὶ, ὡς ὅταν τὶς δι' ἑαυτὸν ἀγγαρείαν ἢ ἑτέραν τινὰ δουλείαν τῷ δημοσίῳ ἀποδιδῷ· αἱ δὲ εἰς κτήσεις τινὰς καὶ οὐσίας καὶ καλοῦνται οὐσιακαί. εἰσὶ δὲ αὗται μὲν, αἱ οὐσιακαὶ δηλονότι, καὶ μονιμότεραι· αἱ δὲ προσωπικαὶ εὐχερέστερον ἐναλλάττονται. τῇ γὰρ τοῦ προσώπου μεταδόσει ἢ τελείᾳ λήψει καὶ αὗται συναπόλλυνται*[83].

[79] Deest in A. [80] Syn. *Δ*, 1 ex Bas. XLIV, 22, 5. [81] Syn. l. l. ex Bas. XLIV, 23, 1. [82] Syn. l. l. ex Bas. LIII, 4, 2. [83] Syn. *Δ*, 2 ex Bas. LIV, 4, 5.

ξζ΄. Οὐ δυνατὸν ἀπαργυρίζεσθαι λειτουργίαν, τουτέστιν ἀντὶ τῆς λειτουργίας καὶ τοῦ ἐργάζεσθαι ταύτην διδόναι χρήματα· ὡς ὅταν τὶς διὰ τὴν ἐπικειμένην αὐτῷ δημοσιακὴν δουλείαν πειρᾶται χρήματα ἀντὶ ταύτης διδόναι καὶ ἀπολύεσθαι. τοῦτο δὲ γίνεται, ὅταν σωματική, ἀλλ' οὐ χρηματικὴ λειτουργία τινὶ ἐπίκειται. οὐ γὰρ δοκεῖ ἀπαργυρίζεσθαι λειτουργίαν ὁ τὴν χρηματικὴν λειτουργίαν διὰ χρημάτων καταβαλλόμενος, ἀλλ' ὁ τὴν σωματικὴν πληροῦν διὰ χρημάτων πειρώμενος[84].

ξη΄. Εἰς λειτουργίας χρηματικὰς μετὰ τῶν ἀνδρῶν πολλάκις καὶ γυναῖκες ἕλκονται[85].

ξθ΄. Οἱ τῶν ἐπισκόπων κληρικοὶ ἀπὸ μὲν τῶν προσωπικῶν λειτουργιῶν ἐξκουσεύονται, ἀπὸ δὲ τῶν κτηματικῶν οὐκ ἐξκουσεύονται[86].

ο΄[87]. Τῷ λειτουργίαν ἔχοντι ἤγουν[88] δημοσιακὴν ὑπηρεσίαν ἐπικλᾶται τουτέστιν ἐπιτίθεται καὶ τιμή, δηλονότι ἐνέργεια· τῷ δὲ τιμὴν ἔχοντι οὐκ ἐπικλᾶται λειτουργία. δεῖ γὰρ τὸν ἐνεργοῦντα ἐκτὸς εἶναι λειτουργιῶν, τὸν δὲ λειτουργοῦντα οὐκ ἀνάγκη χωρὶς ἐνεργείας διαφυλάττεσθαι[89].

ΑΡΧΗ ΤΟΥ Μ[1].

α΄. Μοναχὸς τοῦ μοναστηρίου ἀναχωρῶν καὶ ἰδιωτικῶς προαιρούμενος ζῆν ἀπόλλυσιν, εἴ τι εἰσήγαγεν εἰς τὸ μοναστήριον[2].

β΄. Μονάζοντες πατέρες ἢ παῖδες οὐκ ἐκβάλλονται τῆς κληρονομίας δι' αἰτίαν γενομένην πρὸ τοῦ ἀποκαρῆναι τούτους εἰς μοναχούς[3].

γ΄. Μοναχὸς καταλείψας τὸ ἴδιον μοναστήριον καὶ εἰς ἄλλο ἐλθών, ὅσα πράγματα ἔχει κατὰ τὸν καιρὸν ἐκεῖνον ὅτε καταλιμπάνει τὸ μοναστήριον, ἐν αὐτῷ ταῦτα ἀφιέναι καταναγκάζεται, καὶ οὐ δύναται μετακομίζειν εἰς τὸ μοναστήριον εἰς ὃ[4] βούλεται ἀπελθεῖν[5].

α΄. Κανὼν περὶ μαινομένου. — Ὁ μεμηνὼς καὶ ὁ ἄσωτος οὐδεμίαν ἔχει βούλησιν.

---

[84] Syn. *Λ*, 2 ex Bas. LIV, 4, 12. [85] Syn. l. l. ex Bas. LIV, 5, 21. [86] Syn. l. l. ex Bas. III, 3, 4. [87] In D est *οβ΄*. [88] D *ἤ*. [89] Syn. *Λ*, 2 ex Bas. LIV, 4, 8. — Caeterum D *φυλάττεσθαι* pro *διαφυλ.* habet.

[1] A addit *βιβλίου*, D *στοιχείου*. [2] Att. III. [3] Att. III. [4] D *ἐν ᾧ*. [5] Att. III.

δ'. *Μονοπωλεῖον οὐδενὶ κατ' οὐδένα τρόπον ἔξεστιν ἔχειν, ἀλλὰ πάντες τοῦτο πράττειν παρὰ τοῦ νόμου κωλύονται*[6].

ε'. *Ἡ μίσθωσις ὑπὸ τὴν κατὰ συναίνεσιν*[7] *ἀγωγὴν ἀνάγεται καὶ αὐτὴ (συναίνεσις δέ ἐστιν ἡ συμφωνία καὶ συγκατάθεσις), καὶ πάντα, ὅσα τὶς ποιῶν λαμβάνει τὸν ἐπὶ τούτοις μισθὸν, ἐπὶ μισθώσει γίνεσθαι λέγεται, καὶ ὅλον τοῦτο τὸ ἔργον μίσθωσις ὀνομάζεται*[8].

ς'. *Μίσθωσις δέ ἐστι καὶ τὸν ἴδιον οἶκον ἢ ἀγρὸν ἐπὶ πάκτῳ πρός τινα δοῦναι· ἔοικε γὰρ καὶ τοῦτο τρόπον τινὰ τοῖς πραττομένοις ἐπὶ μισθῷ*[9].

ζ'. *Τὸ δὲ πάκτον δηλοῖ συμφωνίαν, καὶ τὸ ἀπὸ συμφωνίας παρά τινος ὀφειλόμενον πρὸς ἄλλον τινὰ καταβάλλεσθαι*[10].

η'. *Αἱ περὶ μισθώσεως ἢ ἐπὶ μισθώσει συμφωνίαι κρατείτωσαν*[11].

θ'. *Παρὰ τῷ νόμῳ τὸ εἰπεῖν οὕτως· ὁ μισθώσας, τὸν διδόντα τὸν μισθὸν δηλοῖ, τὸ δὲ εἰπεῖν· ὁ μισθωσάμενος, τὸν λαμβάνοντα τὸν μισθόν. παρὰ δὲ τοῖς ἄλλοις τὸ μέν· ὁ μισθώσας, οὐ πάνυ εὔχρηστον, τό· ὁ μισθωσάμενος δὲ τὸν τὸν μισθὸν διδόντα δηλοῖ*[12].

ι'. *Ὁ ἐπὶ μισθῷ ἤγουν διὰ τὸν προσήκοντα μισθὸν λαβεῖν ἀναδεξάμενός τι, ἐὰν ἐξ ἀμελείας αὐτοῦ ἢ δόλου γένηται βλάβη εἰς πρᾶγμα ὃ ἀνεδέξατο, ἀπαιτεῖται τὸ ζημιωθὲν ἱκανῶσαι τῷ δεσπότῃ τοῦ πράγματος, ἤγουν χρεωστεῖ ἀποδοῦναι τοῦτο τῷ δεσπότῃ ἀκέραιον πᾶν ὅπερ ἐζημιώθη ἐξ ἀμελείας ἢ ἐκ δόλου αὐτοῦ*[13].

ια'. *Ὁ λαβὼν μισθὸν, ἵνα πρᾶγμα φυλάξῃ τὶ, εἰ μὴ φυλάξει, εἰς κίνδυνον ὑπάγεται κατακρίσεως. τὸν γὰρ ὑπισχνούμενόν τι φυλάσσειν ἐγκινδυνεύειν περὶ τὴν αὐτοῦ φυλακὴν ὁ νόμος παρακελεύεται, τουτέστιν ἐὰν καθὼς ὑπέσχετο μὴ φυλάξῃ, κίνδυνον καταδίκης ὑφίστασθαι*[14], *διὸ καὶ μέχρι κινδύνου ἑαυτὸν ἐμβάλλειν ὀφείλει ἐπὶ τῷ φυλάξαι ὃ ἀνεδέξατο. τοσοῦτον ἐνέχεται εἰς τὴν τοῦ παραδοθέντος αὐτῷ πράγματος φυλακὴν, ὡς καὶ αὐτὸς ἑαυτὸν ἐμβάλλειν εἰς κίνδυνον, καὶ μὴ ἄλλως ἀναίτιος εἶναι, εἰ μὴ ἀποδείξει, ὅτι διὰ τὸ παραδοθὲν πρᾶγμα καὶ ἐκινδύνευσε καὶ τὸν ἐπιβουλεύοντα ὅσον ἐδύνατο ἠμύνατο καὶ εἰς κίνδυνον ἑαυτὸν ἐνέβαλε*[15] *διὰ τὴν τοῦ παραδοθέντος αὐτῷ πράγματος φυλακήν*[16].

---

[6] Att. XI (12). [7] A *σύνεσιν*. [8] Att. XII (13). [9] Att. ibid. [10] Att. ibid. [11] Att. ibid. [12] Att. ibid. [13] Att. ibid. [14] B *ὑφίσταται*. [15] A *ὅσον δύναται καὶ εἰς κίνδ. ἐμβάλλειν*. [16] Att. XII (13).

ιβ΄. Ἐὰν ὁ λαβὼν *μισθὸν* ποιῆσαί τι τάξῃ καὶ προθεσμίαν ἤγουν τεταγμένην ἡμέραν, καθ᾽ ἣν πληρώσῃ ὃ ἔταξε, καὶ συμφωνήσῃ τοῦτο, καὶ μετὰ ταῦτα παρέλθοι ἡ προθεσμία καὶ αὐτὸς οὐ ποιήσει ὃ συνεφώνησεν, ἐπ᾽ ἀδείας ἐστὶ τῷ δεσπότῃ ἐξωθεῖν αὐτὸν, ἀλλὰ καὶ ἐντὸς τοῦ τῆς πακτώσεως[17] χρόνου ἄδεια ἐστὶ τῷ δεσπότῃ τὸν μισθωσάμενον ἐξωθεῖν, ἐὰν μὴ ἐμπροθέσμως καταβάλῃ τὸ μίσθωμα, ἤγουν τὸ ποσὸν ἐκεῖνο ἢ τὴν δουλείαν ὑπὲρ οὗ[18] ἔλαβε τὸν μισθόν[19].

ιγ΄. *Μίσθωμα* παρὰ τῷ νόμῳ πάντοτε[20] μὲν ἢ ὡς ἐπὶ τὸ πλεῖστον ὃ ὁ λαμβάνων τὸν μισθὸν συμφωνεῖ ὑπὲρ τοῦ μισθοῦ καταβαλέσθαι καὶ ἀποδοῦναι, ποτὲ δὲ καὶ ἐπ᾽ ὀλίγον καὶ αὐτὸ τὸ διδόμενον ὡς μισθός[21].

ιδ΄. Ὅστις ἀφήσει τὸ πρᾶγμα εἰς ὃ *ἐμισθώθη*, καὶ ὑποχωρήσει πρὸ τῆς τοῦ τεταγμένου καιροῦ συμπληρώσεως, δίδωσι τοῦ χρόνου ὅλου τὸ μίσθωμα, ἤγουν ὅσον ἀνῆκεν ἢ ὅσον ἐδόθη αὐτῷ ἢ ἑτέρῳ μετὰ τὸ ἀποδημῆσαι αὐτὸν εἰς μισθὸν ὑπὲρ τοῦ ὅλου χρόνου[22].

ιε΄. Ἀξιοπίστους δεῖ τοὺς *μάρτυρας* εἶναι[23].

ιϛ΄. Γίνονται *μαρτυρίαι* καὶ ἐπὶ χρηματικαῖς καὶ[24] ἐπὶ ἐγκληματικαῖς ὑποθέσεσιν. οὐ πάντες δὲ ἄνθρωποι δύνανται μαρτυρεῖν, οὐδὲ πάντες εἰς μαρτυρίαν εἰσὶν εὐπαράδεκτοι, ἀλλ᾽ ἐκεῖνοι μόνοι μαρτυροῦσιν, ὅσοι οὐ κωλύονται παρὰ τοῦ νόμου οὐδὲ ἐξκουσεύονται μαρτυρεῖν. εἰσὶ γάρ τινες μὲν κεκωλυμένοι, ὡς οἱ ἄτιμοι καὶ οἱ πένητες, ἤγουν οἱ διὰ πράξεις αἰσχρὰς καὶ πταίσματα καὶ φαῦλον βίον ἠτιμωμένοι καὶ οἱ μηδὲ μέχρι ν΄ νομισμάτων περιουσίαν ἔχοντες. κωλύονται καὶ παῖδες μαρτυρεῖν κατὰ τῶν γονέων αὐτῶν, καὶ γονεῖς κατὰ παίδων· καὶ γυναῖκες, εἰ μὴ τυχὸν ἐν τοιούτῳ τόπῳ ὑπόθεσις γένηται, ἐν ᾧ οὐ δυνατὸν εἰσελθεῖν ἄνδρας, οἷον ἐν λουτρῷ γυναικείῳ ἢ ὅταν τεκοῦσα γυνὴ ἐν λοχῷ εἴη καὶ ὡς οἱ κοινοὶ λέγουσι λεχοῦσα· τότε γὰρ μόνον μαρτυροῦσι γυναῖκες, ἐν δὲ τοῖς ἄλλοις κωλύονται μαρτυρεῖν. κωλύονται καὶ δοῦλοι μαρτυρεῖν κατὰ δεσποτῶν, κωλύονται καὶ ἀνήλικες μαρτυρεῖν, καὶ αἱρετικοὶ κατὰ χριστιανῶν εἰς μαρτυρίαν οὐ παραδέχονται. καὶ οὗτοι μὲν πάντες εἰσὶν οἱ παρὰ τοῦ νόμου κεκωλυμένοι πρὸς μαρτυρίαν· ἐξκουσεύονται δὲ, ἤγουν ὡς κρείττονες καὶ ὑπερέχοντες τῶν εἰς μαρτυρίαν καλουμένων παρά τινων δεφενδεύονται καὶ οὐκ ἐῶνται

---

[17] B πακτεύσεως. [18] B ἧς. [19] Att. XII (13). [20] Malim ποτέ.
[21] Ad Att. XII (13). [22] Att. ibid. [23] Att. XIII (16). [24] B καὶ — καὶ non habet.

εἰς μαρτυρίαν παρὰ δικαστῶν ἕλκεσθαι, ἀρχιερεῖς, ἱερεῖς, πρωτοσπαθάριοι, οἱ ἐν μεγάλαις τιμαῖς τε καὶ ἀξιώμασιν. οὗτοι γὰρ ἄκοντες μὲν ἤγουν μὴ θέλοντες οὐκ ἀναγκάζονται μαρτυρεῖν, εἰ δὲ αὐτοπροαιρέτως βούλονται, μαρτυροῦσιν ὅπερ γινώσκουσι. καὶ ὁ νόμος γὰρ τοὺς ἀναγκαζομένους μαρτυρεῖν ἢ καὶ ὀμνύναι παραδηλώσας, τοὺς ἐξκουσευομένους ἀπὸ τούτων ἐξέβαλεν[25].

ιζ'. Οἱ μάρτυρες τῶν ἐκμαρτυρίων εἰσὶ πιστότεροι. ἐκμαρτύρια δὲ παρὰ τῷ νόμῳ καλοῦνται, ὅσα ἐπὶ μαρτυρίαις γίνονται γράμματα. τοῖς μάρτυσι γοῦν μᾶλλον ἢ τοῖς ἐκμαρτυρίοις προσέχειν δεῖ[26].

ιη'. Ἀπὸ ἐπαρχίας ἄλλης εἰς ἐπαρχίαν ἄλλην οὐδεὶς πρὸς μαρτυρίαν μὴ βουλόμενος ἕλκεται[27].

ιθ'. Οἱ πλαστῶς μαρτυροῦντες, ἢ ταῖς ἰδίαις μαρτυρίαις ἐναντιούμενοι, ἢ ὑπὲρ δύο μαρτυροῦντες μερῶν ἀντιδικαζομένων ἀλλήλοις, παρὰ τῶν ἀρχόντων ὡς εἰκὸς τιμωρείσθωσαν[28].

κ'. Οὐ λογίζεται πρὸς μαρτυρίαν ἀξιόπιστος εἶναι, ὅστις ὑπόνοιαν δίδωσιν ὅτι ἐκ κελεύσεως ἄλλου λέγει ὃ μαρτυρεῖ· οἷον υἱὸς, ἢ δοῦλος, ἢ μισθοεργός[29].

κα'. Οὐ τῷ πλήθει τῶν μαρτύρων πρέπει πιστεύειν, ἀλλὰ τῇ αὐτῶν ὑπολήψει τε καὶ ἀκεραιότητι[30].

κβ'. Ἄγραφος μαρτυρία κατὰ ἐγγράφου μαρτυρίας ἰσχύειν οὐ δύναται[31].

κγ'. Ἑνὸς ἀνδρὸς μαρτυρία οὐ παραδέχεται[32].

κδ'. Μάρτυρας προκομίζειν καθ' ἑαυτοῦ οὐδεὶς ἀναγκάζεται[33].

κε'. Τῶν μαρτύρων ἐπικρατέστερα ἤγουν δυνατώτερα καὶ[34] ἰσχυρότερα κῆνσος καὶ τὰ δημόσια ὑπομνήματα[35].

κϛ'. Οἱ μάρτυρες ιε' ἡμέρας διὰ τὸ μαρτυρῆσαί τινα ὑπόθεσιν ἐν τῷ δικαστηρίῳ ποιήσαντες, ἐὰν μέχρι καὶ συμπληρώσεως τῶν τοιούτων ιε' ἡμερῶν ὁ ἀντίδικος ὑπερθέμενος οὐκ ἔλθῃ εἰς τὸ δικαστήριον, ἵνα ἐνώπιον αὐτοῦ ἡ μαρτυρία γένηται, ἔξεστι τῷ δικαστῇ μονοπροσώπως τοὺς μάρτυρας ἐρωτᾶν καὶ δέχεσθαι τὰς μαρτυρίας αὐτῶν καὶ ἀπολύειν εἰς τοὺς ἰδίους οἴκους τοὺς μάρτυρας[36].

κζ'. Μνηστεία ἐστὶν ἡ τῶν μελλόντων γενέσθαι γάμων

---

[25] Att. XIII (16). [26]—[33] Att. ibid. [34] Verba δυν. καὶ desunt in B.
[35] Att. XIII (16). [36] Att. ibid.

ὑπόσχεσις. τὸ γὰρ προοικονομεῖν καὶ προκατασκευάζειν τὸ μετὰ ταῦτα μέλλον γενέσθαι καὶ τὸ ἕλκειν καὶ φέρειν τινά τι πρᾶγμα πρὸς ἑαυτὸν μνηστεύεσθαι λέγουσιν· ἐμφαίνει δὲ καὶ αὐτὸ τὸ ὄνομα τῆς μνηστείας μνήμην τοῦ ἐπαγγέλματος[37].

κη΄. Μνηστεία καὶ ἐκ μόνης συγκαταθέσεως γενέσθαι δύναται. καὶ ἐπὶ ἀπόντων μνηστεία γίνεται, ἐὰν μόνον γινώσκωσι ταύτην οἱ ἀπόντες καὶ δέχωνται[38].

κθ΄. Ὁ τῶν ἑπτὰ ἐτῶν ἥττων ὤν, τουτέστιν ἐλάττων καὶ κατωτέρω τῶν ζ΄ χρόνων, οὐ δύναται μνηστείαν ποιεῖν· ὁ δὲ ὑπὲρ τοὺς ζ΄ χρόνους καὶ ἐπάνω τούτων μνηστεύεται, διότι καὶ δύναται νοεῖν τὸ γινόμενον[39].

λ΄. Ἄρχων εἰς ἐκείνην τὴν ἐπαρχίαν, εἰς ἣν αὐτὸς ἄρχων ἐστὶν, οὐ μνηστεύεται[40].

λα΄. Οἱ μάρτυρες οἱ εἰς διαθήκην ὑπογράψαι ὀφείλοντες οὕτω καλῶς ὑπογράφουσι καὶ βεβαιοῦσι τὴν διαθήκην, ἐὰν ἐπ᾽ αὐτὸ τοῦτο το βεβαιωσαι τὴν διαθήκην παρὰ τοῦ ποιήσαντος αὐτὴν προσεκλήθησαν· ἐὰν δὲ δι᾽ ἄλλην αἰτίαν ἢ κατὰ τύχην εὑρέθησαν, οὐκ ὀφείλουσιν ὑπογράφειν ἐν τῇ διαθήκῃ, εἰ δὲ καὶ ὑπογράψουσι ταύτην, ἡ διαθήκη τὸ στέργον ἔχειν οὐ δύναται[41].

λβ΄. Οἱ μάρτυρες ἐν ἄλλῳ μὲν καὶ ἄλλῳ δακτυλιδίῳ[42] σφραγίζειν τὴν διαθήκην καὶ ἐν ἑνὶ δὲ πάντες καὶ τῷ αὐτῷ οὐ κωλύονται, κἂν ἴδιος αὐτῶν εἴη κἂν ἀλλότριος ὁ δακτύλιος, ἤγουν τὸ ἐπὶ τῷ δακτύλῳ φερόμενον σφραγιστήριον καὶ ὃ λέγουσιν οἱ κοινοὶ δακτυλίδιον. χωρίζεσθαι δὲ καὶ ἀνὰ μέρος σφραγίζειν ἕκαστος ἢ κατὰ ἄλλον τόπον τοῦτο ποιεῖν παρὰ τοῦ νόμου κωλύονται, καὶ ὁμοῦ πάντες καὶ ἐνώπιον τοῦ διατιθεμένου καὶ βλέποντος τούτους σφραγίζειν τὴν διαθήκην καταναγκάζονται[43].

λγ΄. Καὶ ὁ ἀγράφως δὲ περί τινων πραγμάτων διατιθέμενος ἐπὶ τῶν αὐτῶν μαρτύρων καὶ ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ ἀκουόντων αὐτῶν ποιεῖν ὀφείλει τὴν διαθήκην· καὶ ἐπὶ τῶν διαθηκῶν ἐν τοῖς τόποις ἐκείνοις, ἐν οἷς ἄνθρωποι οὐκ εἴσι νόμων καὶ γραμμάτων εἴδησιν ἔχοντες, ἡ συνήθεια τοῦ τόπου κρατεῖ, καὶ τὴν γενομένην ἐν αὐτοῖς διαθήκην οὐκ ἀπαιτοῦμεν κατὰ τὴν τῶν νόμων ἀκρίβειαν γίνεσθαι, ἀλλὰ ἐὰν[44] μόνον κατὰ τὸ ἔθος τοῦ τόπου γέγονε, στέργεται. πολλάκις δὲ ἐπὶ διαθη-

---

[37] Att. XIX (24). [38] Att. ibid. [39] Att. ibid. [40] Att. ibid. [41] Att. XXIII (31). [42] B δακτυλίῳ. [43] Att. XXIII (32). [44] B ἀλλ᾽ εἰ.

κῶν ἐν τόποις ὅπου εἰσὶν ἀγράμματοι ἄνθρωποι, καὶ διαθήκας ἐγγράφους καὶ ἀγράφους παραδεχόμεθα μάρτυρας, ἢ τὰς μὲν διαθήκας ἐγγράφους, τοὺς μάρτυρας δὲ ἀγράφους, ἐὰν τυχὸν εἷς μόνος εὑρεθῇ εἰδὼς γράμματα ὁ γράψας τὴν διαθήκην, οἱ δὲ ἄλλοι μήτε γινώσκωσι γράμματα μήτε τῷ γινώσκοντι ἀνθ' ἑαυτῶν ὑπογράψαι προτρέψωσιν[45].

λδ'. Οἱ μάρτυρες τῆς διαθήκης ἐλάττονες τῶν ε' οὐκ ὀφείλουσιν εἶναι, ἀλλ' ἢ ζ' ἔστωσαν ἢ τὸ ἐλάχιστον ε'· σπανιώτατα δὲ καὶ ἐν τοῖς ἀπορωτάτοις τόποις καὶ τρεῖς[46].

λε'. Ἀγράμματοι μάρτυρες ἐν διαθήκῃ μυστικῶς ἤγουν κρυφίως γινομένῃ οὐ παραδέχονται, οὐδὲ διαθήκη μυστικὴ στέργεται, εἰ μὴ δι' οἰκείας ὑπογραφῆς βεβαιώσουσιν αὐτὴν οἱ διαταξάμενοι. καὶ διὰ τοῦτο οὔτε γυναῖκες οὔτε ἀγράμματοι μυστικῶς διατάττονται. ἔοικεν[47] ὁ νόμος ἐνταῦθα τῷ παλαιῷ ἔθει ἀκολουθεῖν, καθ' ὃ οὐδεμιᾷ γυναικὶ ἐνδεδομένον ἦν ἐν γράμμασιν ὑπογράφειν καὶ οὓς βούλονται χάρτας δι' ὑπογραφῶν βεβαιοῦν[48].

λϛ'. Μήτηρ ὁμοῦ καὶ παῖς ἐν πλοίῳ διαπλέοντες θάλατταν ἐναυάγησαν, ἤγουν ἐκινδύνευσαν καὶ ἐπνίγησαν. ὁ ἀνὴρ τῆς γυναικὸς τῶν πραγμάτων ταύτης ἀντιποιούμενος καὶ διὰ τὸν παῖδα ζητῶν ταύτην κληρονομεῖν πρὸς τὸν πατέρα καὶ τὴν μητέρα ἢ τοὺς ἀδελφοὺς τῆς γυναικὸς διαμάχεται ἢ καὶ πρὸς ἄλλους τινὰς τοὺς ἐκ τοῦ μέρους αὐτῆς· ἀνθίσταται δὲ καὶ πρὸς τὸν ἄνδρα τὸ μέρος τῆς γυναικὸς καὶ τῶν γυναικείων πραγμάτων ὡς ἀκληρονόμητον αὐτὸν ἐκδιώκουσι. ζητοῦσιν οἱ δικασταὶ, ἐὰν ἡ μήτηρ πρὸ τοῦ παιδὸς ἢ ὁ παῖς πρὸ τῆς μητρὸς ἐτελεύτησεν· ἀκούουσιν, ὅτι ἅμα καὶ κατὰ τὸν αὐτὸν καιρὸν ἐν τῇ θαλάττῃ ἐπνίγησαν, ὡς τυχὸν ἅμα πάντων τῶν ἐν τῷ πλοίῳ διὰ τῆς τοῦ πλοίου καταστροφῆς ἐναποῤῥιφέντων τοῖς ὕδασι. τότε τοίνυν, ὅτε οὕτως ἔχει τὰ πράγματα καὶ τοιαύτη γίνεται ζήτησις, ὁ νόμος ὁρίζει, εἰ μὲν ἔφηβος ὑπῆρχεν ὁ παῖς, ἤγουν ἐὰν ἦν κατὰ τὴν ἡλικίαν τῶν ιδ' χρόνων ἐπέκεινα, τὴν μητέρα νομίζειν προτελευτήσασαν· ἐὰν δὲ ὁ παῖς ἔτι ἄνηβος ᾖ, ἤγουν ἐὰν ἡ ἡλικία αὐτοῦ κατωτέρω τῶν ιδ' χρόνων ἐστὶ, τὸν παῖδα κρίνει πρὸ τῆς μητρὸς τελευτήσαντα· καὶ ἑξῆς πρὸς τὴν τοῦ δικαίου ἀκολουθίαν ἡ ὑπόθεσις λύεται. τὴν δὲ τοιαύτην κρίσιν τὴν περὶ τοῦ παιδὸς καὶ τῆς τεκούσης αὐτὸν καὶ περὶ τοῦ ποῖος

---

45 Att. XXIII (32). 46 Att. ibid. 47 Verba ἔοικεν — βεβαιοῦν E non habet. 48 Att. ibid.

αὐτῶν πρὸ τοῦ ἄλλου τελευτήσας νομίζεται, κατὰ τὴν τοῦ νόμου διαταγὴν γενομένην κατὰ πρόληψιν ὀνομάζουσιν, ὡς οὐκ ἐξ ἄλλης τινὸς ἀποδείξεως τὴν σύστασιν ἔχουσαν, ἀλλ᾽ ἐξ ὧν προλαβὼν ὁ νόμος περὶ αὐτῆς διωρίσατο, καὶ ταῖς τῶν δικαστῶν διανοίαις τοιαύτην δόξαν ἐναποκεῖσθαι πεποίηκε, καὶ οὕτω διακεῖσθαι περὶ τὸ πρᾶγμα ὡς εἰρήκαμεν παρεσκεύασεν[49].

λζ΄. Πράγματα μητρικὰ εἰς παῖδας περιελθόντα ὑπεξουσίους ὑπάρχοντας τῷ πατρὶ τοσοῦτον διαφέρουσι τῷ πατρὶ, ὅσον μόνην τὴν χρῆσιν ἔχειν αὐτῶν, τὴν δεσποτείαν δὲ φυλάττειν τοῖς οἰκείοις παισίν. ὀφείλουσι δὲ οἱ πατέρες παντοιοτρόπως ἐπιμελεῖσθαι καὶ προνοεῖσθαι αὐτῶν· εἰ δὲ καὶ δεήσει χάριν τούτων καὶ παραβάλλειν εἰς δικαστήρια καὶ ὑπὲρ αὐτῶν κρίνεσθαι, καὶ οὐδὲν καταλιμπάνειν τῶν πρὸς σύστασιν συμβαλλομένων αὐτῷ[50]. ἔχει δὲ μόνην τὴν χρῆσιν καὶ τοὺς ἐκ τούτων καρποὺς, οὐκ ἔξεστι δὲ τοῖς πατρᾶσι τῶν τοιούτων μητρικῶν τῶν παίδων πραγμάτων ἐκποιεῖν τι ἤγουν διαπωλεῖν· εἴ τι δ᾽ ἂν ἄρα καὶ ἐκποιήσωσιν, οἱ παῖδες εἰς ἡλικίαν ἐκτελεστέραν ἐλθόντες ἀνακαλέσονται τοῦτο καὶ ὑπὸ τὴν ἑαυτῶν δεσποτείαν ἀνεμποδίστως ποιήσουσι, τὸ δὲ δοθὲν ὑπὲρ τῶν πωληθέντων πραγμάτων τίμημα πολλάκις μὲν παρὰ τῶν παίδων ἀντιστραφήσεται, πολλάκις δὲ οὐδὲ τοῦτο δοθήσεται, ἀλλ᾽ οἱ παῖδες τὸν δεδωκότα τὸ τίμημα ἀπὸ τοῦ πατρὸς ὅπερ ἔδωκε λαβεῖν παραπέμψουσιν. εἰ μὲν γὰρ εἰς οἰκείας ὁ πατὴρ χρήσεις, ἢ τὰς ὑπὲρ τῶν παίδων μὲν γενομένας ἀλλ᾽ οὐκ ἀναγκαίας, δαπανήσει τὸ τίμημα, αὐτὸς ἐνέχεται ἀποδοῦναι, καὶ οἱ παῖδες καὶ χωρὶς δόσεως τὰ οἰκεῖα ἀναλαμβάνουσι πράγματα· εἰ δὲ [εἰς] τὰς ἐπὶ τοῖς τοιούτοις παισὶ καὶ ἀναγκαίας δαπάνας κατανηλώθη τὸ τίμημα, ὀφείλουσιν οἱ παῖδες τοῦτο διδόναι καὶ οὕτως ἀνακαλεῖσθαι τὰ πράγματα[51].

λη΄. Ἡ μοιχευθεῖσα, κἂν μὴ βούληται, εἰς μοναστήριον εἰσάγεται, καὶ διαβιβάζει χρόνους δύο ἐκεῖ· μετὰ δὲ τὴν διετίαν ἤγουν τὴν τῶν δύο χρόνων συμπλήρωσιν, εἰ μὲν θέλει ὁ ἀνὴρ αὐτὴν, ἀκωλύτως ταύτην πάλιν ἀναλαμβάνει· εἰ δὲ μὴ, καὶ μὴ θέλουσα ἀποκείρεται καὶ πάντα τὸν χρόνον τῆς οἰκείας ζωῆς ἐν τῷ μοναστηρίῳ διάγειν καταναγκάζεται. τὸ αὐτὸ γίνεται, κἂν ὁ ἀνὴρ πρὸ τοῦ πληρωθῆναι τοὺς δύο χρόνους τελευτήσῃ[52].

λθ΄. Εἶχέ τις γυναῖκα καὶ παῖδας· ἔτι ζώσης τῆς γυναικὸς

---

[49] Att. XXVII (39). [50] Malim αὐτῶν. [51] Att. XXVIII (42). [52] Locus fugitivus, fortasse ex Syn. *M*, 16 ex Bas. XXVIII, 7, 2.

αὐτεξουσίους τοὺς παῖδας ἐποίησε· μετὰ ταῦτα τέθνηκεν ἡ γυνή· ἔξεστι τῷ πατρὶ μίαν μοῖραν ἐκ τῶν μητρικῶν πραγμάτων τῶν οἰκείων παίδων λαβεῖν, ὥστε αὐτὸς ἕως ζῇ τὴν χρῆσιν ἔχειν τοῦ πράγματος, τὴν δὲ δεσποτείαν αὐτοῦ μετὰ τὸ ἀποθανεῖν παραπέμπειν πάλιν πρὸς τοὺς υἱούς. τῶν δὲ παίδων ὄντων ὑπεξουσίων, καὶ εἰ εἰς δεύτερον γάμον ὁ πατὴρ ἔλθοι, πάντων τῶν μητρικῶν τῶν παίδων πραγμάτων τὴν χρῆσιν ἔχει. καὶ ὅρα, ὅτι τῶν μὲν παίδων ὄντων ὑπεξουσίων, πάντα τὰ μητρικὰ πράγματα πρὸς χρῆσιν ὁ πατὴρ ἔχει· αὐτεξουσίων δὲ γενομένων, ἑνὸς παιδὸς μοῖραν μόνην πρὸς χρῆσιν ἀπολαμβάνει, ἐπὶ δὲ τοῖς ἄλλοις οὐδεμίαν κέκτηται μετοχήν. εἰ δὲ μὴ ζώσης τῆς μητρὸς ἔτι, ἀλλὰ μετὰ θάνατον ταύτης ὁ πατὴρ ποιήσει τὸν υἱὸν αὐτεξούσιον, ἔξεστι τῷ πατρὶ ὡς ἂν τοῦ μὲν ἡμίσεος τῶν μητρῴων πραγμάτων ἔχῃ τὴν χρῆσιν αὐτὸς, τοῦ δὲ λοιποῦ ἡμίσεος τὴν χρῆσιν ἀφίησι τῷ υἱῷ. εἰ δὲ οὐχ εἷς υἱὸς εἴη, ἀλλὰ πολλοὶ, καὶ πάντες αὐτεξούσιοι γένωνται παρὰ τοῦ πατρὸς μετὰ τὸν τῆς μητρὸς θάνατον, ὁ πατὴρ οὐκέτι τὸ ἥμισυ πρὸς χρῆσιν ἔχει, ἀλλὰ προσεπιβάλλει τοῖς παισὶ τοσοῦτον ἐκ τοῦ ἡμίσεος, ὁπόσοι ἂν εἶεν οἱ παῖδες πλείονες, ἤγουν εἰ μὲν δύο, τὸ τοῦ ἡμίσεος ἥμισυ· εἰ δὲ τρεῖς, τὸ δίμοιρον τοῦ ἡμίσεος· εἰ δὲ δ΄ οἱ παῖδες εἶεν ἢ καὶ ἐπέκεινα, τότε πάλιν μίαν μόνην μοῖραν ἑνὸς τῶν παίδων λαβὼν ὁ πατὴρ πρὸς χρῆσιν τὸ μητρικὸν ἄλλο πρᾶγμα ἅπαν δίδωσι τοῖς παισὶ, εἰ μὴ οἰκειοθελῶς οἱ παῖδες παραχωρήσουσι τούτῳ ἄλλο τὶ διαπράξασθαι[53].

μ΄. Ὁ μισθὸν λαβὼν ὑπέρ τινος πράγματος ἢ ὑπὲρ ἐνεργείας τινὸς καὶ ἀπολειφθεὶς ἐκ τῆς συμπληρώσεως οὗ ὑπέσχετο, εἶτα πρὸ τοῦ ἀποδοῦναι τὸ λεῖπον τῆς προτέρας μισθώσεως ἀξιῶν καὶ ζητῶν μισθοῦσθαι τὸ αὐτὸ πάλιν, οὐκ ἄλλως εὐπαράδεκτος γίνεται, εἰ μὴ ἀξιοπίστους ἐγγυητὰς ἢ αὐτὸς ἀσφαλεῖς ὑποσχέσεις δοίη, ὅτι καὶ τὸ λεῖπον ἐκ τῆς πρώτης μισθώσεως ἀρκούντως ἀποπληρώσει καὶ τὴν δευτέραν πρᾶξιν ἐντελῶς καὶ ἀνελλιπῶς ἀπεργάσηται[54].

μα΄. Τῷ πατρὶ ἔξεστιν ἅμα φονεύειν καὶ τὴν θυγατέρα καὶ τὸν ταύτης μοιχὸν, καὶ οἷον τύχῃ πρῶτον καὶ ὕστερον· τὸν ἕνα δὲ φονεύσας, καὶ τὸν λοιπὸν ἀπολύσας, τῷ τῶν ἀνδροφόνων ἐγκλήματι ὑπόκειται. εἰ δὲ καὶ τοὺς δύο τρώσει, εἶτα ὁ μὲν εἰς καιρίαν τρωθεὶς ἀποθάνῃ, ὁ δὲ ἕτε-

---

[53] Att. XXVIII (42). [54] Att. XXXIII (51).

ρος διαφυγων σωθῇ, οὐκ ἐνέχεται τῷ τῶν ἀνδροφόνων ἐγκλήματι[55].

μβʹ. Μηνυτὴς λέγεται ὁ ἀρχηγὸς καὶ αἴτιος γνωρισμοῦ τινος ὑποθέσεως ἢ πράγματος, ἀγνοουμένου μὲν πρότερον, μηνυομένου δὲ ὕστερον παρ᾽ αὐτοῦ. ἀπαιτεῖται γοῦν ἐξ ἀνάγκης ὁ μηνυτὴς ἀποδεῖξαι, ἅπερ ἐποίησε[56].

μγʹ. Μανδάτωρ δὲ καλεῖται ὁ τῷ μηνυτῇ ὑπουργήσας εἰς τὴν τοῦ πράγματος καταμήνυσιν, καὶ μεθ᾽ οὗ ὁ μηνυτὴς μηνύει περὶ τοῦ πράγματος. ὅταν γοῦν μηνύσῃ τὶς πρᾶγμα δι᾽ ἑτέρου μανδάτωρος, ἀναγκάζεται ἀποδεῖξαι τὸ μηνυθέν· εἰ δὲ μή, τιμωρεῖται καὶ ὁ μηνυτὴς καὶ ὁ μανδάτωρ αὐτοῦ. εἰ δὲ ὁ μανδάτωρ ἀποκρυβῇ πολλάκις καὶ οὐχ εὑρίσκεται, ἀναγκάζεται ὁ μηνυτὴς τὸν μανδάτωρα αὐτοῦ ἐμφανίζειν καὶ παριστᾶν[57].

μδʹ. Μουλίωνες καλοῦνται παρὰ τῷ νόμῳ οἱ τὰ ζῶα ἐλαύνοντες, κυρίως δὲ οἱ μούλας, ἀπὸ τούτων δὲ καταχρηστικῶς καὶ οἱ ἕτερα ζῶα διακρατοῦντές τε καὶ ἐλαύνοντες[58].

μεʹ. Ὁ περὶ μοιχείας νόμος ἀπὸ αὐγούστου εἰσήχθη[59].

μςʹ. Ὁ λαβὼν ὑπὲρ μοιχείας τῆς αὐτοῦ γυναικὸς, ἤγουν ἵνα τὴν οἰκείαν γυναῖκα ἐκδώσει εἰς τὸ μοιχεύεσθαι, τῷ περὶ μοιχείας νόμῳ ἐνέχεται, καὶ ὁ τὴν ἐπὶ μοιχείᾳ φωραθεῖσαν ἤγουν εὑρεθεῖσαν καὶ κρατηθεῖσαν οὐκ ἐκβαλὼν καὶ ἀποπεμψάμενος. εἰ δὲ φωραθεῖσαν μὲν ἐπὶ μοιχείᾳ τὴν γυναῖκα οὐχ εὕρῃ, ἄλλως δὲ ἀκούων ἢ ὑπονοῶν ἀνέχεται καὶ ἐπὶ τῷ μύσει ἤγουν τῷ μιάσματι οὐκ ἀγανακτεῖ, οὐκ ἐνέχεται ὁ τοιοῦτος τῷ περὶ μοιχείας νόμῳ οὐδὲ ὡς μοιχὸς κατακρίνεται[60].

μζʹ. Μοιχεία λέγεται μὲν καταχρηστικῶς καὶ ἡ τῆς παρθένου καὶ τῆς χήρας φθορὰ, κυρίως δὲ ἡ τῆς ὑπάνδρου. ἐπεὶ γοῦν καταχρηστικῶς καὶ ἡ τῆς χήρας φθορὰ μοιχεία καλεῖται, ἐὰν μὲν χήρας οὔσης τῆς γυναικὸς βουληθῇ τις ἔγκλημα μοιχείας κατὰ ταύτης κινῆσαι, ἐξουσίαν ἔχει ἐκλέξασθαι ὅπερ βούλεται, καὶ κατηγορῆσαι πρῶτον οὗπερ ἂν θέλῃ, ἤγουν ἢ τοῦ μοιχοῦ ἢ τῆς γυναικός. εἰ δὲ ἄλλῳ τινὶ πρὸς γάμον συναφθῇ ἡ γυνὴ καὶ ἥ ποτε χήρα ὕπανδρος γένηται, ὁ κατήγορος ἐξ ἀνάγκης πρῶτον ἀπαιτεῖται κατηγορεῖν τοῦ μοιχοῦ, εἶτα τῆς γυναικός[61].

μηʹ. Ὁ ἐπίτροπος ἢ ὁ κουράτωρ τὴν παρ᾽ αὐτοῦ ἐπιτρο-

---

[55] Locus fugitivus, forte ex Syn. *M*, 16 ex Bas. LX, 37, 33. [56] Att. XXXIII (52). [57] Att. ibid. [58] Ad Att. XXXV (55). [59] Att. XXXV (70). [60] Att. ibid. [61] Att. ibid.

πευομένην ἢ κουρατωρευομένην, ἤγουν παρὰ τούτου ὡς ἐπιτρόπου τε καὶ κουράτωρος ἐπιτροπικῶς καὶ κουρατωρικῶς διεξαγομένην τε καὶ κυβερνωμένην, ἐὰν εἰς γυναῖκα λάβῃ πρὸ τοῦ φθάσαι αὐτὴν εἰς τὸν κε΄ ἐνιαυτὸν ἤγουν χρόνον, μήτε παρὰ τοῦ πατρὸς αὐτῆς μνηστευθεῖσαν αὐτῷ μήτε ἀφορισθεῖσαν ἤγουν ταχθεῖσαν εἰς γυναῖκα αὐτοῦ μήτε ἐν διαθήκῃ ὀνομασθεῖσαν τούτου γυναῖκα, οὔτε ὡς ἔννομον γάμον ποιήσας λογίζεται καὶ τῷ ἐγκλήματι τῆς μοιχείας ὑπόκειται[62].

μθ΄. Ὁ διδοὺς μετὰ οἰκείας θελήσεως καὶ γνώσεως τῶν μελλόντων γίνεσθαι τὸν οἶκον αὐτοῦ ἐπὶ τῷ γενέσθαι ἐν ἐκείνῳ μοιχείαν ἢ φθορὰν ἄλλην ἀνδρὸς πρὸς γυναῖκα, ὡς μοιχὸς τιμωρεῖται[63].

ν΄. Ὅταν τὶς ἐλάττων τῶν κε΄ χρόνων ἐστὶν, ἤγουν κατωτέρω τῆς συμπληρώσεως τοῦ ἀριθμοῦ τῶν κε΄ χρόνων, οὐ δύναται ἔγκλημα κινεῖν μοιχικὸν περὶ ἀλλοτρίου γάμου, εἰ μὴ ἄρα ὁ τὸν γάμον ἔχων δικαίῳ ἐκείνου προβαλεῖται αὐτὸν ἐγκαλεῖν. τότε γὰρ καὶ ὁ τῶν κε΄ χρόνων ἐλάττων τὸ ἔγκλημα τῆς μοιχείας δύναται καὶ ὑπὲρ ἀλλοτρίου γάμου κινεῖν. ὑπὲρ δὲ τοῦ ἰδίου γάμου τοῦ ἐννόμως δηλονότι γεγονότος, ὁπόσων ἂν εἴη χρόνων, τὸ περὶ μοιχείας ἔγκλημα κινεῖν οὐ κωλύεται. δεῖ δὲ γινώσκειν ὅτι καὶ αὐτὸς ὁ τὸν κε΄ χρόνον ἀνύων, ἤγουν ὡς οἱ κοινοὶ λέγουσι περιπατῶν, ἐλάττων τῶν κε΄ χρόνων νομίζεται[64].

να΄. Ἐστί τις πατὴρ αὐτεξούσιος ὢν, καὶ οὐχ ὑπεξούσιος. οὗτος ἔχει παῖδα ἤγουν θυγατέρα ὑπεξουσίαν. συνῆψε ταύτην ἀνδρί. ἡ δὲ μοιχείαν πρός τινα ἐπλημμέλησε, καὶ μετὰ τὸ ἀνδρὶ συναφθῆναι παρ᾿ ἑτέρου μοιχεύεται. δύναται ὁ πατὴρ καὶ τὸν μοιχὸν καὶ τὴν ὑπεξουσίαν αὐτῷ μοιχαλίδα φονεύειν, καὶ οὐδεὶς ἄλλος οὔτε μήτηρ οὔτε τῶν ἀνιόντων τὶς ἢ κατιόντων ἢ ἐκ πλαγίου, εἰ μὴ ὁ πατὴρ μόνος δύναται τοῦτο ποιεῖν. ἐὰν δὲ καὶ ὁ πατὴρ ὑπεξούσιος εὑρεθῇ, οὔτε αὐτὸς δύναται φονεύειν τὴν παῖδα, οὔτε ὁ πάππος ἤγουν ὁ πατὴρ τοῦ πατρὸς, οὗπερ ὁ τῆς παιδὸς ἤγουν τῆς θυγατρὸς πατήρ ἐστιν ὑπεξούσιος[65].

νβ΄. Ἐνδέδοται τῷ πατρὶ πάντα μοιχὸν τῆς ἰδίας θυγατρὸς φονεύειν, πολλῷ δὲ μᾶλλον καὶ καθυβρίζειν· φονεύειν δὲ καὶ ἐν τῷ οἴκῳ, ἐν ᾧ αὐτὸς μένει, κἂν μὴ συνοικῇ αὐτῷ ἡ θυγάτηρ, καὶ ἐν τῷ οἴκῳ ἤγουν τῷ ὁσπητίῳ τοῦ γαμβροῦ, ἐὰν

---

[62] Att. XXXV (70). [63] Att. ibid. [64] Att. ibid. [65] Att. ibid.

μόνον ἐν αὐτῷ τῷ ἔργῳ τῆς μοιχείας αὐτὸν καταλάβῃ. ἀλλαχοῦ δὲ οὐ δύναται ὁ πατὴρ φονεύειν αὐτὸν, οὐδὲ ἐν ἰδίῳ οἴκῳ, ἐν ᾧ μὴ μένει αὐτὸς ὁ πατήρ. ὀφείλει δὲ φονεύειν ἅμα καὶ τοὺς δύο, οὐ τὸν μὲν πρότερον τὸν δὲ ὕστερον, ἤγουν οὐ τὸν ἕνα πρῶτον, τὸν δὲ ἄλλον δεύτερον. τοῦτο δὲ πρότερον καὶ ὕστερον ἐπὶ διαστήματι ἡμερῶν δεῖ νοεῖν, οὐκ ἐπὶ ὡρῶν· εἰ γὰρ ἐν ὅσῳ φονεύει τὸν μοιχὸν ὁ τῆς γυναικὸς πατὴρ, ἔφυγεν ἡ θυγάτηρ αὐτοῦ καὶ ἐγένετο ἡ φυγὴ αὐτῆς κατὰ ἀλήθειαν καὶ [μὴ] προσποιησαμένου τοῦ πατρὸς ἤγουν πλασαμένου καὶ οἰκειοθελῶς αὐτὴν ἀπολύσαντος, ἐν προσχήματι δὲ μόνον δείξαντος ὅτι ἄκοντος ἔφυγε, καὶ μετὰ ταῦτα ἐπιδιώξας μετά τινας ὥρας ἔφθασεν αὐτὴν καὶ ἐκράτησε καὶ ἐφόνευσεν, οὕτω κρίνεται ὡς ἅμα καὶ παραυτίκα φονεύσας, καὶ οὐχ ὕστερον μετὰ τὸν τοῦ μοιχοῦ φόνον τὸν τῆς θυγατρὸς ἐργαζόμενος. τῷ δὲ ἀνδρὶ ἐν μόνῳ τῷ οἰκείῳ οἴκῳ ἔξεστι φονεύειν, καὶ οὐ πάντα τὸν μοιχὸν, ἀλλὰ μόνον τὸν προαγωγὸν ἤγουν τὸν πρὸ τοῦ κριθῆναι εἰς τὴν τοιαύτην μοιχείαν ἄλλους πρὸς ἑτέρας μοιχείας παρακινήσαντα καὶ συνεργήσαντα αὐτοῖς καὶ συμπράξαντα, καὶ τὸν παιγνιωτικὴν τέχνην πρῴην ἐπιδειξάμενον, καὶ τὸν ἐν σκηναῖς ἤγουν δημοσίοις θεάτροις ᾄδοντα ἤγουν κατὰ τοὺς κοινοὺς εἰπεῖν τραγῳδοῦντα καὶ ὀρχούμενον, καὶ τὸν ἐν δικαστηρίῳ δημοσίῳ καταδικασθέντα καὶ μὴ δυνηθέντα ἐκ τῆς καταδίκης ἀθωωθῆναι καὶ ἀποκατασταθῆναι εἰς τὸ ἀνέγκλητον πάντη καὶ ἀκατηγόρητον, καὶ τὸν δοῦλον καὶ τὸν ἀπελεύθερον αὐτοῦ ἢ τῆς γυναικὸς ἢ τῶν παίδων ἢ τῶν γονέων. τῷ μὲν γὰρ πατρὶ οὐδεμία ζήλου πρόσεστιν ὑποψία οὐδέ τις ὑπόνοια, ὅτι τὴν θυγατέρα διαβαλεῖ οὐδ᾽ ὅτι δι᾽ ἄλλο τὶ ἐγερεῖ κατ᾽ αὐτῆς τὸ τῆς μοιχείας ἔγκλημα, καὶ διὰ τοῦτο ὡς ἐξ ἁπάντων τῶν τοιούτων καθαριεύοντι ἐνδέδοται καὶ ἐν πλείοσι τόποις καὶ πάντα φονεύειν μοιχόν· τῷ δὲ ἀνδρὶ ὡς ταῖς τοιαύταις περιπίπτοντι ὑπονοίαις ἑνὶ μόνῳ τόπῳ ἐνδέδοται τὸν μοιχὸν φονεύειν, καὶ οὐδὲ πάντα μοιχὸν, ἀλλὰ καθόσον καὶ τὰ πρὸ τῆς μοιχείας τὴν μοιχείαν οὐκ ἄπιστον μαρτυρεῖ, ἤγουν οὓς ἄλλαι προγενόμεναι πράξεις φαύλους καὶ κακοὺς περιστῶσι καὶ τοιούτους, ὁποίους ἂν ἐνδέχοιτο καὶ τὸ παράνομον τῆς μοιχείας ἔργον ἀναισχύντως ἐργάσασθαι. καὶ ταῦτα μὲν περὶ τῶν μοιχῶν ὁ ἀκριβέστεροι νομοθέται· ἕτεροι δὲ ἐνδιδόασι καὶ τῷ ἀνδρὶ πανταχοῦ καὶ πάντα ὃν ἂν καταλάβοι μοιχὸν ἀκωλύτως φονεύειν[66].

---

[66] Att. XXXV (70).

νγ'. Ὁ τὴν οἰκείαν γυναῖκα μοιχευομένην λαβὼν, καὶ τὴν μὲν γυναῖκα παρακρατῶν, τὸν δὲ μοιχὸν ἀπολύων, ὡς προαγωγὸς τιμωρεῖται[67].

νδ'. Εἰ δὲ τῆς γυναικὸς ὁ ἀνὴρ ἴδῃ ταύτην συνομιλοῦσαν ἢ καὶ προσπαίζουσαν ἑτέρῳ τινὶ, καὶ ἐπιφωνήσεται τῷ τοιούτῳ ἀνδρὶ καὶ τῇ γυναικὶ ἀλλήλων ἀπέχειν, ὕστερον δὲ πάλιν εὕρῃ τούτους τὰ αὐτὰ πράττοντας, ἔξεστι τῷ ἀνδρὶ ἔνθα ἂν ἄρα καὶ διάγωσιν, ἀμφοτέρους φονεύειν[68].

νε'. Συνεστῶτος τοῦ γάμου οὐδεὶς ἄλλος παρὰ τὸν ἄνδρα τῆς γυναικὸς κατηγορεῖν αὐτῆς δύναται, εἰ μὴ πρότερον κατηγορήσει τοῦ ἀνδρὸς αὐτῆς ὡς προαγωγοῦ, ἤγουν ὡς οἱ κοινοὶ λέγουσι μαυλιστοῦ[69].

νς'. Τὸ ἐπὶ μοιχείᾳ ἔγκλημα καὶ μοιχικὸν καλοῦσί τινες. δύναται δὲ τοῦτο καὶ μέχρι συμπληρώσεως ε' χρόνων κινεῖσθαι, μετὰ δὲ τοὺς ε' χρόνους ἐκβάλλεται διὰ παραγραφῆς, καὶ οὐ δύναται τὸ τοιοῦτον ἔγκλημα μετὰ πενταετίας κινεῖσθαι. ἀριθμοῦνται δὲ καὶ ψηφίζονται οἱ ε' χρόνοι ἀπὸ τοῦ χρόνου τοῦ ἁμαρτήματος ἕως τοῦ χρόνου τῆς αἰτιάσεως, ἤγουν ἀφ' οὗ καιροῦ λέγεται γενέσθαι τὸ πταῖσμα τῆς γυναικὸς, ἕως τοῦ καιροῦ καθ' ὃν ἐνάγει ὁ κατὰ ταύτης κινῶν. καὶ ἔξεστιν ἀφότου ἡ γυνὴ πταίσει, ἕως οὗ παρέλθωσι ε' χρόνοι, ἐγκαλεῖν κατ' αὐτῆς. τὴν δὲ κατηγορίαν τὴν καταλειφθεῖσαν παρὰ τοῦ ἀνδρὸς κατὰ τῆς γυναικὸς οὐδεὶς ἄλλος ἀνακινεῖν καὶ ἀνανεοῦν δύναται[70].

νζ'. Ὅταν ὁ ἀνὴρ κρατήσῃ μοιχὸν, ὃν οὐκ ἔχει ἐνδεδομένον φονεύειν, ἢ καὶ ἐὰν ἐνδεδομένον ἔχῃ αὐτὸς οὐ θέλῃ φονεῦσαι αὐτὸν, δύναται ἀφότου κρατήσει αὐτὸν παρακρατεῖν μέχρις ἂν πληρωθῶσι συνημμένως ἤγουν ἡνωμένως ὧραι κ', καὶ διὰ μέσου τῶν τοιούτων ὡρῶν προσκαλεῖσθαι μάρτυρας καὶ

β'. Πενταετίᾳ σβέννυται τὸ ἔγκλημα τῆς μοιχείας. ἀλλὰ τοῦτο λέγομεν περὶ τῶν ἑκουσίως ἡμαρτηκότων ἤγουν περὶ τῶν εἰς ἑκοῦσαν ἡμαρτηκότων· ἐὰν γάρ τις βιασάμενός τινα γυναῖκα ἁμάρτῃ, ἀπροσδιορίστως δύναται κατηγορεῖσθαι ὡς φανερὰν βίαν ἡμαρτηκώς.

γ'. Ἡ δὲ ιθ' νεαρὰ τοῦ κυροῦ λέοντος περὶ τοῦ ἐπ' αὐτοφόρῳ ἁλόντος μοιχοῦ ἢ μοιχαλίδος καὶ ἀμφοτέρους ῥινοκοπεῖσθαι φησὶν, καὶ τὸν ἄνδρα ἀντὶ τῆς τοσαύτης ἀδικίας παραμυθίαν ἔχειν ἐκ τοῦ τὴν προῖκα λαμβάνειν τῆς ὀφθείσης ἀδίκου περὶ τὰ γαμικὰ δίκαια γυναικὸς, αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι ὑπὲρ ἧς παρανομίας τετόλμηκεν.

---

[67] Syn. *M*, 16 ex Bas. LX, 37, 30. [68] Att. XXXV (70). [69] Att. ibid.
[70] Att. ibid.

εἰσάγειν, ἵνα ἴδωσι τοῦτον καὶ ἐν καιρῷ μαρτυρήσωσιν, ὅτι ἐπὶ μοιχείᾳ κατεκρατήθη. καὶ ὅσοι ἂν ἐντὸς τῶν κ' ὡρῶν παραγένωνται καὶ ἴδωσι τοῦτον παρακρατούμενον, ἔχουσιν ἄδειαν ἐν καιρῷ κρίσεως μαρτυρεῖν κατ' αὐτοῦ ὡς κρατηθέντος ἐπὶ μοιχείᾳ. τὸ αὐτὸ δὲ τοῦτο καὶ ὁ τῆς γυναικὸς πατὴρ ποιεῖν δύναται[71].

νη'. Ὁ ἅπαξ ἁμαρτήσας εἰς γυναῖκα μοιχείαν, εἰ καὶ μετὰ ταῦτα εἰς νόμιμον δῆθεν γάμον ταύτην ἀγάγηται ἤγουν ὡς ἔννομον λάβῃ γυναῖκα, ἡ μοιχεία ἡ πρότερον γενομένη οὐ δύναται τῷ τοῦ δευτέρου γάμου προσχήματι συγκαλύπτεσθαι, οὐδὲ ἐστὶ τοῦτο γάμος ἀλλὰ μοιχεία[72].

νθ'. Τὸ τῆς μοιχείας ἔγκλημα οὐ πᾶσι κινεῖν τοῦτο παρακεχώρηται, ἵνα μὴ παρὰ τῶν βουλομένων ὁ γάμος χραίνηται τουτέστι μολύνηται, ἀλλὰ μόνοις τοῖς ἐγγίζουσι καὶ οἰκειοτάτοις προσώποις, ἤγουν πατρὶ, ἀδελφῷ, πάππῳ, θείῳ πρὸς πατρὸς ἢ μητρὸς, πάντων δὲ μάλιστα τῷ ἀνδρί[73].

ξ'. Οἱ μοιχοὶ τυπτόμενοι, τουτέστι δαιρόμενοι καὶ κουρευόμενοι, διηνεκῶς ἐξοριζέσθωσαν, τουτέστι πάντοτε εἰς ἐξορίαν εἶναι κατακρινέσθωσαν[74].

ξα'. Οἱ ταῖς μοναζούσαις ἐνασελγαίνοντες, ἤγουν ἀσελγῶς κατὰ σάρκα μιγνύμενοι, ὡς εἰς νύμφην χριστοῦ ὑβρίζοντες ῥινοκοπείσθωσαν μεθ' ὧν συνεφθάρησαν[75].

ξβ'. Ὁ μνηστὴν ἀλλοτρίαν φθείρων, ἤγουν γυναῖκα ἣν ἄλλος ἑαυτῷ ἐμνηστεύσατο ἤγουν λαβεῖν εἰς γυναῖκα ἐπραγματεύσατο καὶ ἀῤῥαβῶνας καὶ συμφωνίας μετὰ ταύτης ἐποίησεν, εἰ μὲν προαιρέσει καὶ θελήσει αὐτῆς ἔφθειρε ταύτην, ῥινοκοπείσθω· εἰ δὲ μὴ θελούσης μηδὲ βουλομένης αὐτῆς τὴν φθορὰν μετὰ δυναστείας ἐργάσατο, καὶ τὸ τρίτον τῆς οἰκείας ὑποστάσεως ταύτῃ διδότω[76].

ξγ'. Τὸν ἐπαγγελλόμενον ἤγουν ὑπισχνούμενον μαντικὴν γινώσκειν μηδεὶς ἐρωτάτω περί τινος[77].

ξδ'. Ὅταν ἕτερον μὲν ἡ παράθεσις τῶν γραμμάτων εἴπῃ, ἕτερον δὲ αἱ μαρτυρίαι, τηνικαῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ ζώσης λεγόμενα φωνῆς καὶ μεθ' ὅρκων ταῦτα ἀξιοπιστότερα τῆς γραφῆς αὐτῆς καθ' ἑαυτῆς[78] *τυγχάνειν· πλὴν ἀλλ' ἔστω τοῦτο τῆς τοῦ δικάζοντος ἀγχινοίας τε καὶ θεοφιλείας, τὸ τοῖς ἀληθέσι μᾶλλον ἀντὶ τῶν ὑπόπτων πιστεῦσαι*[79].

---

[71] Att. XXXV (70). [72]—[76] Att. ibid. [77] Att. XXXV (71). [78] B *κατ' αὐτήν*. [79] Non invenio apud Att. — Cf. Epanag. XIII, 13.

ξε'. Κινηθέντος πολλάκις τοῦ περὶ μοιχείας ἐγκλήματος καταδικάζεται μὲν ὁ ἀνὴρ ὁ τὴν μοιχείαν ποιῆσαι κατηγορούμενος, ἡ δὲ γυνὴ ἡ κατηγορουμένη εἰς τὴν μοιχείαν δι' οἰκονομίαν τινὰ οὐ καταδικάζεται. ὅταν οὖν ὁ μὲν ἀνὴρ καταδικασθῇ εἰς μοιχείαν, ἡ γυνὴ δὲ μὴ καταδικασθῇ, ἐὰν ὁ ἀνὴρ ὁ καταδικασθεὶς γήμῃ ταύτην ἤγουν εἰς ἔννομον γυναῖκα λάβῃ γαμετήν, οὔτε ὁ γάμος ἔρρωται, τουτέστι δύναμιν ἔχει καὶ στέργεται, καὶ εἴ τις ἀπὸ τῶν δύο, ἤγουν τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, κληρονόμον γράψῃ τὸν ἄλλον, ἡ κληρονομία δημεύεται[80].

ξς'. Πάντες οἱ καλούμενοι πρὸς μαρτυρίαν ἐν τῇ πρὸς βασιλέα φερομένῃ καθοσιώσει τοῦ πράγματος ἀπαιτοῦντος βασανίζονται, καὶ οἱ κατωτέρω ὄντες τῶν ιδ' χρόνων καὶ οἱ ἐπέκεινα. καὶ σημείωσαι, ὅτι ἐν μόνῃ τῇ πρὸς βασιλέα καθοσιώσει οἱ ἐλάττονες τῶν ιδ' χρόνων βασανίζονται, ἤγουν οἱ μήπω φθάσαντες εἰς ιδ' χρόνους τῆς ἡλικίας, ἐν δὲ ταῖς ὑποθέσεσι ταῖς ἄλλαις οἱ τοιοῦτοι οὐ βασανίζονται[81].

ξζ'. Ὁ ὁμολογήσας καθ' ἑαυτοῦ καθ' ἑτέρου οὐ βασανίζεται[82].

ξη'. Οἱ εἰς μέταλλον καταδικασθέντες χωρὶς χρόνου εἰς δεκαετίαν ποιοῦσιν[83].

ξθ'. Οἱ ἀπὸ μετάλλου ἢ μονίτης βασιλικῆς κλέπτοντες ἐξορίζονται[84].

ο'. Μεῖζον μέρος τῆς ἡμέρας ἐστὶν αἱ πρῶται ἓξ ὧραι οὐ μὴν αἱ ὕστεραι[85].

οα'. Τῇ προσηγορίᾳ τῶν ἐμῶν καὶ τῇ προσηγορίᾳ τῶν σῶν αἱ ἀγωγαὶ περιέχονται[86].

οβ'. Μένιν τὸν θεῖον τὸν ἐκ πατρὸς καὶ τὸν ἐκ μητρὸς καλοῦσι τινές[87].

ογ'. Ὅταν μήτηρ κληρονομήσῃ υἱὸν ἢ θυγατέρα αὐτῆς, καὶ γένηται ἡ κληρονομία οὐκ ἐκ διαθήκης, ἀλλ' ἐξ ἀδιαθέτου, ἐὰν μὲν ἡ μήτηρ εἰς δεύτερον γάμον οὐκ ἔλθῃ, τὰ μὲν ἄλλα πράγματα τοῦ παιδὸς κληρονομείτω τελείως· ὅσα δὲ ἐκ τοῦ πατρὸς αὐτοῦ τοῦ καὶ προτέρου τῆς γυναικὸς ἀνδρὸς εἰς τὸν παῖδα ἔλθῃ, μὴ κληρονομείτω αὐτὰ ἡ μήτηρ, ἀλλ' ἐχέτω μόνην τὴν χρῆσιν αὐτῶν, τὰ δὲ πράγματα φυλαττέσθωσαν τοῖς ἀδελφοῖς καὶ ταῖς ἀδελφαῖς τοῦ τελευτήσαντος παιδὸς, ὅσοι εἰσὶν

---

[80] Att. XXXV (72). [81] Att. XXXV (77). [82] Att. ibid. [83] Att. XXXV (78). [84] Att. ibid. [85] Att. in App. [86] Att. ibid. [87] Non invenio.

ἐκ τοῦ αὐτοῦ πατρὸς, ἐξ οὗ καὶ ὁ παῖς ἦν, ἤγουν τοῦ προτέρου τῆς γυναικὸς ἀνδρός[88].

οδ'. Ἐπὶ μὲν τῶν χρηματικῶν ὑποθέσεων, ἐὰν ἀποδημῶσιν οἱ μάρτυρες εἰς ἑτέραν ἐπαρχίαν, δέχεται ὁ δικαστὴς ἢ ὁ βασιλικὸς τοῦ τόπου καὶ ἐρωτᾷ τούτους, καὶ ἀποστέλλει τὰς μαρτυρίας αὐτῶν ἐγγράφως πρὸς τὸν τὴν δίκην δοκιμάζοντα δικαστήν. ἐπὶ δὲ τῶν ἐγκληματικῶν δεῖ τοὺς μάρτυρας αὐτοπροσώπως παρ' αὐτῷ τῷ δικαστῇ τὴν μαρτυρίαν διδόναι[89].

οε'. Μήτηρ τὰ μὲν τροφεῖα, ἅτινα τοῖς παισὶ παράσχοι, οὐ δύναται ἀπαιτεῖν· εἴ τι δὲ εἰς τὰ πράγματα αὐτῶν χρησίμως ἀνάλωσε, τοῦτο διὰ τῆς περὶ διοικήσεως ἀγωγῆς δύναται ἀπαιτεῖν[90].

ος'. Μήτηρ ἀνήλικας παῖδας ἔχουσα καὶ ἐπιτροπεύουσα αὐτῶν, εἰ βούλεται εἰς δευτέρους γάμους ἐλθεῖν, ἐξανάγκης ὀφείλει προσκαλεῖσθαι ἄλλον τὸν μέλλοντα ἐπίτροπον τῶν παίδων γίνεσθαι, καὶ λογαριασμὸν αὐτῷ διδόναι περὶ τοῦ πράγματος τῶν παίδων, εἶτα καὶ τοὺς παῖδας καὶ τὰ πράγματα τούτων παρατιθέναι τῷ μέλλοντι ἐπιτροπεύειν τῶν παίδων, καὶ οὕτως εἰς δευτέρους γάμους εἰ θέλει ἐρχέσθω. εἰ δὲ μὴ, δύνανται οἱ παῖδες καὶ τὰ τῆς μητρὸς καὶ τὰ τοῦ λαμβάνοντος αὐτὴν ἀνδρὸς λαμβάνειν ὡς ὑποθήκην ἤγουν ἐνέχυρον ὑπὲρ τῶν οἰκείων πραγμάτων, καὶ ἔξεστι τοῖς παισὶ ποιεῖν τοῦτο ἀπ' αὐτῆς τῆς ὥρας, ἀφ' ἧς ἡ γυνὴ δευτέρῳ ἀνδρὶ συναφθῇ[91].

οζ'. Μάρτυς ἐν διαθήκῃ ὑπογράψας καὶ μὴ σφραγίσας, ἢ σφραγίσας καὶ μὴ ὑπογράψας, οὕτω λογίζεται, ὥσπερ εἰ μὴ παρῇν[92].

οη'. Τὸ[93] σμῆνος ἐκ τῶν μελισσείων μου ἱπτάμενον ἐμόν ἐστιν, ἕως ὅτε ὑπὸ τὴν θέαν μου πίπτει[94].

οθ'. Ἡ μικρὰ αἰτία τῇ μείζονι οὐ προκρίνει· ἡ γὰρ μείζων αἴτησις εἰς ἑαυτὴν ἕλκει τὰ ἧττονα[95].

π'. Πᾶσι τρόποις κεκώλυται μοναστηρίων ἐκδόσεις ἢ πωλήσεις ἢ ἐκποιήσεις γίνεσθαι ἐπὶ τῷ ταῦτα ἀπὸ τοῦ ἱερατικοῦ σχήματος εἰς ἰδιωτικὴν διαγωγὴν μετασχηματίζεσθαι καὶ ἐκ τῆς θειοτέρας καταστάσεως πρὸς τὴν κοινὴν μεταποιεῖσθαι καὶ μεταλλάττεσθαι[96].

πα'. Μάγιστροι λέγονται οἱ μέγιστοι ἄρχοντες. ἐπεὶ

---

[88] Syn. *Δ*, 7 ex Bas. XXVIII, 14, 17. [89] Att. XIV (16). [90] Syn. *Δ*, 2 ex Bas. XVII, 2, 11. [91] Syn. *Δ*, 7 ex Bas. XXVIII, 14, 13. [92] Syn. *Δ*, 14 ex Bas. XXXV, 1, 23. [93] A *Τὸ δέ*. [94] Syn. *Δ*, 4 ex Bas. L, 1, 4. [95] Syn. *Δ*, 34 ex Bas. VII, 5, 53. [96] Syn. *E*, 11 ex Bas. V, 2, 9.

δὲ οἱ ἄρχοντες προνοεῖσθαι τῶν ὑπὸ[97] τούτους ὀφείλουσιν, ἀπὸ μεταφορᾶς τούτων οἱ πλέον τῶν ἄλλων ὀφείλοντες προνοεῖσθαι τῶν ἐπιτετραμμένων αὐτοῖς πραγμάτων μάγιστροι λέγονται. ἐκ τούτων δὲ πάλιν καὶ οἱ ὁποιασδήτινος ἐπιστήμης παιδευταὶ ἢ διδάσκαλοι[98].

πβ΄. Μεσεγγυητής ἐστι, παρ᾽ ᾧ πολλοί τινες ἄνθρωποι παρακατάθωνται πρᾶγμα ἐπίδικον, ἢ περὶ οὗ ἀμφιβολίας καὶ κρίσεις ἔχουσιν[99].

πγ΄. Οἱ μηνυταὶ παραστήσαντες καὶ ἀποδείξαντες ἀληθῆ τὰ παρ᾽ αὐτῶν καταμηνυθέντα, εἰ πράγματά τινα εἶεν ταῦτα ἐξ ὧν τῷ δημοσίῳ κέρδος προσγίνεται, τὴν ὀγδόην μοῖραν ἐκ τούτων αὐτοὶ λαμβάνουσιν[100].

πδ΄. Τὰ μεταξὺ ἤγουν μέσον ἄλλων κριθέντα οὔτε ὠφέλειαν οὔτε βλάβην ἐπιφέρει τῷ μὴ παρόντι, ἀλλὰ ἀποδημοῦντι καὶ λείποντι. ὅθεν καὶ ἑνὸς τῶν κληρονόμων καταδικασθέντος πολλάκις ὁ ἄλλος κληρονόμος οὐ βλάπτεται[101].

πε΄. Τῷ μὴ παρόντι καθολικῶς ἐκ τῶν κριθέντων οὐ γίνεται πρόκριμα, τουτέστι βλάβη τὶς καὶ προευτρεπισμὸς κατακρίσεως[102].

πς΄. Μήτηρ ἔχουσα παῖδα ἐκ προτετελευτηκότος ἀνδρὸς καὶ μὴ αἰτήσασα ἐπίτροπον τῷ παιδὶ, ἐὰν μὲν ἄνηβος ὁ παῖς τελευτήσῃ, οὐ κληρονομεῖ αὐτόν· εἰ δὲ ἔφηβος, κληρονομεῖ[103].

πζ΄. Καὶ τὰ ἀπὸ μνηστῆρος ἢ μνηστῆς κέρδη ὡς τὰ ἀπὸ τῶν γάμων κέρδη λογίζονται. καὶ ὅ,τι ἐπ᾽ ἐκείνοις, τοῦτο καὶ ἐπ᾽ αὐτοῖς γίνεται[104].

πη΄[105]. Μαθηματικοὶ τὰς ἑαυτῶν βίβλους ἐπ᾽ ὄψεσι τῶν ἐπισκόπων καιέτωσαν· εἰ δὲ μὴ, καὶ τῆς ῥώμης καὶ πάσης πόλεως ῥωμαϊκῆς ἐξοριζέσθωσαν[106].

πθ΄. Οὐ μαρτυρεῖ υἱὸς πατρὶ ἢ πατὴρ υἱῷ[107].

ϛ΄. Ὁ κατά τινος ἤδη μαρτυρήσας, ἐὰν προσεχῶς κινηθῇ ὑπόθεσις, κατὰ τοῦ αὐτοῦ οὐ δύναται πάλιν μαρτυρεῖν[108].

ϛα΄. Ὁ κατήγορος οἰκειακοὺς αὐτοῦ μάρτυρας οὐ δύναται παράγειν[109].

---

[97] A ὑπέρ. [98] Syn. *P*, 1 ex Bas. II, 2, 54. — Vide etiam Veteres glossas verborum juris ed. Labbaeus p. 69. [99] Syn. *M*, 7 ex Bas. XIII, 2, 6. — Videsis Veteres glossas cit. p. 73. [100] Syn. *K*, 4 ex Bas. LVI, 7, 8. [101] Syn. *K*, 5 ex Bas. IX, 3, 92. [102] Syn. l. l. ex Bas. IX, 3, 94. [103] Syn. *K*, 16 ex Bas. XLV, 1, 36. [104] Syn. l. l. ex Bas. XLV, 4, 8. [105] In E hoc caput post c. 90 collocatum est. [106] Syn. *M*, 1 ex Bas. I, 1, 21. [107] Syn. *M*, 6 ex Bas. XXI, 1, 8. [108] Syn. l. l. ex Bas. XXI, 1, 22. [109] Syn. l. l. ex Bas. XXI, 1, 23.

ϟβ΄. Ὁ συνηγορῶν ἐν ὑποθέσει οὐ δύναται ἐν αὐτῇ μαρτυρεῖν[110].

ϟγ΄. Ὁ ἐκβιβαστὴς οὐ δύναται μαρτυρεῖν[111]. ἐστὶ δὲ ἐκβιβαστὴς ὁ παρὰ τοῦ δικαστοῦ διδόμενος ἐπὶ τῷ εἰς πέρας ἀγαγεῖν τὰ ἀποφανθέντα[112]. οὗτος γοῦν ἐπὶ ταῖς μελλούσαις ἀνατίθεσθαι αὐτῷ ὑποθέσεσιν οὐ δύναται μαρτυρεῖν, ἀλλ᾽ οὐδὲ μετὰ τὴν ἐκπλήρωσιν περὶ τῶν ἀρχῆθεν ὑποθέσεων μαρτυρεῖ, [εἰ] μὴ μόνον περὶ ὧν ποιήσει ὡς ἐκβιβαστής.

ϟδ΄. Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων[113].

ϟε΄. Οἱ ἀνιόντες καὶ κατιόντες οὐδὲ βουλόμενοι δύνανται μαρτυρεῖν κατ᾽ ἀλλήλων[114].

ϟς΄. Μάρτυρες ἐξεπίτηδες καὶ οὐ κατὰ πλάνην ἐναντίας μαρτυρίας λέγοντες τιμωρείσθωσαν. ἐξεπίτηδες δὲ ὁ νόμος τὸ ἐπὶ ταὐτὸ[115] καὶ ἑκουσίᾳ τῇ γνώμῃ φησίν[116].

ϟζ΄. Μεσίτης οὐ παραδέχεται εἰς μαρτυρίαν, εἰ μὴ κατὰ συναίνεσιν ἤγουν ἀρέσκειαν καὶ θέλησιν τῶν δύο μερῶν· κατὰ ἄλλον δὲ τρόπον οὐ δύναται μαρτυρεῖν. σημειωτέον δὲ, ὅτι ὁ μὲν πρότερος νόμος παντελῶς κωλύει τὸν μεσίτην παράγεσθαι μάρτυρα, ὁ δὲ δεύτερος ἐνδίδωσι μαρτυρεῖν τὸν μεσίτην, εἰ καὶ τὰ δύο μέρη συγκατατίθενται[117].

ϟη΄. Ἐάν τις ἀντίδικον ἔχων μέλλει παράγειν μάρτυρας, καὶ προσκαλέσηται ὁ δικαστὴς καὶ τὸν ἀντίδικον, οὗτος δὲ οὐ βουληθῇ παραγενέσθαι εἰς μαρτυρίαν, γίνεται ἡ μαρτυρία καὶ λείποντος τοῦ ἀντιδίκου, καὶ ἰσχύει ὥσπερ ἐγένετο παρόντος αὐτοῦ[118].

ϟθ΄. Οἱ οἰκίας τινῶν εἰς μιτάτα λαμβάνειν μέλλοντες, εἰ μὲν στρατιῶταί εἰσιν οἱ τὰ μιτάτα λαμβάνοντες, τὸ τρίτον μέρος τοῦ ὀσπητίου λαμβάνειν ὀφείλουσιν· εἰ δὲ ἰλλούστριοι, τουτέστιν ἔνδοξοι καὶ μεγιστᾶνές τινες, τὸ ἥμισυ αὐτοῖς δίδοται, τὸ δὲ ἄλλο ὀσπήτιον ἅπαν οἱ δεσπόται εἰς οἰκείαν χρῆσιν παρακατέχουσιν. ὁ δὲ παρὰ τὴν διάταξιν ταύτην τοῖς μιτάτοις ποιῶν, ἔνδοξος μὲν καὶ ἰλλούστριος ὢν, λίτρας χρυσίου τριάκοντα ζημιοῦται· στρατιώτης δὲ, τῆς στρατείας γυμνοῦται καὶ εἰς ἰδιωτικὴν κατάγεται τύχην[119].

ρ΄. Οἱ ὁπλοποιοὶ, ἀρχιητροὶ, γραμμάτων διδάσκαλοι, ζω-

[110] Syn. *M*, 6 ex Bas. XXI, 1, 24. [111] Syn. ibid. [112] Cf. *E*, 109.
[113] Syn. *M*, 15 ex Bas. XXVIII, 1, 1. [114] Syn. *M*, 6 ex Bas. XXI, 1, 30.
[115] B *ταὐτῷ*. Mox in eodem *γνώμῃ* deest. [116] Syn. *M*, 6 ex Bas. XXI, 1, 46.
[117] Syn. ibid. [118] Syn. ibid. [119] Syn. *M*, 12 ex Bas. LVII, 5, 2.

γράφων παιδευταὶ τοῦ βάρους τῶν μιτάτων ἐλεύθεροι διατηρείσθωσαν[120].

ρα΄. Περὶ στρατιώτου καὶ νοταρίου εἰ μισθοῦνται ἢ οὔ, ἐν τοῖς εἰς τὸ ν΄ καὶ τὸ σ΄ στοιχεῖον εἴρηται.

ρβ΄. Ἔξεστιν ἤγουν ἐνδέδοται τῷ μισθώσαντι καὶ τῷ μισθωσαμένῳ, ἐντὸς χρόνου λύειν τὴν μίσθωσιν[121].

ργ΄. Οἱ μισθωσάμενοι ἤγουν ἐπὶ μισθῷ λαβόντες πρᾶγμα, καὶ μετὰ τὴν συμπλήρωσιν τῆς μισθώσεως οὐκ ἀποδιδόντες εὐγνωμόνως τὸ πρᾶγμα, ἀλλὰ τὸν δεσπότην τοῦ πράγματος εἰς κρίσεις καὶ ὀχλήσεις εἰσάγοντες, μετὰ τὴν καταδίκην οὐ τὸ πρᾶγμα μόνον, ἀλλὰ σὺν τούτῳ καὶ τὴν τιμήν, ὅσης τὸ πρᾶγμά ἐστιν ἄξιον, ἀποδιδόναι καταναγκάζονται, ἵνα διπλῆ αὐτὸ ζημιούμενοι παιδεύοιντο διὰ τῆς ζημίας μὴ εἶναι ἀγνώμονες[122].

ρδ΄. Μανία πρὸ τῆς μνηστείας γινομένη ἐμποδίζει προβῆναι μνηστείαν· ὕστερον δὲ μετὰ τὴν μνηστείαν προβᾶσα οὐ κωλύει αὐτήν[123].

ρε΄. Ὁ μνηστευσάμενος κόρην, εἰ μὲν ἐν μιᾷ καὶ τῇ αὐτῇ ἐπαρχίᾳ μετὰ τῆς κόρης διάγει, ἐντὸς δύο χρόνων ὀφείλει τοὺς γάμους ἀποπληροῦν· εἰ δὲ ἐν ἑτέρᾳ, ἕως τριῶν. εἰ δὲ μὴ πληρώσῃ τοὺς γάμους ἕως τοῦ ὡρισμένου καιροῦ, ἔξεστι τῇ κόρῃ ἀπολύειν τὴν μετὰ τούτου μνηστείαν καὶ ἑτέρῳ συνάπτεσθαι. εἰ δέ τις εὔλογος ἀνακύψει αἰτία, οἷον νόσος ἑνὸς τῶν τὴν μνηστείαν ποιουμένων μερῶν ἢ θάνατος γονέων ἢ ἄλλο τὶ τοιοῦτον, δύναται ἡ μνηστεία καὶ ἕως δ΄ χρόνων ἐκτείνεσθαι[124].

ρς΄. Ἐὰν ὑπεξουσία τῷ πατρὶ θυγάτηρ πρὸς μνηστείαν ἐκδοθῇ τινι, καὶ μετὰ τὴν μνηστείαν αὐτεξουσία ἡ θυγάτηρ γένηται, οὐ δύναται ὁ πατὴρ τὴν μνηστείαν λύειν μετὰ τὸ γενέσθαι αὐτεξουσίαν τὴν θυγατέρα, οὐδὲ εἴ τι δέδωκεν αὐτῇ εἰς προῖκα ἀπαιτεῖν καὶ ἀναλαμβάνειν πάλιν ἐκ ταύτης[125].

ρζ΄. Ἀῤῥαβώνων ἐπὶ μνηστείᾳ δοθέντων, εἶτα τοῦ δεδωκότος τοὺς ἀῤῥαβῶνας πρὸ τῆς τῶν γάμων συμπληρώσεως τελευτήσαντος, οἱ ἀῤῥαβῶνες πρὸς τὸ μέρος τοῦ δεδωκότος παρὰ τῶν λαβόντων αὐτοὺς ἀναστρέφονται. τοῦτο δὲ γίνεται, ὅταν τὸ τελευτῆσαν πρόσωπον μὴ δώσει αἰτίαν τινὰ τοῦ κωλυθῆναι τὸν γάμον· εἰ δὲ δώσει, οἱ ἀῤῥαβῶνες οὐκ ἀναστρέφονται[126].

---

120 Syn. *M*, 12 ex Bas. LVII, 5, 4. 8. 121 Syn. *M*, 13 ex Bas. XX, 1, 95.
122 Syn. l. l. ex Bas. XX, 1, 94. 123 Syn. *M*, 15 ex Bas. XXVIII, 1, 6.
124 Syn. l. l. ex Bas. XXVIII, 1, 16. 125 Syn. l. l. ex Bas. XXVIII, 1, 8.
126 Syn. l. l. ex Basil. XXVIII, 2, 2.

ρη'. *Περὶ τῶν πρὸς μνηστὴν δωρεῶν ἐν τοῖς εἰς τὸ δ' στοιχεῖον εἴρηται.*

ρθ'. *Τὰ τῇ μνηστῇ παρὰ τοῦ ἀνδρὸς δεδομένα οὐ δύνανται ἀποσπᾶν οἱ πρὸ τοῦ γενέσθαι τὴν μνηστείαν δανεισταὶ τοῦ ἀνδρὸς, εἰ μὴ πολλάκις ἐνυπόθηκα διὰ τὸ χρέος ἔχουσι ταῦτα*[127].

ρι'. *Ὁ μνηστὴρ δωρησάμενός τινα τῇ οἰκείᾳ μνηστῇ ἐτελεύτησε, φιλήματι μόνῳ πρὸς τὴν οἰκείαν μνηστὴν χρησάμενος· τὸ ἥμισυ τῆς δωρεᾶς ἡ μνηστὴ ἔχει, καὶ τὸ ἥμισυ ἀναδίδωσι τοῖς τοῦ μνηστῆρος κληρονόμοις. εἰ δὲ καὶ αὐτὴ ἡ μνηστὴ τελευτήσει, τὸ ἥμισυ πρόσεστι τῷ μέρει καὶ τοῖς κληρονόμοις αὐτῆς, καὶ τὸ ἥμισυ τῆς δωρεᾶς πρὸς τὸν μνηστῆρα ἀναστρέφεται. εἰ δὲ μηδὲ φίλημα γένηται, ἡ δωρεὰ πᾶσα ἀναστρέφεται ἢ πρὸς τὸν μνηστῆρα, ἐὰν αὐτὸς ζῇ καὶ ἡ μνηστὴ τελευτήσῃ, ἢ πρὸς τοὺς κληρονόμους τοῦ μνηστῆρος, ἐὰν ὁ μνηστὴρ τελευτήσῃ καὶ ἡ μνηστὴ ζῇ. ἐὰν δὲ ἡ μνηστὴ δωρήσηταί τινα τῷ μνηστῆρι, εἶτα αὐτὴ ἢ ὁ μνηστὴρ τελευτήσῃ, κἄντε γένηται φίλημα κἄντε μὴ γένηται, πᾶσα ἡ δωρεὰ πρὸς τὴν μνηστὴν ἢ τὸ μέρος αὐτῆς ἀναστρέφεται*[128].

ρια'. *Μνηστὴ λέγεται ἡ γυνὴ, ἣν προοικονομεῖ καὶ προπαρασκευάζει τὶς εἰς οἰκείαν γυναῖκα λαβεῖν, ἀῤῥαβῶσί τισιν ἑαυτῷ ταύτην πραγματευόμενος*[129].

ριβ'. *Τὴν ἐν ἐργαστηρίῳ προενεχθεῖσαν τουτέστιν εἰς τὸ προΐστασθαι ἐργαστηρίου τεταγμένην γυναῖκα μοιχεύων τὶς, εἰ μὲν αὐτὴ κυρία τοῦ ἐργαστηρίου ἦν καὶ ἄλλους εἶχεν ὑπηρέτας καὶ ὑπουργοὺς, τῇ τοῦ μοιχοῦ τιμωρίᾳ μετὰ ταύτης ὑπόκεινται. εἰ δὲ αὐτὴ δι' ἑαυτῆς ὑπηρέτει καὶ ἐδούλευεν εἰς τοὺς εἰσερχομένους ἐν τῷ ἐργαστηρίῳ αὐτῆς, οὔτε ὁ ἀνὴρ οὔτε αὐτὴ τιμωρεῖται. τῶν γὰρ εὐϋπολήπτων γυναικῶν σωφρονεῖν οἱ νόμοι προενοήσαντο, τῶν δὲ εὐτελῶν καὶ χαμηλῶν καταπεφρονήκασιν*[130].

ριγ'. *Οὐκ ἔξεστι μοναχῷ, ἵνα γένηται ἐπίτροπος ἢ κουκάτωρ ἢ ἀπαιτητὴς ἢ ἐκδικητὴς ἢ ἐγγυητὴς ἢ δίκης ἐντολεὺς ἢ ἀλλοτρίων πραγμάτων ἀνάδοχος*[131].

ριδ'. *Τὸν οἰκοδομεῖν*[132] *καὶ κτίζειν βουλόμενον μοναστη-*

---

[127] Syn. *M*, 15 ex Bas. XXVIII, 3, 13. [128] Syn. l. l. ex Bas. XXVIII, 3, 16. [129] Cf. supra c. 27. [130] Syn. *M*, 16 ex Bas. LX, 37, 67. [131] Syn. *M*, 17 ex Bas. III, 1, 11. [132] B *οἰκονομ.* — Caeterum legerim: *Ὁ — βουλόμενος.*

ριον δεῖ τὸν ἐπίσκοπον προσκαλεῖσθαι ἐπὶ τῷ καταβάλλεσθαι παρ' αὐτοῦ σταυροπήγιον[133].

ριε'. Οἱ τῶν μοναστηρίων ἡγούμενοι οὐ γίνονται κατὰ βαθμὸν, ἀλλὰ κατὰ τὴν ἐκλογὴν τῶν ἐν τῇ μονῇ μοναχῶν[134].

ρις'. Ὁ μονάσαι βουλόμενος, εἰ μὴ τρεῖς πληρωθῶσι χρόνοι, οὐκ ἀξιοῦται τοῦ ἁγίου σχήματος· πλὴν εἰ μὴ πάντη πρόδηλος καὶ γνώριμός ἐστιν ἡ τούτου ὑπόληψις καὶ κατάστασις[135].

ριζ'. Οἱ μὲν παλαιότεροι νόμοι τοὺς μοναχοὺς ἐν ἑνὶ οἴκῳ οἰκεῖν καὶ καθεύδειν καὶ τρέφεσθαι κοινῶς παρακελεύονται· οἱ δὲ νεώτεροι τὸ μὲν κοινῶς τρέφεσθαι τούτους διαγορεύουσιν, οἰκεῖν δὲ καὶ καθεύδειν δὲ ἐν ἑνὶ οἴκῳ οὐκ ἀναγκάζουσιν[136].

ριη'. Ταῖς τῶν μονῶν θύραις ἄνδρες γηραιοί τε καὶ σώφρονες προσκαθήσθωσαν, εὐϋπόληπτοι μεμαρτυρημένοι καὶ ἀνεπιλήπτου τυγχάνοντες καταστάσεως, οἵτινες οὐδένα ἐάσουσιν εἰς τὴν μονὴν εἰσελθεῖν ἢ ἐξελθεῖν ἐξ αὐτῆς ἄνευ γνώμης τοῦ προεστῶτος[137].

ριθ'. Κατ' οὐδένα τρόπον εἰσιέναι ἄνδρας εἰς μονὴν γυναικείαν ἢ γυναῖκας εἰς ἀνδρῴαν κατὰ τοὺς πάλαι νόμους ἐνδέδοται. οὐδὲ θάπτεσθαι ἢ ἄνδρα εἰς μοναστήριον γυναικεῖον ἢ εἰς ἀνδρῷον γυναῖκα[138].

ρκ'. Οἱ σχῆμα μοναχικὸν τολμήσαντες περιθέσθαι, ἢ

δ'. Νεαρὰ θ' τοῦ κυροῦ λέοντος· πρὸς τοὺς καταλιπόντας ἀτελὲς μοναστήριον ἐκεῖνο ἡμῖν θεσπίζεται, ὡς διατυπώσεως προελθούσης τὰ ἐν ταύτῃ διωρισμένα ἔσται τῆς ἐκκλησίας· εἰ δ', ὁποῖα πολλὰ φέρει τὸ ἄδηλον, πρὸ τῆς τῶν οἰκείων ἀναρπασθείη διατυπώσεως, παίδων μὲν ὑπόντων ἄχρι γ', τέταρτον μέρος τῆς ὑπάρξεως οἰκειώσεται ἡ μονή· ἐπέκεινα δὲ τοῦ τῶν γ' ἀριθμοῦ προϊόντος τοῦ τῆς γονῆς πλήθους, συγκαταλέξεται τὸ μοναστήριον τοῖς παισὶ, καὶ τὰ ἴσα ἑνὶ τούτων ἑκάστῳ λήψεται ἐκ πάσης περιουσίας ἧς οὐχ ἅπτεται χρέα τοῦ τεθνηκότος· ἄπαιδος δὲ ὑπάρχοντος, ἐπὶ γονεῦσι δὲ τὸν βίον λιπόντος, διχῇ τῶν προσόντων διαιρουμένων ἡ μὲν τοῖς γονεῦσιν, ἡ δ' ἑτέρα μοῖρα τῷ μοναστηρίῳ παρασχεθήσεται· εἰ δὲ ἔρημος εἴη κληρονόμων ἀνιόντων καὶ κατιόντων, τοὺς ἐκ πλαγίου δὲ εἰσιόντας ὁ κλῆρος προσίεται, αὐτοὶ μὲν, ὅσοι ἄρα καὶ ὦσι, τὸ γ' μέρος διανεμηθήσονται, τὸ δίμοιρον δὲ προσχωρήσει τῇ ἐκκλησίᾳ.

---

133 Syn. M, 17 ex Bas. IV, 1, 1. 134 Syn. l. l. ex Bas. IV, 1, 2. 135 Syn. l. l. ex Bas. IV, 1, 3. 136 Syn. l. l. ex Bas. IV, 1, 4. 137 Syn. l. l. ex Bas. IV, 1, 17. 138 Syn. l. l. ex Bas. IV, 1, 19.

τοῦτο ἢ ἄλλην τινὰ ἐκκλησιαστικὴν ἐμπαῖξαι κατάστασιν, σωματικὰς τιμωρίας ὑπομενέτωσαν καὶ ἐξορίᾳ παραδιδόσθωσαν[139].

ρκά. Ἐὰν γυνὴ μέλλῃ ταφῆναι εἰς μονὴν γυναικεῖαν, οἱ φέροντες τὴν κλίνην καὶ οἱ τὸν τάφον ὀρύττοντες κατ' αὐτὸν μόνον τὸν τῆς κηδείας καιρὸν παραχωροῦνται εἰσέρχεσθαι τὴν μονὴν, εὐθὺς δὲ ἐκβάλλονται ἐκ ταύτης. αἱ μοναχαὶ δὲ οὐ δύνανται ἐπὶ τῇ ταφῇ παραγίνεσθαι, εἰ μὴ μόναι ἡ θυρωρὸς καὶ ἡ ἡγουμένη[140].

ρκβ'. Οὐδὲ ἐν τοῖς μνημοσύνοις τῶν ἐν μοναστηρίοις τεθαμμένων ἀνδρῶν ἢ γυναικῶν οἱ συγγενεῖς αὐτῶν παραχωροῦνται εἰσιέναι εἰς τὰς μονὰς, ἂν ὦσιν αἱ μὲν μοναὶ ἀνδρῷαι καὶ οἱ ταφέντες ἄνδρες, αἱ δὲ συγγενεῖς ἐκείνων γυναῖκες, ἢ τὸ ἀνάπαλιν[141].

ρκγ'. Ἀνδρὸς ἐν μονῇ ἀνδρῴᾳ ταφέντος κατὰ τὸν νόμον αἱ συγγενεῖς αὐτοῦ γυναῖκες οὐδὲ εἰς τὰ μνημόσυνα ἐκείνου δύνανται εἰς τὴν μονὴν εἰσελθεῖν· ὡσαύτως οὐδὲ ἄνδρες εἰς τὰς γυναικείας μονὰς εἰσέρχεσθαι, οὐδὲ ἐὰν ὦσιν ἐκεῖ τεθαμμέναι γυναῖκες αὐτῶν συγγενεῖς, καὶ μνημόσυνα τῶν τοιούτων μέλλουσι γίνεσθαι γυναικῶν[142].

ρκδ'. Μονιτροὺς[143] τοὺς χαράκτας καλοῦσι, μονίταν δὲ τὸν ἀρχέτυπον χαρακτῆρα, δι' οὗ σφραγίζονται τὰ νομίσματα.

ρκε'[144]. Οἱ τὴν μονίταν ἐργαζόμενοι, ἤγουν χαράσσοντες τὰ νομίσματα, νούμους ἤγουν νομίσματα ποιοῦντες ἔξωθεν ἑαυτοῖς ἢ τοὺς γενομένους κλέπτοντες οὐ κρίνονται ὡς πλαστὴν μονίταν ποιοῦντες, οὐδὲ καταδικάζονται ὡς οἱ πλάττοντες μονίταν, τουτέστιν οὐ χειροκοποῦνται, ἀλλὰ μόνον περιορίζονται[145].

ΑΡΧΗ ΤΟΥ Ν[1].

α'. Ὅτι κατὰ τοὺς πάλαι χρόνους οὔτε μοναρχίαι ἦσαν βασιλικαὶ, ἀλλὰ δι' ὑπάτων τὰ τῶν ῥωμαίων διηυθύνοντο πράγματα· προεβάλλοντο γὰρ καθ' ἕκαστον χρόνον ὕπατοι δύο, καὶ ἀνεδέχοντο[2] πάντα τὰ στρατιωτικὰ καὶ πολιτικά· οὔτε νόμοι. καὶ ἵνα σαφέστερον καὶ συντομώτερον εἴπομεν, ἀκμὴν οὔτε βα-

---

[139] Syn. *M*, 17 ex Bas. IV, 1, 19. [140] Syn. l. l. ex Bas. IV, 1, 20.
[141] Syn. ibid. [142] Syn. ibid. [143] In Syn. *M*, 18 rectius scribitur μονιτάριος.
[144] C ρβ', A ρις', D ριη'. [145] Syn. *M*, 18 ex Bas. LX, 45, 7.
[1] A addit βιβλίου, D στοιχείου. [2] D ἀνεδέξαντο.

σιλεῖς ἦσαν, οὔτε ἔγγραφοι νόμοι ἐν βιβλίοις τεταγμένοι ἢ ἀναγραφόμενοι[3].

β΄. Πρῶτος δὲ ἄππιος κλαύδιος μετὰ ἑτέρων ἀνδρῶν ἐκλεκτῶν δέκα τὸν ἀριθμὸν συναγαγὼν, εἴ τι νόμιμον ἦν παρὰ ῥωμαίοις ἢ ἀγράφως φερόμενον[4], ἢ ἐγγράφως μὲν, ἀσυντάκτως δὲ καὶ σποράδην κείμενον (ἦσαν γὰρ καί τινα ἀτάκτως καὶ οὐκ ἐν ὡρισμένοις τεθειμένα βιβλίοις), μετακομίσας καὶ ἀπὸ τῶν ἀθηνῶν τοὺς νόμους τοῦ δράκοντος καὶ τοῦ σόλωνος καὶ ἀπὸ ἄλλων ἄλλους τινὰς, καὶ ἐκ πάντων ἐκλογὴν ποιησάμενος, τὸ δωδεκάδελτον, ταὐτὸν δ' εἰπεῖν δωδεκάβιβλον, ἀπετέλεσεν[5].

γ΄. Εἶτα ἐλθόντες ἄνδρες σοφοὶ, ὧν ἦρχε γάϊος, νομοθεσίας ἑτέρας καὶ διαιρέσεις τῶν ἀγωγῶν προστεθείκασι. καὶ μετὰ τούτους διάφοροι βασιλεῖς διατάξεις ὡς συμφέρον ἐνόμιζον διετάξαντο[6].

δ΄. Ὕστερον δὲ ὁ βασιλεὺς ἰουστινιανὸς τὰς πολλὰς ἐκθέσεις τῶν νόμων ἐν ν΄ βιβλίοις διὰ σοφῶν ἀνδρῶν σπουδαίως συνήγαγεν, ἃ καὶ δίγεστα ἤτοι πανδέκτην, ὡς πάντων δεκτικὰ τῶν νόμων, ἐκάλεσεν[7].

ε΄. Οὗτος ὁ ἰουστινιανὸς δηλαδὴ καὶ τοὺς τρεῖς ἐξέθετο κώδικας, τόν τε γρηγοριανὸν, τὸν ἑρμογενειανὸν καὶ τὸν θεοδοσιανὸν, καὶ τοὺς τοιούτους κώδικας τοῖς νόμοις τοῖς διὰ θα-

---

α΄. Κανών. — Τὰ νόμῳ συνιστάμενα ἐναντίῳ νόμῳ ἀναιρεῖται.

β΄. Ἕτερος. — Τὰ παρὰ κανόνας νόμου λεχθέντα οὐχ ἕλκεται εἰς ὑπόδειγμα.

γ΄. Ἕτερος περὶ νομῆς. — Οὐκ ἐστὶ κακῇ πίστει νομεὺς ὁ δεδωκὼς τίμημα.

δ΄. Ὁ κατὰ κέλευσιν ἀρχοντικὴν ἀγοράσας καλῇ πίστει νομεύς ἐστιν.

ε΄. Ἐν ἴσῃ αἰτίᾳ κρείσσων ἐστὶν ὁ νεμόμενος.

ς΄. Ὁ δόλῳ παυσάμενος νέμεσθαι ὡς νεμόμενος καταδικάζεται.

ζ΄. Ἐκ τῶν ἱερῶν κανόνων. — Ὅτι πρὸ τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων, τῆς γεννήσεως τοῦ χριστοῦ, τῆς μεταμορφώσεως τοῦ χριστοῦ καὶ τῆς κοιμήσεως τῆς ἁγίας θεοτόκου ἐξ ἀνάγκης ἑπταήμεροι προηγοῦνται νηστεῖαι. εἰ δέ τις καὶ πλέον τῶν ζ΄ ἡμερῶν κατὰ τὰς ἑορτὰς τούτων ἢ ἑκοντὶ ἢ ἀπὸ κτητορικοῦ τυπικοῦ συνωθούμενος νηστεύσει, οὐ καταισχυνθήσεται.

η΄. Τῆς ἐν λαοδικείᾳ κανὼν ιζ΄. — Ἐν ταῖς συνάξεσι μεταξὺ τῶν ψαλμῶν ἀναγνώσεις γινέσθωσαν.

---

[3] Att. Prooem. [4] Deest in D. [5] Att. ibid. [6] C συνεγράψαντο. — Att. ibid. [7] Att. ibid.

λελαίου καὶ ἀνατολίου καὶ ἰσιδώρου συνάψας, ἕτερον δωδεκάδελτον, ταὐτὸν δ᾽ εἰπεῖν δωδεκάβιβλον, καὶ αὐτὸς ἀπεπλήρωσε. τινὲς δὲ τοὺς λεχθέντας κώδικας εἶναι μέν φασι καὶ πρὸ τοῦ ἰουστινιανοῦ, πλὴν[8] ἀλλὰ συγκεχυμένους καὶ διεσπαρμένους, παρ᾽ αὐτοῦ δὲ ἐπισυναχθῆναι καὶ τεθῆναι εἰς τὸ δωδεκάβιβλον ἢ μᾶλλον[9] δωδεκάδελτον[10].

ς'. Ὁ αὐτὸς καὶ τὰ ἰνστιτοῦτα, τουτέστι τὴν τῶν νόμων εἰσαγωγὴν, ὡς πρῶτα στοιχεῖα τοῖς τοὺς νόμους παιδευομένοις, ἐξέδοτο[11].

ζ'. Ὁ αὐτὸς καὶ νεαρὰς ἐν ἰδιάζοντι βιβλίῳ συνέταξεν. εἰσὶ δὲ νεαραὶ αἱ παρὰ τῶν κατὰ καιροὺς βασιλέων νέαι διατάξεις πρὸς τὰς ἀνακυπτούσας ὑποθέσεις γινόμεναι[12].

η'. Ὑπηρέτει δὲ τῷ ἰουστινιανῷ εἰς ἃς εἴπομεν νεαρὰς ὁ τριβουνιανὸς ἐκεῖνος, ὃν καὶ εἰς φύσεως δεξιότητα[13], καὶ εἰς φιλοχρηματίαν δαιμόνιον[14] περιᾴδουσιν. ὅστις ἐν τῷ συγγράφειν τὰς νεαρὰς παρὰ τῶν ἐχόντων ὑποθέσεις δεχόμενος χρήματα, τὰ μὲν πρὸς τὸ θέλημα τῶν διδόντων ἐνήλλαττε, τὰ δὲ ἀσαφῆ καὶ δυσνόητα καὶ πρὸς ἐννοίας ῥέποντα διπλὰς ἐσχεδίαζεν, ὡς ἂν οἱ ἀναγινώσκοντες ἐμπίπτωσιν εἰς διχόνοιαν[15].

θ'. Τελευταῖον δὲ καὶ ὕστερος πάντων λέων ὁ σοφὸς[16] ὁ ἐν βασιλεῦσιν ἀοίδιμος τὰ δίγεστα καὶ τοὺς κώδικας καὶ τῶν ἰνστιτούτων πολλὰ καὶ τὰς νεαρὰς αὐτὰς εἰς ἓν πάντα συναγαγὼν, καὶ ὁμοῦ τὴν τοιαύτην πραγματείαν ἐν βιβλίοις συμπληρώσας ξ', τὴν λεγομένην ἑξηκοντάβιβλον τελείως ἀπήρτισεν, ἣν καὶ εἰς τεύχη ἓξ διεμέρισε, τεῦχος ὀνομάσας ἕκαστον τῶν μειζόνων τμημάτων, ὃ καὶ πολλῶν βιβλίων ἐστὶ περιεκτικόν. καὶ μετὰ τοῦτον πολλοὶ τῶν βασιλέων* καθολικοὺς μὲν οὐκ ἐξέθεντο νόμους, νεαρὰς δὲ καὶ προστάξεις ἀλλοίας καὶ χρυσοβούλλους λόγους, εἰς ἃ δέον ἡγήσαντο, πεποιήκασιν[17].

ι'. Ὁ νόμος ἢ φυσικός ἐστιν ἢ ἐθνικὸς ἢ πολιτικός. καὶ φυσικὸς μὲν νόμος, ᾧτινι κατὰ φύσιν χρῶνται πάντα τὰ ζῶα, καὶ τὰ λογικὰ καὶ τὰ ἄλογα, οἷον τὸ τὰς μητέρας στέργειν τὰ γεννώμενα ἐξ αὐτῶν, καὶ ὅσα τοιαῦτα.

θ'. Βασιλείου τοῦ μεγάλου περὶ τετάρτου γάμου. περὶ δὲ τῶν διγάμων καὶ τριγάμων ἀπὸ τοῦ συνοδικοῦ τόμου τὰ περὶ αὐτῶν δογματισθέντα ἀπαραποιήτως γράφεται, καὶ πρόσχες

---

[8] Verba πλὴν — διεσπαρμένους in C desunt. [9] Verba δωδ. — μᾶλλον desunt in AC. [10] Att. Prooem. [11] Att. ibid. [12] Att. ibid. [13] CD δολιότητα. [14] BD φιλοχρηματίας δαιμόσιον. [15] Att. ibid. [16] In C ὁ σοφός deest. * C τῶν εὐσεβῶν β. [17] Att. ibid.

ια΄. Ἐθνικὸς νόμος ἐστὶν, ᾧτινι ἔθνος ἓν ἢ καὶ ἔθνη χρῶνταί τινα. οἷον τὸ μὴ μίγνυσθαι ταῖς μητράσι παρὰ σκύθαις καὶ ἕλλησι, καὶ τὸ ἐναντίον τὸ μίγνυσθαι ταύταις παρὰ τοῖς πέρσαις.

ιβ΄. Πολιτικὸς δὲ νόμος ἐστὶν, ᾧτινι μία μόνη κέχρηται πόλις διὰ τὸ συμφέρειν αὐτῇ, ἄλλη δὲ, εἰ χρήσασθαι βουληθῇ, ἐπιζήμιον ἔσται ταύτῃ καὶ βλάβης πρόξενον. ὡς εἴ τις ἐν πόλει ὢν, ἥτις σῖτον ἀφ᾽ ἑαυτῆς οὐ δύναται γεωργεῖν, νομοθετήσῃ ἐλευθέρους εἶναι καὶ μηδὲν διδόναι τῷ δημοσίῳ τοὺς βουλομένους ἀγοράζειν καὶ πωλεῖν σῖτον. τοῦτο γὰρ τῇ μὲν πόλει ἐκείνῃ ἴσως συμφέρει διὰ τὸ μὴ ἔχειν σῖτον ταύτην ἀφ᾽ ἑαυτῆς, ταῖς δὲ ἑτέραις πόλεσιν, αἵτινες εὔφοροι εἰς σῖτόν εἰσιν, ἀσύμφορον ἔσται πάντως καὶ οὐδὲν ὄφελος, ἀλλὰ μᾶλλον καὶ ζημίαν αὐταῖς προξενοῦν[18].

τούτοις. ἔχει γὰρ οὕτως· τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ᾽ εἶναι καὶ ἀπόβλητον παντελῶς, καὶ εἴ τις ἐπὶ τοιοῦτον ἐλθεῖν προθυμηθῇ συνοικέσιον, πάσης ἔστω ἀπεστερημένος τάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀνάξιος, μέχρις ἂν ἐπιμένῃ τῷ συνοικεσίῳ. τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἔδοξε θείοις πατράσι, καὶ ἡμεῖς δὲ τὴν γνώμην αὐτῶν ἐκδηλοτέραν ποιοῦντες ὡς ἀλλότριον αὐτὸν τῆς χριστιανικῆς πολιτείας ἀποκηρύττομεν. ἐπὶ δὲ τριγάμων τοῦτο παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴ τις πρὸς μ΄ ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος μήτε τῆς ὀφειλομένης χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίπτει γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ᾽ αὐτῷ συντέμνεσθαι τὸν χρόνον. ὃς γὰρ μετὰ μ΄ ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ χριστοῦ ἐκκλησίᾳ εἶναί τε καὶ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι᾽ ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; ἀλλὰ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως οὐκ ἔσται συγκεχωρημένον αὐτῷ, ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἀλλ᾽ ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν ὅσον δυνατὸν ἀνακάθαρσιν. ταῦτα δέ φαμεν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων μετὰ τὸ μ΄ ἔτος τρίτην ἄγεσθαι προῃρημένοις γυναῖκα. ἐπεὶ ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. λίαν γάρ ἐστιν ἄδικον, τὸ μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς καὶ ἄλυπον καὶ ἀτάραχον, καὶ ὅσα οἶδε τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς πολυσπόρου τεκνώσεως. καὶ εἴ τις δὲ τριακονταετὴς καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων

---

[18] Cap. 10—12 commentarii loco esse videntur ad Att. XXX (45, 1).

ιγ΄. Ἡ νομὴ φυσική ἐστι κατοχὴ, καὶ προηγεῖται τῆς δεσποτείας καὶ ἡ δεσποτεία ἐξ αὐτῆς ἔλαβε τὴν ἀρχήν. ὅτι δὲ ἡ νομὴ πρώτη παρὰ τὴν δεσποτείαν ἐστὶ καὶ ὅτι τὸ δεσπόζειν τινὸς ἐκ τῆς νομῆς γίνεται, δῆλον ἐντεῦθεν· ὅσα ἐκ τοῦ πολέμου λαμβάνομεν, ὅσα ἐν τῇ χέρσῳ εὑρίσκομεν, ὅσους τόπους ἀοικήτους οἰκήσομεν, ὅσας νήσους παρὰ μηδενὸς δεσποζομένας κατάσχωμεν, ὅσα τοιαῦτά τινα ποιήσομεν, τὸν πρώτως δραξάμενον τῆς νομῆς τῶν πραγμάτων, ὧν νεμηθῇ, δεσπότην ἡγούμεθα[19].

ιδ΄. Ἡ νομὴ γίνεται μὲν πολλάκις καὶ κατὰ μίσθωσιν, καὶ καλεῖται μισθωτικὴ ἡ τοιαύτη νομή. γίνεται δὲ καὶ κατὰ δεσποτείαν τελείαν, καὶ λέγεται τότε κατὰ ψυχὴν καὶ ψυχῇ νομὴ, καὶ ὁ νεμόμενος τὸ πρᾶγμα ψυχῇ νεμόμενος. καὶ ὁ μὲν

γάμων τρίτῃ γυναικὶ συνάπτοιτο, καὶ οὗτος ἀσυγχωρήτως μέχρι δ΄ ἔτους τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔσται, διότι δῆλός ἐστιν οὐκ ἐξ ἑνὸς ἑτέρου ἀλλ᾽ ἢ ὑπὸ ἀκρασίας κινούμενος καὶ τοῦ δοῦλος εἶναι τῆς σαρκικῆς ἐπιθυμίας ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν θείων μυστηρίων τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς μεταλήψεως, ἅπαξ μὲν ἐν τῇ σωτηρίῳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, δεύτερον δὲ ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ τρίτον ἐν τῇ γενεθλίᾳ ἡμέρᾳ χριστοῦ τοῦ θεοῦ ἡμῶν, διὰ τὸ ἐν ταῖς αὐταῖς ἑορταῖς προηγεῖσθαι νηστείαν καὶ τὸ ἐκ ταύτης ὄφελος. εἰ δὲ παῖδες μὴ παρῶσιν, ἐπειδὴ τὸ τῆς τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τὸ τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται. ταῦτα μὲν καὶ περὶ τοῦ τριγάμου. οὐ μὴν δὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτως συνίστασθαι, ὥστε μηδεμίαν αἰτίαν πονηρὰν ἔχειν, ἢ ἐξ ἁρπαγῆς ἢ ἐκ προηγησαμένης λαθραίου φθορᾶς, ἀλλὰ νομίμως καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων καὶ πορνικῆς ἀκαθαρσίας. εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν ἔλθῃ, τοῦτον ἡ τοῦ χριστοῦ ἐκκλησία, ἡ καθαρὰ καὶ μηδένα σπῖλον ἔχουσα, τοῖς σωτηρίοις ὑποβαλοῦσα ἐτασμοῖς, μὴ πρὶν εἰς μετάληψιν τῶν θείων παραδέξηται μυστηρίων, ἢ τὸν ὡρισμένον αὐτοῖς ἐπὶ τῇ πορνείᾳ χρόνον ἀκριβῶς ἐκπληρῶσαι, εἰ μὴ ἄρα ἡ τοῦ βίου κατεπείγει ἀναγκαία ἀναχώρησις, τουτέστι μέχρις ἂν τὸ ζ΄ ἐκπληρωθῇ ἔτος. ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὸν διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσῃ βαθμὸν, τοῦ ἀξιωθέντος παρὰ τοὺς θείους κανόνας τῆς θείας κοινωνίας πάλιν εἰς τὸ ἀκοινώτητον περιϊσταμένου μέχρι τῆς συμπληρώσεως τοῦ ζ΄ ἔτους.

---

19 Att. XXX (45).

ψυχῇ νεμόμενος πολλάκις διὰ πολυχρονίου νομῆς γίνεται δεσπότης τοῦ πράγματος, ὁ δὲ μισθωτικῶς νεμόμενος οὐδέποτε διὰ πολυχρονίου νομῆς δύναται δεσπόσαι τοῦ πράγματος[20].

ιε*. Τὰ ναυτικὰ πάντα καὶ ὅσα κατὰ θάλασσαν κρίνεται[21], ῥοδίῳ τέμνονται[22] νόμῳ καὶ κατὰ τοὺς ῥοδίους δικάζονται νόμους, ὅταν μὴ ἄλλος νόμος ἐναντιούμενος τοῖς τῶν ῥοδίων νόμοις εὑρίσκηται. εἰσὶ γὰρ οἱ τῶν ῥοδίων νόμοι τῶν ἄλλων ναυτικῶν νόμων παλαιγενέστεροι, καὶ ἔχουσιν εἰς τὰ πλείω καλῶς καὶ ἐν τοῖς περισσοτέροις τυγχάνουσιν ἀνεπίληπτοι. ἐπεὶ δὲ ὕστερόν τινες τῶν ἀνθρώπων τισὶ ῥοδίοις νόμοις πρὸς κακουργίαν ἐχρήσαντο, καὶ αὐτὴ δὲ ἡ τῶν πραγμάτων μεταβολὴ ἀπῄτησεν ἐξ ἀνάγκης νέους νόμους τεθῆναι, ἀναπληροῦντας τὸ λεῖπον τοῖς νόμοις τοῖς παλαιοῖς καὶ μεταποιοῦντας ἐκείνους πρὸς τὸ κοσμιώτερον καὶ σεμνότερον, καὶ μέντοι καὶ τοιοῦτοι νόμοι παρὰ βασιλέων ἀγαπώντων τὸ δίκαιον ἐξετέθησαν[23]. ὅπου μὲν[24] οὐχ εὑρίσκεται νέος νόμος παλαιῷ νόμῳ τῶν ῥοδίων ἀντιταττόμενος, κατὰ τοὺς ῥοδίους νόμους τὰ ναυτικὰ ζητήματα κρίνεται· ὅπου δὲ ἕτεροι νόμοι ἐναντιοῦνται αὐτοῖς, ἀργοῦσιν οἱ τῶν ῥοδίων νόμοι καὶ οἱ ἄλλοι τὸ κράτος ἔχουσιν[25].

ις΄. Ναῦται χωρὶς κυβερνήτου πλέειν τολμήσαντες καὶ οἱ μετ᾽ αὐτῶν ἐπιβάται τοῖς ναύταις ὁμοίως δίχα κυβερνήτου κατὰ θάλατταν πλέοντες, ἐὰν τὸ πλοῖον ναυαγήσῃ, τουτέστι κινδύνῳ περιπέσῃ τινὶ ἢ καὶ εἰς τελείαν καταντήσῃ ἀπώλειαν, καὶ οἱ ἐπιβάται καὶ οἱ ναῦται ἐνάγονται, οἱ μὲν ἐπιβάται ὡς τῆς σωτηρίας ἑαυτῶν ἀμελήσαντες, οἱ δὲ ναῦται ὡς καὶ τῆς ἑαυτῶν καὶ τῆς τῶν ἐπιβατῶν προμηθείας καταφρονήσαντες καὶ μὴ κυβερνήτην μεθ᾽ ἑαυτῶν ἐπαγόμενοι. τινὲς[26] δὲ τοὺς ναύτας ἐν τούτοις ὡς ἀθώους τῆς ἐνοχῆς ἀπολύοντες λέγουσι μόνους τοὺς ἐπιβάτας ἐνέχεσθαι[27].

ιζ΄. Ναύκληρος ὁ βαρβάρους κατασκευάζειν διδάσκων ναῦς, ἤγουν[28] ὁ πλοῖα ποιεῖν ἔθνεσιν ἀλλογενέσιν ὑποδεικνύς,

---

[20] Att. XXX (46). * Cap. 15—22 edidit Pardessus Collection des lois maritimes ex Cod. Vaticano. [21] D κρίνονται. [22] D τέμνεται. Leunclav. notat: al. τέμνεται καὶ δικάζεται. [23] D ἐξετάσθη. [24] A οὖν. Forte: μὲν οὖν. [25] Att. XXXII (48). — Hunc locum ediderunt Schardius et Leunclavius sub inscriptione: περὶ τῶν νόμων ῥοδίων ναυτικῶν ἐκ βιβλίου τινὸς νομίμου τοῦ Δοκιμίου (sive Δοκίμου). Nempe in A fol. 135 recto supra in margine possessor aliquis Codicis nomen suum adscripsit, sic: δοκιμίου. [26] Verba τινὲς — ἐνέχεσθαι C omittit. [27] Att. XXXII (48). [28] Verba ἤγουν ὑποδεικνὺς C non habet.

κεφαλικαῖς τιμωρίαις ὑπόκειται, ὡς τοῖς τῶν ῥωμαίων ἐχθροῖς διδοὺς ὅπλα καὶ ἰσχυροὺς ἐκείνους κατὰ τούτων ἀπεργαζόμενος[29].

ιη'. Ναῦς, τουτέστι καράβιον ἢ ἕτερον πλοῖον[30], ἐὰν προσκρούσῃ ἑτέρᾳ νηῒ καὶ βυθίσῃ αὐτὴν, εἰ μὲν πολλὴ βία τοῦ ἀνέμου ἐστὶ καὶ φαίνεται ἀπὸ τούτου, ὅτι οὔτε ἀπὸ κακίας οὔτε ἀπὸ ἀμελείας τοῦ κυβερνήτου καὶ τῶν ναυτῶν τῶν ἐν τῇ σωζομένῃ νηῒ ἡ ἀπολλυμένη ναῦς ἐβυθίσθη, οὔτε οἱ ναῦται οὔτε οἱ κυβερνῆται ἐνάγονται. ἐὰν δὲ ἡ τοῦ ἀνέμου βία μὴ εἴη πολλὴ καὶ δυναμένη εἰς αἰτίαν λογισθῆναι τῆς ἀπωλείας τῆς ἑτέρας νηὸς, καὶ ὁ κυβερνήτης καὶ ὁ πρωρεὺς καὶ οἱ ναῦται ἐνάγονται[31].

ιθ'. Τὸ ἐκ νηὸς ναυαγίῳ περιπεσούσης ἁρπάζειν ὅμοιόν ἐστι τῷ ἐξ οἰκίας ἐμπρησθείσης ἁρπάζειν, ἤγουν ὀσπητίου καυθέντος*, ἢ τῷ ἀφαιρεῖσθαί τι ἐξ οἰκίας ἐκ σεισμοῦ[32] συμπεσούσης, καὶ ὁ τοιοῦτόν τι πράττειν τολμῶν ἐντὸς μὲν ἐνιαυτοῦ ἤγουν συμπληρώσεως χρόνου ἑνὸς ἐνέχεται ἀποδοῦναι ὃ ἥρπασεν εἰς τὸ τετραπλοῦν, μετὰ δὲ τὴν χρόνου συμπλήρωσιν ἁπλοῦν τὸ ἁρπασθὲν ἀποδίδωσιν[33].

κ'. Ὁ κόψας σχοίνιον εἰς ὃ ἐδέδετο ναῦς, ἐὰν ἐκ τούτου κινδυνεύσῃ ἡ ναῦς ἤ τι τῶν ὄντων ἐν τῇ νηῒ πραγμάτων ἀπόλλυται, ἀναγκάζεται διδόναι εἰς τὸ διπλάσιον ἢ ὅλην τὴν ναῦν καὶ τὰ ἐν αὐτῇ ἢ τὸ πρᾶγμα ὅπερ ἐκ τῆς τοιαύτης νηὸς ἀπώλετο[34].

κα'. Πολλῶν ἐν ταὐτῷ καιρῷ εἰς ἓν πλοῖον εὑρισκομένων καὶ ἑκάστου πρᾶγμα ἔχοντος ἴδιον, ἐὰν γένηται κίνδυνος καὶ ἐκβληθῶσι καὶ ῥιφῶσιν ἔξω ἐν τῇ θαλάσσῃ τῶν ἐν τῇ νηῒ πραγμάτων τινὰ, εἶτα περισωθῇ ἐκ τοῦ κινδύνου ἡ ναῦς, καὶ ὁ μὲν τῶν ἐν αὐτῇ πλέον εὑρεθῇ σῶον ἔχων ὅπερ εἰσήγαγεν εἰς τὴν ναῦν, ὁ δὲ ζημιωθεὶς καὶ ἀπολέσας ὃ ἐπεφέρετο, διὰ τὸ ὡς εἴρηται ἀποῤῥιφῆναι τοῦτο ἐν τῇ θαλάττῃ, γίνεται συνεισφορὰ παρὰ τῶν ἐχόντων τὰ οἰκεῖα πράγματα, καὶ ἀναπληροῦνται τοῖς ζημιωθεῖσιν ὁπόσον ἐζημιώθησαν, ἐπεὶ τὴν τοιαύτην ζημίαν διὰ τὴν κοινὴν ἁπάντων τῶν ἐν τῷ πλοίῳ σωτηρίαν ὑπέμειναν. καὶ πᾶν ἁπλῶς εἴ τι διὰ τὴν κοινὴν ἁπάντων σωτηρίαν ἐκβληθῇ ἐκ τῆς νηὸς καὶ ἀπολεσθῇ, συνεισφέρουσι πάντες οἱ ἐν τῷ πλοίῳ καὶ ἀποπληροῦσιν αὐτό[35].

κβ'. Ἐναυάγησέ τις ἐν τῇ θαλάττῃ, ἐξέβαλεν ὅπερ εἶχε

---

[29] C addit: καὶ ζημίας μεγίστης τοῖς κοινοῖς πράγμασι γινόμενος πρόξενος. — Att. XXXII (48). [30] Verba τουτέστι—πλοῖον desunt in C. [31] Att. ibid. * Verba ἤγουν ὀ. κ. desunt in C. [32] D συσκιοῦ. [33] Att. ibid. [34] Att. ibid. [35] Att. ibid.

καὶ ἔῤῥιψεν εἰς τὴν θάλασσαν. οὐ γίνεται τὸ τοιοῦτον πρᾶγμα διὰ τὸ ῥιφῆναι ἐν τῇ θαλάσσῃ ἀδέσποτον, ἀλλὰ μένει καὶ πάλιν ὑπὸ τὴν δεσποτείαν τοῦ πρότερον αὐτὸ ἔχοντος. καὶ ἐὰν ἐκβληθῇ ἐκ τῆς θαλάττης εἰς τὴν ξηρὰν, δύναται ὁ δεσπότης ἀνακαλεῖσθαι αὐτό. εἰ δὲ πολλάκις τὶς φθάσας πρὸ τοῦ δεσπότου τὸ τοιοῦτον πρᾶγμα ἐκτήσατο, εἰ μὲν χωρὶς κινδύνου ἔλαβε τοῦτο, ἄδεια τῷ δεσπότῃ ἐστὶν ἀνακαλεῖσθαι τὸ πρᾶγμα, ἀποδιδόντι τὸ ἀνῆκον τῷ ὑπὲρ αὐτοῦ κωπιάσαντι, ἢ καὶ τὸ τῆς δοθείσης ὑπὲρ τοῦ πράγματος τῆς ἀγορᾶς τίμημα καταβάλλοντι. εἰ δ' ἵνα κτήσηται τὸ πρᾶγμα, ἑαυτὸν εἰς κίνδυνον ἔβαλεν ὁ κτησάμενος, τότε δεσπότης τούτου κυρίως γίνεται, ὡς τῆς ἑαυτοῦ σωτηρίας τὴν τοῦ πράγματος δεσποτείαν ἀνταλλαξάμενος, καὶ ὁ πρότερον τοῦ πράγματος δεσπότης τῆς δεσποτείας ἐκβάλλεται[36].

κγ΄. Ἐν τοῖς νόμοις (διάφοροι δὲ οἱ νόμοι) εἰσί τινες καὶ περὶ ζημίας διαλαμβάνοντες, καὶ τῶν περὶ ζημίας νόμων ὁ ἀκουΐλιος νόμος ἐστὶν ἁπάντων ἐπικρατέστερος. παρακελεύεται δὲ οὗτος καὶ περὶ τῶν ἄλλων μὲν ζημιῶν, ἐξαιρέτως δὲ περὶ τῶν ἀποδιδομένων εἰς τὸ διπλάσιον. καὶ διὰ τούτου ὅταν ζημίαν παρ' ἄλλου τινὸς ὑπομείνας τὶς δύναται κατὰ τοῦ ζημιώσαντος ἐγκαλεῖν καὶ ἀπαιτεῖν τὸ ζημιωθὲν αὐτοῦ πρᾶγμα εἰς τὸ διπλάσιον, τότε κατὰ τὸν ἀκουΐλιον νόμον κινεῖσθαι τὴν ὑπόθεσιν λέγουσιν, ὡς εἴ τις εἴπῃ κατὰ τὴν εἰς τὸ διπλάσιον διεκδίκησιν. καλεῖται δὲ ἀκουΐλιος[37].

κδ΄. Ἐνάγεται δὲ τούτῳ τῷ νόμῳ καὶ ὁ φονεύσας δοῦλον ἀλλότριον καὶ ὁ ζῶον κτείνας ἀγεληδὸν ἰθυνόμενον. τὰ γὰρ ἄγρια οὔτε τινὸς δεσπότου εἰσὶν, οὔτε ὑπὸ κρίσιν τοὺς κτείναντας αὐτὰ ποιεῖν δύνανται[38].

κε΄. Νοξάλιαι[39] λέγονται ἀγωγαὶ, ὅσαι ἐκ τῶν πταισμάτων τῶν δούλων εἰς τοὺς δεσπότας ἀνάγονται. ὅτε γὰρ δοῦλος ποιήσῃ τὶ εἰς βλάβην ἀφορῶν ἑτέρου τινὸς, εἰ μὲν κατὰ γνώμην τοῦ δεσπότου ἁμάρτῃ, ὁ δεσπότης εἰς τὸ πᾶν τῆς δίκης ἐνέχεται. εἰ δὲ παρὰ γνώμην τοῦ δεσπότου τοῦτο ποιήσῃ, ἔξεστι τῷ δεσπότῃ ἢ ἐκδιδόναι τὸν δοῦλον καὶ ἐκφεύγειν τῆς δίκης τὴν ἀποτίμησιν ἢ εἰς τὴν παρὰ τοῦ δούλου γενομένην ζημίαν ἑτέρῳ ἐνέχεσθαι καὶ ἀποδιδόναι ταύτην εἰς τὸ διπλάσιον ἢ τὸ μετριώτερον καὶ ἁπλήν. δίκης δὲ ἀποτίμησιν καλοῦσί τινες τὴν ἐκ τῆς κρίσεως καταδίκην καὶ τιμωρίαν[40].

---

[36] Att. XXXII (48). [37] Att. XXXV (55). [38] Att. ibid. [39] D νοξάριοι. [40] Att. ibid.

κς΄. Ὅταν ἧς ἔχουσι νομῆς παῖδες ἢ ἀπελεύθεροι ἐκβληθῶσι βιαίως ἤγουν μετὰ δυναστείας καὶ βίας παρὰ τοῦ οἰκείου πατρὸς ἢ τοῦ πάτρωνος, ἵνα μὲν ἀναλάβωσι τὴν νομὴν αὐτῶν ἣν εἶχον καὶ πρότερον, ἔχωσιν ἐπαδείαν κινεῖν. τὴν δὲ περὶ βίας ἀγωγὴν οὐ δύνανται κινεῖν οὔτε παῖδες κατὰ τοῦ πατρὸς οὔτε κατὰ τοῦ πάτρωνος ἀπελεύθεροι. εἰ δὲ καὶ μήτηρ ἔχουσα παῖδα μετὰ θάνατον τοῦ πατρὸς, ἐξ οὗ τὸν τοιοῦτον παῖδα ἀπέτεκε, καὶ ἄλλον τινὰ ὑποβάλλῃ ἤγουν ξένον καὶ ἀλλότριον ὄντα παρεισαγάγῃ, εἴτε ἐν τῇ διαθήκῃ τοῦ ἀνδρὸς παρεγγράψασα εἴτε κατ᾽ ἄλλον τινὰ τρόπον ποιήσασα ἐπὶ τῇ πατρικῇ τοῦ παιδὸς ταύτῃ κληρονομίᾳ· εἰ γοῦν ἡ μήτηρ ὑποβολιμαῖόν τινα συγκληρονόμον ἐργάσασθαι τῷ παιδὶ βουληθῇ, ὁ παῖς μὲν κατὰ τούτου τοῦ ὑποβολιμαίου κινεῖ καὶ συγκληρονόμον ἔχειν αὐτὸν ἀποβάλλεται, κατὰ δὲ τῆς μητρὸς περὶ πλαστογραφίας κινεῖν οὐ δύναται. περὶ δὲ ἀννόνας καὶ ἐπιβούλων καὶ γυνὴ καὶ ἄτιμος καὶ στρατιώτης καὶ δοῦλος κινεῖν οὐ κεκώλυνται[41].

κζ΄. Νόμος ἰούλιος ἁρμόζει μὲν καὶ κατὰ πολλῶν ἄλλων, ἁρμόζει δὲ καὶ κατὰ τῶν ἐπιβούλων. μᾶλλον δὲ τοῦ ἰουλίου νόμου εἰς πολλὰ κεφάλαια τεμνομένου, καὶ ἑκάστου τῶν κεφαλαίων ἰουλίου νόμου ὀνομαζομένου, ἕν τι τῶν τοιούτων κεφαλαίων καὶ τὸ κατὰ τῶν ἐπιβούλων διαλαμβάνον ἐστίν[42].

κη΄. Τὰ περὶ τοῦ τῶν ἐπιβούλων νόμου διαλαμβάνοντα δύο κεφάλαια ἐν τοῖς εἰς τὸ ε΄ στοιχεῖον προγέγραπται. ἐκεῖσε γὰρ καὶ[43] μᾶλλον ἁρμόζει.

κθ΄. Οἱ τὰ νομίσματα ξέοντες ἢ χαράττοντες ἢ παρακόπτοντες χειροκοπείσθωσαν. τῇ αὐτῇ δὲ τιμωρίᾳ ὑπόκεινται καὶ οἱ νοθεύοντες ἤγουν μολύνοντες ταῦτα, καὶ οἱ χείρονα ὕλην τούτοις προσμιγνῦντες[44] ἤγουν ἐμβάλλοντες[45].

λ΄. Οὐδένα χρὴ ἤγουν πρέπει[46] ἐξαιτεῖν παρὰ βασιλέως ἐκτυποῦν νούμους, ἤγουν χαράττειν νουμία ἤγουν νομίσματα. καὶ ὁ τούτου τυχὼν μὴ μόνον τὸν καρπὸν ἀπολλύτω τῆς ἰδίας αἰτήσεως, ἀλλὰ καὶ τιμωρείσθω ὡς παραχαράκτης[47].

λα΄. Νεαρὰς διατάξεις ἐξέθεντο μὲν καὶ ἄλλοι πολλοὶ βασιλεῖς, ἐξέθετο δὲ καὶ ὁ σοφώτατος κῦρις λέων. καὶ ἐγένοντο καὶ παρ᾽ αὐτοῦ πολλαὶ νεαραὶ, οὐκ ἐκράτησαν δὲ, εἰ μὴ μόνον αἵτινες ἐγράφησαν εἰς ὑποθέσεις, περὶ ὧν ἄλλοι παλαι-

[41] Att. XXXV (67). [42] Att. XXXV (69). — BCE omittunt c. 28, et in vicem ejus subjiciunt ex litera *E* capp. 53. 54. [43] A *καὶ γάρ*. [44] C *προσμ. τούτοις* omissis his: *ἤγ. ἐμβάλλ.* [45] Att. XXXV (72). [46] Verba *ἤγ. πρ.* desunt in C. [47] D *παράκτης*. — Att. XXXV (86).

ότεροι νόμοι οὐ διελάμβανον, καὶ ὅσαι ἐγένοντο εἰς ἀναπλήρωσιν ἐκείνων, ὧν αἱ παρὰ τοῦ ἰουστινιανοῦ νεαραὶ παρέλιπον, καὶ οὐκ εἶπον περὶ τούτων ἐντελῶς καὶ σαφῶς. αὗται γὰρ μόναι ἀπὸ τῶν νεαρῶν τοῦ κυροῦ λέοντος τοῦ σοφοῦ ἔχουσι τὸ κῦρος καὶ στέργονται, αἱ δὲ ἄλλαι πᾶσαι ἠπράκτησαν[48].

λβ'. Δεῖ γινώσκειν, ὅτι πρὸ τοῦ κυροῦ λέοντος τοῦ σοφοῦ ἐγένοντο πολλάκις γάμοι καὶ χωρὶς ἱερολογίας, ὡς λέγουσί τινες, αὐτὸς δὲ ὁ σοφὸς κῦρις λέων διὰ νεαρᾶς[49] αὐτοῦ προσταγῆς ὥρισεν, ἵνα μὴ γένηταί ποτε γάμος χωρὶς ἱερολογίας, καὶ ἔκτοτε τοῦτο κρατεῖ[50].

λγ'. Τούτου ἐστὶ νεαρὰ[51] καὶ τὸ περὶ τῶν κτιζόντων ἐν τόποις ἀγρωτικοῖς, ἵνα ὁ κτίζων πλησίον τόπου γυμνοῦ καὶ μηδὲν ἔχοντος οἰκοδόμημα ἢ ἕτερόν τι, εἰ μὲν πολὺς ὁ διαμέσος τόπος ἐστὶ καὶ οὐκ ἔνι στενοχωρία τὶς, ἀποφεύγῃ δύο τόξου βολάς· εἰ δὲ στενοχωρία ἐστὶ, ἵνα ἐξ ἀνάγκης ἀποφύγῃ μίαν τόξου βολὴν[52].

λδ'. Τούτου ἐστὶ νεαρὰ[53] καὶ τὸ περὶ τοῦ τυφλώσαντός τινα, ἵνα δηλαδὴ ὁ τυφλώσας τινὰ καὶ ζημιώσας αὐτὸν ἐν τοῖς ὀφθαλμοῖς, εἰ μὲν ἕνα ὀφθαλμὸν ἀπολέσῃ ὁ τυφλωθεὶς, καὶ αὐτὸς τὸν ἕνα ζημιωθῇ ὀφθαλμόν· εἰ δὲ πολλάκις καὶ τοὺς δύο ὀφθαλμοὺς τυφλωθῇ, ἵνα καὶ οὕτως ὁ τυφλώσας τὸν ἕνα ζημιωθῇ ὀφθαλμὸν, ἀντὶ δὲ τοῦ καταλιμπανομένου αὐτῷ ὀφθαλμοῦ[54] ἵνα ἀπαίρηται τὸ δίμοιρον τῆς οὐσίας αὐτοῦ, καὶ διδῶται τῷ τυφλωθέντι εἰς παραμυθίαν αὐτοῦ[55].

λε'. Τούτου[56] ἐστὶ καὶ τὸ βαπτίζειν καὶ ἐν ταῖς κατ' οἶκον ἐκκλησίαις[57].

λϛ'. Τούτου ἐστὶ καὶ περὶ τῶν ἐποχῶν διάφορα νομοθετήματα, ἐν οἷς ἐστὶ καὶ τοῦτο[58]· ἵνα ὁ νεμηθεὶς ἀλλότριον πρόθυρον δι' ἐποχῆς ἢ ἐπὶ ι' χρόνους τοῦ δεσπότου παρόντος, ἢ ἀπόντος τοῦ δεσπότου ἐπὶ χρόνους κ', μὴ διώκηται καὶ ἀπὸ τοῦ τοιούτου προθύρου ἐκβάλληται. πλὴν καὶ ὁ πρότερος τοῦ προθύρου δεσπότης λαμβάνει ὑπὲρ τοῦ προθύρου τὸ ἐπιλαγχάνον αὐτῷ τοπιατικὸν, ὃ καὶ κέρδος προθύριον ὀνομάζεται, ὡς ὑπὲρ τοῦ προθύρου διδόμενον[59].

λζ'. Οὗτος ἐνομοθέτησεν[60], ὁπότε μέλλει νέα ἐποχὴ στῆναι, πόσον ὀφείλει ἀπέχειν ἀπὸ τῆς παλαιᾶς, καὶ ἐτυπώθη

---

48 Att. in App. 49 Nov. 89 Leonis. 50 Att. ibid. 51 Nov. 71 Leonis. 52 Att. ibid. 53 Nov. 92 Leonis. 54 D *αὐτοῦ ὀφθαλμόν.* 55 Att. ibid. 56 Nov. 15 Leonis. 57 Att. ibid. 58 Nov. 104 Leonis. 59 Att. ibid. 60 Nov. 57 Leonis.

εἶναι τὸ μέσον τῶν δύο ἐποχῶν διάστημα ὀργυιὰς τριακοσίας ἑξήκοντα πέντε[61].

λη΄. Οὗτος ἐνομοθέτησεν[62], ἵνα ὅταν τὶς εἰς οἰκεῖον τόπον στῆσαι βούληται ἐποχὴν, εἴτε πρόθυρον ὁ τόπος ἐστὶν εἴτε καὶ ἀλλοῖος τόπος ἐστὶ, καὶ οὐκ ἔστιν ἱκανὸς ὁ τόπος εἰς τὸ στῆσαι ἐπ᾽ αὐτῷ ἐποχὴν, ἐστὶ δὲ ἄλλος ἄνθρωπος πλησιάζων αὐτῷ καὶ ἔχει τόπον ἐπιτήδειον εἰς ἐποχὴν, καὶ ἔνι δυνατὸν ἵνα ἐφαπλώσῃ καὶ ποιήσῃ τὴν ἐποχὴν ἐν τῷ ἰδίῳ τόπῳ καὶ τῷ τόπῳ τοῦ πλησίον αὐτῷ, ἔχῃ ἐπαδείαν ὁ θέλων στῆσαι την ἐποχὴν καὶ μὴ βουλομένου τοῦ πλησιάζοντος αὐτῷ λαμβάνειν ἀπὸ τοῦ τόπου τοσοῦτον ὅσον ἀρκεῖ εἰς τὴν ἐποχὴν, καὶ ἵστησι τὴν ἐποχὴν καὶ μὴ θέλοντος αὐτοῦ. πλὴν ἵνα διδῷ καὶ πρὸς τὸν πλησιάζοντα αὐτῷ, ἀφ᾽ οὗ ἔλαβε τὸν τόπον, τὸ ἀνῆκον κέρδος ὑπὲρ τοῦ τόπου αὐτοῦ. ἀποδίδωσι δὲ καὶ τὴν αἰτίαν τῆς τοιαύτης νομοθεσίας λέγων, ὅτι φιλάνθρωπον τὸ καὶ ἄκοντά τινα εὐεργετεῖν. ἐνταῦθα δὲ πολλῷ μείζων ἡ φιλανθρωπία, ὅπου γε μὴ μόνον ἄκων ἤγουν καὶ μὴ θέλων εὐεργετεῖται ὁ μὴ δυνάμενος ἐν αἰσθήσει τῆς εὐεργεσίας γενέσθαι, ἀλλὰ καὶ ὁ παραλόγως μέλλων αὐτοῦ[63] στερηθῆναι οὐχ ὑπομένει τὴν στέρησιν. δηλοῖ δὲ ἄκοντα μὲν εὐεργετούμενον τὸν ἔχοντα τὸν τόπον τὸν εἰς τὴν ἐποχὴν λαμβανόμενον· εὐεργετεῖται γὰρ λαμβάνων τὸ κέρδος τὸ ἐκ τῆς ἐποχῆς· μέλλοντα στερηθῆναι τῆς εὐεργεσίας καὶ μὴ στερούμενον τὸν ἱστῶντα τὴν ἐποχὴν, ὅστις εἰ μὴ ἐδράττετο τοῦ τόπου, ἔμελλε στερηθῆναι τῆς ἐποχῆς καὶ τοῦ κέρδους τοῦ ἐξ αὐτῆς, ἐν κατοχῇ δὲ τοῦ τόπου διὰ τοῦ νόμου γινόμενος, κερδαίνει τὴν ἐποχὴν καὶ τὰ ἐξ αὐτῆς[64].

λθ΄. Τούτου νεαρὰ νομοθεσία[65] ἐστὶ καὶ ἵνα τελευτῶντες ἤγουν ἀποθνήσκοντες μοναχοὶ διατίθενται εἰς τὰ πράγματα αὐτῶν ἐκεῖνα, ὁπόσα οὐκ ἔφθασαν προσκυρῶσαι εἰς τὸ μοναστήριον ἐν τῷ εἰσέρχεσθαι ἐν αὐτῷ. καὶ ταῦτα πάντα ἐκ τῶν τοῦ κυροῦ λέοντος νεαρῶν κρατοῦσι καὶ πολιτεύονται[66].

μ΄. Ὁ δὲ κῦρις ῥωμανὸς ὁ γέρων ἐνομοθέτησεν, ἵνα οἱ δυνατοὶ κοσμικοὶ καὶ οἱ ἐκκλησιαστικοὶ καὶ οἱ ἔχοντες ἀρχὰς ἤγουν ἐξουσίας καὶ οἱ προσῳκειωμένοι αὐτῇ, ἔτι δὲ καὶ οἱ μοναστηρίων τινῶν καθηγούμενοι, μὴ δύνανται ἐπικτᾶσθαι ἐκ νέου, ἤγουν λαμβάνειν καὶ ἀγοράζειν ἢ δι᾽ ἄλλου τρόπου

---

[61] Att. in App. [62] Nov. 102 Leonis. [63] D αὐτῷ. [64] Att. ibid.
[65] Nov. 5 Leonis. [66] Att. ibid.

ποιεῖν οἰκείους, τόπους ἐπικοίνους εἰς χωρία τε καὶ ἀγρούς. ἀλλ' εἰ καὶ ποιήσωσι μετὰ τὴν ἐκείνου νομοθεσίαν, ἵνα ἐκδιώκονται ἀναργύρως, μηδὲ ἐμπονημάτων ἔχοντες λόγον, ἤγουν μηδὲ ἐφ' οἷς ἐκωπίασαν ἢ ἐπόνησαν καὶ ἐξωδίασαν εἰς αὐτὰ ἔχοντες ἄδειαν ζητεῖν τι. καὶ εἰ μὲν βούλονται οἱ ἐκποιησάμενοι ἤγουν πωλήσαντες ταῦτα χωρῖται, ἵνα ἀναλάβωσι ταῦτα. εἰ δὲ οὐκ εἰσὶν οὗτοι ἢ ὄντες λαβεῖν οὐκ ἐθέλουσι τοὺς τόπους οὓς διεπώλησαν, ἵνα πρὸς τοὺς συγκληρονόμους καὶ τοὺς συνεποίκους καὶ συγχωρίτας αὐτῶν ἐπανέρχονται. εἰ δὲ χωρίτου βουλομένου μονάσαι ἢ καὶ μονάσαντος προσκυρωθῇ τι χωριτικὸν εἰς μοναστήριον, τότε ἡ μὲν δικαία τιμὴ τοῦ κτήματος ἵνα διδῶται εἰς τὸ μοναστήριον παρὰ τῶν συγχωριτῶν τοῦ δεδωκότος αὐτὸ εἰς τὸ μοναστήριον, τὸ δὲ κτῆμα μένῃ παρὰ τοῖς χωρίταις[67].

μα'. Οὗτος ἐνομοθέτησε καὶ ὅτε κινηθῇ περὶ προτιμήσεως δικαστήριον, ἵνα πρῶτοι καλῶνται οἱ ἀναμὶξ συγγενεῖς, εἶτα οἱ αὐτῶν κοινωνοί, καὶ μετὰ τούτους οἱ μόνον ἀναμεμιγμένοι κἂν ξένοι τυγχάνοιεν, ἔπειτα οἱ συμπαρακείμενοι ὁμοτελεῖς, εἶτα οἱ ἔν τινι μέρει συναπτῶς ἡνωμένοι. ὁμοτελεῖς δὲ εἶπε τοὺς ὑπὸ τὸν αὐτὸν ἀνατεταγμένον ἀναγραφομένους[68]. κατὰ πρόφασιν δὲ καὶ προγάμου δωρεᾶς ἢ ἁπλῆς ἢ θανάτου αἰτίᾳ δωρεᾶς, ἐκ διαθήκης ἢ ἀνταλλαγῆς ἢ διαλύσεως ἄδειαν δέδωκε τὴν ἐκποίησιν ἤγουν τὴν πώλησιν γίνεσθαι, καὶ μὴ κινεῖσθαι προτίμησιν. εἰ δὲ ὑπολαμβάνει τὶς ἀδικεῖσθαι ἐν τῷ προσποίησιν μὲν εἶναι εἴς τι τούτων ἐν τῷ φανερῷ, λαθραίως δὲ πρᾶσιν ἢ μίσθωσιν γίνεσθαι, δι' ὅρκου τοῖς συναλλάττουσιν ἐπαγομένου φησὶ λύεσθαι τὸ ἀμφίβολον[69].

μβ'. Σημείωσαι ἐκ τῆς τοιαύτης τοῦ κυροῦ ῥωμανοῦ τοῦ γέροντος νεαρᾶς, ὅτι εἰς τὰς ἐκποιήσεις ἤγουν πωλήσεις τῶν τόπων δ' εἰσὶν οἱ προτιμώμενοι τῶν ἄλλων εἰς τὸ ἀγοράζειν αὐτούς· πρῶτοι οἱ ἀναμὶξ καὶ συγγενεῖς, ἤγουν ἡνωμένοι εἰς τὴν δεσποτείαν τοῦ τόπου, καὶ συγγενεῖς ἀλλήλων τε καὶ τῶν τοῦ τόπου κυρίων· μετ' αὐτῶν οἱ κοινωνοὶ τούτων· ἔπειτα οἱ ἡνωμένοι ἐπὶ τῇ τοῦ τόπου δεσποτείᾳ, κἂν ξένοι ὦσιν· ἔπειτα οἱ συμπαρακείμενοι ὁμοτελεῖς ἤγουν οἱ ὑφ' ἕνα δεσπότην ὑπάρχοντες καὶ τῷ αὐτῷ καὶ ἑνὶ τοὺς φόρους καὶ τὰ τέλη καταβαλλόμενοι ἤγουν ἀποδιδόντες. καὶ οὗτοι μὲν οἱ τέσσαρες τῶν λοιπῶν εἰσὶ προτιμότεροι, μετὰ τούτους δέ εἰσιν οἱ

[67] Att. in App. [68] Verbum ἀναγραφομένους in D relicta lacuna deest.
[69] Att. ibid.

νῦν λεγόμενοι παρὰ τοῖς κοινοῖς πλησιασταὶ, οὓς ὁ νόμος ἔν τινι μέρει συναπτῶς ἡνωμένους φησίν. σημείωσαι δὲ καὶ ὅτι εἰς προῖκα, εἰς προγαμιαίαν δωρεὰν, εἰς δωρεὰν ἢ ἁπλὴν ἢ ἐπὶ θανάτου αἰτίᾳ, εἰς τὰ ἐκ διαθήκης γινόμενα, εἰς τὰ ἐξ ἀνταλλαγῆς οὐ γίνεται προτίμησις. εἰ δὲ πολλάκις ὑπονοεῖ τις δολίως τούτων γίνεσθαί τι, κρυφίως δὲ εἰς πρᾶσιν ἢ ἐπὶ μισθῷ δίδοσθαι, δι' ὅρκου ἐπαγομένου τοῖς συναλλάττουσι λύεται τὸ ἀμφίβολον.

μγ'. Ἡ δὲ νεαρὰ τοῦ παλαιοῦ πορφυρογεννήτου κυροῦ κωνσταντίνου περὶ στρατιωτῶν μάλιστα γέγονεν, ἵνα μένωσι τὰ στρατιωτοτόπια ἀνεκποίητα, ὅσα δηλονότι τῇ ὡρισμένῃ παρ' ἐκείνου διατιμήσει περιέχονται. καὶ γὰρ εἰς ἑκάστην στρατείαν ἱππέων μὲν δ' λιτρῶν συντηρεῖσθαι ὕπαρξιν· τὴν αὐτὴν δὲ διατίμησιν ἔχειν καὶ εἰς τὰς ἐπὶ τοῦ στόλου τεταγμένας τοῦ τε αἰγαίου πελάγους, τῆς σάμου, τῶν κυβιραιωτῶν[70]· ταῖς δὲ βασιλικοπλωΐμοις καὶ ταῖς λοιπαῖς δέδωκεν ἀνὰ λιτρῶν δύο. ἔχειν δὲ καὶ ἑκάστην ἀνεκποίητον, εἴ τι εἰς ἑκάστην στρατείαν εἶναι κατὰ τὴν ῥηθεῖσαν διατίμησιν διωρίσατο. τὰ δὲ ἐπέκεινα δύνασθαι ἐκποιεῖσθαι τοὺς στρατιώτας, εἰ μὴ ῥητῶς οἱ τόποι τοῖς στρατιωτικοῖς ἀναγράφονται κώδιξιν. εἰ δὲ οἱ ἐξωνήτορες ἀναδέχονται τὰς στρατείας, ἐπικεῖσθαι ταύτας αὐτοῖς μετὰ τοῦ πράγματος. εἰ δὲ μὴ ὁλόκληρον στρατείαν ἔχοι τὶς, ἀλλὰ μέρος τυχὸν τέταρτον ἢ ἥμισυ, κατὰ ἀναλογίαν τοῦ μέρους τυποῦσθαι καὶ τὴν εὐπορίαν καὶ τὴν ποσότητα τῆς διατιμήσεως. μὴ ἄλλως δὲ κυριεύεσθαι στρατιωτικὰ τοῖς παρανόμως κτωμένοις, εἰ μὴ διὰ μόνης μ' ετίας[71].

μδ'. Τοῦ τοιούτου κυροῦ κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ ἑτέρα εὑρίσκεται νεαρὰ περὶ φονευόντων καὶ τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ προσφευγόντων ἐκτεθειμένη, ἥτις παρακελεύεται, ἵνα ὁ ἑκουσίως φόνον ποιήσας κατά τινα αὐτόματον ὀργὴν καὶ θερμότητα καὶ μετὰ ταῦτα τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ προσφυγὼν, μετὰ τὴν ἐκκλησιαστικὴν ἐπιτίμησιν ἐκπίπτει καὶ τῆς περιουσίας αὐτοῦ, καὶ εἰ μὲν ἔχει ὁ τοιοῦτος γυναῖκα, ἵνα λαμβάνῃ αὕτη τήν τε προῖκα ἐξ ὁλοκλήρου καὶ πάντα τὰ οἰκεῖα κέρδη· εἰ δὲ πολλάκις ἔχει ὁ τὸν φόνον ποιήσας καὶ παῖδας, τότε τὴν μὲν προῖκα λαμβάνει ἡ γυνὴ, τὰ δὲ γαμικὰ κέρδη οὐ δίδοται τῇ γυναικὶ, ἀλλὰ ἔχει μόνην τὴν χρῆσιν τούτων, αὐτὰ δὲ τὰ πράγματα φυλάττεται τοῖς παισὶ, καὶ δίδοται αὐτοῖς εἰς κληρονομίαν καὶ τὸ τρίτον τῆς τοῦ αν-

---

[70] Scribe κιβυρραιωτῶν. [71] Att. in App.

ῥὸς περιουσίας, τὸ δὲ λοιπὸν τρίτον δίδοται τῷ μέρει τοῦ φονευθέντος ἤγουν τῇ γυναικὶ τούτου καὶ τοῖς παισὶν εἰς παρηγορίαν αὐτῶν, τὸ δὲ ἄλλο τρίτον[72] δίδοται εἰς μοναστήριον, εἰς ὃ ὁ φονεὺς ἐὰν θέλῃ μονάσαι βουληθῇ εἰσελθεῖν. πολλάκις γὰρ ὁ φονεὺς ἢ αὐτοπροαιρέτως ἢ ἐκ τῆς βίας τῶν κανονιζόντων αὐτὸν ἐκκλησιαστικῶν ἀνθρώπων καταναγκάζεται μονάσαι καὶ εἰς μοναστήριον εἰσελθεῖν, καὶ δίδοται τὸ τρίτον τῆς περιουσίας αὐτοῦ εἰς τὸ μοναστήριον. εἰ δὲ ὁ φονευθεὶς γυναῖκα μὲν ἔχοι, παῖδας δὲ οὐκ ἔχοι, τότε ἡ γυνὴ καὶ τὴν προῖκα καὶ τὰ γαμικὰ κέρδη λαμβάνουσα ἐκ τῆς τοῦ φονευθέντος περιουσίας ἔχει καὶ τὸ τρίτον τῆς περιουσίας τοῦ φονέως· πλὴν οὐ μόνη αὐτὴ τὸ τρίτον κερδαίνει, ἀλλὰ μετὰ τῶν ἀνιόντων μερίζει αὐτὰ, καὶ ἐπαίρει κατὰ ἀναλογίαν καὶ αὐτὴ ὅσον ἐπιλαγχάνει ταύτῃ. εἰ δὲ ἡ γυνὴ τοῦ φονευθέντος προτελευτήσει, καὶ μόνοι οἱ παῖδες ἀπολειφθεῖεν, προτιμῶνται οἱ παῖδες παρὰ τοὺς ἀνιόντας καὶ λαμβάνουσιν αὐτοὶ τὸ τρίτον τῆς τοῦ φονεύσαντος περιουσίας. εἰ μήτε γυνὴ μήτε παῖδες μήτε ἀνιόντες τοῦ φονευθέντος εὑρίσκονται, οἱ λοιποὶ γνησιώτεροι αὐτοῦ συγγενεῖς τὸ τρίτον τῆς τοῦ φονεύσαντος περιουσίας κληρονομοῦσιν. εἰ μέντοι ὁ φονεύσας μὴ βουληθῇ μονάσαι, οὐ τὸ τρίτον, ἀλλὰ τὸ δίμοιρον τῆς περιουσίας αὐτοῦ τῷ τοῦ φονευθέντος δίδοται μέρει, αὐτὸς δὲ ἄτιμός ἐστιν ἀεὶ τουτέστι πάντοτε, καὶ οὐδέποτε ἀρχήν τινα στρατιωτικὴν ἢ πολιτικὴν ἀναδέχεται, ἀλλὰ καὶ ἐξορίαν διηνεκῆ καὶ ἀειφυγίαν καταδικάζεται. εἰ δὲ καὶ μετὰ προμελετήσεως καὶ προσκέψεως τὸν φόνον ἐργάσεται, τότε κἂν καὶ μὴ θέλῃ, ἄκων γίνεσθαι μοναχὸς ἀναγκάζεται. οἱ τόποι δὲ τῆς στρατείας ἤγουν αἱ ὑπὲρ τοῦ στρατεύειν οἰκονομίαι πρὸς τοὺς κληρονόμους αὐτοῦ παραπέμπονται. εἰ δὲ μὴ ἔχει ὁ φονεὺς κληρονόμους, ἕτεροι τοὺς τῆς στρατείας τόπους λαμβάνοντες εἰς τὴν στρατείαν ὑπηρετοῦσιν[73].

με΄. Νόμος ἐστὶ τέχνη τοῦ καλοῦ, κοινὸν παράγγελμα, φρονίμων ἀνδρῶν δόγμα, ἑκουσίων τε καὶ ἀκουσίων ἁμαρτημάτων σωφρονισμὸς ἤτοι ἐπιστροφὴ, πόλεως συνθήκη κοινή. ἐστὶ δὲ καὶ θεῖον εὕρημα. παράγγελμα τοῦ νόμου τὸ κοσμίως ζῆν, ἄλλον μὴ βλάπτειν, ἑκάστῳ τὸ ἴδιον ἀπονέμειν. σοφία δὲ νόμου τὸ εἰδέναι τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα, τὸ δίκαιον καὶ τὸ ἄδικον. εἰδέναι δὲ νόμους ἐστὶν οὐ τὸ γινώσκειν τὰ ῥήματα ἀλλὰ τὴν δύναμιν αὐτῶν[74].

---

[72] D ἀλλότριον. [73] Att. in App. [74] Att. ibid.

μς'. Φιλαγάθως δεῖ τοὺς νόμους ἑρμηνεύειν[75].

μζ'. Ἐν ἴσῃ αἰτίᾳ κρείττων ἐστὶν ὁ νεμόμενος[76].

μη'. Τὰ νόμῳ κτώμενα, ἤγουν γινόμενα καὶ συνιστάμενα, ἐναντίῳ νόμῳ ἀναιρεῖται[77]·

μθ'. Οἱ νεμόμενοι εὐθαλῆ χωρία καὶ τὰ ἄπορα ἀναδεχέσθωσαν. εἰ δὲ μή, καὶ τὰ εὐθαλῆ εἰς τοὺς δεσπότας ἀφιέτωσαν, ἵνα πάντα παρὰ τῶν κτητόρων κατέχωνται[78].

ν'. Νόμος οὐδεὶς δύναται βεβαιοῦν τὸ τῇ φύσει τῶν πραγμάτων κεκωλυμένον[79].

να'. Τὰ νόμῳ συνιστάμενα ἐναντίῳ νόμῳ ἀναιρεῖται[80].

νβ'. Ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων οὐκ ἀναγκάζεται ὁ τὸ πρᾶγμα νεμόμενος δεικνύειν πόθεν ἔσχε τὴν ἀρχὴν τῆς νομῆς, οὐδὲ βιάζει εἰς τὴν τοιαύτην ἀπόδειξιν τοῦτον ὁ τὸ πρᾶγμα ἀνακαλούμενος· ὅταν δέ τις ἀνακαλεῖταί τι ὡς κατὰ κληρονομίαν διαφέρον αὐτῷ, ἐπ' ἀδείας ἔχει ἀπαιτεῖν τὸν νεμόμενον, ἵνα δείξῃ τίνι τρόπῳ ἐνεμήθη αὐτό[81].

νγ'. Νοτάριον ἐμισθώσατό τις, καὶ ἔταξεν ἵνα δώσει αὐτῷ τοσόνδε μισθὸν ἕως τόσου καιροῦ· μετὰ ταῦτα παρέμεινεν ὁ νοτάριος διὰ τὴν τοῦ μισθοῦ ὑπόσχεσιν. ὁ δὲ τὸν μισθὸν δοῦναι ἐπαγγειλάμενος τέθνηκε πρὸ τῆς τοῦ καιροῦ συμπληρώσεως, καὶ ὁ νοτάριος προσεκαρτέρησεν ἕως οὗ ὁ καιρὸς ὃν συνεφώνησε πληρωθῇ. ὁ νόμος ὁρίζει τῷ νοταρίῳ σῶον καὶ ὁλόκληρον ἀποδοθῆναι τὸν μισθὸν ἐκ τῶν πραγμάτων τοῦ τελευτήσαντος, εἰ μόνον μὴ παρ' ἄλλου τινὸς ὁ νοτάριος ἐντὸς τοῦ τοσούτου καιροῦ μισθὸν ἐδέξατο ἕτερον[82].

νδ'[83]. Ναύκληρος ἐὰν ὑποδέξηταί τι, ἐνέχεται ἵνα ἀποκαταστήσει καὶ ἀποδώσει αὐτό. εἰ δὲ θέλει μὴ δέξασθαι κατ-αρχάς, οὐδεὶς δύναται καταναγκάσαι τοῦτον, ἵνα δέξηταί τι[84].

νε'. Ναυφύλακας ὁ νόμος φησὶ τοὺς τεταγμένους ἐπὶ τῷ φυλάσσειν τὰς ναῦς ἤγουν[85] τὰ καράβια[86].

νς'. Οἱ ναύκληροι ἀπὸ τῶν συναλλαγμάτων τῶν ναυτῶν οὐκ ἐνέχονται, ἀπὸ δὲ τῶν ἁμαρτημάτων αὐτῶν ἐνέχονται[87].

νζ'. Ὁ προστησάμενος τὸν πιστικὸν τοῦ πλοίου, ἤγουν ὁ

---

[75] Att. in App. [76] Att. ibid. [77] Att. ibid. [78] Syn. E, 40 ex Bas. LVI, 14, 12. [79] Syn. K, 2 ex Bas. II, 3, 188. [80] Syn. l. l. ex Bas. II, 3, 100. — E hoc caput non habet. [81] Syn. K, 14 ex Bas. XLII, 1, 69. [82] Syn. M, 13 ex Bas. XX, 1, 19. [83] Capita 54—68 edidit Pardessus Collection des lois maritimes ex Codice Vaticano. [84] Syn. N, 1 ex Bas. LIII, 1, 6. [85] In C verba ἤγουν etc. desunt. [86] Ad Syn. N, 1 ex Bas. LIII, 1, 7. [87] Syn. l. l. ex Bas. LIII, 1, 15.

προβαλλόμενος καὶ ποιήσας αὐτὸν πιστικὸν, ἐνέχεται εἰς ἃ πταίσει ὁ πιστικός[88].

νη΄. Ὅταν ναύκληρος γένηται παρὰ γυναικὸς, εἰς πάντα, ὅσα πταίσει, αὐτὸς ἐνέχεται καὶ οὐχ ἡ γυνή[89].

νθ΄. Ἠγόρασέ τις πλοῖον μετὰ τῆς αὐτοῦ ἐξαρτήσεως, ἣν καὶ ἐξαρτίαν ὁ νόμος φησίν. οὐ δικαιοῦται ἐκ τῆς τοιαύτης συμβιβάσεως καὶ τὴν ἐν τῷ πλοίῳ σκάφην ἤγουν τὴν κοινῶς λεγομένην βάλκαν καὶ κουντελάδα* λαβεῖν· οὐ γὰρ συναριθμεῖται καὶ αὕτη εἰς τὴν τοῦ πλοίου ἐξάρτησιν[90].

ξ΄. Ἔξεστι ναύταις, κυνηγοῖς, στρατιώταις εἰς βίαν ἐμπεσοῦσι καὶ μὴ δυναμένοις ἄλλως ἀπολυθῆναι, ἑτέραν νηὸς ἀγκύρας ἐκτεμεῖν διὰ τὴν οἰκείαν σωτηρίαν ἢ ἄλλων κυνηγῶν ἔργα καταλύσαι. χωρὶς δὲ βίας ὁ τοιόνδε τὶ ποιήσας ἐνέχεται, καὶ ἀναγκάζεται τὴν ζημίαν ἐξ ὁμολογίας μὲν εἰς ἁπλοῦν ἀποδιδόναι, ἐξ ἀρνήσεως δὲ εἰς τὸ διπλοῦν[91].

ξα΄. Κινδύνου ἔν τινι γενομένου καὶ συνεισφορᾶς τελουμένης τὰ μὲν ἀπολεσθέντα πράγματα ἀποτιμῶνται πρὸς ὃ ἠγοράσθησαν, τὰ δὲ σωθέντα πρὸς ὃ δύνανται δοθῆναι. τοῦτο δὲ γίνεται, ἵνα ἡ ζημία ἐπ᾽ ὀλίγον συσταλῇ, τὸ δὲ κέρδος ἐπὶ πλέον ἐπεκτανθῇ. καὶ οὕτω λυσιτελήσει καὶ τοῖς ἀποβαλοῦσι καὶ τοῖς ἔχουσι τὰ οἰκεῖα πράγματα[92].

ξβ΄. Ἰστέον δὲ ὅτι συνεισφορὰ ἐν τῷ πλοίῳ οὕτω γίνεται· ἔπλει ναῦς. ἦσαν ἄνθρωποι πολλοὶ οἰκεῖα ἔχοντες πράγματα. ἐπῆλθε κλύδων. ἐκινδύνευσεν ἡ ναῦς. ἀπώλοντο ἃ ἐῤῥίφησάν τινα ἀπὸ τῶν ἐν τῇ νηῒ πραγμάτων, τινὰ διεσώθησαν. μετὰ ταῦτα διορίζεται ὁ νόμος, ἵνα τὰ σωθέντα πράγματα πάντες οἱ ὄντες ἐν τῇ νηῒ κατὰ ἀναλογίαν ὧν εἶχον διαμερίσωνται, καὶ καλεῖται τὸ τοιοῦτον συνεισφορά. ἐστὶ δὲ καὶ ἄλλη συνεισφορὰ ἐπὶ προικὶ γινομένη, καὶ εἴπομεν ἀλλαχοῦ περὶ ταύτης. εἰς δὲ τὴν εἰς τὸ πλοῖον συνεισφορὰν καὶ αὐτὸ τὸ πλοῖον εἰσάγεται. ἐκβάλλεται δὲ, ἐάν τις ἐλευθέρα κεφαλὴ εὑρεθείη ἐν τῇ νηΐ· ἐλευθέρα δὲ κεφαλὴ λέγεται πᾶς ἄνθρωπος μηδεμίαν πραγματείαν ἐπαγόμενος. ἐκβάλλεται δὲ καὶ ἡ σιταρκεία· σιταρκείαν δὲ ἐνταῦθα τὴν ἑκάστου διατροφήν φησι, καὶ ὅσα ἐπὶ τῷ οὐ πραγματεύσασθαι ἀλλ᾽ εἰς οἰκείαν ζωὴν ἔχει τίς. ταῦτα γὰρ μόνα οὐκ εἰσάγονται εἰς τὴν συνεισφορὰν, τὰ δὲ ἄλλα πάντα,

---

[88] Syn. N, 1 ex Bas. LIII, 1, 16. [89] Syn. l. l. ex Bas. LIII, 1, 39. Sed pessime auctor hunc locum interpretatus est. * Lingua franca: Barca et Gondola, ut recte vidit Pardessus. [90] Syn. l. l. ex Bas. LIII, 2, 11. [91] Syn. l. l. ex Bas. LIII, 2, 5. [92] Syn. l. l. ex Bas. LIII, 3, 3.

καὶ αὐτὸ τὸ πλοῖον ὡς προεῤῥήθη εἰσάγεται εἰς τὴν συνεισφοράν. ὅτε τοίνυν συνεισφορὰ ἐν πλοίῳ γίνεσθαι μέλλει, τὰ μὲν ἀπολεσθέντα πράγματα τιμῶνται πρὸς ὃ ἠγοράσθησαν, τὰ δὲ σωθέντα πρὸς ὃ δύνανται δοθῆναι[93].

ξγ'. Δεῖ εἰδέναι, ὅτι εἰ μέν ἐστι σωζόμενον τὸ πλοῖον καὶ οὐκ ἀπώληται ἀπὸ τοῦ κινδύνου, συνεισφορὰ γίνεται. ἐὰν δὲ ἀπώληται τὸ πλοῖον, οὐ γίνεται συνεισφορὰ, ἀλλ' ἔχει ἕκαστος εἴ τι ἠδυνήθη σῶα[94] ἐκ τοῦ οἰκείου πράγματος[95].

ξδ'. Διὰ τὴν τοῦ πλοίου σωτηρίαν τμηθέντος ἤγουν κοπέντος τοῦ ἱστοῦ τουτέστι τοῦ καταρτίου συνεισφορὰ τῶν ἐν τῷ πλοίῳ φόρτων γίνεται[96].

ξε'. Νέας ἐξαρτίας παρὰ τοῦ ναυκλήρου ἀγορασθείσης συνεισφορὰ οὐ[97] γίνεται[98].

ξς'. Ναύτης πλήξας τινὰ καὶ κήλην αὐτῷ ποιήσας ἢ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐκβαλὼν, ἀποδίδωσι τὰ τῆς ἰατρείας δαπανήματα, καὶ ἀντὶ μὲν τοῦ ὀφθαλμοῦ ζημιοῦται ὑπέρπυρα ιβ', ἀντὶ δὲ τῆς κήλης ὑπέρπυρα ι'[99].

ξζ'. Ἐάν τις ἐμποδίσῃ[100] πλοίῳ καὶ συμβῇ ζημίαν τινὰ παθεῖν τοὺς ἐν τῷ πλοίῳ ἢ πειραταῖς τουτέστι λῃστείᾳ καὶ τῷ κοινῶς λεγομένῳ κούρσῳ περιπεσεῖν ἢ ἐμπρησμῷ ἢ ἄλλῳ τοιούτῳ τινὶ, τὰς ζημίας ἀποδίδωσιν ὁ ποιήσας τὸν ἐμποδισμόν[101].

ξη'. Ὅταν διὰ βίαν ῥίπτωνται ἐκ πλοίου πράγματα καὶ ἄλλοι τινὲς διασώζουσι ταῦτα, εἰ μὲν ἀπὸ τῆς θαλάσσης καὶ ὅσον η' οὐργιῶν ἐκβάλῃ καὶ διασώζῃ ταῦτα, τὸ ἥμισυ λαμβάνει· ἐὰν δὲ ἀπὸ τῆς ξηρᾶς ἢ ἀπὸ τῆς θαλάσσης ὅσον πῆχυν, τὸ δέκατον λαμβάνει ὁ[102] σώζων[103].

ξθ'. Τρεῖς τρόποι εἰσὶ, δι' οὗ πέμπεταί τις εἰς νομήν· λεγατάριος ἐπὶ φυλακῇ λεγάτων, γυνὴ κατὰ γαστρὸς ἔχουσα, καὶ ᾧτινι χρεωστεῖταί τι διὰ τὸ χρέος. τοῖς[104] δὲ γ' τούτοις τρόποις πρόσεστι καὶ ἕτερος, ὁ διὰ μέλλουσαν ζημίαν εἰς νομὴν ἐκπέμπων τινά[105].

ο'. Ἀνήβου χρεωστοῦντος καὶ μὴ ἐκδικουμένου, ᾧ χρεωστεῖ ὁ ἄνηβος, εἰς νομὴν πέμπεται. ἐκδικουμένου δὲ τοῦ ἀνήβου, ἀργεῖ ἡ νομή[106].

---

93 Syn. N, 1 ex Bas. LIII, 3, 3. 94 Legerim σῶσαι. 95 Syn. l. l. ex Bas. LIII, 3, 12. 96 Syn. ibid. 97 Sic D. In aliis negatio deest. 98 Syn. l. l. ex Bas. LIII, 3, 12. 99 Syn. l. l. ex Bas. LIII, 8, 7. 100 D ἐμπέσῃ. 101 Syn. l. l. ex Bas. LIII, 8, 28. 102 C ὁ διασώζων λαμβάνει. 103 Syn. l. l. ex Bas. LIII, 8, 47. 104 Sequentia in D post sequens caput collocata sunt. 105 Syn. N, 4 ex Bas. IX, 6, 1. 106 Syn. l. l. ex Bas. IX, 6, 3. 5.

οα΄. Ὁ νόμος διαιρεῖται εἰς δύο, εἰς δημόσιον καὶ εἰς ἰδιωτικόν[107].

οβ΄. Τοὺς νόμους ἀπὸ τῶν ὡς ἐπὶ τὸ πολὺ συμβαινόντων, οὐκ ἀπὸ τῶν σπανίων δεῖ εἰσάγεσθαι[108].

ογ΄. Ἀρετὴ νόμου τὸ κελεύειν, τὸ κωλύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι. καὶ κελεύειν μέν ἐστι, τὸ προστάσσειν τόδε τὶ ποιεῖν. κωλύειν δὲ, τὸ ἀπείργειν ἀπό τινος. ἐπιτρέπειν δὲ, τὸ μήτε κωλύειν μήτε προτρέπειν. τιμωρεῖσθαι, τὸ ἀναγκαίως ἀπείργειν ἀπό τινος[109].

οδ΄. Τὰ περὶ ὧν οὐ κεῖται νόμος, ἐκ τῶν ὁμοίων τέμνεσθαι καὶ λύεσθαι δεῖ[110].

οε΄. Εἰδέναι ἤγουν γινώσκειν νόμους ἐστὶν οὐ τὸ γινώσκειν τὰ ῥήματα, ἀλλὰ τὴν δύναμιν αὐτῶν[111].

ος΄. Περὶ ὧν νόμος οὐ κεῖται, τῷ ἔθει χρώμεθα. εἰ δὲ μὴ ἔθος ἐστὶν ἀπὸ τῶν μᾶλλον ἐξομοιουμένων καὶ πλησιαζόντων διευλυτοῦμεν τὸ ἀμφίβολον. εἰ δὲ μὴ τοῦτο εὑρίσκεται, τῷ τῆς ῥώμης νομίμῳ χρώμεθα[112].

οζ΄. Ἡ παλαιὰ συνήθεια ἀντὶ νόμου φυλάττεται[113].

οη΄. Ἡ τοῦ νόμου θέσις διπλὴ, ἢ ἔγγραφος ἢ ἄγραφος, καὶ ἡ ἀναίρεσις ὡσαύτως διπλὴ, ἢ ἄγραφος ἢ ἔγγραφος. ἄγραφος δὲ ἀναίρεσις νόμου ἡ ἀχρησία[114] ἐστίν[115].

οθ΄. Τότε κεχρήμεθα τῇ συνηθείᾳ, ὅτε δοκιμασθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη[116].

π΄. Ἐν τῇ τῶν νόμων ἑρμηνείᾳ τῇ συνηθείᾳ δεῖ προσέχειν τῆς πόλεως[117].

πα΄. Τὸν λογισμὸν καὶ τὸν νόμον ἡ τῆς συνηθείας καὶ τῆς χρήσεως αὐθεντία νικᾶν οὐ δύναται[118].

πβ΄[119]. Πᾶς νόμος ἀπὸ συνηθείας ἢ ἀνάγκης ἢ συναινέσεως[120].

---

[107] Syn. *N*, 6 ex Bas. II, 1, 1. — C et E addunt: *Νόμος ἐστὶ, καὶ τὸ ἑξῆς ἐκ τῶν ἑτέρων τετράδων ζητείσθω.* Cf. supra c. 46. [108] Syn. l. l. ex Bas. II, 1, 15. [109] Syn. l. l. ex Bas. II, 1, 18. [110] Syn. l. l. ex Bas. II, 1, 23. [111] Syn. l. l. ex Bas. II, 1, 27. [112] Syn. l. l. ex Bas. II, 1, 41. [113] Syn. ibid. [114] D *ἀχρηστεία.* [115] Syn. l. l. ex Bas. II, 1, 41. [116] Syn. l. l. ex Bas. II, 1, 43. [117] Syn. l. l. ex Bas. II, 1, 46. [118] Syn. l. l. ex Bas. II, 1, 51. [119] C *οε΄*, D *οθ΄*. [120] Syn. l. l. ex Bas. II, 1, 48.

ΑΡΧΗ ΤΟΥ Ξ[1].

α΄. Τῷ ὀνόματι τοῦ ξύλου καὶ πᾶσα ὕλη ἐπιτηδεία πρὸς οἰκοδομὴν καὶ πρὸς ἀμπελῶνος βελτίωσιν περιέχεται. ὅταν γοῦν ξύλον ἑτέρου δεσπότου ὃν παρ' ἄλλου κλαπὲν εἰς ἀμπελῶνα ἢ εἰς οἶκον ἐπὶ ἀποπληρώσει χρείας τινὸς ἐμβληθῇ, τὸ μὲν ξύλον οὐκ ἀποσπᾶται ἐκ τοῦ τόπου, εἰς ὃν ἐτέθη, ὁ δὲ ἐμβαλὼν αὐτὸ ἐνέχεται ἀποδιδόναι τοῦτο εἰς τὸ διπλάσιον. ὅταν δὲ τὸ ξύλον ἐκ τῆς ἀμπέλου ἢ τοῦ οἴκου εἰς ὃν ἐβλήθη ἀπολυθῇ, σώζεται πάλιν ἡ δεσποτεία τούτου τῷ ἔχοντι αὐτὸ πρότερον. καὶ ἡ τοιαύτη δεσποτεία καὶ ἡ δι' αὐτῆς δύναμις τὸ[2] ἀνακαλεῖσθαι αὐτὸ, παραστατικὴ τοῦ ξύλου καλεῖται, τουτέστιν ἰσχὺς, δι' ἧς τὸ ξύλον παρίσταται εἰς τὸν πάλαι δεσπότην καὶ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ καθίσταται[3].

β΄. Τοὺς παρὰ τοῦ νόμου καταδικαζομένους εἰς θάνατον ξίφει μόνῳ πρέπει φονεύειν, καὶ οὐχ ἑτέρῳ ὀργάνῳ ἢ φαρμάκῳ[4].

γ΄. Τῶν πεμπομένων αὐτῷ ξενίων ὁ ἀνθύπατος μήτε παντελῶς ἀπεχέσθω· ἀνόητον γάρ· μήτε πάντα δεχέσθω· ἄπληστον γάρ· ἀλλὰ μεμετρημένως δεχέσθω. σευῆρος γὰρ καὶ ἀντωνῖνος οὕτω περὶ τούτου ἀντέγραψαν· ἐπὶ τοῖς ξενίοις ὡς ἔχομεν γνώμης, ἄκουε. παλαιὸς γὰρ περὶ αὐτῶν φέρεται λόγος, ὡς οὔτε πάντα οὔτε πάντοτε οὔτε παρὰ πάντων χρὴ λαμβάνειν. τὸ παρὰ μηδενὸς γὰρ λαμβάνειν ἀπάνθρωπον, καὶ τὸ χύδην λαμβάνειν ἀτελέστατον, καὶ τὸ παρὰ πάντων ἄπληστον. καὶ τὸ εἰρημένον δὲ ταῖς βασιλικαῖς ἐντολαῖς, μήτε δῶρα λαμβάνειν μήτε ἀγοράζειν τοὺς ἀνθυπάτους ἢ τοὺς ἐπὶ τῶν ἄλλων ἀρχῶν, εἰ μὴ μόνα τὰ πρὸς τὴν ἐφήμερον ζωὴν συντείνοντα, εἰς τὴν τῶν ξενίων οὐκ ἀνήκει σμικρότητα, ἀλλ' εἰς ἐκεῖνα, ὅσα τὴν τῶν βρωσίμων χρῆσιν ὑπερβαίνει, οἷον χρυσὸν, ἄργυρον, ἐσθῆτα καὶ ὅσα μονιμωτέραν ἔχειν τὴν κτῆσιν δύνανται. καὶ αὐτὰ δὲ τὰ ξένια οὐ δεῖ ἄμετρα εἶναι, ὥστε καὶ δῶρα δοκεῖν, ἀλλὰ σύμμετρα. διὰ τοῦτο γὰρ καὶ ὑποκοριστικῶς[5] ξένια ὀνομάζονται[6].

δ΄[7]. Ξυλαγώγια παρὰ τῷ νόμῳ καλοῦνται αἱ διὰ ξύλων ἐπαγόμεναί τισι μάστιγες.

---

[1] A addit βιβλίου, D στοιχείου. [2] Legerim τοῦ. [3] Att. XXXV (56). [4] Att. XXXV (78). [5] B ὑποχριστικῶς. [6] Cf. Dig. I, 16, 6. §.3. [7] ACD ζ΄.

ΑΡΧΗ ΤΟΥ Ο[1].

α΄. Ὅταν εἴπῃ ὁ νόμος· τόδε τὸ πρᾶγμα τὸν δεῖνα ὁρᾷ, τοῦτο δηλοῖ, ὅτι τοῦτο τὸ πρᾶγμα τοῦ δεῖνός ἐστι καὶ αὐτοῦ ὀφείλει λογίζεσθαι, καὶ εἴτε ζημίαν εἴτε κέρδος ἔχει τὸ πρᾶγμα, εἰς τὸν ἄνθρωπον ἐκεῖνον ἀνάγετ ι[2].

β΄. Ὁ κακῇ πίστει ξένον οἶκον κρατῶν νεμηθεὶς ἤγουν κατασχὼν, ἀποδίδωσι τῷ κυρίῳ τούτου αὐτὸν μετὰ πάντων, ὧν εἰς βελτίωσιν τοῦ οἴκου ποιήσει· τὰς δὲ ἐξόδους τὰς ἐπ' αὐτῷ οὐ λαμβάνει[3].

γ΄. Ὁ ὅρκος δυνατώτερος ψήφου πάσης ἐστὶ, καὶ ἐπιφερόμενος διαλύει καὶ κόπτει τὰς ἀμφιβολίας τῶν ὑποθέσεων[4].

δ΄. Ὅστις ἐπὶ χρήμασι κατὰ βασιλέως ὀμόσει, τουτέστιν εἰς αὐτὸν τὸν βασιλέα ὀμόσει τὸν ὅρκον οὕτω τυχὸν εἰπών· μὰ τὴν σωτηρίαν τοῦ βασιλέως ἢ μὰ τὴν δούλωσιν ἣν τῷ βασιλεῖ χρεωστῶ, ὅστις γοῦν οὕτως ὀμόσει χάριν χρημάτων καὶ ψεύσεται, ῥοπάλοις τουτέστι ῥάβδοις ἐφ' οἷς ἔπταισε σωφρονίζεται, ἤγουν παιδεύεται καὶ σώφρων εἶναι καὶ φρόνιμος ἀναγκάζεται[5].

ε΄. Ὁ ὀμόσας κατὰ τοῦ θεοῦ, τουτέστιν εἰς τὸν θεὸν, παρὰ τῶν δικαστῶν οὔτε ἐξετάζεται ἐπιπλέον οὔτε τιμωρίαν ὑπομένει τινὰ, εἰ μὴ προφανῶς ψευδόμενος ἀπελέγχοιτο, ἀλλ' εἰς τὴν κρίσιν τοῦ θεοῦ παραπέμπεται· ἱκανὸς γὰρ ὁ θεὸς αὐτὸν τιμωρήσασθαι[6].

ς΄. Ὁ ἐκ συναρπαγῆς καὶ θερμότητος, ἀλλ' οὐκ ἐκ προσκέψεως καὶ μελέτης κατὰ βασιλέως ὀμόσας, ἀξιοῦται συγγνώμης καὶ συγχωρήσεως[7].

ζ΄. Ὁ ὅρκος ἐν ἀπορίᾳ τῶν ἀποδείξεων παρὰ τῶν δικαστῶν ἐπιφέρεται, καὶ ἐπὶ τῶν ἀγωγῶν, αἵτινες οὐκ ἔχουσι δήλην ἄλλοθεν τὴν ἀλήθειαν[8].

η΄. Ὁ ἔνδικος ὅρκος συνεπιφερόμενον ἔχει καὶ ταξατίωνα. ἐστὶ δὲ τοιοῦτον. ἐποίησέ τις ἁρπαγὴν ἢ κλοπὴν ἢ ἀλ-

---

α΄. Ὁ ἐξ ἐπιφορᾶς ἐμῆς ὀμνύμενος ὅρκος οὐκ ἀναψηλαφᾶται, εἰ καὶ προφανὴς ἐπιορκία δείκνυται.

β΄. Ὅτι ὁ ὅρκος λύσιν φυσικῆς ἐνοχῆς καὶ διάλυσιν μιμεῖται.

---

[1] A addit *βιβλίου*, D *στοιχείου*. [2] Haec dicta esse videntur ad nescio quem locum ex opere Michaelis Attalensis. [3] Att. IX (10). [4] Att. XIV (18). [5]—[8] Att. l. l.

λην τινὰ τοιαύτην ζημίαν εἰς ὀσπήτιον καὶ οἶκον ἄλλου τινός· ἔπειτα ὁ τὴν ζημίαν παθὼν ἀπαιτεῖ ἐκ τοῦ ποιήσαντος ταύτην εἴ τι ἀπώλεσε, καὶ καταδικάζεται ἐκεῖνος ἀποδιδόναι· ἀγνοεῖται δὲ ἡ τῶν ἀπολεσθέντων ποσότης, καὶ ἀμφιβάλλουσιν οἱ ἀντίδικοι πρὸς ἀλλήλους, καὶ ἀντιλέγουσιν, ὁ μὲν ἴσως ἀπαιτῶν πολλὰ, ὁ δὲ καὶ ὀλίγα λέγων εἶναι τὰ ἀπολεσθέντα καὶ ὀλίγα διδούς. ἀναγκάζονται γοῦν διὰ τοῦτο, τί ἐκ τῆς αἰτίας ταύτης ἀπώλεσεν ὁ ζημιωθεὶς ἐπομόσασθαι, ἵνα λάβῃ ὁπόσα ὅτι ἀπώλεσεν ἐπομόσεται καὶ ὀμνύει. καὶ ὁ τοιοῦτος ὅρκος ἔνδικος λέγεται. ἀλλ' ἵνα μὴ πολλάκις τινὲς φιλοχρήματοι ὄντες κατὰ πολὺ καὶ ἐκ πάσης ἀφορμῆς κερδαίνειν σπουδάζοντες τὸ οἰκεῖον συνειδότες παραβλέπουσι, καὶ ὀμνύουσι ψευδῶς δι' ἣν ἔχουσιν αἰσχροκέρδειαν, καὶ ἑαυτοῖς προξενῶσι κρῖμα καὶ ζημίαν ἑτέροις ἄδικον, κελεύει ἡ τῶν νόμων διάταξις ἐπὶ ταῖς ἀνωτέρω δηλωθείσαις ζημίαις καὶ μὴ ἁπλῶς ὀμνύειν τὸν ζημιωθέντα, ὅσα καὶ βούλεται, ἀλλ' ἵνα ὁ δικαστὴς ἐρευνήσας καὶ σκοπήσας, πόση τὶς ἦν ἡ περιουσία αὐτοῦ, τάττῃ ὡρισμένην ποσότητα, καὶ λέγῃ τυχὸν, ὅτι ὁ βίος τοῦ δεῖνος εἰς τόσον ποσὸν περιΐστατο, καὶ μετὰ ταῦτα προτρέπει ὀμνύειν, ὅτι ἢ πάντα τὸν βίον ἢ τοσόνδε μέρος αὐτοῦ ἢ τοσήνδε ποσότητα ἐκ τῆς ἐπισυμβάσης ζημίας καὶ οὐκ ἐξ αἰτίας ἄλλης ἀπώλεσε. τὴν γοῦν τοιαύτην τάξιν τοῦ δικαστοῦ ὀνομάζουσι ταξατίωνα, καὶ ὁμοῦ τὰ δύο τὸν ἔνδικον ὅρκον δηλαδὴ καὶ τὴν ταξατίωνα ἔνδικον ὅρκον μετὰ ταξατίωνος προσαγορεύουσιν[9].

θ'. Τὸ ὀφφίκιον τὴν ἐνέργειαν δηλοῖ καὶ τὴν ἐξουσίαν τὴν ἐπὶ τούτῳ καὶ δύναμιν[10].

ι'. Ὅταν τις οἰκίαν παλαιὰν οὖσαν ἀνανεοῦν βούλοιτο, οὐκ ὀφείλει παρεξιέναι ἤγουν παρέρχεσθαι καὶ παραβαίνειν τὸ ἀρχαῖον σχῆμα, εἰ μὴ πολλάκις τοιοῦτόν τι δίκαιον ἔκ τινος τρόπου κατὰ τοῦ γείτονος κέκτηται[11].

ια'. Ὁ τὸν ἴδιον οἶκον ἐμπρησμοῦ γενομένου σπουδάζων σῶσαι, καὶ διὰ τοῦτο τὸν οἶκον καταστρέφων τοῦ γείτονος, ἵνα μὴ ἐξ ἐκείνου τὸ πῦρ εἰς τὸν οἶκον αὐτοῦ διαβιβασθῇ, οὐ κρίνεται ὡς ἄδικον ζημίαν ποιῶν, οὐδὲ τῷ ἀκουϊλίῳ νόμῳ ὑπόκειται[12].

ιβ'. Οἰκειακὸς ἢ δοῦλος ἢ υἱὸς δούλης κινῆσαι πειραθεὶς κατὰ τοῦ δεσπότου δημόσιον ἔγκλημα, χωρὶς μόνου τοῦ ἐγκλήματος τῆς καθοσιώσεως, εὐθὺς ἐν τῇ ἀρχῇ τῆς κατηγορίας

---

[9] Att. XIV (18). [10] Ad Att. XV (20). [11] Att. XXXIV (53). [12] Att. XXXX (55).

σιδήρῳ τιμωρεῖται. καὶ ἀπελεύθερος κατὰ τοῦ πάτρωνος καὶ τῶν τοῦ πάτρωνος κληρονόμων δημόσιον κινῶν ἔγκλημα διὰ σιδήρου τιμωρεῖται[13].

ιγ'. Ὁ τὴν ὀρθόδοξον πίστιν προσποιούμενος, καὶ εἶναι μὲν λέγων ὀρθόδοξος, κλέπτων δὲ τὴν ἀλήθειαν, μήτε διατιθέσθω μήτε δωρείσθω. διαδεχέσθωσαν δὲ αὐτὸν ἐξ ἀδιαθέτου μόνοι χριστιανοὶ συγγενεῖς. ἡ δὲ κατ' αὐτοῦ ἀγωγὴ μὴ περιοριζέσθω χρόνῳ[14].

ιδ'. Τοῦ πραθέντος ἢ λεγατευθέντος οἴκου ἐστὶν, ἅτινα ἢ ὡς μέρος αὐτοῦ ἐστιν ἢ δι' αὐτὸν γέγονεν, ὡς τὸ τοῦ φρέατος σκέπασμα καὶ αἱ δεξαμεναὶ καὶ οἱ λουτῆρες καὶ οἱ ἡνωμένοι τοῖς ἀναβρυτοῖς σωλῆνες, εἰ καὶ πόῤῥω τῆς οἰκίας ἐκτείνονται, καὶ οἱ κάναλοι. οἱ δὲ ἐν ταῖς πισκίναις ἰχθύες οὐκ εἰσὶ τοῦ οἴκου οὐδὲ τοῦ ἀγροῦ, ὥσπερ οὐδὲ τὰ λοιπὰ ζῶα[15].

ιε'. Οἱ οἰνέμποροι ὡς ἂν συμφωνήσωσι πιπράσκουσιν. οὐδεὶς γὰρ ἀναγκάζεται πωλεῖν ἀπαρεσκόμενος τῷ μέτρῳ ἢ τῷ τιμήματι, καὶ μάλιστα εἰ μηδὲν γίνεται παρὰ τὴν συνήθειαν τοῦ κλίματος[16].

ιϛ'. Εἰ καὶ τὰ μάλιστα ἐσθ' ὅτε τὶς ἀπὸ τοῦ οἴκου καλεῖται, ὅμως οὐδεὶς ἀπὸ τοῦ οἴκου ἕλκεται[17].

ιζ'. Ὁ ὀμόσας παρίστασθαι καὶ εὐλόγως ἀπολειφθεὶς, οὐκ ἐπιορκεῖ. ὁπότε[18] καὶ τοὺς δικαστὰς οὐκ ἄλλως τὰς δίκας διαιρεῖν[19].

ιη'. Οἶκος παρ' ἄλλου ἀνδρὸς εἰς ἔδαφος ἑτέρου δεσπότου κτισθεὶς τοῦ ἔχοντος τὸ ἔδαφος γίνεται, πλὴν ἕως τούτου, ἔστ' ἂν οἶκος μένῃ· εἰ γὰρ καταλυθῇ καὶ χαλάσῃ, δύναται ὁ κτίσας τὸν οἶκον διεκδικεῖν καὶ ἀναλαμβάνειν τὰς ὕλας, εἰ μὴ κακῇ πίστει καὶ προφανεῖ βίᾳ τὸν οἶκον ἔκτισε. τότε γὰρ οὐκέτι οὐδὲ περὶ τῶν ὑλῶν δύναται διαμάχεσθαι[20].

ιθ'. Οἰκέτης ἐπὶ δημοσίᾳ αἰτίᾳ ἢ ἐπὶ ἄλλῃ τινὶ τοῦ δεσπότου κατηγορῶν, ἐν αὐτῷ τῷ φθέγγεσθαι τὴν κατηγορίαν ἀποτεμνέσθω, εἰ καὶ ἀληθεύει κατὰ τοῦ δεσπότου[21].

κ'. Οὐκ εἰσὶ τῆς οἰκοσκευῆς οὐδὲ λογίζονται πρὸς τὴν τοῦ οἴκου σύστασιν συμβαλλόμενα, ὅσα πρὸς τέρψιν, ἀλλ' οὐ πρὸς χρῆσιν εἰσίν[22].

---

[13] Att. XXXV (67). [14] Att. XXXV (81). [15] Syn. *Δ*, 10 ex Bas. XIX, 8, 13 sqq. [16] Syn. *Δ*, 18 ex Bas. LIII, 7, 1. [17] Syn. *Δ*, 37 ex Bas. VII, 8, 21. [18] Haec verba *ὁπότε — διαιρεῖν* in Synopsi sequuntur post praecedentia: ibi autem sunt initialia alius loci, scilicet Bas. VII, 14, 20. [19] Syn. *Δ*, 38 ex Bas. VII, 14, 16. [20] Syn. *E*, 8 ex Bas. XV, 1, 82. [21] Syn. *K*, 8 ex Bas. LX, 34, 42. [22] Syn. *Δ*, 1 ex Bas. XLIV, 13, 10.

κα΄. Ὁ ἐπιφερόμενος ὅρκος παρά τινος οὕτως ἔῤῥωται, ἐὰν γένηται καθὼς ἐπιφέρεται· εἰ δὲ ἄλλως, οὐκ ἔῤῥωται. δεῖ γὰρ τὸν ὀμνύντα οὕτω ποιεῖν τὸν ὅρκον, καθὼς ὁ δικαστὴς καὶ ὁ ἀντίδικος ἀπαιτεῖ[23].

κβ΄. Οἱ ὅρκοι παρὰ τῶν ἀφηλίκων ἑτέροις ἐπιφερόμενοι, ἐὰν συμβῇ ἐκ τῶν ὅρκων καὶ τῆς ὑποθέσεως, εἰς ἣν ἐγένοντο οἱ ὅρκοι, βλαβῆναι τοὺς ἀφήλικας, καταλύονται καὶ τὸ πρᾶγμα ἀποκαθίσταται εἰς τὸ δίκαιον[24].

κγ΄. Ὁδὸς πλατεῖα, πάροδος, μονοπάτιον κατὰ τοῦτο διαφέρουσιν, ὅτι ἡ μὲν πλατεῖα ὁδὸς καὶ ἐλαύνειν θρέμματα καὶ ἁμάξας καὶ ὑποζύγια τοῖς βουλομένοις διὰ ταύτης ἔρχεσθαι[25] δίδωσι, καὶ ἐστὶ κατὰ τοὺς νόμους ἡ πλατεῖα ὁδὸς εἰς μὲν ὀρθὸν ποδῶν η΄, εἰς δὲ κάμψιν ις΄· ἡ δὲ πάροδος ἄνθρωπον μόνον καὶ ζῶον διοδεύειν δι᾽ αὐτῆς δέχεται· τὸ δὲ μονοπάτιον πεζὸν μόνον ἄνθρωπον[26].

κδ΄. Ὁ μηδενὸς ἐνάγοντος καὶ κινοῦντος κατ᾽ αὐτοῦ ὀμνύων οὐδὲν ἐκ τούτου ἤγουν τοῦ ὀμνύειν ἀρκεῖται[27].

κε΄. Ὁ ὅρκος ἢ παρὰ τοῖς δικασταῖς ἐπιτίθεται, ἢ παρὰ τοῦ ἀντιδίκου ἐπάγεται. ἀλλ᾽ ὅταν μὲν ἀμφιβολίας οὔσης ὁ δικαστὴς ἐπιθεὶς ὅρκον καταδικάσῃ τινὰ, ἐὰν μετὰ τὸν ὅρκον ὁ καταδικασθεὶς[28] εὕρῃ δικαιώματα, καὶ θελήσῃ ἐξ ὑπαρχῆς αὖθις κινῆσαι τὴν ὑπόθεσιν, δύναται τοῦτο ποιεῖν· ὅταν δὲ ὁ ἀντίδικος ἐπαγάγῃ ὅρκον καὶ λύσῃ τὴν ὑπόθεσιν, οὐ δύναται ὁ καταδικασθεὶς μετὰ ταῦτα πάλιν κινεῖν ἄνωθεν τὴν ὑπόθεσιν, κἂν μετὰ τὸν ὅρκον τὸν ἐπαχθέντα καὶ τὴν καταδίκην ἐφευρηκὼς εἴη τινὰ δικαιώματα, ἀλλ᾽ ἀναγκάζεται στέργειν τὴν καταδίκην. τοῦτο δὲ γίνεται, διότι ὁ μὲν δικαστὴς ἐξουσίᾳ οἰκείᾳ καὶ οὐ συναινέσει καὶ ἀρεσκείᾳ τῶν κρινομένων ἐπιτίθησι τὸν ὅρκον, καὶ διὰ τοῦτο ἰσχύει ὁ καταδικασθεὶς, ἐὰν εὕρῃ ὕστερον δικαιώματα, πάλιν κινεῖν τὴν ὑπόθεσιν· ὁ δὲ ἀντίδικος συναινέσει καὶ τοῦ ἀντιδίκου ἐπάγει τὸν ὅρκον, καὶ ὁ καταδικασθεὶς ἐξ ὧν οἰκειοθελῶς συγκατέθετο, οὐκέτι δύναται κινεῖν τὰ περὶ τοῦ τοιούτου ζητήματος. δοκεῖ γὰρ αὐτὸς ἑαυτῷ ἐναντιοῦσθαι, καὶ ἀνατρέπειν, ἃ διεπράξατο[29].

κς΄. Ὁ ἄνηβος παραχωρῆσαι ὅρκον οὐ δύναται[30].

κζ΄. Ἀνήβῳ ὅρκος οὐκ ἐπιφέρεται[31].

[23] Syn. O, 2 ex Bas. XXII, 5, 3. [24] Syn. l. l. ex Bas. XXII, 5, 9. [25] B διέρχ. [26] Syn. O, 1 ex Bas. LVIII, 3, 1. [27] B ἀφελκεῖται. Lege ὠφελεῖται. — Syn. O, 2 ex Bas. XXII, 5, 3. [28] A δικασθείς. [29] Syn. l. l. ex Bas. XXII, 5, 31. [30] Syn. l. l. ex Bas. XXII, 5, 32. [31] Syn. l. l. ex Bas. XXII, 5, 34.

κη΄. Συνήγορος ἢ ἐκδικητὴς ὀμνύειν οὐκ ἀναγκάζεται[32].

κθ΄. Ὁ μήτε ὀμνὺς μήτε ἀντεπάγων ἀντὶ ὁμολογοῦντός ἐστιν[33].

λ΄. Ἐπήγαγεν ὁ ἐνάγων τῷ ἐναγομένῳ ὅρκον· προέτρεψεν ὁ δικαστὴς γενέσθαι τὸν ὅρκον· μετὰ δὲ τὴν προτροπὴν ὁ ἐνάγων οὐκ εἴασε πληρωθῆναι τὸν ὅρκον ὡς ἑτέρων εὑρεθεισῶν αὐτῷ ἀποδείξεων· εἶτα πάλιν ἐκ τῶν τοιούτων ἐξαπορήσας ἀποδείξεων ζητεῖ τὸν ὅρκον ἐπαγαγεῖν· οὐ δύναται ὅλως τὸν ὅρκον ἐπαγαγεῖν ἅπαξ ἀποβαλόμενος[34].

λα΄. Ὤμοσέ τις· παρεγράψατο τὸν ὅρκον ὁ τούτου ἀντίδικος· ἀντέθηκεν ὁ ὀμόσας πρὸς τὴν παραγραφὴν τοῦ δόλου[35] ἀναπλοκὴν, ἤτοι ἀνάλυσιν τοῦ δοθέντος καὶ τῆς αἰτίας δι' ἣν τὸν ὅρκον ὁ ἀντίδικος παραγράφεται· τοῦτο καλεῖται παραγραφὴ παραγραφῆς, καὶ ἐντεῦθεν ὁρίζονταί τινες τὴν ἀναπλοκὴν ἤγουν τὴν ἀνάλυσιν παραγραφὴν εἶναι παραγραφῆς[36].

λβ΄. Ἐν ταῖς κατὰ ῥαθυμίαν συμβαινούσαις ὀφειλαῖς εἰς αὐτὸ μόνον τὸ πρᾶγμα περὶ οὗ ἡ ὑπόθεσις ἐνέχεται ὁ ἐναγόμενος, ἐν δὲ ταῖς κατὰ δόλον εἰς ὅσον ὁ ἐνάγων ὀμόσει[37].

λγ΄. Ὅρκου ἐνδίκου παρὰ τοῦ δικαστοῦ ἐπαγομένου (μόνος γὰρ ὁ δικαστὴς δύναται τὸν ἔνδικον ὅρκον ἐπάγειν) ἔξεστι τῷ δικαστῇ ἐν μέρει ἢ εἰς τὸ παντελὲς κουφίζειν τὸν ἐναγόμενον· κουφίζειν δὲ τοῦτον ἐκ μεγάλης αἰτίας ἢ ἔκ τινων εὑρεθεισῶν ὕστερον ἀποδείξεων[38].

λδ΄. Τῇ περὶ ὅρων ζητήσει οὔτε ἡ τῆς τριετίας οὔτε ἡ τῆς δεκαετίας ἢ εἰκοσαετίας παραγραφὴ ἀντίκειται, ἀλλὰ μόνη ἡ τῶν λ΄ ἐνιαυτῶν[39].

λε΄. Ἐπὶ τιμωρίᾳ τῇ διὰ μετάθεσιν ὅρων καὶ μετακίνησιν, εἰ μὲν νεώτερος εἴη ὁ πταίσας, εἰς χρόνον μακρότερον ἐξορίζεται· εἰ δὲ γέρων, εἰς ἥττονα. ὁ δὲ ἑτέρῳ ὑπουργήσας τύπτεται καὶ ἐπὶ διετίαν εἰς ἔργον δημόσιον πέμπεται. ὁ δὲ κατ' ἄγνοιαν ἢ τυχηρῶς τοὺς ὁριαίους λίθους ἀποσυλήσας[40] μαστιγοῦται μόνον[41].

γ΄. Κατὰ τῆς τοῦ ὅρκου παραγραφῆς ἀντιτίθεται δόλου ἀναπλοκὴ ἤτοι ἀνάλυσις· οὐ γὰρ ἀναψηλαφᾶται ὁ ὅρκος. ἀναπλοκὴ δὲ ἤτοι ἀνάλυσίς ἐστι παραγραφὴ παραγραφῆς.

---

[32] Syn. O, 1 ex Bas. XXII, 5, 34. [33] Syn. l. l. ex Bas. XXII, 5, 38. [34] Syn. O, 2 ex Bas. XXII, 5, 53. [35] A ὅρκου. [36] Syn. l. l. ex Bas. LI, 1, 15. [37] Syn. O, 3 ex Bas. XXII, 6, 2. [38] Syn. l. l. ex Bas. XXII, 6, 4. [39] Syn. O, 8 ex Bas. LVIII, 9, 20. [40] Verbum ἀποσ. deest in A. B post μόνον collocat. [41] Syn. O, 8 ex Bas. LX, 31, 3.

λϛ΄. Ὁ ὅρους δόλῳ μετατιθεὶς καθ᾽ ἕκαστον ὁροθέσιον τῷ μέρει τοῦ δημοσίου ν΄ ζημιοῦται νομίσματα. εἰ δὲ δοῦλος ἢ δούλη πλημμελήσουσι ταῦτα, κεφαλικῶς τιμωροῦνται, εἰ μὴ ὁ δεσπότης τὴν ὑπὲρ τούτων ποινὴν καταβάληται[42].

λζ΄. Ὁ τὸν ὅρον τὸν ἔτι ἀμφισβητήσιμον πρὸ δίκης τελείας κατασχὼν, εἰς τὸ διπλοῦν αὐτὸν ζημιοῦται, καὶ δίδωσιν αὐτόν τε τὸν τόπον τῷ νενικηκότι καὶ ἕτερον τοσοῦτον. εἰ δὲ ἴδιος ἦν αὐτῷ ὁ τόπος, ἀρκεῖ πρὸς τιμωρίαν τὸ ἐκπεσεῖν αὐτοῦ[43].

λη΄[44]. Ὀρφανοτρόφοι ἐπιτρόπων καὶ κουρατώρων τάξιν ἐχέτωσαν, καὶ μετὰ παῤῥησίας καὶ μεμαρτυρημένως τὰ πράγματα διοικείτωσαν τῶν ὀρφανῶν, πάντα πρὸς ὠφέλειαν τούτων παρασκευάζοντες. ἐξέστω δὲ αὐτοῖς καὶ ἐκποιεῖσθαί τινα καὶ ἢ τὸ τίμημα διασώζειν τοῖς ὀρφανοῖς ἢ ἀντεξωνεῖσθαι ἢ ἀντ᾽ ἐκείνων ἀγοράζειν ἕτερα[45].

ΑΡΧΗ ΤΟΥ Π[1].

α΄. Ἁρμόζουσιν ἐν τούτοις τοῖς εἰς τὸ γράμμα τὸ π΄ ταττομένοις καὶ τὰ περὶ προσώπων, ὅσα καὶ ἐν τῷ α΄ στοιχείῳ ὡς περὶ ἀνθρώπων διαλαμβάνοντα εἴρηται, καὶ ὅσα περὶ τῶν ἐξ ἐννόμων γάμων γεννωμένων παίδων καὶ περὶ τῶν τέκνων τῶν ἐκ πορνείας καὶ ὅσα περὶ ἐναλλαγῆς τῆς τῶν προσώπων ἐλέχθησαν καταστάσεως[2].

β΄. Περὶ πραγμάτων καὶ διαιρέσεως αὐτῶν καὶ ποιότητος πραγμάτων[3]. τὰ μέν εἰσι θείου δικαίου, τὰ δὲ ἀνθρω-

---

α΄. Κανὼν περὶ ποινῶν. — Σχεδὸν ἐν πάσαις ταῖς ποιναλίαις ἀγωγαῖς καὶ τῇ ἡλικίᾳ καὶ τῇ ἀγνοίᾳ συντρέχομεν.

β΄. Ἕτερος. — Αἱ ποινάλιαι ἀγωγαὶ προκαταρχθεῖσαι παραπέμπονται κατὰ τῶν κληρονόμων.

γ΄. Ἕτερος περὶ προικός. — Ἐν τοῖς ἀμφιβόλοις ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα.

δ΄. Ἕτερος περὶ προνομίων. — Τὰ προσώποις ὑπάρχοντα προνόμια σβέννυνται αὐτοῖς, τὰ δὲ προσόντα ταῖς ἀγωγαῖς πρὸς πάντας μετέρχονται.

---

42 Syn. O, 8 ex Bas. LX, 31, 3. 43 Syn. l. l. ex Bas. LX, 31, 4. 44 In A λϛ΄. In D λε΄. 45 Syn. O, 9 ex Bas. V, 3, 17.

1 A addit βιβλίου, D στοιχείου. 2 A ἐναλλαγῆς. 3 Att. II rubrica.

πίνου, ἤγουν τὰ μὲν λογίζονται θεῖα κατὰ τὸ δίκαιον, τὰ δὲ ἀνθρώπινα, καὶ τὰ μὲν ὡς θεῖα, τὰ δὲ ὡς ἀνθρώπινα κρίνονται. καὶ τὰ μὲν τοῦ θείου δικαίου[4] δεσποτείαν παρά τινος τῶν ἀνθρώπων οὐκ ἔχουσιν, ὡς ἱερὰ καὶ μνημεῖα καὶ τείχη καὶ πόρται· τὰ δὲ ἀνθρώπινα ἢ δημόσιά εἰσιν ἢ ἰδιωτικά. καὶ τὰ μὲν δημόσια οὐδενός εἰσιν, οἷον θέατρα, στάδια καὶ ὅσα τοιαῦτα· τὰ δὲ ἰδιωτικὰ ἑνὸς ἑκάστου τῶν ἐχόντων εἰσὶν, οἷον οἶκοι, δοῦλοι, χρυσὸς, ἄργυρος, ἐσθὴς, καὶ τὰ ὅμοια, ἃ καὶ κοινῷ ὀνόματι καθέκαστον ὀνομάζονται, διὰ τὸ ἑνὸς ἑκάστου τῶν ἐχόντων τυγχάνειν ὡς εἴπομεν. τούτων τῶν καθέκαστόν εἰσι καὶ αἱ ἀγωγαὶ, οἷον αἱ δίκαι καὶ αἱ δουλεῖαι. δουλείας δὲ ὁ νόμος καλεῖ τὰς ἐπί τινι συμφωνίας ἢ ἑτεροίας ἐπὶ ξένοις πράγμασι δικαιώσεις, ὡς ὅταν ἢ χρόνῳ ἢ συμβιβάσει ἢ καταλλαγῇ ταχθῇ τις δίκαιον ἔχειν εἰς ἀλλότριον πρᾶγμα, εἰς ὃ κατὰ ἄλλον τρόπον οὐκ ἂν ἐδικαιώθη ποτέ[5]. περὶ δὲ τούτου τοῦ τῆς δουλείας ἐν τοῖς τοῦ δ' στοιχείου πλατύτερον καὶ σαφέστερον ἐδηλώθη.

γ'. Τὰ τείχη τῶν πόλεων ἤγουν τῶν κάστρων θείου δικαίου εἰσὶ, καὶ τιμωροῦνται οἱ πταίοντες εἰς αὐτὰ, ὥσπερ καὶ οἱ σφάλλοντες εἰς θεῖα πράγματα. θεῖα δέ φαμεν τὰ τῷ θεῷ ἀνακείμενα[6].

δ'. Πρεσβύτερος ἢ διάκονος εἰς ὑπόθεσιν χρηματικὴν ψευδομαρτυρῶν ἔτη[7] τρία τῆς ἱερουργίας χωρίζεται· εἰς δὲ ἐγκληματικὴν, τῆς ἀξίας στερούμενος τιμωρεῖται[8].

ε'. Πρόσφυγες, τουτέστιν οἱ προσφυγόντες τῇ ἐκκλησίᾳ, μέχρι τῶν ὅρων αὐτῆς τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τὸ ἀσφαλὲς ἔχουσιν[9].

ε'. Ἕτερος. — Τὰ τοῖς πράγμασι διδόμενα προνόμια, οὐ μὴν τοῖς προσώποις, καὶ εἰς κληρονόμους διαβαίνει.

ϛ'. Ἕτερος περὶ παρακολουθημάτων. — Τῆς πρωτοτύπου αἰτίας μὴ ἐῤῥωμένης οὐδὲ τὰ παρακολουθήματα ὡς ἐπίπαν ἔῤῥωται.

ζ'. Ὁ τεχθεὶς νεκρὸς οὔτε γεννᾶσθαι δοκεῖ οὔτε παῖς λέγεται.

η'. Ἕτερος περὶ πειθαρχούντων. — Οὐ δοκεῖ θέλειν ὁ πειθαρχῶν πατρὶ καὶ δεσπότῃ.

θ'. Πιστικὸς λέγεται, ᾧ ἐμπιστεύονταί τινα πράγματα, καὶ διὰ τοῦτο καὶ τὸν κριθέντα ἀξιόπιστον εἰς φυλακὴν πλοίου πιστικὸν λέγουσι τῆς νηός.

---

[4] D τοῦ δικαίου τοῦ θείου. [5] Att. II. [6] Att. ibid. [7] AB ἔτι. [8] Att. III. [9] Att. ibid.

ς΄. Ὁ ἐξωθῶν καὶ ἐκβάλλων τινὰ προσφυγόντα τῇ ἐκκλησίᾳ ὡς ἱερόσυλος τιμωρεῖται[10].

ζ΄. Τὸ περιγραφῆναι παρὰ τῷ νόμῳ τὸ περὶ τὰ ἴδια δίκαια βλαβῆναι σημαίνει, καὶ ἡ περιγραφὴ τὴν βλάβην δηλοῖ[11].

η΄. Πρόστιμον ἔνθα νόμος ἀκυροῖ τι, τουτέστιν ἀνατρέπει καὶ ἀθετεῖ, οὐδ᾽ ὁπωσοῦν ἀπαιτεῖται[12].

θ΄. Ὁ εἰς παραθήκην[13] πρᾶγμα λαβὼν ἀπὸ μὲν δόλου ἐνέχεται, τουτέστιν ἐὰν ποιήσῃ δόλον εἰς ὃ παρέλαβε, τῇ κρίσει ὑπόκειται· ἀπὸ ἀμελείας δὲ οὐκ ἐνέχεται, ἤγουν ἐὰν ἀμελήσῃ τοῦ παραδοθέντος αὐτῷ, οὐ κρίνεται. τὸ δέ· ἐὰν ἀμελήσῃ, οὕτω πρέπει νοεῖν, ἐὰν τυχὸν οὐ ποιήσηται πρόνοιαν, ἵνα ἀνανεώσῃ τὸ παραδοθὲν αὐτῷ ἢ ἄλλως περιποιήσηται, ἐὰν παλαιούμενον καὶ ἀφανιζόμενον βλέπῃ· εἰς ταῦτα γὰρ ἐνέχεται. ἐὰν δὲ εἰς φυλακὴν τοῦ παραδοθέντος πράγματος ὁ λαβὼν ἀμελήσῃ, καὶ ἐκ τῆς τοιαύτης ἀμελείας ἐνέχεται[14].

ι΄. Τισὶ δοκεῖ τὴν παραθήκην ἐπὶ μόνων κινητῶν καὶ αὐτοκινήτων γίνεσθαι[15].

ια΄. Ὁ παραθήκην λαβὼν ἀπὸ δόλου καὶ ἀμελείας μεγάλης ἐνέχεται[16].

ιβ΄. Ὁ τῶν εἰς παραθήκην αὐτῷ δοθέντων μὴ ἐπιμελούμενος, ὥσπερ τῶν οἰκείων ἐπιμελεῖται, δόλον ποιεῖ.

ιγ΄. Παραθήκης ἀπαιτουμένης καὶ οἱ καρποὶ καὶ οἱ τοκετοὶ καὶ πάντα τὰ διαφέροντα ἀπαιτοῦνται.

ιδ΄. Παραθήκης πρὸς δοῦλόν τινος δεδομένης, εἰ μετὰ ταῦτα ὁ δοῦλος ἐλευθερωθῇ, οὐ γίνεται πρὸς τὸν δοῦλον ἡ τῆς παραθήκης ἀπαίτησις, οὐδ᾽ ἀναγκάζεται αὐτὸς λόγον διδόναι εἴ τι ἐπὶ ταύτῃ σφάλμα συμβῇ· ἀλλ᾽ ὁ τοῦ δούλου δεσπότης. τὰ γὰρ ἁμαρτήματα τῇ κεφαλῇ ἕπεται.

ιε΄. Παραγραφὴ περὶ κεκριμένων καλεῖται, ὅταν ἐγκαλοῦντός τινος περὶ ὧν ἔφθασε γενέσθαι κρίσις ὁ ἀντίδικος ὡς κριθεὶς αὐτὸν παραγράφηται, καὶ ἀξιοῖ μὴ κρίνεσθαι πάλιν περὶ ὧν προεκρίθη. αὕτη ἡ περὶ κεκριμένων παραγραφὴ οὐκ ἔχει χώραν, ὅταν τὶς ἀλλότρια διεκδικῇ πράγματα καὶ παρὰ γνώμην αὐτοῦ κριθῇ, ἔπειτα ὁ δεσπότης θελήσῃ πάλιν ἐξ ἀρχῆς κριθῆναι· τότε γὰρ τὰ πρότερον κριθέντα οὐδὲν ἰσχύει, ἀλλ᾽ ἐξ ὑπαρχῆς κρίνεται ἡ ὑπόθεσις. ὁ δὲ τὸν ἡττηθέντα

---

[10] Att. III. [11] Ad Att. IV (5). [12] Att. V (6). [13] Correctoria manus in A hic et in sequentibus hoc verbum in *παρακαταθήκην* mutavit. [14] Att. VII (8). [15] Att. ibid. [16] Capita 11—14 auctor non ad Attalensem efformavit, sed fortasse ad Syn. *Π*, 5 ex Bas. XIII, 2.

ἤγουν νικηθέντα ἐπί τινι πράγματι διαδεχόμενος ἐκβάλλεται τῇ τῶν κεκριμένων παραγραφῇ, καὶ οὐκ ἰσχύει αὐτὸς πάλιν πρὸς τὸν νικήσαντα τὸν πρὸ αὐτοῦ διαμάχεσθαι[17].

ις'. Ἡ πρᾶσις καὶ ἀγράφως καὶ ἐγγράφως γίνεται. ἔχει δὲ τὸ τέλειον ἡ μὲν ἔγγραφος ἅμα τῷ τὸ συμβόλαιον τελεσθῆναι, τουτέστιν ἅμα τῷ πληρωθῆναι τὸ γράμμα τὸ ἐπὶ τῇ συμφωνίᾳ γινόμενον· ἡ δὲ ἄγραφος ἅμα τῷ ταχθῆναι καὶ δοθῆναι τὸ τίμημα[18].

ιζ'. Συμβολὴ λέγεται ἀνθρώπων τινῶν συνέλευσις καὶ εἰς πρᾶξιν ὁποίαν ἂν εἴποι τὶς συγκατάθεσις· ὅθεν καὶ ἀπὸ ταύτης τὸ ἐπὶ συστάσει καὶ ἐπικυρώσει αὐτῆς γινόμενον γράμμα συμβόλαιον ὀνομάζεται.

ιη'. Οἱ συναλλάττοντες ἔχουσιν ἄδειαν περιγράφειν ἀλλήλους, ἤγουν εἷς τὸν ἄλλον βλάπτειν καὶ ζημιοῦν, ἕως καὶ ἡμίσεος τοῦ τιμήματος, οὗπέρ ἐστι τὸ πρᾶγμα ὃ συναλλάσσουσιν ἄξιον. ὁ δὲ ἐπέκεινα τοῦ ἡμίσεος περιγράφων, ἤγουν τὸν μετ᾽ αὐτοῦ συναλλάσσοντα ζημιῶν, ἢ ἀντιστρέφει τὸ περισσότερον τοῦ ἡμίσεος ἢ ὅλη ἡ πρᾶσις καταλύεται καὶ ἀνατρέπεται[19].

ιθ'. Τὸ πραθὲν πρᾶγμα πολλάκις μετὰ τὴν πρᾶσιν εὑρίσκεται πάθος ἢ αἰτίαν ἔχον τινά, καὶ ἐὰν μὲν ὁ πωλήσας αὐτὸ ἐπαινέσῃ καὶ εἴπῃ· ὅτι ἐστὶν ἀπαθές, ἔπειτα ἤγουν μετὰ ταῦτα φανῇ τὸ πάθος ὃ ἔχει, ἐντὸς ἑξαμήνου πρὸς τὸν πωλήσαντα ἀντιστρέφεται, μετὰ δὲ τὴν τοῦ ἑξαμήνου συμπλήρωσιν οὐκ ἀντιστρέφεται, ἀλλὰ ἀπὸ τῆς ἀρχῆς τούτου τῆς πωλήσεως ἕως συμπληρώσεως χρόνου ἑνὸς δύναται ὁ ἀγοράσας τὸ ζῶον ἐλαττοῦν τὴν ποσότητα τῆς τιμῆς, καὶ ὀλίγον μὲν ἀπὸ τῆς τιμῆς τῷ πωλήσαντι ἀφιέναι, τὸ δὲ λοιπὸν ζητεῖν ἐξ αὐτοῦ καὶ κινεῖν τὴν περὶ τούτου ὑπόθεσιν, ἣν λέγουσι καὶ ἀγωγὴν μειοῦσαν ἤγουν ἐλαττοῦσαν τὸ τίμημα. εἰ δὲ ὁ πράτης οὐκ ἐπαινέσει τὸ παρ᾽ ἐκείνου πωλούμενον, ἕως δύο μηνῶν τὸ πραθὲν παρὰ τοῦ ἀγοραστοῦ πρὸς τὸν πωλήσαντα ἀντιστρέφεται, μετὰ δὲ τοὺς δύο μῆνας ἡ τιμὴ ἐλαττοῦται ὡς ἀνωτέρω δεδήλωται. τοῦτο διὰ φιλανθρωπίαν ἐπινοήθη τῷ νόμῳ, ἵνα ὁ πράτης εἰδὼς καὶ ἄκων καταναγκάζηται προλέγειν τῷ ἀγοράζοντι τὰ τοῦ πωλουμένου πάθη καὶ αἴτια[20].

κ'. Τὸ πραθὲν πρᾶγμα ἐὰν μετὰ τὴν πρᾶσιν ἐκνικηθῇ, τουτέστιν ἐὰν ἄλλος τὶς δυνηθῇ ὡς οἰκεῖον τοῦτο ἐκ τοῦ ἀγο-

---

[17] Att. IX (10). [18] Att. XI (12). [19] Att. ibid. [20] Att. ibid.

ράσαντος δικαίως ἀνακαλέσασθαι, ὁ πωλήσας ἢ ἁπλοῦν ἢ διπλοῦν ἀπαιτεῖται τὸ τίμημα· διπλοῦν μὲν, ἐὰν μετὰ δεφενσίωνος αὐτὸ διεπώλησεν, ἤγουν ἐὰν ἐν τῷ πωλεῖν ὑπέσχετο τῷ ἀγοραστῇ δεφενδεύειν ἐκ πάσης ὑποθέσεως τὸ πωλούμενον· ἁπλοῦν δὲ τὸ τίμημα ἀποδίδωσιν, ὅταν πωλήσῃ χωρὶς δεφενσίωνος[21].

κα΄. Παραγραφὴ παρὰ τοῖς νόμοις καλεῖται, ὅταν ὁ ἐναγόμενος ὁμολογῇ μὲν ὅπερ ὁ ἐνάγων ἐγκαλῇ κατ᾽ αὐτοῦ, ἀντιτίθησι δὲ ἕτερόν τι, δι᾽ οὗ ἀνεύθυνον ἑαυτὸν παριστᾷ ὡς ποιήσαντα ὅπερ ἐφ᾽ οἷς ἐγκαλεῖται ποιῆσαι ἔπρεπεν· οἷον ἐὰν ὁμολογῶν χρεωστῆσαι προστίθησιν, ὅτι καὶ τὸ χρέος ἀπέδωκεν, ἤγουν ἐὰν τὸ λαβεῖν παρακαταθήκην οὐδόλως ἀρνούμενος λέγῃ, ὅτι καὶ ἀπέδωκε ταύτην, καὶ ὅσα ἄλλα τούτοις ὅμοια. παραγραφαὶ δὲ λέγονται ταῦτα, διότι κἂν δοκῇ ὁ ἐναγόμενος ἐν τούτοις τὴν κατηγορίαν ὁμολογεῖν, ἀλλὰ δύναται διὰ ταύτης τῆς ὁμολογίας τὸν ἐναντίον ἀποδιώκειν εὐλόγως καὶ παραγράφεσθαι[22].

κβ΄. Πολλάκις δύο τινὲς μάχονται περί τινος πράγματος, καὶ ὁ μὲν κινεῖ τὴν ὑπόθεσιν καὶ ἐνάγει ζητῶν τὸ πρᾶγμα ὡς ἴδιον ἑαυτοῦ, ὁ δὲ ἀπολογεῖσθαι πρὸς τοῦτον καταναγκάζεται. ὅταν γοῦν γένηται τοῦτο, ἐὰν ὁ ἐνάγων οὐ δύναται ἀποδεῖξαι τὸ πρᾶγμα ἴδιον ἑαυτοῦ, ὁ ἀντίδικος τούτου νικᾷ καὶ χωρὶς ἀποδείξεώς τινος. θαυμάσιον τοῦτο, ὅτι καὶ δυνάμεως ἄνευ ἰσχύει τὶς καταβαλεῖν τὸν ἀντίδικον ἤγουν τὸν ἀντίπαλον[23].

κγ΄. Ὅταν τοῦ ἐνάγοντος κινήσαντος τὴν ὑπόθεσιν ὁ ἐναγόμενος ποιήσῃ[24] παραγραφὴν, τότε πρέπει μὲν ἵνα εὐθὺς ἐν τῇ ἀρχῇ τῆς κρίσεως ἡ τοιαύτη παραγραφὴ παρὰ τοῦ ἐναγομένου ἀντιτεθῇ τῷ ἐνάγοντι, ἡ δὲ ἐξέτασις τῆς παραγραφῆς ὕστερον γίνεται μετὰ τὰς ἀποδείξεις, ἅσπερ ἂν ὁ ἐνάγων ποιήσηται. εἰ γὰρ μὴ αὐτὸς ὁ ἐνάγων ἰσχυρῶς ἀποδείξει ὃ λέγει, οὐ δεῖ τὴν παραγραφὴν ἐξετάζεσθαι, ἀλλὰ καὶ χωρὶς ἐξετάσεως ὁ ἐναγόμενος ἐν τοῖς τοιούτοις νικᾷ[25].

κδ΄. Ἡ τῶν πραγμάτων ἀλήθεια ἰσχυροτέρα τῶν ἐγγράφων ἐστὶ, διὸ καὶ ταύτῃ μᾶλλον ἢ τοῖς ἐγγράφοις προσέχειν δεῖ[26].

ι΄. Ὁ ἀνὴρ, οὐχ ἡ κόρη, ἀπαιτεῖ τὴν προῖκα ἀπὸ παντὸς ἐπαγγειλαμένου τοῦ γάμου συνεστῶτος, καὶ οὗτος παραλαμβάνει ταύ-

---

[21] Att. XI (12). [22] Att. XIV (17). [23] Att. ibid. [24] A μὴ ποιήσῃ. [25] Att. ibid. [26] Att. ibid.

κέ. Προῖξ, ἐὰν ἀδιατίμητος ᾖ, τοσαύτην ἐπιμέλειαν ὀφείλει ἔχειν παρὰ τοῦ λαβόντος αὐτὴν ἀνδρὸς, ὅσην καὶ εἰς τὰ ἴδια πράγματα ἔχει ὁ τοιοῦτος ἀνήρ[27].

κς΄. Ὅταν ὁ ἀνὴρ τελευτήσας τοῦ γάμου συνισταμένου καὶ μὴ γενομένης λύσεως ἢ διαζυγίου, ὅπερ ἐστὶ χωρισμοῦ, καταλείψῃ τινὰ κληρονόμον, ἄδειαν ἔχει ἡ γυνὴ ἀπαιτεῖν τὴν προῖκα καὶ μὴ ἀφιέναι τὸν κληρονόμον τὶ ἐξ αὐτῆς παρυποκρατεῖν[28].

κζ΄. Ὅταν ὁ πατὴρ προικίσῃ τὴν ἑαυτοῦ θυγατέρα καὶ δώσει αὐτῇ τοσήνδε τινὰ ποσότητα, καὶ μετὰ ταῦτα ἢ τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς ἢ διαζυγίου ἤγουν χωρισμοῦ γενομένου θελήσει ἡ θυγάτηρ εἰς δεύτερον γάμον ἐλθεῖν, οὐ δύναται ὁ πατὴρ ἐλαττῶσαι τὴν προτέραν προῖκα καὶ δοῦναι τῇ θυγατρὶ ὀλιγότερα παρὸ εἰς τὴν προτέραν προῖκα δέδωκε ταύτῃ[29].

κη΄. Ὅταν δύο προικῶν ἀπαίτησις γίνεται, πρώτης δηλαδὴ καὶ δευτέρας, ὅσα μὲν ἐκ τῶν εἰς προῖκα δοθέντων αὐτὰ τὰ εἴδη καὶ αὐτὰ τὰ πράγματα σώζεται, εἰς τὸ μέρος ὅπερ τὴν προῖκα δέδωκεν ἀντιστρέφεται· ἐν ὅσοις δὲ οὐκ ἔνι δυνατὸν διακρῖναι ποίας ἂν εἶεν ἀπὸ τῶν δύο προικῶν, προτιμᾶται ἡ πρώτη, καὶ πρέπει ἵνα πρῶτον αὕτη ἱκανωθῇ καὶ μετ᾽ αὐτὴν ἡ δευτέρα[30].

κθ΄[31]. Τό· ἡ προῖξ ἡ διατετιμημένη τῷ ἀνδρὶ ἐγκινδυνεύεται, τοῦτο δηλοῖ, ὅτι ὁ κίνδυνος τῆς διατετιμημένης προικὸς εἰς τὸν ἄνδρα ἀνάγεται[32], καὶ ἀποδιδόναι ταύτην ἐνέχεται καὶ αὐτὸς ὀφείλει ὑπὲρ ταύτης ἀπολογεῖσθαι, κἂν εἴ τι ἄρα καὶ γένηται, ἤγουν κἂν τυχὸν τὰ ζῶα ψοφήσωσι, κἂν ἡ ἐσθὴς τουτέστι τὸ ῥοῦχον κατατριβῇ παρὰ τῆς γυναικὸς καὶ παλαιωθῇ. ὁ ἀνὴρ γὰρ καὶ τούτων τὴν ἀποτίμησιν δίδωσιν, καὶ πρὸς

την ἐγγύας οὐκ ἀπαιτούμενος. ἐγγυητὴς γὰρ οὐ δίδοται ἐπὶ τῇ γυναικείᾳ προικὶ, εἰ μὴ πρὸ τοῦ γενέσθαι τὴν μνηστείαν τοῦτο συνεφωνήθη.

ια΄. Ἐπὶ ὑποσχέσει προικὸς καὶ ἀπὸ ψιλοῦ ῥήματος ἢ συμφωνίας ἐνέχεταί τις.

ιβ΄. Ἀπὸ ψιλῆς ἐπαγγελίας χρεωστεῖ ὁ πατὴρ προῖκα.

ιγ΄. Τὴν προῖκα ἡ ἀρίθμησις, οὐχ ἡ γραφὴ τοῦ προικιμαίου συμφώνου ποιεῖ.

---

27 Att. XIX (27). 28 Att. ibid. 29 Att. ibid. 30 Att. ibid. 31 A in margine haec habet: Ὁ ἀνὴρ διατετιμημένην προῖκα λαβὼν τὴν διατίμησιν πιστεύεται ἔχειν ἐν προικὶ, καὶ οὐχὶ τὰ πράγματα· ὅθεν διαλυομένου τοῦ γάμου δύναται μὴ τὰ πράγματα αὐτὰ, ἀλλὰ τὴν διατίμησιν αὐτῶν ἀποδιδόναι. 32 A ἐνάγ.

αὐτὸν καὶ ἡ αὔξησις καὶ ἡ ἐλάττωσις τῆς διατετιμημένης προικὸς ἀνάγεται. εἰ δὲ ἡ προῖξ ἀδιατίμητος εἴη, καὶ ἡ αὔξησις καὶ ἡ ἐλάττωσις ταύτης τὴν γυναῖκα ὁρᾷ, τουτέστιν ταύτῃ ἀνήκει καὶ εἰς αὐτὴν ἀνατίθεται[33].

λ΄. Ἡ προῖξ πολλάκις νικᾷ καὶ αὐτὸν τὸν δημόσιον. ὅταν γὰρ πρότερον μὲν χρεωστῆται προῖξ καὶ προγενεστέρα τῶν δημοσίων χρεῶν ἐστιν, ὕστερον δὲ τῷ χρεωστοῦντι τὴν προῖκα καὶ χρέος ἐπέλθοι δημόσιον, νικᾷ ἡ προῖξ, καὶ πρῶτον αὐτῇ ἀποδίδοται, εἶτα τὰ χρέη ἀπαιτοῦνται τοῦ δημοσίου. ὅταν δὲ προλάβῃ τὸ δημόσιον χρέος, νικᾶται ἡ προῖξ, καὶ πρῶτον ἀπαιτεῖται τὸ χρέος τοῦ δημοσίου, ὕστερον δὲ καὶ μετὰ τοῦτο τῆς προικός. καὶ ἁπλῶς εἰπεῖν ἐν τούτοις τὸ προγενέστερον τοῦ ἄλλου προτιμᾶται εἰς τὴν ἀπόδοσιν. καὶ τοῦτο μὲν ἐπ᾽ αὐτῆς γίνεται τῆς προικὸς, τὰ δὲ γαμικὰ κέρδη τὸ δημόσιον χρέος νικᾷ, κἂν ὕστερα ὦσι τούτου κἂν πρότερα, καὶ πρῶτον ἀποδίδοται τοῦτο, εἶτα ἐκεῖνα[34].

λα΄. Κατὰ πρόληψιν τόδε τὶ γενέσθαι λέγεται, ὅπερ ἢ ὁ νόμος προλαβὼν διωρίσατο καὶ τοιαύτην τινὰ κεκτῆσθαι δόξαν περὶ αὐτὸ τοὺς ἀκροατὰς παρεσκεύασεν, ἢ ἡ φύσις αὐτὴ καὶ ἡ διάνοια τῶν πολλῶν οἰκειοθελῶς προλαβοῦσα εἰς τοῦτο καταπεπεισμένη ἐστὶ καὶ οὕτως ἔχειν αὐτὸ δοξάζει καὶ χωρὶς ἀποδείξεως[35].

λβ΄. Ἠγάγετό τις γυναῖκα, ἤγουν εἰς γάμον ἔννομον ἔλαβε· συνεφωνήθη τούτῳ δοθῆναι προῖξ· οὐκ ἐδόθη ἡ προῖξ, ἀλλὰ μένει ἡ συμφωνία ἀπλήρωτος· τυχὸν δὲ καὶ αὐτὸς ὁ τὴν προῖκα μέλλων λαμβάνειν οὐκ ἔλαβε μὲν αὐτὴν, ἐχειρογράφησε δὲ λαβεῖν· δύναται ὁ τοιοῦτος καὶ μετὰ τὴν τοιαύτην χειρογραφίαν εἴσω δεκαετίας τὴν συμφωνηθεῖσαν ἀπαιτεῖν προῖκα, μετὰ δὲ τὴν δεκαετίαν, ἤγουν μετὰ τὸ πληρωθῆναι ι΄ χρόνους τελείους, οὐ δύναται τὴν προῖκα ζητεῖν[36].

λγ΄. Πάλιν ἕτερός τις μὴ λαβὼν προῖκα ὡμολόγησεν ἐγγράφως, ὅτι ἔλαβεν· ἔγραψε δὲ καὶ κατ᾽ εἶδος τὰ πράγματα τῆς προικὸς, τόδε τυχὸν καὶ τόδε καὶ τοσῆσδε ἢ τοσῆσδε ποσότητος ἀξιούμενον· ὁ τοιοῦτος οὐδὲ μετ᾽ ὀλίγον πάνυ καιρὸν, μῆνα τυχὸν ἢ ἑξάμηνον ἢ χρόνον, ἢ ὀλιγότερον καιρὸν τούτων ἢ περισσότερον, δύναται τὴν προῖκα ἀπαιτεῖν, οὐδὲ τὴν τῆς ἀναργυρίας εἰσάγειν παραγραφήν[37]. τί δέ ἐστιν ἀναργυρία ἐν τοῖς εἰς τὸ α΄ στοιχεῖον εἴπομεν.

---

[33] Att. XX (28). [34] Att. ibid. [35] Locus fugitivus. [36] Att. XXI (29). [37] Att. ibid.

λδ΄. Πάλιν οὐκ ἐδόθη τινὶ προῖξ· ὡμολόγησεν ἐκεῖνος τυχὸν, ὅτι ἐδόθη ἡ προῖξ πρὸς αὐτόν· ἐγγράφως τὴν τοιαύτην ὁμολογίαν ἐποίησε· συνῴκησε τῇ γυναικὶ χρόνους β΄· ἐτελεύτησεν ὁ ἀνήρ· κληρονόμους ἀφῆκε· μετὰ ταῦτα τὸ μέρος τῆς γυναικὸς τὴν προῖκα ἀπὸ τῶν τοῦ ἀνδρὸς κληρονόμων αἰτεῖ· οἱ κληρονόμοι οὐκ ἀποδιδόασι ταύτην, καὶ λέγουσιν ὅτι ὁ ἀνὴρ, εἰ καὶ τὴν προῖκα λαβεῖν ἔγραψεν, ἀλλ᾽ οὐκ ἔλαβεν· ἢ πάλιν γνήσιοι παῖδες καταλειφθέντες τοῦ τελευτήσαντος καὶ κληρονομοῦντες αὐτὸν συναινούσης καὶ τῆς τούτων μητρὸς, ἤγουν συνευδοκούσης καὶ συνεπιτρεπούσης αὐτοῖς, ἀπαιτοῦσι τὴν προῖκα τῆς μητρὸς τούτων, ἣν ὁ πατὴρ αὐτῶν ἔγραψε μὲν λαβεῖν, οὐκ ἔλαβε δέ. ὅταν γοῦν ἐκ τῶν δύο τούτων ἓν γένηται, καὶ οἱ κληρονόμοι ἢ ἀπαιτοῦσι τὴν προῖκα ἢ ἀπαιτοῦνται ἀποδοῦναι αὐτὴν, εἰ μὲν μετὰ τὸ παρελθεῖν χρόνον ἕνα, ἐξότου ὁ ἀνὴρ ἐτελεύτησε, κινήσουσι περὶ τῆς προικὸς καὶ εἴπωσι καὶ φανερὸν καὶ δῆλον ποιήσουσιν, ὅτι ὁ ἀνὴρ τὴν προῖκα οὐκ ἔλαβεν, εἰσάγουσι τὴν τῆς ἀναργυρίας παραγραφὴν, καὶ νικῶσι τὴν δίκην καὶ τοὺς ἀντιδίκους καταδικάζουσιν· εἰ δὲ χρόνος εἷς παρέλθοι ὁλόκληρος, καὶ αὐτοὶ περὶ τούτου μηδεμίαν ποιήσουσι κίνησιν, οὐκέτι δύνανται τὴν ἀναργυρίαν εἰσάγειν, ἀλλ᾽ ἐκπίπτουσι τοῦ δικαίου καὶ ἢ ἀποδοῦναι τὴν προῖκα παρὰ τοῦ μέρους τῆς γυναικὸς ἀναγκάζονται, ἐὰν ὦσιν ἀλλοῖοι τοῦ ἀνδρὸς κληρονόμοι καὶ οὐχ υἱοὶ, ἢ αὐτοὶ υἱοὶ ἐὰν ὦσι τοῦ τελευτήσαντος καὶ βούλωνται ζητεῖν τὴν προῖκα καὶ συνευδοκοῦσαν τὴν μητέρα εἰς τὴν τῆς προικὸς ἀπαίτησιν ἔχουσιν, ὡς ἀδίκως λέγοντες παρὰ τῶν δικαστῶν ἀποπεμπόμενοι[38]. τοῦτο ἡ διαφορὰ τοῦ χρόνου ποιεῖ, καὶ οὐκ εἰς ἄλλην αἰτίαν ἀλλ᾽ εἰς τὸν χρόνον ἀνάγεται[39].

λε΄. Τοῖς παισὶ πρώτοις καὶ ἐκ διαθήκης ἁρμόζει ἡ κατ᾽ αὐτῆς ἐναντίωσις, καὶ ἐξ ἀδιαθέτου ἡ τοῦ δικαίου τοῦ ἀγράφου καὶ φυσικῶς εἰσαγομένου ἀπαίτησις. ἐστὶ δὲ τοῦτο τοιοῦτον. ἔταξεν ὁ νόμος αἰτίας, δι᾽ ἃς ἐπ᾽ ἀδείας ἐστί τισιν ἐναντιοῦσθαι τῇ διαθήκῃ καὶ ἐναντιοῦσθαι ἐξ αὐτῆς τῆς διαθήκης, ἐὰν οὕτως ἔχῃ φέρε εἰπεῖν, ἢ τόδε τὶ γράφῃ ἢ μὴ διαλαμβάνῃ τόδε τί· ἐκ τούτων τοίνυν τῶν αἰτιῶν, δι᾽ ἃς ἔξεστιν ἐναντιοῦσθαι τῇ διαθήκῃ ἐκ τῆς διαθήκης, εἰσί τινες ἁρμόζουσαι τοῖς τοῦ διατιθεμένου παισὶν, εἰσὶ καὶ ἄλλαι τισὶν ἑτέροις ἀνήκουσαι· ἀλλὰ πάντων τῶν ἐχόντων ἐναντιοῦσθαι τῇ διαθήκῃ

---

[38] Videtur legendum: ἀποπέμπονται. [39] Att. XXI (29).

προτιμότεροι οἱ παῖδές εἰσι, καὶ αὐτοὶ πρὸ τῶν ἄλλων δύνανται ἐκ τῆς διαθήκης ἐναντιοῦσθαι τῇ διαθήκῃ, καὶ τούτοις πρώτοις ἁρμόζει ἡ ἐκ διαθήκης κατ' αὐτῆς ἐναντίωσις. πάλιν εἰσί τινες ἐξ ἀδιαθέτου εἰς κληρονομίαν τινὸς δικαιούμενοι, εἰσὶ καὶ οἱ παῖδες τοῦτο τὸ προνόμιον ἔχοντες· πάντων οὐκοῦν καὶ τούτων εἰσὶ προτιμότεροι οἱ παῖδες, καὶ τοῖς παισὶ πρώτοις καὶ ἡ ἐξ ἀδιαθέτου δικαίωσις ἀποδίδοται. τινὲς δὲ τὸ ἐκ τῆς διαθήκης ἀντὶ τοῦ ἐκ τοῦ γενέσθαι τὴν διαθήκην ἐνόησαν, ὡς οὐκ ὄντος ἄλλως δυνατοῦ ἐναντιοῦσθαι τῇ διαθήκῃ, εἰ μὴ γένηται διαθήκη, καὶ οὕτω τὸ ἐκ τῆς διαθήκης ἐναντιοῦσθαι τῇ διαθήκῃ ἑρμηνεύουσιν[40].

λς'. Τὸ μηδενὸς ὂν τοῦ προλαβόντος γίνεται[41].

λζ'. Πάντα τὰ χερσαῖα καὶ θαλάττια καὶ ἀέρια, ἤγουν τὰ ἐν τῇ χέρσῳ καὶ τὰ ἐν τῇ θαλάσσῃ καὶ ποταμοῖς καὶ τὰ ἐν ἀέρι πεττόμενα, κατὰ τὸν φυσικὸν νόμον πάντων εἰσὶ, καὶ διὰ τοῦτο τῶν προλαμβανόντων καὶ κατεχόντων αὐτὰ ἢ δι' ἄγρας, ὅπερ ἐστὶ κυνήγιον, ἢ δι' ἄλλου τρόπου τινὸς ἕκαστον τούτων ἴδιον γίνεται, ἐὰν μὴ ὁ τόπος, ἐν ᾧ εἰσὶν, ὡρισμένως ἀποδοθῇ τινι δεσπότῃ καὶ ὑπὸ ἐξουσίαν ταχθῇ τινος[42].

λη'. Τῶν παραγραφῶν αἱ μέν εἰσι διηνεκεῖς, αἱ δὲ πρόσκαιροι. καὶ πρόσκαιρος μὲν λέγεται παραγραφὴ, ὅταν ὁ ἐναγόμενος περί τινος πράγματος οὐχὶ τελείαν ἀποβολὴν ποιήσηται τούτου οὐδὲ ἐκτὸς τῆς ἐπ' αὐτοῦ ἐνοχῆς ἑαυτὸν ἀποκαταστήσῃ, ἀλλὰ μόνην ἀναβολὴν τοῦ καιροῦ ποιήσηται καὶ ὑπέρθεσιν· οἷον ἐὰν ἀπαιτούμενος τὸ πρᾶγμα τὸν φεβρουάριον μῆνα δείξῃ, ὅτι οὐχὶ κατὰ τὸν φεβρουάριον ἀλλὰ κατὰ τὸν ἐπερχόμενον αὔγουστον ὀφείλει ἀποδοῦναι αὐτό. διηνεκὴς δὲ παραγραφὴ λέγεται, ὅταν ὁ ἐναγόμενος περί τινος πράγματος ἐντελεστάτην ἀπολογίαν ποιήσηται, καὶ δείξῃ, ὅτι οὐδόλως ὀφείλει ἐπὶ τούτῳ ἐνέχεσθαι[43].

λθ'. Ἐν ταῖς προσκαίροις παραγραφαῖς συντεταγμένον ἐστὶ καὶ τοῦτο[44] τὸ κεφάλαιον· ζητεῖ τις πρᾶγμα ἀπὸ τοῦ κατέχοντος τοῦτο, οὐχ ὡς ἑαυτῷ ὀφεῖλον ἀποδοθῆναι, ἀλλ' ὡς οἰκεῖον ἑτέρου καὶ ἵνα παραφυλάσσῃ τὸ πρᾶγμα ἐπὶ τὸ ἀποδοθῆναι αὐτό[45]. ὁ δὲ ἀπαιτούμενος τοῦτο ὁμολογῶν καὶ ἔχειν τὸ πρᾶγμα καὶ ἔνοχος εἶναι περὶ τὴν τούτου ἀπόδοσιν ἀναβάλλεται ἀποδοῦναι αὐτὸ, καὶ λέγει ὑπερτίθεσθαι τὴν ἀπόδοσιν ἔστ' ἂν ὁ κύριος τοῦ πράγματος παραγένηται[46].

---

[40] Att. XXVIII (40). [41] Att. XXX (45). [42] Att. ibid. [43] Att. XXXI (47).
[44] B τὸ τοιοῦτο. [45] B αὐτῷ. [46] Att. ibid.

μ'. Παραγραφὴ λέγεται καὶ ὅταν ἓν τῶν ἀντικρινομένων μερῶν εἴπῃ καὶ πρὸ τῆς ἐφεστώσης κρίσεως παρ' ἑτέρῳ δικαστῇ κριθῆναί τε καὶ ἀθωωθῆναι· καὶ ἀπαιτεῖται ὁ τὴν τοιαύτην εἰσάγων παραγραφὴν ἀποδεικνύειν αὐτήν[47].

μα'. Αἱ παραγραφαὶ παρὰ τῶν ἐναγομένων προσώπων γίνονται· οἱ ἐνάγοντες γὰρ ἢ οὐδόλως ἢ δυσκόλως δύνανται εἰσάγειν παραγραφήν. ὅταν δὲ τοῦ ἐναγομένου ποιοῦντος παραγραφὴν ὁ ἐνάγων πάλιν ποιῇ ἐπὶ ταύτην ἑτέραν παραγραφὴν, τότε παραγραφὴ καὶ ἀντιπαραγραφὴ τὸ γινόμενον ὀνομάζεται. ἐστὶ δὲ τοῦτο τοιοῦτον· ἐνάγει τὶς κατά τινος περὶ πράγματος καὶ ἀπαιτεῖ τὸ πρᾶγμα ἐξ ἐκείνου λαβεῖν· ὁ δὲ διενίσταται καὶ λέγει ἐπὶ τῷ πράγματι μὴ ἐνέχεσθαι, καὶ ποιεῖ εἰς τοῦτο παραγραφὴν, λέγων τυχὸν ὡς, ὅπερ ἀπαιτεῖς ἐξ ἐμοῦ, οὐκ ὀφείλω ἀλλ' ἀποδέδωκα, ἢ οὐκ ὀφείλω ἀλλὰ τὸ σύμφωνον ὃ ἐμφανίζεις ὡς παρ' ἐμοῦ γεγονὸς δόλῳ ἢ βίᾳ ἐγένετο· ἀντιτίθησί γουν ὁ ἐνάγων πρὸς τοὺς λόγους αὐτοῦ, ὅτι οὐκ ἀποδέδωκας, ἢ ὅτι καθαρῶς τὸ σύμφωνον γέγονε, καὶ οὐ μετὰ δόλου ἢ βίας ὡς λέγεις σύ· καὶ ἐστὶ τοῦτο ἀντιπαραγραφὴ πρὸς τὴν προτέραν γινομένην παραγραφὴν, καὶ ἀπαιτεῖται ἕκαστος ὃ λέγει ἀποδεικνύειν, καὶ οὕτω διὰ τῶν ἀποδείξεων αὐτῶν ἡ ὑπόθεσις λύεται. καὶ τοιοῦτο μέν ἐστιν ἡ παραγραφὴ, τοιοῦτο δὲ καὶ ἡ πρὸς ταύτην ἀντιπαραγραφή[48].

μβ'. Περιγραφὴ δὲ καὶ περιγράφειν καὶ περιγράφεσθαι λέγεται μὲν τότε, ὅταν δύο προσώπων ποιούντων πρὸς ἀλλήλους συνάλλαγμα εἷς τὸν ἕτερον ἀπατήσῃ καὶ ζημιώσῃ ἐπιτηδείως μετά τινος δολιότητος.

μγ'. Οἱ πρεσβευταὶ, ἤγουν οἱ λεγόμενοι παρὰ τοῖς κοινοῖς ἀποκρισιάριοι, ἱεροὶ νομίζονται εἶναι, καὶ τὴν ἐλευθερίαν ὀφείλουσιν ἔχειν παρ' οἷς πρεσβεύουσιν, εἰ καὶ πόλεμος εἴη τυχὸν μεταξὺ τούτων καὶ τῶν ἀνδρῶν παρ' ὧν ἀπεστάλησαν[49].

μδ'. Οἱ μὲν ἕτεροι παιδευταὶ, ἤγουν οἱ τῶν μαθημάτων διδάσκαλοι καὶ τῶν ἐλευθερίων καὶ ἀνεπιλήπτων τεχνῶν, οἷον ἰατροὶ, γραμματικοὶ, γεωμέτραι καὶ ῥήτορες, ὑπὲρ ὧν διδάσκουσι σπουδασμάτων λαμβάνουσι τὸ ἀνῆκον παρὰ τοῦ ἄρχοντος. οἱ ἐξορκίζοντες δὲ καὶ ἐπικαλοῦντες, ἤγουν οἱ ταῖς γοητείαις καὶ ταῖς ἐπῳδαῖς χρώμενοι, οὔτε συναριθμοῦνται τοῖς ἰατροῖς, εἰ καὶ δοκοῦσί τινας ἐκ τῆς αὐτῶν μεταχειρίσεως ὠφε-

---

[47] Att. XXXI (47). [48] Att. ibid. [49] Att. XXXIII (49).

λεῖν, οὔτε λαμβάνουσί τι. οὐ γὰρ κρίνονται ὡς τεχνῖται, ἀλλ' ὡς κακοτεχνίαν ἢ ματαιοτεχνίαν ἐπιτηδεύοντες[50].

με'. Οἱ δὲ φιλόσοφοι τάττονται μὲν πρὸ πάντων τῶν παιδευτῶν διὰ τὴν τῆς σοφίας ὑπεροχὴν, ἀλλ' ὅμως οὐ λαμβάνουσί τι, διότι χρημάτων καταφρονεῖν ὀφείλουσι[51]. καὶ παρὰ τῷ νόμῳ οὕτω ῥητῶς· τὸ μὲν γὰρ χρῆμά* ἐστιν ἱερὸν, καταφρονεῖν δὲ χρημάτων ὀφείλουσι. καὶ οἱ ἐξηγηταὶ δὲ τῶν νόμων τοῖς παιδευταῖς τῶν μαθημάτων συντάττονται[52], οὐκ ὀφείλουσι δὲ οὐδὲ οὗτοι ὑπὲρ τῆς τῶν νόμων σπουδῆς χρήματα εἰς μισθοὺς ἀπαιτεῖν. εἴτι δὲ ἐν ἀρχῇ δοθῇ πρὸς αὐτοὺς, τοῦτο λαμβάνειν παρά τινος οὐ κωλύονται, καὶ ἐστὶ τὸ μὲν ἄλλους τούτοις διδόναι καὶ τὸ λαμβάνειν αὐτοὺς ἀνεύθυνον, τὸ δὲ ἀπαιτεῖν οὐκ ἀνεύθυνον, ὥσπερ εἰσὶ καὶ ἄλλα τινὰ διδόμενα μὲν εὐπρεπῶς, οὐκ εὐπρεπῶς δὲ ἀπαιτούμενα. διὰ τοῦτο οὐδὲ κρίσις περὶ χρημάτων ἐστὶ τοῖς τῶν νόμων ἐξηγηταῖς, οὐδὲ δικάζει τὶς τούτοις ἐπὶ μισθῷ[53].

μς'. Τὰ προξενητικὰ ἢ οὐδόλως ἀπαιτοῦνται, ἢ πάνυ μετρίως, τουτέστιν ἐπὶ βραχεῖαν καὶ ὀλίγην ποσότητα. ἐπὶ δὲ τῶν γάμων εἰ μὲν γένηται συμφωνία περὶ αὐτῶν, τουτέστι τῶν προξενητικῶν, ἡ συμφωνία κρατεῖ, καὶ ἀπαιτεῖται τοσοῦτον, ὁπόσον συνεφωνήθη, ἐὰν μὴ πάνυ εἴη ὑπέρογκον, τουτέστιν ἐὰν μὴ εἰς πολλὰ[54] πολλὴν ποσότητα περιΐσταται. τότε γὰρ ἡ συμπεφωνημένη ποσότης εἰς βραχύτερον μετριάζεται, τουτέστιν ἐλαττοῦται καὶ εἰς ποσότητα ὀλιγοτέραν συστέλλεται[55].

μζ'. Ἄδειαν ἔχουσι πάντες τοὺς προσαιτοῦντας ἀνερευνᾶν, καὶ ἐὰν εὕρωσι τούτους ὑγιεῖς καὶ νεάζοντας, προσάγειν καὶ ἐμφανίζειν τῷ δημοσίῳ, ὥστε αὐτοὺς εἰς δουλείας τὰς προσηκούσας καὶ δικαίας ἐκδίδοσθαι, καὶ μὴ ἀργοὺς διατρίβειν καὶ δίχα τῆς πρεπούσης ἐργασίας περιπολεῖν[56].

μη'. Ὁ περισσοπρακτήσας, ἢ περισσὸν καὶ ὑπὲρ τὸ τεταγμένον ἀπαιτήσας ἀπό τινος, ἀναγκάζεται τῷ περισσοπρακτηθέντι ἤγουν τῷ τὸ περισσὸν ἀπαιτηθέντι ἀποδιδόναι εἰς τὸ διπλάσιον τὸ περισσοπρακτηθέν. εἰ δὲ οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς καὶ τρὶς εὑρεθῇ περισσοπρακτῶν, καὶ οὐδὲ μετ' ἐπιφώνησιν τοῦ οὕτω ποιεῖν ἀποστῇ, κεφαλικῶς τιμωρεῖται[57].

---

[50] Att. XXIII (49). [51] B ἐπαγγέλλονται. * Lege πρᾶγμα. [52] A ὀφείλονται. [53] Att. ibid. [54] Videtur addendum ἤγουν. [55] Att. XXIII (50). [56] Att. ibid. — Caeterum hoc caput in B deest, qui ejus loco haec habet: περὶ προσαιτῶν ὑγιῶν ἐν τοῖς εἰς τὸ ν' στοιχεῖον δεδήλωται. [57] Att. XXXIII (52)

μθ'. *Προτιμὰς*[58] ὁ νόμος τὰς ποινὰς πολλάκις καλεῖ.

ν'. Ἐν τῷ *παλαίειν* ἢ ἄλλως πῶς ἐν θεάτρῳ διαγωνίζεσθαι ὁ τὸν ἀντίπαλον τραυματίσας ἢ καὶ τυχὸν ἀνελὼν, εἰ μόνον μὴ ἐκ προμελετήσεώς τινος ποιήσει τοῦτο καὶ δολιότητος, οὐδεμιᾷ ἐνέχεται ἀγωγῇ. ὁ δὲ μετὰ τὸ ἡττηθῆναι, ἤγουν νικηθῆναι ὑπ' αὐτοῦ τὸν ἀντίπαλον, τραυματίζων αὐτὸν ἢ κατὰ ἄλλον τρόπον βλάπτων ἐνέχεται. πολλάκις δὲ οἱ τοιοῦτοι καὶ τῷ ἀκουϊλίῳ νόμῳ ὑπάγονται[59].

να'. *Ποινάλιοι* λέγονται ἀγωγαὶ, ἐξ ὧν ὑποπίπτειν ποιναῖς οἱ καταδικαζόμενοι κινδυνεύουσιν. ὅταν γοῦν κινηθῇ κατά τινος ποινάλιος ἀγωγὴ, ἔπειτα μὴ λαβούσης πέρας τῆς δίκης τελευτήσει αὐτὸς καὶ ἀφήσει κληρονόμους γνησίους, ἐνέχονται οἱ κληρονόμοι αὐτοῦ ἀπολογεῖσθαι ὑπὲρ τῶν τοιούτων ἀγωγῶν· ὅταν δὲ οὐδόλως ἐν τῇ ζωῇ τοῦ κληρονομουμένου κινηθῶσιν αἱ ποινάλιοι ἀγωγαὶ, μετὰ θάνατον τούτου οὐκ ἔχει τὶς ἄδειαν κατὰ τῶν κληρονόμων αὐτοῦ ποιναλίους κινεῖν ἀγωγάς[60].

νβ'. Ὁ *πλαστοῖς* μέτροις χρώμενος ἤγουν ὁ μέτρα παράγων ἕτερα παρὰ τὰ διατεταγμένα εἰς τὸ κοινὸν, ὑπὸ τῶν τοῦ δημοσίου ἀρχόντων ἐξορίᾳ δικάζεται ἤτοι[61] καταδικάζεται[62].

νγ'. Ὁ ποιήσας *πλαστῶς* κέλευσίν τινος ἄρχοντος καὶ διὰ ταύτης διασείσας τινὰ, εἰ μὲν μέχρι τοῦ διασεισμοῦ ἀρκεσθῇ καὶ οὐδὲν πλέον ποιήσει τῷ παρὰ τούτου ἐνοχλουμένῳ, ἀναδίδωσιν ἤγουν ἀντιστρέφει, ὅπερ ἐξ αὐτοῦ ἔλαβε, καὶ διὰ λόγου ἢ μετρίων πληγῶν σωφρονίζεται. εἰ δὲ καὶ ἐπιπλέον ἐπεκτανθείη ἡ παρὰ τούτου ἐπίθεσις, καὶ εἰς καταδίκην τυχὸν ἢ ἔγκλημα ὑπάγει τινὰ διὰ τῆς τοιαύτης πλαστῆς κελεύσεως, τῷ τῶν συκοφαντῶν νόμῳ καὶ αὐτὸς καθυπόκειται καὶ ὡς ποιήσας συκοφαντίαν εὐθύνεται[63].

νδ'. Οἱ *περίεργοι* λέγονται καὶ κακότροποι· τὸ δὲ τῶν περιέργων ἔγκλημα τοιοῦτόν ἐστι· θέλει τὶς πολλάκις δανείσασθαι, δίδωσιν ὡς ὑποθήκην ἢ καὶ ἐνέχυρον οἰκεῖον πρᾶγμα τῷ δανειστῇ, μετὰ ταῦτα πρὸς ἄλλον δανειστὴν καὶ αὐτὸν τὸ αὐτὸ πρᾶγμα δίδωσιν ἢ ὑποτίθησιν ἢ ἀνταλλάττει ἢ διαπωλεῖ. καὶ τοῦτο περιεργία παρὰ τῷ νόμῳ καλεῖται, καὶ ὁ ποιήσας περιεργίαν τοιαύτην, ἐὰν μὲν ἰδιώτης ᾖ, τὴν εἰς μέταλλον τιμωρίαν ἔχει ποινὴν, ἐὰν δὲ ἔντιμος, τὴν πρόσκαιρον ἐξορίαν. πρόσκαιρος δὲ ἐξορία καλεῖται ἡ γενομένη ἐπὶ ὡρισμένῳ καιρῷ.

---

[58] An *πρόστιμα*? [59] Att. XXXV (55). [60] Att. XXXV (56). [61] Verba *δικάζεται ἤτοι* in B desunt. [62] Att. XXXV (59). [63] Att. XXXV (61).

ἐαν δὲ ὁ τοιοῦτος περίεργος ἑτοίμως ἔχῃ τὰ χρέη πᾶσιν ἀποδιδόναι τοῖς δανεισταῖς, ἀπαλλάττεται τοῦ ἐγκλήματος, ἤγουν ἐκ τῆς κατηγορίας τῆς διὰ τὴν περιεργίαν ἐλευθεροῦται[64].

νε΄. Περίεργοι οἱ λεγόμενοι καὶ κακότροποι οὔτε ποιναλίαις καταδίκαις ἐνέχονται[65], ἤγουν ταῖς ποινὰς ἐχούσαις ἐπαγομένας, οὔτε χρηματικαῖς, ἤγουν ταῖς χρημάτων ζημίαις ὑποκειμέναις, οὔτε ἀτιμοποιοῖς οὔτε τισὶ τῶν ἐπί τινι τούτων ἀγωγῶν ὑποβάλλεται, ἀλλὰ ἐκστραορδιναρίαν ἐπεξέλευσιν ἔχει[66].

νϛ΄. Δεῖ δὲ εἰδέναι, ὅτι ποινὴ παρὰ τῷ νόμῳ πολλάκις καὶ ἡ ἐπὶ τῷ γεγονότι πλημμελήματι ἑτεροία ἐπεξέλευσις, καὶ ἡ ζημιοῦσά τι κατὰ λόγον προστίμου καὶ ἡ εἰς τὸ διπλοῦν κατὰ τὸν ἀκουΐλιον νόμον ἀπαιτοῦσα, καὶ κατὰ τὰ σημαινόμενα τῆς ποινῆς καὶ αἱ ἀπὸ τῆς ποινῆς ὀνομαζόμεναι ποινάλιαι καταδίκαι καὶ ἀγωγαί· ἐξστραορδιναρία δὲ ἐπεξέλευσις καὶ ἡ εἰς ἐξορίαν ἐπάγουσα καὶ ἡ ἐξ ἀποφάσεως τοῦ δικαστοῦ χωρὶς ἀντιλογίας τινός.

νζ΄. Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν θελήσει καὶ προαιρέσει, τῶν γονέων δὲ τῆς κόρης μὴ γινωσκόντων ἃ ἡ θυγάτηρ τούτων ποιεῖ, ὕστερον φαινομένης τῆς πράξεως, εἰ μὲν ὁ ἀνὴρ καὶ ἡ κόρη καὶ οἱ γονεῖς ἀμφοτέρων συναινοῦσι γάμον γενέσθαι, γινέσθω· εἰ δὲ ἓν μέρος τῶν γονέων ἑκατέρου προσώπου, ἤγουν τῶν δύο δηλαδὴ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, οὐ θελήσει γενέσθαι τὸν γάμον, εἰ μὲν εὔπορός ἐστιν ὁ ἀνὴρ καὶ πλοῦτον ἱκανὸν καὶ χρήματα ἔχει, διδότω τῇ παρ᾽ αὐτοῦ φθαρείσῃ κόρῃ λίτραν χρυσίου μίαν· εἰ δὲ πτωχὸς ὑπάρχει καὶ ἐνδεὴς, τὸ ἥμισυ τῆς περιουσίας αὐτοῦ τῇ κόρῃ διδόσθω. εἰ δὲ παντελῶς ἄπορος ὁ τοιοῦτός ἐστι, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω[67].

νη΄. Ὁ πορνεύων, εἰ μὲν ἔχει γυναῖκα, διὰ ιβ΄ ἀλλακτῶν, τουτέστι δαρμῶν ἢ παρὰ τοῖς κοινοῖς[68] λεγομένων μαγκλαβίων, σωφρονιζέσθω· εἰ δὲ μὴ ἔχει γυναῖκα, διὰ ϛ΄ ἀλλακτῶν. εἰ δὲ καὶ γυναῖκα ἔχει καὶ τῇ ἰδίᾳ μίγνυται δούλῃ, ἐπιπλέον τυπτόμενος σωφρονιζέσθω, καὶ ὁ κατὰ τόπους ἄρχων τὴν δούλην ἐκ τοῦ τοιούτου δεσπότου λαμβάνων εἰς ἄλλην ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τουτέστι πωλείτω, καὶ τὸ τίμημα ταύτης διδότω τῷ δημοσίῳ[69].

---

[64] Att. XXXV (64). [65] B *ἐνέχεται*. — Fortasse recte, ut initio legendum sit: *Περίεργος ὁ λεγόμενος καὶ κακότροπος*. [66] Syn. *K*, 1 ex Bas. LX, 30, 1. [67] Att. XXXV (70). [68] A *τῶν κοινῶς*. [69] Att. ibid.

νθ΄. Ὁ πορνεύων εἰς ἀλλοτρίαν δούλην, ἐὰν μὲν εὔπορος ᾖ ἤγουν πλούσιος, διδότω τῷ δεσπότῃ τῆς δούλης νομίσματα λς΄· εἰ δὲ εὐτελὴς καὶ ἄπορος εἴη, τυπτέσθω, καὶ ἀπὸ τοῦ βίου αὐτοῦ διδότω κατὰ ἀναλογίαν πρὸς τὰ λς΄ νομίσματα καθὼς εὐπορεῖ[70].

ξ΄. Ὁ δύο γυναῖκας πειραθεὶς ἔχειν ὑπόκειται τῷ τῆς μοιχείας ἐγκλήματι. ἐὰν δὲ ἡ ὕστερον συναφθεῖσα αὐτῷ οὐ γινώσκῃ, ὅτι ἑτέραν γυναῖκα νόμιμον ἔχει ὁ ἀνὴρ ὁ ταύτην λαβών, συγγνώμης ἀξιωθήσεται καὶ οὔτε μοιχείᾳ οὔτω ἄλλῳ τινὶ κατηγορηθήσεται[71].

ξα΄. Τῷ περὶ πλαστογραφίας ὑπόκειται νόμῳ καὶ ὁ ποιήσας πλαστὰ ἐκμαρτύρια, ἤγουν γράμματα πλάσας παρά τινων ὡς δῆθεν μαρτύρων πεπιστωμένα, καὶ ὁ πλάσας διαθήκην τινὰ ἢ ἐκδεδωκὼς ἢ ὑποβαλὼν εἰς ἀνάγνωσιν (ὑποβαλεῖν δὲ διαθήκην ἐστὶ τὸ διά τινος ἑτέρου προσώπου μετὰ ῥᾳδιουργίας καὶ δολιότητος οἰκονομῆσαι διαθήκην ἐμφανισθῆναι)· καὶ ὁ χρήματα λαβὼν καὶ συμφωνήσας συνθεῖναι κατηγορίαν κατὰ ἀνευθύνων ἤγουν ἀθώων ἀνθρώπων ἢ μαρτυρίαν ψευδῆ· καὶ ὁ ἐν χάρτῃ τινὶ ἢ ξέσας τὸ γεγραμμένον ἢ τὸ μὴ γεγραμμένον προσθείς· καὶ ὁ ἀνοίξας τὴν τοῦ ζῶντος διαθήκην (πολλάκις γάρ τινες ποιοῦσι διαθήκην καὶ ἔτι ζῶντες)· καὶ ὁ τὰ δικαιώματα τὰ παρακαταθέντα αὐτῷ, ἤγουν πρὸς φυλακὴν δοθέντα παρά τινος, τῷ ἀντιδίκῳ προδούς. ἁπλῶς δὲ πάντες οἱ τῇ πλαστογραφίᾳ καὶ τῷ ταύτης ἐγκλήματι ἐνεχόμενοι τιμωρίαν ἔχουσι περιορισμὸν καὶ τελείαν δήμευσιν. εἰ δὲ καὶ δοῦλος εἴη ὁ εὑρεθεὶς τὴν πλαστογραφίαν ποιῶν, ἐσχάτῃ τιμωρίᾳ ὑπόκειται, τουτέστι τῇ διὰ ξίφους κεφαλικῇ[72].

ξβ΄. Πατριάρχης[73] ἐστὶν εἰκὼν χριστοῦ ἔμψυχος δι᾽ ἔργων καὶ λόγων ἐν ἑαυτῇ[74] χαρακτηρίζουσα τὴν ἀλήθειαν.

ξγ΄. Σκοπὸς τῷ πατριάρχῃ, πρῶτον μέν, οὓς ἐκ θεοῦ παρέλαβεν, εὐσεβείᾳ καὶ σεμνότητι βίου διαφυλάξαι, ἔπειτα δέ, καὶ πάντας τοὺς αἱρετικοὺς κατὰ τὸ δυνατὸν αὐτῷ πρὸς τὴν ὀρθοδοξίαν καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας ἐπιστρέψαι (αἱρετικοὶ δὲ τοῖς νόμοις καὶ τοῖς κανόσι καλοῦνται οἱ τῇ καθολικῇ μὴ κοινωνοῦντες ἐκκλησίᾳ), ἔτι δὲ καὶ τοὺς ἀπίστους διὰ τῆς λαμπρᾶς καὶ περιφανεστάτης καὶ θαυμασίας αὐτοῦ πράξεως ἐκπλήττων μιμητὰς ποιῆσαι τῆς πίστεως.

---

[70] Att. XXXV (70). [71] Att. ibid. [72] Att. XXXV (72). [73] Capita 63—67 ex Epanagoge tit. III c. 1—4 et 8 intrusa sunt. [74] A ἑαυτῷ.

ξδ'. Τέλος τῷ πατριάρχῃ ἡ τῶν καταπεπιστευμένων αὐτῷ ψυχῶν σωτηρία, καὶ τὸ ζῆν μὲν χριστῷ, ἐσταυρῶσθαι δὲ τῷ κόσμῳ.

ξε'. Ἴδια πατριάρχου τὸ εἶναι διδακτικὸν, τὸ πρὸς πάντας ὑψηλούς τε καὶ ταπεινοὺς ἀστενοχωρήτως ἐξισοῦσθαι, καὶ πρᾶον μὲν εἶναι πρὸς ἅπαντας τοὺς ἐντυγχάνοντας κἀν ταῖς διδασκαλίαις, ἐλεγκτικὸν δὲ πρὸς τοὺς ἀπειθοῦντας, ὑπὲρ δὲ τῆς ἀληθείας καὶ τῆς συντηρήσεως τοῦ δικαίου καὶ τῆς εὐσεβείας λαλεῖν ἐνώπιον βασιλέως καὶ μὴ αἰσχύνεσθαι.

ξϛ'. Τῆς πολιτείας ἐκ μερῶν καὶ μορίων ἀναλόγως τῷ ἀνθρώπῳ συνισταμένης, τὰ μέγιστα καὶ ἀναγκαιότατα μέρη βασιλεύς ἐστι καὶ πατριάρχης. διὸ καὶ ἡ κατὰ ψυχῶν καὶ σωμάτων τῶν ὑπηκόων εἰρήνη καὶ εὐδαιμονία βασιλείας ἐστὶ καὶ ἀρχιερωσύνης ἐν πάσῃ ὁμοφροσύνῃ καὶ συμφωνίᾳ.

ξζ'. Πλαστόν ἐστι καὶ τὸ μιμήσασθαι χειρόγραφον ἑτέρου (χειρόγραφον δέ ἐστι γράμμα ἄλλου δι' οἰκείων ἐκείνου χειρῶν γραφέν)· καὶ τὸ διαῤῥῆξαι καὶ τὸ μεταγράψαι καὶ τὸ ξέσαι χειρόγραφον ἄλλου πλαστόν ἐστιν[75].

ξη'. Ὑπόκειται τῷ πλαστῷ καὶ ὁ διὰ πλαστοῦ συνθήματος τῷ δρόμῳ χρησάμενος, τουτέστιν ὁ διὰ πεπλασμένου σημείου τινὸς καὶ τεκμηρίου, ἤγουν συμβόλου καὶ ὡς οἱ κοινοὶ λέγουσι σημαδίου, διανύσας τὸν δρόμον· καὶ ὁ σφραγῖδα πλαστὴν ποιῶν ἢ γλύφων· καὶ ὁ προχρονίζων[76] τὴν ἡμέραν τῷ συμβολαίῳ μονομερῶς, τουτέστιν ὁ πρὸ τῆς τεταγμένης ἡμέρας, καὶ ἣν ὡρισμένην ἔχει μετὰ ἄλλου τινὸς εἰς τὸ ποιῆσαι συμβόλαιον, προλαμβάνων καὶ μονομερῶς χωρὶς τοῦ συμφωνήσαντος μετ' αὐτοῦ ποιῶν τὸ συμβόλαιον[77].

ξθ'. Ὁ ἐν ὑπομνήμασιν ἢ λιβέλλοις ἤγουν ἐγγράφοις κατηγορίαις ἢ ἑτέραις ἐγγράφοις ἐκθέσεσι συναρπάζων ἄρχοντα ἐπί τισιν ὑποθέσεσι, καὶ ὁ ἐν δεήσει, ἣν αὐτὸς ποιεῖ δηλαδὴ, μὴ λέγων τὸ ἀληθὲς, καὶ τῷ πλαστῷ ὑπόκειται, καὶ ἐὰν γένηται τούτῳ ἀντιγραφὴ, ἤγουν πρὸς τὴν δέησιν καὶ τὴν ὑπόμνησιν αὐτοῦ ἐπίλυσις ἔγγραφος, ἐξ αὐτῆς οὐδὲν ὠφελεῖται. ὑπόκειται τῷ πλαστῷ καὶ ἡ ὑποβάλλουσα παιδίον ἀλλότριον ὡς οἰκεῖον[78].

ο'. Ὁ πλαστὴν εἰπὼν διαθήκην καὶ ἡττηθεὶς, οὐδὲν ὅλως ἐκ ταύτης κερδαίνειν δύναται[79].

---

[75] Att. XXXV (72). [76] A προχειρίζων. [77] Att. ibid. [78] Att. ibid. [79] Att. ibid.

οα΄. Ὁ πλαστὸν ποιήσας, εἶτα λέγων, ὅτι οὐ χρῆται αὐτῷ εἰς βοήθειαν, καὶ τῇ ἐξ αὐτοῦ βοηθείᾳ ἀπαγορεύων, οὐδὲ συγγινώσκεται[80] ἤγουν συγγνωμονεῖται καὶ συγχωρεῖται[81].

οβ΄. Ὁ πλαστὸν προκομίζων, εὑρὼν τοῦτο γεγονὸς ἐξ ἄλλου καὶ εἰς περιουσίαν κείμενον ἄλλου, καὶ λέγων μηδὲ χρῆσθαι αὐτῷ εἰς βοήθειαν, συγγινώσκεται καὶ οὐχ ὑπάγεται ταῖς τιμωρίαις, αἷς οἱ τὰ πλαστὰ ποιοῦντες ὑπόκεινται[82].

ογ΄. Ἡ περὶ τοῦ πλαστοῦ ἀγωγὴ καὶ χρηματικῶς κινεῖται καὶ ἐγκληματικῶς, καὶ ὁ κινῶν ταύτην ἐπιλογὴν ἔχει, τουτέστιν δύναται καὶ ἐνδεδομένον ἐστὶν αὐτῷ ἐκλέξασθαι, ὅπως ἂν θέλῃ κινῆσαι τὴν περὶ τοῦ πλαστοῦ, καὶ ἢ χρηματικῶς ἢ ἐγκληματικῶς διεκλέξαι αὐτό[83].

οδ΄. Προτείνεται πολλάκις συμβόλαιον, τουτέστιν ἔγγραφον σύμφωνον, καὶ προτείνεται τοῦτο παρά τινος εἰς οἰκείαν αὐτοῦ βοήθειαν· ἄλλος δὲ πάλιν λέγει τοῦτο πλαστὸν, καὶ ἀντιπίπτων ἀθετεῖν πειρᾶται καὶ ἀποβάλλεσθαι. ὅταν οὖν γένηται τοῦτο, πρότερον δεῖ ζητεῖν τὰς ἀποδείξεις τὰς εἰς σύστασιν ἀφορώσας τοῦ συμβολαίου παρὰ τοῦ προκομίζοντος τὸ συμβόλαιον, καὶ μετὰ ταύτας καταναγκάζειν τὸν πλαστὸν αὐτὸ λέγοντα ἀποδεῖξαι τοῦτο, ὃ λέγει, καὶ παραστῆσαι, ὅτι πλαστόν ἐστι τὸ συμβόλαιον[84].

οε΄. Πολλοὶ τοσαύτην ὑπομονὴν καὶ δυσκληρότητα ἤγουν καρτερίαν καὶ σκληροψυχίαν πρὸς τὰς ἐπαγομένας βασάνους ἔχουσιν, ὥστε περιφρονεῖν ταύτας καὶ μηδεμίαν ἐκφωνεῖν διὰ ταύτας ἀλήθειαν. ἄλλοι δὲ πάλιν τοσοῦτον τὰς βασάνους φοβοῦνται καὶ εἰσὶν ἀκαρτέρητοι, ὥστε καὶ ψεύδεσθαι προαιρεῖσθαι ἢ θέλειν ὑπομεῖναι βασάνους παντοιοτρόπους. καὶ διὰ τοῦτο πρέπει τὸν δικαστὴν οὔτε πιστεύειν οὔτε ἀπιστεῖν πάντοτε ταῖς τῶν βασανιζομένων συγκαταθέσεσιν ἢ ἀρνήσεσιν, οὐδὲ ἐὰν ἐχθροὶ πολλάκις ὦσι τῶν ἀνθρώπων ἐκείνων, καθ' ὧν εἰπεῖν βασανίζονται, καὶ καθ' ὧν ἢ λέγουσιν εὐχερῶς ἢ μηδὲ μετὰ βίας καὶ ἀνάγκης λέγουσιν[85].

ος΄. Ὁ πλαστὴν μονίταν ποιῶν μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθω. ὁ δὲ δεσπότης τοῦ ἀγροῦ ἢ τοῦ οἴκου, ἐν ᾧ ταῦτα γέγονεν, εἰ φανείη συνειδὼς τῷ γενομένῳ, περιορισμῷ καὶ δημεύσει τῆς ὅλης οὐσίας ὑποβληθήσεται· εἰ

---

[80] B hinc aberrat ad eandem vocem in c. 72 obviam, ita ut intermedia omittat. [81] Att. XXXV (72). [82] Att. ibid. [83] Att. ibid. [84] Att. ibid. [85] Att. XXXV (77).

δὲ ἀγνοεῖ, ἡ οἰκία ἢ ὁ ἀγρὸς δημευέσθω· εἰ δὲ ἐξ ἀρχῆς μὲν ἀγνοεῖ, ὕστερον δὲ γνωρίσας καταμηνύσει, παντελῶς διατηρεῖται ἀζήμιος. μονίτα δὲ καλεῖται τὸ ἀρχέτυπον σφραγιστήριον ἢ βουλλωτήριον, μεθ᾽ οὗ ὁ τῶν νομισμάτων τύπος διαχαράττεται[86].

οζ΄. Τῶν ποινῶν αἱ μὲν θάνατον ἐπάγουσιν, αἱ δὲ δουλείαν, αἱ δὲ πολιτείας ἔκπτωσιν, αἱ δὲ ἐξορίαν, αἱ δὲ σωφρονισμὸν εἰς σῶμα, ἤγουν πληγὰς καὶ δαρμοὺς, ἢ δεσμοὺς, ἢ ζημίαν σὺν ἀτιμίᾳ, ἢ στέρησιν ἀξίας τινὸς, ἢ πράγματος κώλυσιν[87].

οη΄. Ποινὴ μετάλλου ἐστὶ τὸ καταδικασθῆναί τινα ἄσβεστον ποιεῖν ἢ θεῖον ἤγουν τεάφιον ὀρύττειν[88].

οθ΄. Αἱ πληγαὶ, ἤγουν οἱ κοινῶς λεγόμενοι δαρμοὶ, μείζονές εἰσιν, ἤγουν μεγαλώτεραι καὶ βαρύτεραι τῆς χρηματικῆς καταδίκης, τουτέστι τῆς διὰ χρημάτων ζημίας[89].

π΄. Τῶν περιοριζομένων τὰ πράγματα τῷ δημοσίῳ διαφέρουσι, τῶν δὲ ἐξορίστων ὑπὸ τὴν δεσποτείαν αὐτῶν μένουσιν[90].

πα΄. Ὁ μὲν περιορισμὸς τόπους* καθείργει, ἡ δὲ ἐξορία τόπου εἴργει[91].

πβ΄. Τὰ μετὰ τὴν καταδίκην ἐπικτώμενα, εἰ μὲν εἰς ἐξορίαν ὁ δημευθεὶς κατεδικάσθη, τοῖς γραφεῖσιν ὑπ᾽ αὐτοῦ κληρονόμοις ἢ τοῖς ἐξ ἀδιαθέτου ἁρμόζει· ὁ γὰρ εἰς νῆσον ἐξορισθεὶς ἔχει τοῦ διατίθεσθαι ἄδειαν, ὡς καὶ τὰ λοιπὰ δίκαια. εἰ δὲ περιορισμὸς γένηται, ἐπειδὴ τὴν πολιτείαν ἀπολύων οὐ δύναται κληρονόμους ἔχειν, καὶ τὰ ἐπικτηθέντα ὁ δημόσιος λαμβάνει[92].

πγ΄. Ὁ πάτρων τοῦ ἀπελευθέρου κατηγορῶν εἰς κεφαλικὸν ἔγκλημα, ἐκπίπτει τῆς ἐναντιώσεως τῆς κατὰ τῆς διαθήκης τοῦ τοιούτου ἀπελευθέρου, καὶ κληρονομεῖν ἐξ ἀδιαθέτου τοῦτον οὐ δύναται.

πδ΄. Ὧιτινι τὸ πλέον ἔξεστι, καὶ τὸ ἧττον ἔξεστιν.

ιδ΄. Περὶ πλησιότητος. — Ὅτι τῷ μὲν ἀτελεῖ ἤτοι ἀφήλικι τετραμηνιαῖος μετὰ τὴν διαμαρτυ[ρίαν τοῦ] δικαστοῦ τρέχει καιρὸς, ἵν᾽ ἐντὸς τούτου τὸ παρ᾽ ἑτέρου διδόμενον καταθέμενος τίμημα προτιμηθῇ· τῷ δὲ τελείῳ τριακονθήμερον μόνον· εἰσὶ δ᾽ οἱ καὶ τεσσαρακονθήμερόν φασιν.

---

[86] Att. XXXV (86). [87] Att. XXXV (78). [88] Att. ibid. [89] Att. ibid. [90] Att. ibid. * Malim *τόποις* sive *τόπῳ*, ut et Attalensis habet. [91] Att. ibid. [92] Att. XXXV (79).

πε΄. Ὅταν δοθῇ τινι προθεσμία, ἤγουν ἡμέρα τεταγμένη ἵνα μέχρις αὐτῆς παραγένηται, ἐὰν λίπῃ τυχὸν ἢ ἐὰν ἀποσταλῇ καὶ μέλλῃ πάλιν ὑποστραφῆναι, εἰς τὴν ὁδὸν ἑκάστῃ ἡμέρᾳ κ΄ ψηφίζονται μίλια.

πς΄. Προθεσμία δίδοται οὕτως· εἰ μὲν ἐν αὐτῇ τῇ ἐπαρχίᾳ, καθ᾽ ἣν ἡ κρίσις γίνεται, ἔχει τὰ πράγματα ὁ τὴν προθεσμίαν λαμβάνων, οὐ πλέον τῶν τριῶν μηνῶν δίδοται αὐτῷ προθεσμία, ἀλλ᾽ ἀναγκάζεται ἕως συμπληρώσεως μηνῶν γ΄ ποιῆσαι τὸ πρᾶγμα ἐκεῖνο, ὑπὲρ οὗ τὴν προθεσμίαν ἔλαβεν, οἷον μάρτυρας παραγαγεῖν ἢ προκομίσαι δικαίωμα ἢ ἄλλο τι τοιοῦτον. εἰ δὲ ἐν ἑτέρᾳ ἐπαρχίᾳ, δίδοται προθεσμία οὐ πλέον τῶν ς΄ μηνῶν. εἰ δὲ πολλάκις διὰ θαλάττης μέλλει ὁδεῦσαι ὁ τὴν προθεσμίαν λαμβάνων, ἵνα ποιήσῃ τὸ πρᾶγμα εἰς ὃ ἐδόθη αὐτῷ ἡ προθεσμία, μέχρι καὶ ἐννέα μηνῶν ἡ προθεσμία ἐπεκτείνεται. ἐπέκεινα δὲ τῶν θ΄ μηνῶν οὐ δίδοται[93].

πζ΄. Εἴ τις διὰ τὴν πολλὴν πενίαν καὶ τῆς ἐνδείας τῆς τροφῆς ἕνεκεν τὸν υἱὸν ἢ τὴν θυγατέρα πωλήσῃ, ἔῤῥωται ἡ πρᾶσις. ἐπὶ τούτου δὲ μόνον ἔρρωται, ἐφ᾽ ᾧ τὸν ἀγοράσαντα μὴ ἄλλως ἀναγκάζεσθαι ἀποδοῦναι ταῦτα τὰ πρόσωπα, ἐὰν μὴ ἢ τὸ τίμημα λάβῃ ὅσου εἰσὶν ἄξια νῦν, ἢ ἀνδράποδον αὐτοῖς ὅμοιον. ἐξέστω γὰρ αὐτῷ τῷ πεπρακότι ἢ τῷ πραθέντι ἢ εἴ τινι δήποτε ἑτέρῳ εἰς τὴν ἰδίαν εὐγένειαν ἐπαναλαβεῖν αὐτὸν, μόνον ἐὰν ἢ τὸ τίμημα προσφέρῃ, ὅσον ἰσχύει νῦν ὁ πραθεὶς[94], ἢ ἀνδράποδον ὑπὲρ τούτου παράσχῃ[95].

πη΄. Συνεφώνησά σοι τόσους κεράμους ποιῆσαί μοι τοῦ νομίσματος. εἰ μὲν σή ἐστιν ἡ ὕλη, ἐξ ἧς γίνονται, πρᾶσίς ἐστιν· εἰ δὲ ἐγὼ δέδωκα αὐτὴν, μίσθωσίς ἐστιν. ἐπὶ μὲν γὰρ τῆς πράσεως ἡ δεσποτεία τῆς ὕλης ἀμείβεται, ἐπὶ δὲ τῆς μισθώσεως τοῦ αὐτοῦ μένει[96].

πθ΄. Ἡ κατὰ δωρεὰν πρᾶσις ἀνυπόστατός ἐστιν[97].

ς΄. Ἐάν τις ὡς νεώνητον πωλήσῃ τὸν ἤδη δουλεύσαντα, ὑπόκειται τῇ ἀναστροφῇ. σπεύδουσι γὰρ οἱ ἄνθρωποι τοὺς νεωνήτους λαμβάνειν ὡς δυναμένους διδάσκεσθαι καὶ πρὸς τοὺς οἰκείους μεταποιεῖσθαι τρόπους[98].

ςα΄. Ἐὰν παρ᾽ ἐμοῦ κλέψῃ ὁ δοῦλός μου, οὐκ ἐστὶν ἀναγκαῖον ἐν τῇ πράσει τοῦτο προλέγειν, οὔτε ἐκ τούτου ἁρμόζει ἡ ἀναστροφή. εἰ δὲ εἶπον αὐτὸν μὴ εἶναι κλέπτην, ἐνέχομαι[99].

---

[93] Att. in App. [94] AB πράτης. [95] Syn. *Δ*, 3 ex Bas. XIX, 1, 91. [96] Syn. l. l. ex Bas. XIX, 1, 65. [97] Syn. *Δ*, 7 ex Bas. XIX, 5, 13. [98] Syn. *Δ*, 12 ex Bas. XIX, 10, 37. [99] Syn. l. l. ex Bas. XIX, 10, 52.

ϛβ΄. Ἐὰν πωλήσῃ τὶς φυγάδα δοῦλον μὴ ἀγνοήσας αὐτὸν φυγάδα εἶναι, κατέχεται εἰς τὴν τιμὴν καὶ εἰς τὴν ἔξωθεν γενομένην βλάβην[100].

ϛγ΄. Ἐάν τις τὸ ἴδιον πρᾶγμα ἐλαχίστου τιμήματος πωλήσῃ, δύναται τὸ τίμημα ἀναδιδοὺς λαμβάνειν τὸ ἴδιον πρᾶγμα. ἐλάχιστον δὲ τίμημά ἐστι τὸ μηδὲ εἰς ἡμίσειαν διατίμησιν ἀναφερόμενον ἤγουν σῶζον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λεῖπον τῷ δικαίῳ τιμήματι δοῦναι, ἤγουν ἐκλέξηται καὶ συγκατατεθῇ καὶ προκρίνῃ, δεῖ ἔχειν αὐτὸν τὸ πεπραμένον[101] πρᾶγμα[102].

ϛδ΄. Πρόπαππος λέγεται ὁ τοῦ πάππου πατὴρ, ὃν ἐπίπαππον καλοῦσί τινες[103].

ϛε΄. Πιγνερατικία ἐνοχὴ ἡ περὶ τῶν ἐνεχύρων ἐστίν[104].

ϛϛ΄. Ὁ διδοὺς παρακαταθήκην εἴπερ βούλεται τελείαν ἔχειν ἀσφάλειαν, λαμβανέτω μὲν καὶ γράμμα ἐκ τοῦ ἀνθρώπου ἐκείνου, πρὸς ὃν τὴν παρακαταθήκην διδόναι βούλεται· μὴ ἀρκείσθω δὲ μόνῳ τῷ γράμματι, ἀλλὰ καὶ μάρτυρας προσκαλείσθω σεμνοὺς καὶ ἀξιοπίστους[105].

ϛζ΄. Οἱ παῖδες τῶν παρανόμων πατέρων, οἷον τῶν ἀθεμίτους γάμους ποιούντων ἢ ἄλλο τὶ τοιοῦτο τολμώντων, ἀναγκάζονται καὶ κατακρινομένους τοὺς πατέρας αὐτῶν διατρέφειν τε καὶ οἰκονομεῖν. εἰ γὰρ καὶ παράνομοι οἱ πατέρες εἰσὶν, ἀλλ' ὅμως πατέρες μένουσιν[106].

ϛη΄. Ὁ παῖς τὸν πατέρα τρέφειν καταναγκάζεται, οὐ μὴν καὶ χρέος διδόναι ὑπὲρ αὐτοῦ[107].

ϛθ΄. Οἱ παῖδες εἰς τὸν πατέρα ἢ τὴν μητέρα πταίοντές τι, εἰς τὴν δημοσίαν εὐσέβειαν λέγονται σφάλλεσθαι, καὶ οὕτω παρὰ τοῦ νόμου καλοῦνται εἰς τὴν δημοσίαν εὐσέβειαν ἁμαρτάνοντες[108].

ρ΄. Παῖς τοὺς γονεῖς εἰπὼν γόητας, ἀνάξιος εἶναι στρατείας κρίνεται[109].

ρα΄. Τὰ ὡς μέρος ὅλῳ σώματι προστιθέμενα εἴκει αὐτῷ, ὡς ἀνδριάντι ποὺς ἢ χεὶρ ἢ σκύφῳ πυθμήν. τοῦτο δὲ τοιοῦτόν ἐστιν· εἶχέ τις εἶδος καὶ πρᾶγμά τι, καὶ λείπεται τὸ τοιοῦτο πρᾶγμά τινος ὀλίγου πρὸς τελειότητα· προστίθησιν

---

[100] Syn. *Α*, 12 ex Bas. XIX, 10, 66. [101] A et B *αὐτὸ τὸ πεπραμένον*. [102] Syn. l. l. ex Bas. XIX, 10, 72. [103] *Πρόπαππος* verbum in Syn. *Β*, 1 occurrit. [104] Non invenio locum Synopseos, ad quem auctor haec commentetur. [105] Syn. *Β*, 5 ex Bas. XXII, 4, 1. [106] Syn. *Γ*, 3 ex Bas. XXVIII, 6, 1. [107] Syn. *Γ*, 8 ex Bas. XXXI, 6, 5. [108] Syn. l. l. ex Basil. XXXI, 2, 1. [109] Syn. ibid.

ἄλλος τὸ λεῖπον καὶ ἀναπληροῖ τὸ εἶδος ὁλόκληρον· μετὰ ταῦτα τυχὸν γίνεται ζήτησις, τίνος ἔσται τὸ ἐξ ἀρχῆς εἶδος, καὶ τίνος το προστεθὲν τούτῳ εἰς ἀναπλήρωσιν· καὶ κελεύει ὁ νόμος τοῦ τὸ πλέον ἔχοντος εἶναι καὶ τὸ ἔλαττον. καὶ τοῦτό ἐστι τὸ εἴκειν τὰ μέρη τοῖς ὅλοις, τουτέστιν ὑποτάσσεσθαι καὶ ὑπὸ τὸν αὐτὸν δεσπότην, ὑφ᾽ ὅν εἰσι κἀκεῖνα, καὶ ταῦτα γίνεσθαι[110].

ρβ΄. Ὁ πένθιμος καιρὸς εἰς χρόνον ὁλόκληρον παρὰ τοῦ νόμου ὁρίζεται, καὶ ἕως τῆς αὐτοῦ συμπληρώσεως τῷ πενθεῖν ὀφείλοντι μέρει συνάλλαγμα ποιεῖν γαμικὸν οὐκ ἔξεστιν[111].

ργ΄. Οὐ δύνανται οὔτε πατέρες πρὸς μητρυιὰς οὔτε μητέρες πρὸς πατρῳοὺς ἢ ζῶντες ἢ μετὰ θάνατον φιλοτιμεῖσθαι ἐκ τῶν πραγμάτων τῶν τοῖς παισὶν αὐτῶν διαφερόντων, εἰ μὴ τόσον μόνον, ὁπόσον ἀνήκει εἰς μερίδα ἑνὶ παιδί. τοῦτο γὰρ μόνον ἔξεστιν αὐτῷ δωρεῖσθαι, ἐπέκεινα δὲ οὐκ ἔξεστιν. ἐστὶ δὲ μερὶς ἑκάστῳ παιδὶ κατὰ μὲν τοὺς παλαιοτέρους νόμους τῆς πατρικῆς ἢ μητρικῆς οὐσίας τὸ τέταρτον, κατὰ δὲ τοὺς νεωτέρους τὸ τρίτον αὐτῆς ἢ τὸ ἥμισυ[112].

ρδ΄. Προσωπικὴ διαδοχὴ λέγεται ἡ κληρονομία ἡ κατὰ πρόσωπον ἤγουν μίαν ἑκάστην κεφαλὴν ἐπίσης ἢ ἄλλως πως ἀναλόγως μεριζομένη. τὴν αὐτὴν δὲ πολλάκις τινὲς καὶ ἰν κάπιτα λέγουσιν.

ρε΄. Δεῖ πόλιν ἑκάστην τὴν ἰδίαν τέρψιν ἔχειν, καὶ μὴ μετακομίζεσθαι τὰ τῆς ἑτέρας εἰς ἑτέραν, μήτε ἄψυχα μήτε ἔμψυχα[113].

ρϛ΄. Περιοριζόμενοι, μεταλλιζόμενοι, ξίφεσιν ἢ θηρίοις ὑποβληθῆναι καταδικαζόμενοι οὔτε πρὸ τοῦ παθεῖν ταῦτα οὔτε μετὰ τὸ παθεῖν δύνανται διατίθεσθαι[114].

ρζ΄. Προικιμαῖον δοῦλον ἐλευθεροῦν δύναται ὁ ἀνὴρ[115], ἐὰν μόνον μὴ ἄπορος ᾖ μηδὲ χρεωστῇ πρός τινας δανειστάς[116].

ρη΄. Τότε εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται, ἤγουν εἰς τὸ φθάσαν εἰς αὐτὸν, καὶ οὐκ εἰς ὅλην τὴν τῷ ἁμαρτήματι ἀνήκουσαν ποινὴν, ὅτε οὐκ ἐξ οἰκείου δόλου, ἀλλ᾽ ἐκ τοῦ δόλου τοῦ τελευτήσαντος ἐνάγεται[117].

ρθ΄. Πατὴρ ἐξορισθεὶς καὶ τὴν κατὰ τῶν παίδων ἐξου-

---

[110] Syn. Δ, 4 ex Bas. L, 1, 25. [111] Syn. Δ, 7 ex Bas. XXVIII, 14, 1. — Caeterum verba *οὐκ ἔξεστι* in B desunt, et in A quoque a correctoria demum manu addita sunt. [112] Syn. Δ, 7 ex Bas. XXVIII, 14, 4. [113] Syn. Δ, 10 ex Bas. LIV, 37, 5. [114] Syn. Δ, 14 ex Bas. XXXV, 1, 9. [115] Verba *ὁ ἀνὴρ* in A correctoria manus addidit, in B desunt. [116] Syn. E, 15 ex Bas. XLVIII, 1, 21. [117] Syn. K, 2 ex Bas. II, 3, 44.

σίαν ἀφαιρεθεὶς καὶ στερηθεὶς ταύτης, καὶ ἀποκαταστὰς καὶ ἐκ τῆς ἐξορίας ἀνακληθεὶς, τὴν κατὰ τῶν παίδων ἐξουσίαν ἀναλαμβάνειν οὐ δύναται. οὐδὲ ἀναγκάζονται οἱ παῖδες προσπορίζειν αὐτῷ, οὐδὲ τὰ μητρικὰ αὐτῶν πράγματα εἰς χρῆσιν διδόναι τῷ τοιούτῳ πατρί[118].

ρι΄. Ἡ παραγγελία κωλύει τὸν παραγγελλόμενον, καὶ οὐ δύναται ὁ τὴν παραγγελίαν δεχόμενος ποιῆσαί τι μετὰ τὴν παραγγελίαν, εἰ μὴ πρότερον ζητήσει καὶ λάβῃ ἀπόλυσιν ἐπὶ τοῖς ἔργοις, ἐφ᾽ οἷς παρηγγέλθη. ὅταν δὲ ἡ ὑπέρθεσις ἤγουν ἡ τοῦ ἔργου ἀναβολὴ κίνδυνον ἐπιφέρῃ, τότε ἡ παραγγελία οὐ στέργεται, ἀλλ᾽ ὁ παραγγελλόμενος μηδὲν τῆς παραγγελίας φροντίσας τὸ οἰκεῖον ἔργον ἀποπληροῖ. πρόσχες, ὅτι οὐχ ἁπλῶς εἶπεν ὁ νομοθέτης ζημίαν ἀλλὰ κίνδυνον ἐπιφέρειν[119]. δῆλον γὰρ ὅτι εἰ μὲν ζημίαν τινὰ μετρίαν ἡ ὑπέρθεσις ἤγουν ἀναβολὴ καὶ περιεργία τῆς πράξεως προξενεῖ, ἀναγκάζεται ὁ παραγγελλόμενος τὴν παραγγελίαν φυλάττειν· εἰ δὲ ἐπιπλέον βλάπτει, ὥστε καὶ κίνδυνον ἐπάγειν, τὴν παραγγελίαν ἀθετεῖν καὶ τὸ ἔργον πληροῦν. ἡ δὲ λέξις αὐτὴ τῆς παραγγελίας δηλοῖ παρὰ τῷ νόμῳ τὴν ἐπιφώνησιν, ἥτις γίνεται, ὅταν ἄρξηταί τις ποιεῖν τι, καὶ βούληται ἄλλος κωλύσαι αὐτὸν, καὶ ἐπιφωνήσηται αὐτῷ μὴ ποιῆσαι τὸ ἔργον, ἀλλὰ ἀφεῖναι αὐτὸ[120], ἕως οὗ τυχὸν κινηθῇ ἡ περὶ τούτου ζήτησις καὶ γένηται τὸ δίκαιον. ἔχει δὲ ἐξ ἀνάγκης ὁ παραγγελλόμενος, κἄντε δικαίως κἄντε ἀδίκως γένηται ἡ παραγγελία, μόνον ἐὰν μὴ κίνδυνον ἐπιφέρῃ, στέργειν τὴν παραγγελίαν καὶ μὴ καταφρονεῖν ταύτης, μηδὲ ἐγχειρεῖν εἰς τὸ ἔργον, ἀφ᾽ οὗ παρηγγέλθη ἀπέχεσθαι[121].

ρια΄. Εἶχέ τις οἶκον, ἐβούλετο ἐπὶ τούτῳ ἢ πλησίον τούτου κτίσαι ἕτερόν τι, παρηγγέλθη ἀπέχεσθαι καὶ μὴ κτίζειν, μετὰ τὴν παραγγελίαν τὸν οἶκον πρὸς ἄλλον ἐπώλησεν, ὁ ἀγοράσας τὸν οἶκον ἔκτισεν, εἶτα κινεῖται ἡ τῆς παραγγελίας ἀθέτησις· ὁ νόμος ὁρίζει, ὡς εἰ μὲν ὁ ἀγοραστὴς ἐν εἰδήσει τῆς παραγγελίας ἐγένετο καὶ οὕτως ἀθετήσας αὐτὴν ἔκτισεν, αὐτὸς ἐνέχεται· εἰ δὲ μὴ γινώσκων ἔκτισεν, ὁ πωλήσας τὸν οἶκον ἐνέχεται. οὐ γὰρ προσώπῳ, ἀλλὰ πράγματι γίνεται ἡ παραγγελία. ὅθεν κατά τινας ὁ ἀγοραστὴς τοῦ οἴκου παντοιοτρόπως εἰς τὴν παραγγελίαν ἐνέχεται, κἄντε ἔφθασε γνῶναι κἄντε οὐκ ἔγνω[122].

---

118 Syn. *K*, 6 ex Bas. LX, 68, 13. 119 Reliqua hujus tituli B non habet; nec E, nisi quod ultima duo capita subjicit. 120 A *αὐτῷ*. 121 Syn. *K*, 3 ex Bas. LVIII, 10, 1. 6. 122 Syn. l. l. ex Bas. LVIII, 10, 25.

ριβ΄. Οἱ πραγματευταὶ ὀφείλουσιν ὑπὲρ τῶν πραγματειῶν, ὧν εἰς βαρβάρους ποιοῦσι, μὴ διδόναι χρυσίον, ἀλλὰ δι᾽ ἑτέρων ἀνταλλάττειν εἰδῶν. τὸν γὰρ χρυσὸν οὐ διδόναι πρέπει τοῖς βαρβάροις, ἀλλὰ τοὐναντίον καὶ ἀφαιρεῖσθαι ἐξ αὐτῶν. ὁ δὲ μὴ ποιῶν τοῦτο πραγματευτὴς, ἀλλὰ χρυσὸν εἰς τοὺς βαρβάρους ἀποκομίζων, κολάζεται, καὶ ὁ ἄρχων ὁ γινώσκων πραγματευτὴν ποιήσαντα τοῦτο καὶ μὴ τιμωρήσας τὸν πραγματευτὴν, αὐτὸς κολάζεται καὶ ἐκβάλλεται τῆς ἀρχῆς[123].

ριγ΄. Παραθήκης ἀπαιτουμένης καὶ καρποὶ καὶ τοκετοὶ καὶ πᾶν τὸ διαφέρον ἀπαιτεῖται[124].

ριδ΄. Πατρωὸς τὸν πρόγονον ἐξ ἀδιαθέτου οὐ κληρονομεῖ[125].

ριε΄. Οἱ πατέρες καὶ εἰς δευτέρους γάμους ἐρχόμενοι τῶν μητρικῶν πραγμάτων καὶ[126] τῶν παίδων ἀνεμποδίστως τὴν χρῆσιν ἔχουσιν[127].

ρις΄. Τὰ[128] πεκούλια τετραχῶς· ἀπροσπόριστα, παγανικὰ, κανστρέσια καὶ ὡσανεὶ κανστρέσια. καὶ ἀπροσπόριστα μὲν εἰσὶν, ὅσα ἐκ μητρικῆς κληρονομίας καὶ πάππων καὶ προπάππων καὶ ἄλλων συγγενῶν μητρόθεν, καὶ τούτων τὴν μὲν χρῆσιν ἔχει ὁ πατὴρ, τὴν δὲ δεσποτείαν οἱ παῖδες. τούτοις ὅμοια καὶ τὰ ἀπὸ φιλοτιμίας τυχὸν καὶ καμάτων ἰδίων κτώμενα τοῖς παισὶ, καὶ ἀπὸ γαμικῆς αἰτίας, ἐν οἷς οὐκ ἐστὶ τῷ παιδὶ ἐν ὑπεξουσιότητι ἄδεια διατίθεσθαι, ἀλλ᾽ οὐδὲ τῷ πατρὶ προτελευτῶντι. τὴν γὰρ χρῆσιν τούτων ἔχει ὁ πατὴρ τὴν δὲ δεσποτείαν οἱ παῖδες. τὰ δὲ παγανικὰ εἰσὶν, ἃ καὶ προσπορίζονται, ὅσα ἐξ αἰτιῶν καὶ πραγμάτων τοῦ πατρὸς προσέλθῃ τῷ παιδί. ἅπαντα γὰρ ταῦτα τοῦ πατρός εἰσιν· ἔχει δὲ τούτων καὶ τὴν χρῆσιν καὶ τὴν δεσποτείαν ὁ πατὴρ, καὶ οὐδ᾽ ἐπὶ τούτοις ἄδεια τῷ υἱῷ διατίθεσθαι, ἀλλὰ καὶ τῷ πατρὶ προτελευτῶντι. καὶ ζήτει βι. λε΄ τί. κα΄ καὶ βι. κθ΄ τῶν διγέστων τί. α΄ καὶ βι. λθ΄ τῶν βασιλικῶν τί. α΄ κεφ. ἔσχατον. τὰ δὲ κανστρέσιά εἰσι τὰ ἰδιόκτητα, οἷον τὰ πρωτοκέστρων[129] ἤτοι σιδήρου καὶ ὅπλων περιελθόντα τῷ παιδὶ, ὧν ἡ χρῆσις καὶ ἡ δεσποτεία τῷ παιδὶ ἁρμόζει, καὶ ἄδεια ἐπὶ τούτοις τῷ παιδὶ διατίθεσθαι καὶ ἐν ὑπεξουσιότητι ὄντι. τὰ ὡσανεὶ κανστρέσια τὰ ἀπὸ δωρεᾶς βασιλικῆς ἢ δεσποινῶν· καὶ οὐδὲ τούτων τὴν

[123] Syn. K, 10 ex Bas. LVI, 1, 20. [124] Cf. cap. 13 supra. [125] Syn. K, 16 ex Bas. XLV, 1, 52. [126] Dele. [127] Syn. l. l. ex Bas. XLV, 4, 4. [128] Haec scholii loco fere ad marginem leguntur in Codicibus MSS. Synopseos K, 16. Cf. Labbé Veteres glossae verborum juris p. 85. [129] Synopsis Bieneri: ἀπὸ κέρδους, Labbaeus autem non habet. Legerim ἀπὸ κάστρων.

χρῆσιν ἢ τὴν δεσποτείαν ἔχει ὁ πατήρ· καὶ τὰ ἀπὸ κληρονομίας ἀδελφῶν καὶ ἀδελφῆς καὶ τὰ ἀπὸ ἀρχῆς, οἷον ἀννόνας, καὶ τὰ ἀπὸ συνεδρίας καὶ τὰ διδόμενα προστάξει βασιλικῇ σιτηρέσια ἀπὸ τοῦ δημοσίου· καὶ ἄδεια τῷ ὑπεξουσίῳ καὶ ἐν[130] τοῖς τοιούτοις διατίθεσθαι.

ριζʹ. Οἱ πρέσβεις τῶν ἀλλογενῶν ἐθνῶν, ὅσα μὲν ἀπὸ ἑτέρων ἐθνῶν εἰς τὴν ῥωμαίων φέρουσι γῆν, τελωνοῦνται, τουτέστιν ἀπαιτοῦνται καταβάλλειν τὸ ἀνῆκον τέλος ὑπὲρ αὐτῶν· ὅσα δὲ ἀπὸ τῆς τῶν ῥωμαίων γῆς εἰς ἄλλας ἄγουσι χώρας, ἀτελώνητα ἔχουσιν οὐδὲν τέλος ὑπὲρ αὐτῶν καταβάλλοντες[131].

ριηʹ. Πατὴρ κουράτωρα τοῖς ἑαυτοῦ παισὶ καταλιμπάνειν οὐ δύναται[132].

ριθʹ[133]. Πιστικὸς λέγεται πᾶς ᾧ ἐμπιστεύονταί τινα πράγματα καὶ διὰ τοῦτο καὶ τὸν κριθέντα ἀξιόπιστον εἰς φυλακὴν πλοίου πιστικὸν λέγουσι τῆς νηός[134].

ρκʹ[135]. Τὰ πρόδηλον ἑρμηνείαν[136] ἔχοντα οὐ δεῖ μεταποιεῖν[137].

ΑΡΧΗ ΤΟΥ Ρ[1].

αʹ. Ῥεμβός ἐστιν ὁ μικρὸς φυγὰς, καὶ ἐκ τοῦ ἐναντίου ὁ φυγὰς μέγας ῥεμβός ἐστι. κυρίως δὲ ῥεμβός ἐστιν ὁ συνεχῶς ἀναιτίως πλανώμενος καὶ τοὺς καιροὺς εἰς ἀνόνητα δαπανῶν καὶ βραδέως εἰς τὸν οἶκον ἀποστρέφων[2].

βʹ. Τὸ ῥεπούδιον τὸ διαζύγιον δηλοῖ, διαζύγιον δὲ τὸ γράμμα τὸ ἐπὶ χωρισμῷ τῶν κατὰ τοὺς γάμους ἑνωθέντων γινόμενον[3].

γʹ. Ὅταν χρόνοι ἢ ιʹ ἢ κʹ ἢ λʹ ἢ πλείονες ἢ ἐλάττονες δοθῶσί τινι, ὡς ἂν ἐντὸς τούτων ποιήσῃ τὶ καὶ μετὰ τὴν συμπλήρωσιν τούτων οὐκέτι τὸ αὐτὸ ποιεῖν δύναται, τότε εἴπερ ὁ τοὺς χρόνους λαβὼν βλέπει συμπληρουμένους ἤδη καὶ πρὸς τέλος ἐρχομένους αὐτοὺς καὶ φοβεῖται, μὴ παρελθόντων τῶν χρόνων ἀπολέσῃ τὸ ἑαυτοῦ δίκαιον, ἔχει ἐπ᾽ ἀδείας προσιέναι τοῖς

---

130 A ὧδε. 131 Syn. K, 24 ex Bas. LVI, 4, 8. 132 Syn. K, 26 ex Bas. XXXVII, 2, 1. 133 In D est §. ριζʹ. 134 Ad Syn. N, 1. — Cf. Labbaei veteres glossas p. 89. 135 C ρςʹ. Idem addit capita 15 et 14, quae supra habentur. 136 A πρόδηλα ἑρμηνείας. 137 Syn. N, 6 ex Bas. II, 1, 33.

1 A addit βιβλίου. 2 Att. XI (12). 3 Ad Att. XIX (27). — Cf. Σ, 15.

δικασταῖς ἢ τοῖς τοῦ δημοσίου κατάρχουσιν ἢ τῷ ἐπισκόπῳ τῆς πόλεως ἢ τοῖς ἐκκρίτοις τῶν πολιτῶν, καὶ λέγειν τὴν αἰτίαν δι᾽ ἣν περὶ τοῦ πράγματος οὐ κινεῖ ἤγουν οὐκ ἐγκαλεῖ, καὶ παριστᾶν φανερῶς, ὅτι ἕτοιμος ἦν, ἐὰν μὴ ὑπό τινος εὐλόγου ἀφορμῆς ἐμποδισμὸν εὕρισκεν, ἐγκλητεῦσαι καὶ ἀποδεῖξαι[4], ὅτι ἀδικεῖται εἰς τὸ πρᾶγμα περὶ οὗ βούλεται ἐγκαλεῖν, διὰ δὲ τὴν τοιαύτην αἰτίαν τοῦτο ἀφίησιν. καὶ γίνεται τὸ τοιοῦτον ἐφ᾽ οἷς ἂν εἴπῃ παρασημείωσις, καὶ ἄρχεται πάλιν ἀπὸ τοῦ χρόνου ἐκείνου τοὺς δεδομένους ἀριθμεῖν χρόνους, καὶ ἔξεστι τούτῳ ἕως ἐκ τρίτου ποιεῖν, καὶ καλεῖται ῥῆξις τοῦ χρόνου ἤγουν τομὴ καὶ διακοπὴ διὰ τὸ μὴ ἐᾶν[5] ἀριθμεῖσθαι τοὺς χρόνους κατὰ συνέχειαν καὶ εἰς τὴν ὡρισμένην συμπληροῦσθαι ποσότητα, ἀλλὰ κόπτειν καὶ διατέμνειν δι᾽ ἧς εἴπομεν προσελεύσεως, καὶ τῷ ἀριθμῷ τούτῳ διδόναι πάλιν ἄλλην ἀρχήν[6].

δ΄. Περὶ ῥοδίων νόμων ἐν τοῖς εἰς τὸ ν΄ στοιχεῖον περὶ ναυτικῶν νόμων γραφεῖσι καθολικῶς ἐλέχθη σαφέστατα, κἀκεῖθεν τὰ περὶ τούτων μετὰ ἀκριβείας ὁ βουλόμενος γνώσεται.

ε΄. Τῆς ἀγωγῆς τὸ ὄνομα δηλοῖ τὴν παραγραφήν[7].

ς΄. Ἀγρὸς λέγεται ὁ χωρὶς τῆς κώμης ἤτοι τῶν οἰκημάτων τόπος.

ζ΄. Ἀδιάθετός ἐστιν οὐ μόνον ὁ μὴ διαθέμενος, ἀλλὰ καὶ ὁ μὴ κληρονομούμενος ἐκ διαθήκης.

η΄. Ἄδβαινα[8] λέγεται ἄποικος.

θ΄. Αἰγιαλός ἐστι μέχρις οὗ τὸ μέγιστον τῆς θαλάσσης ἐκτρέχει κῦμα.

ι΄[9]. Ἀκόντιον λέγεται οὐ μόνον τὸ ἀπὸ τόξου, ἀλλὰ καὶ τὸ ὁπωσοῦν βαλλόμενον.

ια΄. Τῷ ὀνόματι τῶν ἀκροδρύων πάντες οἱ καρποὶ καλοῦνται.

ιβ΄. Ἀκάρδιος καὶ ἄνυσος[10] λέγεται ὁ μὴ ἔχων καρδίαν ἢ ὑγείαν.

ιγ΄. Ἀναδοῦναι καὶ τὴν δόσιν δηλοῖ.

ιδ΄. Οὐ λέγεται γεννῆσαι ἡ ἀνατμηθεῖσα.

---

[4] A δεῖξαι. [5] Sic A corr. manu: prima manu scriptum erat τὸ ἐᾶν sine negatione. B μὴ ἀναριθμ. [6] Att. XXX (46). — Cf. supra *A*, 40. [7] Syn. *P*, 1 ex Bas. II, 2, 8. — Sequentia usque ad finem partem priorem tituli I (περὶ ῥημάτων σημασίας) literae *P* Synopseos majoris integram exhibent, ut ad singula capita Synopsin allegare omnino supervacaneum sit. [8] A Ἄβδαινα. [9] Hic D in marg.: ταῦτα τὰ κεφάλαια εἰς τὸ α΄ ἁρμόζει. [10] A prima manu ἄνοσος, sed correctum in ἄνυσος.

ιε΄. Δοκεῖ γυνὴ υἱὸν ἔχειν ἐν τῷ τελευτᾶν, ἧς ἀνατμηθείσης ἐξῆλθε τὸ βρέφος.

ιϛ΄. Τῇ τοῦ ἀναλογοῦντος μέρους προσηγορίᾳ ἔσθ᾽ ὅτε καὶ ἡ πᾶσα κληρονομία δηλοῦται.

ιζ΄. Τῇ τοῦ ἀνθρώπου προσηγορίᾳ καὶ ἀνὴρ καὶ γυνὴ δηλοῦται.

ιη΄. Τῷ ῥήματι τοῦ ἀπολέσθαι καὶ τὸ σχισθὲν καὶ τὸ κλασθὲν καὶ τὸ βίᾳ ἁρπαγὲν δηλοῦται.

ιθ΄. Πράγματα ἀπεῖναι δοκεῖ καὶ ταῦτα, ὧν τὸ μὲν σῶμα μένει, ἡ δὲ μορφὴ ἐνήλλακται. διάτοι τοῦτο ἐὰν διεφθορότα ἀποδοθῇ ἢ μεταπλασθέντα, δοκεῖ ἀπεῖναι.

κ΄. Ἄπεστιν ὁ μὴ παρὼν ἔνθα ἀπαιτεῖται, καὶ ὁ μὴ παρὼν ἐν τῇ περιοικίδι.

κα΄. Ἐκεῖνος ἀποκαθιστᾷ ὁ διδοὺς οὕτω τῷ ἐνάγοντι, ὡς ἔμελλεν αὐτὸ ἔχειν ἐν καιρῷ προκατάρξεως.

κβ΄. Ἀποκαθιστᾶν δοκεῖ, ὁ διδοὺς τῷ ἐνάγοντι ὅπερ ἔμελλεν ἔχειν μὴ δικασάμενος.

κγ΄. Ὅτε δὲ καλεῖται ἀποκαταστῆναι κτίσμα, καὶ τὴν συμβᾶσαν ζημίαν λαμβάνει ὁ ἐνάγων· τῷ γὰρ ῥήματι τῆς ἀποκαταστάσεως ἡ χρησιμότης τοῦ ἐνάγοντος περιέχεται.

κδ΄. Ἀποκαθιστᾶν δοκεῖ ὁ μὴ μόνον τὸ σῶμα τὸ ζητούμενον, ἀλλὰ καὶ ὅλην τοῦ σώματος αἰτίαν καὶ τύχην διδούς. πᾶσα γὰρ ἀποκατάστασις οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τοῦ δικαίου ἐστίν.

κε΄. Διαφέρει τὸ εἰπεῖν ἀποδοῦναι λόγους τοῦ ἐκδοῦναι· ὁ γὰρ κελευσθεὶς ἐκδοῦναι οὐ δίδωσι τὰ λοιπαζόμενα.

κϛ΄. Ἀπομειοῦται νόμου τὶ ἢ ἀποδαπανᾶται, ὅταν παντελῶς ὁ νόμος ἀναιρῆται.

κζ΄. Τὸ εἰπεῖν τοὺς ἀπελευθέρους μου, οὐ δηλοῖ καὶ τοὺς τῶν ἀπελευθέρων ἐλευθέρους[11].

κη΄. Τὰ λεγόμενα περὶ ἄῤῥενος ὡς ἐπὶ τὸ πλεῖστον καὶ περὶ θηλείας λέγεται.

κθ΄. Ἀστικὰ κτήματα τὰ οἰκήματα δεχόμεθα οὐ μόνον τὰ ἐν πόλεσιν[12] ὄντα, ἀλλὰ καὶ εἰ τυχὸν σταθμοὶ εἶεν ἢ ἄλλα ἐργαστήρια ἐν ταῖς χώραις καὶ ἐν ταῖς κώμαις, ἢ ἐὰν ἐπαύλια τέρψει μόνον δουλεύοντα, ἐπειδὴ τὸ ἀστικὸν κτῆμα οὐχ ὁ τόπος ποιεῖ, ἀλλ᾽ ἡ ὕλη. ἀμέλει καὶ τοὺς κήπους, οἵτινες εἰσὶν ἐν οἰκήματι καταστάντες, λεκτέον τῇ τῶν ἀστικῶν προσηγορίᾳ

---

[11] Sic AB. Lege ἀπελ. [12] A κτήμασιν.

περιέχεσθαι. δηλαδὴ εἰ καὶ τὸ πλέον οἱ κῆποι ἐν προσόδῳ εἰσὶν, ἀμπελικοὶ τυχὸν ἢ λαχανικοὶ ὄντες, μᾶλλον οὐκ εἰσὶν ἀστικοί.

λ'. Ὁ βασιλεὺς παραχωρῶν πράγματα καὶ τὰς ἀγωγὰς παραχωρεῖ.

λα'. Τῷ ὀνόματι τῆς βαλάνου πάντες οἱ καρποὶ καλοῦνται.

λβ'. Ἕτερόν ἐστι βλάβος καὶ ἕτερον ποινή. βλάβος μὲν γὰρ δίχα ποινῆς εἶναι δύναται, ποινὴ δὲ δίχα βλάβους οὐ δύναται. ποινή ἐστιν ἁμαρτήματος ἐκδίκησις, βλάβος δὲ καὶ τὸ ἁμάρτημα λέγεται καὶ ὡσανεὶ ποινῆς προπαρασκευή τις.

λγ'. Οἱ βόες τῶν βουκολίων εἰσὶ μᾶλλον ἢ τῶν ὑποζυγίων[13].

λδ'. Τὰ τοῦ αὐτοῦ γένους ὄντα δύναται καὶ πολλὰ ὄντα ἑνικῶς ἐκφωνεῖσθαι, ὡς ὅταν λέγωμεν· πολὺς ἄνθρωπος, πολὺς ἰχθὺς ἢ ὅτε ἐμοὶ καὶ τῷ κληρονόμῳ μου ἐπερωτήσω, καὶ οἱ πολλοὶ γὰρ περιέχονται.

λε'. Γνῶσιν νοεῖν δυνάμεθα καὶ τὴν διάγνωσιν καὶ τὴν δικαιοδοσίαν.

λς'. Τῇ τοῦ γονέως προσηγορίᾳ πάντες οἱ ἀνιόντες ἄῤῥενες καὶ αἱ[14] θήλειαι δηλοῦνται.

λζ'. Τῷ ὀνόματι τοῦ γραμματείου τὸ κεχρεωστημένον πρᾶγμα σημαίνεται.

λη'. Ἡ τοῦ γραμματείου καὶ τοῦ πράγματος προσηγορία εἰς πᾶν συνάλλαγμα καὶ ἐνοχὴν ὁρᾷ.

λθ'. Τῷ ὀνόματι τῆς γυναικὸς καὶ ἡ ἔφηβος παρθένος δηλοῦται.

μ'. Δανειστής ἐστιν ὁ ἐξ οἱασδήποτε αἰτίας χωρὶς διηνεκοῦς παραγραφῆς χρεωστούμενος. οὐ γὰρ μόνον οἱ δανείσαντες δανεισταὶ λέγονται, ἀλλὰ καὶ πάντες οἱ ἀπὸ συναλλάγματος ἢ ἁμαρτήματος χρεωστούμενοι, καὶ ἀπὸ ὀρφανικῆς ἀγωγῆς μετὰ προκάταρξιν, οὐ μὴν πρὶν ἢ προκατάρξεται.

μα'. Ὁμοίως δέ φησι περὶ δανειστῶν[15].

μβ'. Χρησίμους δὲ δαπάνας ἤρεσεν εἶναι τὰς βελτίω ποιούσας τὴν προῖκα, οὐ μὴν συγχωρούσας εἶναι αὐτὴν χείρω· ἐξ ὧν πρόσοδος τῇ γυναικὶ προσπορίζεται, οἷον ὡς ἐπὶ τῆς διδαχῆς τῶν παίδων, ὧν ἕνεκα βαρύνεσθαι τὴν γυναῖκα ἀγνοοῦσαν ἢ ἄκουσαν οὐ χρὴ, ἵνα μὴ ἀναγκασθῇ τοῦ ἀγροῦ ἢ τῶν ἀνδρα-

---

[13] Hoc caput in Codice Synopseos Bieneriano deest. Est autem ex Basil. II, 2, 86. [14] In B rectius deest. [15] Pertinent haec verba ad praecedens caput, in cujus fine Synopsis addit: ἐν δὲ τῷ νδ' καὶ νε' ὁμοίως φησὶ περὶ δανειστῶν.

πόδων στερεῖσθαι. ἐπιτερπεῖς δὲ δαπάναι εἰσὶν, αἱ τὸ εἶδος μόνον κοσμοῦσαι, οὐ μὴν καὶ τὸν καρπὸν αὔξουσαι, ὡς ἐστὶ τὰ χλοηφόρα γήδια καὶ τὰ ἀνάβρυτα ὕδατα καὶ αἱ μαρμαρώσεις καὶ αἱ λωρικατίονες καὶ αἱ ζωγραφίαι.

μγ΄. Ὁ[16] ψιλῶς ὢν ἐν φυλακῇ οὐ δοκεῖ δεδέσθαι[17].

μδ΄. Δεσμὰ λέγεται καὶ τὰ ἰδιωτικὰ καὶ τὰ δημόσια, φυλακὴ δὲ μόνη ἡ δημοσία.

με΄. Διαμαρτύρασθαί ἐστι τὸ ἐπὶ μαρτύρων παραγγεῖλαι.

μς΄. Γινώσκειν δικαιώματά ἐστιν ἀναγινώσκειν καὶ καταγινώσκειν. διαστίζειν δέ ἐστι δικαιώματα τὸ ἀντεξετάζειν τὰς λήψεις καὶ τὰς δόσεις.

μζ΄. Τὰ δικαιώματα τῶν ἀγρῶν αὐτοὶ οἱ ἀγροί εἰσιν, τουτέστιν ἡ καλλονὴ, ἡ ὑγεία καὶ τὸ μέγεθος.

μη΄. Δικαιώματά ἐστι καὶ τὰ πρὸς ἀπόδειξιν τῆς δίκης συμβαλλόμενα πρόσωπα.

μθ΄. Διαίσιον μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γίνεσθαι λέγεται, διαζύγιον δὲ καὶ μνηστῇ πέμπεσθαι δοκεῖ, ὅπερ καὶ εἰς πρόσωπον τῆς γαμετῆς οὐκ ἀήθως πίπτει.

ν΄. Καὶ ἡ διακατοχὴ κληρονομία λέγεται.

να΄. Τὸ διαφέρειν δηλοῖ καὶ τὰ ὄντα τῆς δεσποτείας ἡμῶν, καὶ ἅτινα νεμόμεθα ἢ ἐλπίζομεν κτᾶσθαι ἢ νέμεσθαι.

νβ΄. Ἡ οὐσία τῆς πόλεως καταχρηστικῶς δημοσία εἴρηται. μόνα γὰρ ταῦτα δημόσιά ἐστι τὰ τοῦ ῥωμαίου ὄντα δήμου. ὁμοίως[18] περὶ δημοσίων φησίν.

νγ΄. Δόλους[19] ἐστὶν ἡ σφοδρὰ ἀμέλεια.

νδ΄. Δούλων λεγατευομένων καὶ αἱ δοῦλαι κεχρεώστηνται.

νε΄. Καὶ ὁ ἐν γαστρὶ ὢν δοκεῖ καταλειφθῆναι ἐν καιρῷ τελευτῆς.

νς΄. Οὐ λέγεται ἄνηβος ὁ ἐν γαστρὶ ὤν.

νζ΄. Ἐγγύτερος[20] λέγεται καὶ ὁ μόνος ὤν.

νη΄[21]. Τὸ ῥῆμα τὸ εἴη ἐνίοτε καὶ τὸν παρῳχηκότα δηλοῖ, ὅπερ ἀναγκαῖόν ἐστιν ἡμῖν εἰδέναι, καὶ ὅταν κωδίκελλοι οὕτω βεβαιωθῶσιν ἐν διαθήκῃ· ὅπερ ἐν τοῖς κωδικέλλοις γραφὲν εἴη, πότερον τοῦ μέλλοντος χρόνου δήλωσις ἔσται ἢ καὶ τοῦ παρελθόντος, εἴγε προγραφέντας τοὺς κωδικέλλους καταλίπῃ; ἅπερ ἐκ τῆς βουλήσεως τοῦ γράψαντος ἑρμηνευτέον ἐστίν.

---

16 B Ἡ. 17 A δέχεσθαι. 18 Syn. ἐν δὲ τῷ ις΄ κεφ. ὁμοίως κτλ. 19 A, ut et Syn. Bieneri, δόνουμ, B δόνομ. 20 Hoc caput in AD sequenti postponitur. 21 D λδ΄, AC μς΄.

ΑΡΧΗ ΤΟΥ Σ[1].

α΄. Ὁ συκοφαντήσας ἐπίσκοπον εἰς ὑπόθεσιν ἐγκληματικὴν λ΄ λίτρας χρυσίου ζημιοῦται παρὰ τοῦ δημοσίου[2].

β΄. Συνάλλαγμά ἐστι πᾶν ὅπερ ἐξ ἐθελουσίου τινῶν συνελεύσεως, εἴτε δύο εἴτε πολλῶν, γενέσθαι συμφωνηθῇ[3].

γ΄. Σύμφωνόν ἐστι δύο τινῶν ἢ καὶ περισσοτέρων ἀρέσκεια καὶ εἰς ταὐτὸ συγκατάθεσις ἐπὶ τῷ συστῆναι ἤγουν γενέσθαι ἢ διαλυθῆναί τι. εἰσὶ δὲ σύμφωνα καὶ ἴδια καὶ δημόσια· ἴδια μὲν τὰ ἐν τοῖς καθέκαστον ἀνθρώποις γινόμενα, δημόσια δὲ τὰ παρὰ ἐξουσιαστῶν καὶ ἡγεμόνων ἐθνῶν πρὸς εἰρήνην τυχὸν ἢ ἄλλο τὶ τοιοῦτον. τὸ δὲ σύμφωνον τί διαφέρει τῆς διαλύσεως ἐν τῷ περὶ διαλύσεως γέγραπται[4].

δ΄. Δύναται συμφωνία καὶ ἀγράφως καὶ ἐγγράφως συνίστασθαι[5].

ε΄. Οὐ δυνατὸν συμφωνεῖν οὕτως, ὡς ἂν ἀπὸ τῶν δύο μερῶν τῶν ποιούντων τὰς συμφωνίας τὸ μὲν μόνον τὸ κέρδος ἔχῃ, τὸ[6] δὲ τὴν συμφωνίαν* μόνην[7].

ϛ΄. Τὰ συναλλάγματα πρότερον καὶ αἱ καταλλαγαὶ διὰ πραγμάτων ἀντιδιδομένων ἐγίνοντο, καὶ οὕτως, ἤγουν καταλλα-

---

α΄. Κανὼν περὶ συμβαινόντων. — Τὰ σπανίως συμβαίνοντα οὐκ εὐχερῶς ἐν τοῖς πραττομένοις συναλλάγμασι καταλογιζόμεθα.

β΄. Ἕτερος περὶ συμβουλῆς. — Ἡ ἄδολος συμβουλὴ οὐκ ἐνοχοποιεῖ· ἐπὶ δὲ τῆς κατὰ δόλον ἁρμόζει ἡ περὶ δόλου.

γ΄. Ἕτερος περὶ σιωπῶντος. — Ὁ σιωπῶν οὐ δοκεῖ ὁμολογεῖν. ἀλλ᾽ ὅμως οὐκ ἀρνεῖται.

δ΄. Ἕτερος περὶ συναλλαγμάτων. — Τὰ διὰ τὸ ἀνελεῖν ἀμφισβήτησιν ἐντιθέμενα τοῖς συναλλάγμασιν οὐκ ἀναιρεῖ τὸ κοινὸν νόμιμον.

ε΄. Ἕτερος περὶ συνηθείας. — Δυσχερῶς μέν, ὅμως τοῦ δικαίου ἀπαιτοῦντος ἐναλλάσσομεν τὴν συνήθειαν.

ϛ΄. Ἕτερος περὶ συμφώνων. — Ἀπὸ ἰδιωτικοῦ συμφώνου τὸ νόμιμον οὐκ ἐναλλάσσεται, εἰ καὶ τὰ μάλιστα καταρχὰς αἱ ἀγωγαὶ ἀπὸ συμφώνου ἐναλλάσσονται τῷ αὐτῷ δικαίῳ ἢ διὰ [παρα]γραφῆς.

ζ΄. Ἕτερος. — Οὐδεὶς συμφωνῶν ἢ ἐπερωτῶν ἀσφάλειαν ἑτέρῳ περιποιεῖ.

---

[1] A addit *βιβλίου*. [2] Att. III. [3] Att. IV. [4] Att. V (6). [5] Att. ibid. [6] AB *τῶν μὲν — τῶν δέ*. * Omnino legendum *ζημίαν*. [7] Att. VI (7).

γαὶ καὶ συναλλάγματα, ὠνομάζοντο· ὕστερον δὲ καὶ ἀγορὰ καὶ πρᾶσις ἐπενοήθη εὑρεθέντων τῶν ἀργυρίων. καταλλαγὴ μέν ἐστι δόσις πράγματός τινος ἀντὶ ἄλλου πράγματος. πρᾶσις δὲ καὶ ἀγορασία ἀργυρίου δόσις ἢ καὶ χρυσίου ἀντ' ἄλλου πράγματος[8].

ζ'. Τὰ περὶ συμβολαίου καὶ συμπρασσόντων καὶ συναλλασσόντων μεταγραφήτω* ἀπὸ τῶν εἰς τὸ π'[9].

η'. Πολλάκις διὰ κληρονομίαν ὁ συγγενὴς ἀρνεῖται τὸν ἑαυτοῦ συγγενῆ, καὶ λέγει μὴ εἶναι συγγενῆ τούτου, καὶ ἀπαιτεῖ αὐτὸν ἵνα ἀποδείξῃ πόθεν ἔχει τὴν πρὸς τοῦτον συγγένειαν. ὅταν γοῦν γένηται τοῦτο, αὐτὸς ὁ ἀρνούμενος καὶ τὴν τῆς συγγενείας ἀπαιτῶν σύστασιν ὀφείλει πρῶτος ὀμνύειν, ὡς ἀληθῶς οὐ νομίζει τὸν τοιοῦτον ἄνθρωπον συγγενῆ ἑαυτοῦ, καὶ οὕτω μετὰ τὸ ὀμόσαι ἀπαιτεῖν ἐξ ἐκείνου τὴν τῆς συγγενείας ἀπόδειξιν[10].

θ'. Ἡ τῶν συμβολαίων ἀπώλεια (συμβόλαια δὲ λέγονται τὰ ἐπὶ συμφωνίαις τισὶ γινόμενα γράμματα) οὐκ ἀναιρεῖ τὰς ἀγωγάς, ὅταν καὶ τῶν συμβολαίων χωρὶς ἀλλοτρόπως δύναται δειχθῆναι τὸ ἀληθές[11].

ι'. Ἐφ' οἷς ἕκαστος ποιεῖ συναλλάγμασιν, αὐτὸς ὁ ποιῶν ἐνέχεται, καὶ οὐδεὶς ἄλλος ὑπὲρ αὐτοῦ, οὔτε γαμετὴ ὑπὲρ οἰκείου ἀνδρὸς, οὔτε ἀνὴρ ὑπὲρ γυναικὸς, οὔτε πατὴρ ἢ μήτηρ ὑπὲρ υἱοῦ, εἰ μόνον εἴη ὁ υἱὸς αὐτεξούσιος, οὔτε ἀπελεύθερος ὑπὲρ πάτρωνος τουτέστιν ἐλευθερωτοῦ[12].

ια'. Περὶ συναλλαγῆς σιωπηρᾶς εἰς τὸ ε' στοιχεῖον ἐν τοῖς περὶ ἐνεχύρων δεδήλωται.

ιβ'. Ἡ συγγένεια εἰς τρία τινὰ διαιρεῖται, εἰς ἀνιόντας, κατιόντας καὶ ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν οἱ ἀρχηγοὶ τοῦ γένους ἐξ οὗ καταγόμεθα, οἷον πρόπαπποι, πάπποι, πατέρες καὶ ὅσοι τῆς αὐτῆς ὑπάρχουσι τάξεως· λέγονται δὲ ἀνιόντες ὡς ἄνω ἰόντες ἤγουν ἐρχόμενοι, τουτέστιν ὡς ὑπεράνω ἡμῶν τῶν ἐξ ἐκείνων γεννηθέντων ταττόμενοι. κατιόντες δὲ οἱ ἐξ ἡμῶν τὴν ἀρχὴν τοῦ γένους λαμβάνοντες καὶ κάτω ἡμῶν ἰόντες ἤγουν ἐρχόμενοι καὶ ταττόμενοι. ἐκ πλαγίου δὲ οἱ μήτε γεννήσαντες ἡμᾶς μήτε ἐξ ἡμῶν γεννηθέντες, ὄντες δὲ ἐκ τῆς αὐτῆς σειρᾶς τοῦ γένους, ἐξ ἧς ἐσμὲν καὶ ἡμεῖς, οἷον ἐξάδελφοι,

---

[8] Att. X (12). * Malim μεταγραφέσθω. [9] AB εἰς τόπον. — Caeterum hac licentia data E ex lit. Π §. 17, B adeo §. 17 et 18 huc transscripserunt.
[10] Att. XIII (16). [11] Att. XIV (17). [12] Att. XVI (21).

θεία, ἀνεψιοί. ἐπὶ μὲν οὖν τῶν ἀνιόντων καὶ κατιόντων εἰς ἄπειρον ὁ γάμος κωλύεται, τουτέστιν εἰς ἀπέραντον καὶ ἀπλήρωτον, καὶ οὐδέποτε δύναται ἐπ' αὐτῶν γενέσθαι συγγένεια[13], κἂν νόθοι εἶεν κἂν γνήσιοι κἂν φυσικοὶ κἂν θετοί· ἐπὶ δὲ τῶν ἐκ πλαγίου μέχρι τινὸς κωλυόμενος ἀπολύεται[14].

ιγ'. Δεῖ δὲ εἰδέναι, ὅτι ὁ βαθμὸς ἀριθμεῖται κατὰ τὴν γέννησιν, μία γὰρ ἑκάστη γέννησις ἕνα βαθμὸν ἀποτελεῖ. οἷον ὁ πατὴρ ἐγέννησε τὸν υἱὸν, ἰδοὺ βαθμὸς εἷς· ὁ αὐτὸς πατὴρ ἐγέννησε τὸν ἄλλον υἱὸν, ἰδοὺ καὶ πάλιν ἄλλος βαθμὸς, καὶ διὰ τοῦτο οἱ δύο ἀδελφοὶ τὸν δεύτερον βαθμὸν περισώζουσι. καὶ πάλιν· ὁ πατὴρ ἐγέννησε τὸν υἱὸν, ἰδοὺ βαθμὸς εἷς· ὁ υἱὸς ἐγέννησε καὶ ἄλλον υἱὸν, ἰδοὺ καὶ ἄλλος βαθμὸς, ὥστε ὁ πατὴρ μετὰ τοῦ ἐγγόνου δεύτερον συμπληροῦσι βαθμὸν, καὶ μετὰ τοῦ δισεγγόνου τὸν τρίτον, καὶ καθεξῆς ὁμοίως τῇ τῶν γεννήσεων προχωρήσει καὶ ἐπαυξήσει καὶ ἡ τῶν βαθμῶν προσθήκη λογίζεται. ἀλλ' ἐπὶ τούτων μὲν ὁ γάμος οὐδέποτε λύεται, κἂν ὅσοι ἂν ἄρα ἀποτελεσθεῖεν[15] βαθμοί. ἐπὶ δὲ τῶν ἐκ πλαγίου οἱ δύο βαθμοὶ ἐπὶ τῶν δύο ἠρίθμηνται ἀδελφῶν· ἀδελφὸς γὰρ πρὸς ἀδελφὸν δευτέρου βαθμοῦ· καὶ ὁ ἐξ ἀδελφοῦ ἀνεψιὸς βαθμοῦ τρίτου πρὸς τὸν θεῖον αὐτοῦ· καὶ οἱ πρωτεξάδελφοι δ' πρὸς ἀλλήλους βαθμοῦ· καὶ πάλιν ὁμοίως αἱ τῶν γεννήσεων προσθῆκαι ἀποπληροῦσι καὶ τοὺς ἀριθμοὺς τῶν βαθμῶν. εὑρίσκονται γοῦν δύο ἐξάδελφοι δεύτεροι ϛ' πρὸς ἀλλήλους βαθμοῦ, καὶ μέχρι τούτου κωλύει ὁ νόμος τοὺς ἐκ τοῦ αὐτοῦ γένους καταγομένους γαμικὸν ποιῆσαι συνάλλαγμα. ἀπὸ δὲ τοῦ ὀγδόου βαθμοῦ, τουτέστιν ἀπὸ ἐξαδέλφων τρίτων παρὰ τοῦ νόμου ὁ γάμος λύεται, καὶ ἐπ' ἀδείας ἐστὶ τοῖς βουλομένοις συνάπτεσθαι· ἐστὶ γὰρ τοῦτο πάντῃ ἀκώλυτον· οἱ δὲ τοῦ ἑβδόμου βαθμοῦ, οἷον ἐξάδελφος δεύτερος πρὸς παῖδα τοῦ δευτέρου ἐξαδέλφου (οὗτοι γάρ εἰσιν ζ' πρὸς ἀλλήλους βαθμοῦ), μέσον τῶν κεκωλυμένων καὶ τῶν ἀκωλύτων εἰσίν. καὶ ἐὰν ἐρωτηθῇ πρὸ τοῦ γενέσθαι, κωλύεται· ἐὰν δὲ χωρὶς ἐρωτήσεως[16] γένηται καὶ μετὰ τὸ γενέσθαι περὶ αὐτοῦ ἐρωτήσωσιν, ἐπιτιμίοις οἱ συναφθέντες πρὸς γάμον καθυποβάλλονται, καὶ οὕτω δὲ πάλιν ἀχώριστον μένει τὸ συνοικέσιον[17]. καὶ ταῦτα μὲν

---

[13] Omnino mutandum in *συνάφεια*. [14] Att. XIX (27). [15] B *ἀποτελεσθῶσι*. [16] AB *ἐπερωτήσεως*. [17] A in margine haec notat: *Ὡρίσθη δὲ ἐπὶ λουκᾶ πατριάρχου μηδὲ τοῦ τοιούτου γάμον συνίστασθαι βαθμοῦ, ἀλλ'* [?] *ἐρωτώμενον μὲν κωλύεσθαι, προβαίνοντα δὲ διασπᾶσθαι, καὶ τοὺς πράξαντας ἀφορίζεσθαι, καὶ τὸν ἱερολογήσαντα ἱερέα, εἰ μὴ ἀγνοίᾳ ἐκλάπῃ, κα-*

περὶ τῶν βαθμῶν τῶν ἐξ αἵματος, καὶ ὅτι ἕως μὲν τῶν ἓξ βαθμῶν ὁ γάμος κωλύεται, ἀπὸ δὲ τοῦ ὀγδόου καὶ εἰς τοὺς ἑξῆς πάντας ἐστὶν ἀκώλυτος· ὁ δὲ ἕβδομος μέσον τῶν κεκωλυμένων καὶ ἀκωλύτων ἐστίν[18].

ιδ'. Ἡ δὲ ἐξ ἀγχιστείας συγγένεια (ἀγχιστεία δὲ ἡ κοινῶς λεγομένη συμπενθερία ἐστὶν) ἕως[19] τοῦ ε' βαθμοῦ κωλύεται. πέμπτος δὲ βαθμὸς ἐξ ἀγχιστείας ἐστὶν, ὅταν ἀδελφοὶ δύο πρὸς γενεὰν ἄλλην εἰς θείαν καὶ ἀνεψιὰν ποιῆσαι βουληθῶσι συνάλλαγμα, ὥστε τὸν μὲν ἕνα τῶν ἀδελφῶν εἰς γυναῖκα τὴν θείαν λαβεῖν, τὸν ἄλλον δὲ τὴν ἀνεψιάν· καὶ ὅταν εἷς ἐξ ἄλλου καταγόμενος γένους ἐξ ἄλλης γενεᾶς ἐξαδέλφας πρώτας κατὰ πρῶτον καὶ δεύτερον γάμον βουληθῇ γυναῖκας λαβεῖν. τοῦτο δέ τινες, ἐκβάλλοντες τὸν ἄνδρα καὶ μόνας τὰς γυναῖκας σκοποῦντες, βαθμοῦ δ' λέγουσιν εἶναι. ὁ δὲ ϛ' ἐξ ἀγχιστείας βαθμὸς, ἐὰν ὦσιν ἐκ τοῦ ἑνὸς μέρους δύο βαθμοὶ καὶ τέσσαρες ἐκ τοῦ ἄλλου γένους, κωλύεται, καὶ κωλύεται διὰ τὸ τοὺς β' βαθμοὺς ἰσχυρῶς πλησιάζειν καὶ πολλὴν δύναμιν ἔχειν τὴν τοῦ γένους ἐγγύτητα· ἐὰν δὲ ὦσι τρεῖς καὶ τρεῖς, οὐ κωλύεται. καὶ ἐστὶ κατὰ τὸν λόγον τοῦτον ὁ ἐξ ἀγχιστείας ϛ' βαθμὸς ἐν ἄλλοις μὲν κωλυόμενος, ἐν ἄλλοις δὲ ἀκώλυτος ὤν. ὁ δὲ ζ' ἐξ ἀγχιστείας βαθμὸς γίνεται μὲν πολλάκις ὡς τρεῖς ἔχων ἐκ τοῦ ἑνὸς γένους βαθμοὺς καὶ ἐκ τῶν τοῦ λοιποῦ γένους δ', καὶ ἐστὶ τότε πάντη ἀκώλυτος ὡς μὴ δυναμένων τῶν γάμων κωλύειν μήτε τῶν τριῶν μήτε τῶν δ' βαθμῶν· εἰ γὰρ καὶ ὁ ἕκτος, ὁπόταν ἐκ τῶν τριῶν ἀπαρτίζηται καὶ τριῶν, ἀκώλυτός ἐστιν, ὡς ἀνωτέρω δεδήλωται, ὁ ἐκ δ' καὶ γ' ἕβδομος πόσῳ μᾶλλον ἔσται ἀκώλυτος; γίνεται δὲ καὶ ὡς ε' καὶ β' ἐκ τῶν γενῶν ἀμφοτέρων ἔχων βαθμοὺς, καὶ δοκεῖ καὶ τότε ἀκώλυτος. γίνεται δὲ καὶ ὡς ἓξ ἔχων ἐκ τοῦ ἑνὸς καὶ ἐκ τοῦ λοιποῦ γένους ἕνα βαθμὸν, καὶ τότε διὰ τὸν ἕνα κωλύεται. γίνεται δὲ πάλιν καὶ ὅταν προμάμμη καὶ τρισεγγόνη λάβωσιν ἄνδρας ἀδελφοὺς δύο. ἡ μὲν γὰρ προμάμμη πρὸς τὴν τρισεγγόνην τὸν ε' σώζει βαθμὸν, οἱ δὲ δύο ἀδελφοὶ β' πρὸς ἀλλήλους εἰσὶ βαθμοῦ, καὶ οὕτω ἐκ τῶν β' μερῶν ὁ ζ' συμπληροῦται βαθμός· ἀλλὰ καὶ

θαιρεῖσθαι. ἐπεκύρωσε δὲ τὴν συνοδικὴν ταύτην πρᾶξιν καὶ θέσπισμα τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου μανουὴλ τοῦ πορφυρογεννήτου. — Brevius E sic: Ἰστέον ὅτι ὕστερον ἐκωλύθη παντελῶς ὁ τοιοῦτος βαθμὸς ὑπὸ τοῦ πατριάρχου κυροῦ λουκᾶ καὶ τοῦ βασιλέως κυροῦ μανουὴλ τοῦ κομνηνοῦ.

[18] Att. XIX (26). [19] Sic in A a correctoria manu recte scriptum est. Prima manus, ut et BE, ὅταν habet.

τότε ὁ γάμος παρὰ τοῦ νόμου κωλύεται, διὰ τὴν κατὰ βάθος τῆς προμάμμης πρὸς τὴν τρισεγγόνην συγγένειαν, οὐχ ἧττον δὲ διὰ τὴν τῶν δύο ἀδελφῶν γνησιωτάτην ἐγγύτητα. ὡσαύτως δὲ κεκωλυμένος ἐστὶν ὁ γάμος, καὶ ὅταν εἷς ἐξ ἄλλου γένους ὑπάρχων προμάμμην καὶ τετραεγγόνην κατὰ πρῶτον τυχὸν ἢ καὶ δεύτερον γάμον βούλοιτο γυναῖκα λαβεῖν· ἕβδομος γὰρ καὶ οὗτος βαθμὸς ὡς τῆς μὲν προμάμμης πρὸς τὴν τετραεγγόνην ἐχούσης ϛ′ βαθμὸν, τοῦ δὲ ἀνδρὸς πληροῦντος τὸν ἕνα βαθμὸν, ὥστε γίνεσθαι ἓξ καὶ ἕνα ἑπτά· ἀλλ᾽ ὅμως καὶ οὗτος ὁ ἕβδομος κεκώλυται διὰ τὴν κατὰ βάθος συγγένειαν. καὶ ἐστὶ τοῦτο θαυμάσιον, εἰ τοῦ ἐξ αἵματος πολλάκις ζ′ μὴ κωλυομένου βαθμοῦ ἀλλὰ μετ᾽ ἐπιτιμίων συγχωρουμένου, ὁ ἐξ ἀγχιστείας ζ′ πολλάκις κεκώλυται. κωλύονται δὲ καί τινες ἄλλοι γάμοι διὰ τὸ μὴ ἔχειν τὸ εὐπρεπὲς ἢ ἄλλως ὑπεμφαίνειν τὸ ἄσεμνον ὡς καὶ τὸ [κατηγορηθέντι τινὰ ὅτι μοιχεύει τὸ εὐπρεπὲς ἐν τούτοις ζητεῖν][20]. οἱ δὲ παρὰ τούτους καὶ εὐπρεπεῖς ἀκωλύτως καὶ χωρίς τινος ἐμποδισμοῦ γίνονται[21].

ιε′. Στέλλειν ῥεπούδιον ὁ νόμος φησὶ τὸ πέμπειν ἤγουν διδόναι τὸν ἄνδρα τῇ γυναικὶ διαζύγιον, ἢ καὶ τὴν γυναῖκα πρὸς τὸν ἄνδρα τοῦτο ποιεῖν. τὸ γὰρ ῥεπούδιον τὸ διαζύγιον δηλοῖ· διαζύγιον δὲ τὸ γράμμα τὸ ἐπὶ χωρισμῷ τῶν κατὰ γάμους

---

[20] Inclusa B habet satis corrupta: in A lacuna est unius lineae.

[21] Att. XIX (26). — Caeterum E hoc loco haec intercalat: *Πέντε τοίνυν τρόπων ὄντων τῆς γαμικῆς συναφείας λείπονται οἱ τρεῖς, ἐκ τριγενείας λέγω, ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ ἐξ υἱοθεσίας. συνάπτομεν οὖν τοὺς ἐκ τριγενείας ἀπὸ δ′ βαθμοῦ καὶ ἐπέκεινα· εἰ καὶ ὁ νόμος δύο μόνα ῥητῶς ἀπαγορεύει, τὸ μὴ λαβεῖν τινα τήν ποτε γυναῖκα τοῦ προγονοῦ αὐτοῦ ἢ τὴν μητρυιὰν τὸν ἄνδρα τῆς ποτε προγονῆς αὐτῆς, τἆλλα παρασιωπήσας, λήψεταί τις ἄρα τὴν γυναικαδέλφην τοῦ γυναικαδέλφου αὐτοῦ· δ′ γάρ εἰσιν οὗτοι πρὸς ἀλλήλους βαθμοῦ ἐν γ′ γένεσι θεωρούμενοι. Ἐπὶ δὲ τῆς ἐκ τοῦ ἁγίου βαπτίσματος καὶ τῆς ἐξ υἱοθεσίας συγγενείας τὸν αὐτὸν ζητητέον βαθμὸν, ὃν καὶ ἐπὶ τῆς ἐξ αἵματος, διὰ τὸ λέγειν τὸν νγ′ κανόνα τῆς ἐν τρούλλῳ ἁγίας συνόδου μείζονα εἶναι τὴν πνευματικὴν οἰκειότητα τῆς τῶν σωμάτων συναφείας· εἰ καὶ ὁ νόμος μέχρι γ′ μόνων ἢ καὶ δ′ βαθμῶν ταύτην κεκώλυκεν, ἤγουν τὸ μὴ λαβεῖν τινα ἢ τὸν υἱὸν αὐτοῦ τὴν μητέρα ἢ τὴν ἀδελφὴν τοῦ ὑπ᾽ αὐτοῦ ἀναδεχθέντος ἢ υἱοθετηθέντος. Ἰστέον δὲ ὡς ἄλλως ἐπὶ τούτων ἢ ἐπὶ τῶν ἐξ αἵματος οἱ βαθμοὶ καταριθμοῦνται. οἷον ὁ μὲν ἀναδεξάμενός τινα ἢ υἱοθετήσας πρὸς μὲν αὐτὸν, ὃν ἀνεδέξατο ἢ υἱοθέτησε, α′ βαθμοῦ ἐστι· πρὸς δὲ τὸν πατέρα ἢ τὴν μητέρα αὐτοῦ β′, πρὸς δὲ τοὺς αὐταδέλφους αὐτοῦ γ′, οἱ δὲ υἱοὶ αὐτοῦ πρὸς μὲν τὸν ἀναδεχθέντα ἢ υἱοθετηθέντα β′ βαθμοῦ εἰσι διὰ τὸ ὡς ἀδελφὸν αὐτὸν ἔχειν, πρὸς δὲ τοὺς αὐταδέλφους αὐτοῦ δ′. Ἡ δὲ ἀδελφοποιΐα ὡς μὴ γεγονὸς λογίζεται.*

ἑνωθέντων γινόμενον. ὡς ἐν βραχεῖ γοῦν εἰπεῖν τὸ στέλλειν ῥεπούδιον ταὐτόν ἐστι τῷ διαζεύγνυσθαι καὶ χωρίζεσθαι[22].

ιϛ΄. Περὶ τῆς τῶν στρατιωτῶν διαθήκης, καὶ ὅσα καὶ πῶς τοῖς στρατιώταις ἔξεστι διατάττεσθαι, ἐν τοῖς εἰς τὸ δ΄ στοιχεῖον εἰρήκαμεν.

ιζ΄. Ἡ συνεισφορὰ γίνεται οὕτως· ἐπροικοδοτήθησάν τινες παῖδες, καὶ τὴν ἀνήκουσαν αὐτοῖς κληρονομίαν λαβόντες ἢ τὴν προῖκα, ὁπόσην οἱ γονεῖς ἔδωκαν τούτοις, δεξάμενοι ἐγένοντο αὐτεξούσιοι. μετὰ ταῦτα ἐτελεύτησεν ὁ πατήρ, ἢ μηδόλως διαθήκην ποιήσας, ἢ ποιήσας μὲν διαθήκην, αὐτῶν δὲ μὴ μνημονεύσας. οὐ δέχονται τοῦτο οἱ τοιοῦτοι παῖδες, ἀλλὰ θέλουσιν εἰσελθεῖν εἰς τὴν πατρικὴν κληρονομίαν μετὰ τῶν λοιπῶν ἀδελφῶν, οἷς πρότερον οἱ γονεῖς οὐκ ἔδωκάν τι, καὶ ζητοῦσι τὴν πατρικὴν οὐσίαν ἐπίσης τοῖς ἀδελφοῖς συμμερίσασθαι, καὶ κινεῖται περὶ τῆς τοιαύτης ὑποθέσεως ἀγωγή. τότε γοῦν ὁ νόμος κελεύει, ἵνα συνεισφέρωσι κἀκεῖνοι ὃ πρότερον ἐδόθη αὐτοῖς, καὶ κοινώσωσι τοῦτο τοῖς ἑτέροις πατρικοῖς πράγμασι, καὶ μετὰ ταῦτα μερισμοῦ γενομένου λάβωσι κἀκεῖνοι, εἴ τι ἀνήκει καὶ τούτοις ἐκ τῶν πραγμάτων τῶν πατρικῶν ἐπίσης μερισθέντων τοῖς ἀδελφοῖς, καὶ τοῦτο καλεῖται παρὰ τῷ νόμῳ συνεισφορά. καὶ ὅστις ἀπὸ τῶν παίδων ἢ προῖκα λάβῃ ἢ τὴν ἀνήκουσαν κληρονομίαν καὶ ἀπεκβληθῇ, οὐ δύναται ἄλλως μετὰ τῶν λοιπῶν ἀδελφῶν τῶν μὴ λαβόντων κληρονομίαν ἢ προῖκα τὴν πατρικὴν μερίζειν κληρονομίαν, εἰ μὴ τὴν ἣν εἴπομεν ποιήσει συνεισφοράν[23].

ιη΄. Τῶν σχολαζόντων ἤγουν τῶν ἀκληρονομήτων πραγμάτων ἡ προσαγγελία τετραετίᾳ περαιοῦται, τουτέστιν ἐάν τις ἀκληρονόμητα πράγματα κατέχῃ καὶ ἐφ᾽ οἷς οὐδεμίαν κέκτηται μετοχήν, καὶ ἄλλος ὁρῶν ἤγουν βλέπων τοῦτο θελήσει περὶ αὐτῶν ἀναγγεῖλαι τῷ δημοσίῳ, ἕως συμπληρώσεως χρόνων δ΄ ἔξεστι τούτῳ τὴν τοιαύτην προσαγγελίαν ποιεῖν, μετὰ δὲ τὴν τῶν δ΄ χρόνων συμπλήρωσιν οὐκ ἔχει ἐπ᾽ ἀδείας περὶ τῶν ἀκληρονομήτων πραγμάτων προσαγγέλλειν τῷ δημοσίῳ[24].

ιθ΄. Ἐὰν ἀποδειχθῇ τις, ὅτι ἔλαβε χρήματα, ἵνα συκοφαντήσῃ τινά, ἢ πάλιν ἵνα μὴ συκοφαντήσῃ ὡς ἤδη πρὸς τὸ κινῆσαι συκοφαντίαν εὐτρεπιζόμενος, ἐὰν ἓν ἀπὸ τῶν δύο τούτων ποιήσας τὶς ἐλεγχθῇ, ἀναγκάζεται ἀποδιδόναι τὰ χρήματα, ἅπερ ἔλαβεν, ἐντὸς μὲν χρόνου εἰς τὸ διπλάσιον, ἤγουν ἐὰν

---

[22] Att. XIX (27). [23] Att. XXVI (38). [24] Att. XXXIII (52).

ἐξότου τὰ χρήματα πρὸς τοῦτον ἐδόθησαν ἕως τοῦ φανῆναι τὴν κακουργίαν αὐτοῦ μὴ παραδράμῃ χρόνος ὁλόκληρος, μετὰ δὲ τὴν τοῦ χρόνου παραδρομὴν εἰς τὸ ἁπλοῦν, τουτέστιν ἐκείνην μόνην τὴν πρὸς αὐτὸν δοθεῖσαν ποσότητα[25].

κ'. Δίδωσί τις πολλάκις ἑτέρῳ χρήματα, ἵνα συκοφαντήσῃ τινὰ, καὶ μετὰ ταῦτα φαίνεται ἡ τοιαύτη κακουργία, καὶ ἀπαιτοῦνται ἀπὸ τοῦ λαβόντος τὰ χρήματα· τότε οὖν ἀφαιρεῖται μὲν τὰ τοιαῦτα χρήματα ὁ δημόσιος, οὐ δίδωσι δὲ τῷ ἐξ ἀρχῆς αὐτὰ δεδωκότι, ἀλλ' εἰ μὲν εὔπορός ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος, καθ' οὗ ἡ συκοφαντία ἐγένετο, δημόσια τὰ χρήματα γίνεται· εἰ δὲ ἄπορος, αὐτῷ δίδοται, κἄντε εἰς τέλος ἦλθεν ἡ συκοφαντία, κἄντε ἔκ τινος περιεκόπη ἐπισυμβάματος[26].

κα'. Πάλιν δίδωσί τις ἑτέρῳ χρήματα, ἵνα μὴ ῥᾳδιουργήσῃ αὐτόν· ἐκφεύγει τὴν συκοφαντίαν· παρέρχεται καιρός· ἀποκαθίσταται ἐν ἀσφαλείᾳ ὁ τὴν συκοφαντίαν φοβούμενος, καὶ τηνικαῦτα ἐπ' ἀδείας ἔχει ἀνακαλεῖσθαι τὰ ἅπερ ὑπὲρ τοῦ μὴ συκοφαντηθῆναι δέδωκε χρήματα. δαιμονίως τοῦτο τῷ νόμῳ ἐπινενόηται, ἵνα ὁ συκοφάντης κατ' οὐδένα τρόπον κερδαίνῃ, οὔτε ἐὰν λάβῃ ἵνα συκοφαντήσῃ, οὔτε ἐὰν λάβῃ ἵνα μὴ συκοφαντήσῃ τινά[27].

κβ'. Κατηγορεῖ τις ἑτέρου τινὸς ψευδῶς, καὶ συστῆσαι τὴν διαβολὴν ἀγωνίζεται· εἷς τρόπος οὗτος συκοφαντίας ἐστίν. ἔχει τὶς εἰπεῖν κατά τινος ἀληθῶς ἐπὶ πραγμάτων ἀναγκαιοτάτων, καὶ ἅπερ, ἂν[28] εἰσηγηθῶσι, μεγίστην βλάβην ἐμποιεῖ τῷ κοινῷ· τὰ τοιαῦτα ἢ οὐδόλως λέγει, ἢ λέγειν ἀρξάμενος σιωπᾷ καὶ οὐκ εἰς τέλος ἄγει τούτων τὴν δήλωσιν· ἄλλος τρόπος οὗτος συκοφαντίας ἐστὶ πρὸς τὸν πρὸ τούτου εἰρημένον καινότερος, ὡς οὐκ ἐκ τοῦ λέγειν γινόμενος, ἀλλ' ἐκ τοῦ

η'. Νεαρὰ τοῦ κυροῦ μανουὴλ τοῦ βασιλέως. — Θεσπίζομεν, μὴ ἐξεῖναι τοῖς στρατιώταις τὰ ἐξ ὧν αἱ στρατεῖαι ὑπηρετοῦνται κτήματα διαπωλεῖν, συντηρεῖσθαι δὲ εἰς ἑκάστην στρατείαν, ἱππέων μὲν ἀκίνητον κτῆσιν δ' λιτρῶν ὕπαρξιν ἀριθμεῖσθαι κελεύομεν, πλωΐμων δὲ λιτρῶν β'. μηδὲ ἄλλως κυριεύεσθαι τὰ στρατιωτικὰ τοῖς ταῦτα οἰῳδήποτε τρόπῳ χρωμένοις, εἰ μὴ ὁ τῆς μ'ετίας ἀνεπιφώνητος διαῤῥεύσει χρόνος. σχεδὸν γὰρ τοῖς κακῇ πίστει νεμομένοις ἠρίθμει τούτους καὶ πάλαι ἡ συνήθεια· πλὴν ὅσον οἱ μὲν ἐκ συναλλάγματος νεμηθέντες τὴν τῶν καρπῶν ζημίαν διέφυγον, οἱ δὲ κακῇ πίστει νεμόμενοι καὶ καρποὺς καὶ προσόδους καὶ πᾶσαν βλάβην κατετίθεντο, ὃ καὶ ἐν ἡμῖν ἀρέσκει.

---

[25] Att. XXXV (54). [26] Att. ibid. [27] Att. ibid. [28] Deest in B.

κρύπτειν σιωπῇ τὰ ἐγκλήματα. ἕτερος πάλιν κατηγορίαν κατά τινος ἐνστησάμενος ἔπειτα τελέως φυγοδικεῖ· τρίτος οὗτος τρόπος συκοφαντίας ἐστί. καθόλου δὲ πᾶς συκοφάντης ὑπόκειται ταῖς τῆς συκοφαντίας ποιναῖς[29].

κγ΄. Δεῖ δὲ γινώσκειν καὶ τοῦτο· ὁ δικαστὴς μετὰ τὸ ἐλευθερῶσαι τὸν κατηγορηθέντα παρά τινος ἀπολύει καὶ τὸν κατήγορον. καὶ ἐὰν μὲν οὕτως εἴπῃ πρὸς τὸν κατήγορον· ὅπερ εἶπας καὶ περὶ οὗ τὴν ἀγωγὴν ἐκίνησας, οὐκ ἀπέδειξας, φαίνεται ὁ δικαστὴς τοῦ κατηγόρου φειδόμενος, καὶ οὐκ ἐνέχεται οὗτος ὡς συκοφάντης ταῖς ποιναῖς τῶν συκοφαντῶν, ἀλλ' ἐλεύθερός ἐστιν ἀπ' αὐτῶν. εἰ δὲ ὁ δικαστὴς εἴποι πρὸς τοῦτον· ἐσυκοφάντησας, διὰ τὴν λέξιν ταύτην τήν· ἐσυκοφάντησας καταδικάζεται ὁ τοιοῦτος, καὶ ταῖς τῆς συκοφαντίας ὑποπίπτει ποιναῖς, κἂν μηδὲν εἴποι πλέον ὁ δικαστής[30].

κδ΄. Ὁ συκοφαντήσας ἐπὶ δημοσίῳ ἐγκλήματι κατὰ τὴν διάταξιν τῶν νόμων ἀτιμίᾳ καὶ περιορισμῷ ὑποβάλλεται[31].

κε΄. Ὁ κινήσας ὑπόθεσιν καὶ μὴ δυνηθεὶς αὐτὴν ἀποδεῖξαι καὶ μέλλων ὡς συκοφάντης καταδικάζεσθαι, οὐκ ὠφελεῖται οὐδ' ἐπιτυγχάνει ὁποιασοῦν συγχωρήσεως, οὐδ' ἐὰν βα-

---

θ΄. Εἴ τις στρατιώτην ἐν παροίκου λόγῳ εὑρεθείη κατέχων, εἰ μὲν αὐτὸς ἐκεῖνος καὶ τὰ ἐξ ὧν ἡ στρατεία ὑπηρετεῖται ἁρπάσας κτήματα ἔχει, [λς΄] χρυσοῦ νομίσματα ποινῆς ἕνεκεν ἀποτίσει, ἐξ ὧν ὁ στρατιώτης μὲν τὰ ἥμισυ λήψεται πρὸς ἐπανάληψιν τῆς ἀποκαταστάσεως αὐτοῦ, τὰ δὲ ἥμισυ λήψεται πρὸς ἐπανάληψιν ὁ δημόσιος ἧς χάριν ἐστερήθη δουλείας. εἰ δ' οὐχ ἁρπάσας ἀλλ' ἀγοράσας εὑρεθῇ τὰ στρατιωτικά, πρὸς μὲν τὸν δημόσιον [κδ΄] χρυσίου νομίσματα καταθήσει, πρὸς δὲ τὸν στρατιώτην ἀγωγὴν ὑπὲρ τοῦ τιμήματος οὐχ ἕξει. εἰ δὲ ἑτέρων αὐτοὺς ἐξελασάντων ἐκ τῶν οἰκείων ἄλλοι τούτους κατοικτείραντες ἐδέξαντο εἴτε παροικεῖν εἴτε θητεύειν, ἀνεύθυνοι ἔστωσαν· ὅσοι δὲ στρατιώτας ἱκανοὺς εἰς ἰδίας ὑπηρεσίας κατετόλμησαν ἔχειν τῶν φοσσάτων τούτους ἀποστερήσαντες, εἰς ἕκαστον ἐν ἑκάστῳ χρόνῳ ἓξ νομίσματα ὁ ἐξκουσσεύσας εἰσπραχθήσεται, καὶ ταῦτα ὁ δημόσιος οἰκειώσεται, εἰ μήπω ἀπὸ στρατηγῶν ἢ τῶν ἄλλων ἀρχόντων τούτους ἔτυχον δεδεγμένοι, καὶ οὗτοι ἐκ τῶν ἀποτεταγμένων εἰς ὑπηρεσίαν τοῦ στρατηγοῦ ἢ τῶν ἄλλων ἀρχόντων καθειστήκεισαν. εἰ γὰρ ἐκ τῶν ἔξωθεν καὶ τῆς κοινότητός εἰσιν, οὐκ ἀθωωθήσεται ὁ τούτους ἔχων, εἰ καὶ δεικνύειν ἑτοίμως ἔχει παρὰ τοῦ στρατηγοῦ ἢ ἄρχοντος ἐπιτραπῆναι κεχρῆσθαι αὐτῷ.

ι΄. Ἕτερος. — Ἐάν τινες μερίδας τινὰς ἀπὸ στρατιωτικῶν κατέχωσι τόπων, εἰ μὴ καλῇ πίστει τουτέστιν ἀγορᾶς ἢ δωρεᾶς ἢ

---

[29] Att. XXXV (54). [30] Att. ibid. [31] Att. ibid.

σιλικὴ προσταγὴ ἐγγράφως ὑπὲρ τούτου καταπεμφθῇ, ἐὰν μὴ ἡ ὑπόθεσις, εἰς ἣν ἐλέγχεται συκοφάντης, δημοσία ᾖ καὶ οὐκ ἰδιωτική· τότε γὰρ ἡ βασιλικὴ προσταγὴ δύναται αὐτὸν ὠφελεῖν, ὡς τῶν δημοσίων πραγμάτων τῶν διεξαγόντων αὐτὰς ὑπὸ τὴν βασιλικὴν ἐξουσίαν ἀναγομένων[32].

κς´. Οἱ σταθμοῖς νόθοις χρώμενοι τῇ τοῦ πλαστοῦ τιμωρίᾳ καὶ αὐτοὶ ὑπόκεινται[33].

κζ´. Ὁ[34] τῇ ἰδίᾳ συντέκνῳ ἢ κατὰ γάμον μιγνύμενος ἢ λάθρα συμπλεκόμενος, τουτέστι κατὰ σάρκα μιγνύμενος ταύτῃ καὶ συμφθειρόμενος σὺν αὐτῇ, ῥινοκοπείσθω. εἰ δὲ καὶ ὕπανδρος εἴη ἡ τοιαύτη γυνή, καὶ ἀμφότεροι σὺν τῷ ῥινοκοπεῖσθαι τυπτέσθωσαν. ὅρα, ὅτι τὸ τῆς συντέκνου βαρύτερον ὁ νόμος παρά τινας κρίνει αἱμομιξίας· τοῦτο δὲ γίνεται διὰ τὸ μεσολαβεῖν ἐν τοῖς τοιούτοις σχέσιν πνευματικήν, καὶ πνευματικὴν σχέσιν τῆς σωματικῆς ἰσχυροτέραν νομίζεσθαι[35].

κη´. Ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ, ἐν οἷς οὐ νόμος ἔγγραφος[36].

κθ´. Τοῦ συμφώνου παρανόμου ὄντος οὐδὲ ἐπερώτησις γενομένη κρατεῖ, οὔτε διὰ συμφώνου οὔτε δι᾽ ἐπερωτήσεως δύναται ἀναιρεθῆναι τὸ ἅπαξ γεγονὸς πρᾶγμα, οὔτε ἐκ τούτου τοῦ συμφώνου ἀγωγὴ ἢ πάκτον ἁρμόζει[37].

λ´. Οἱ στρατιωτικοὶ ἄρχοντες δικάζουσιν ἤγουν κρίνουσι τοῖς στρατιώταις ἐπὶ μόνων τῶν στρατιωτικῶν αἰτιῶν, ἤγουν τῶν στρατιωτικῶν ὑποθέσεων· ἐπὶ δὲ τῶν ἄλλων ζητημάτων οἱ κατὰ τόπους τὰ τοῦ δημοσίου διενεργοῦντες ἢ ἄλλως τινῶν τόπων ἄρχοντες καὶ τοῖς στρατιώταις δικάζουσιν[38].

λα´. Ὁ δι᾽ ἀπληστίαν ἐπὶ τούτῳ συνηγορῶν, ὥστε μετὰ τὴν νίκην[39] φανερὰν τῆς δίκης μοῖραν λαβεῖν, ἐπιμένων εἰς τοῦτο, τοῦ συνηγορεῖν ἐκβαλλέσθω[40].

λβ´. Συνηγορεῖν ἀξιωματικοῖς ἀνδράσι διὰ δόσιν μισθοῦ

ἀνταλλαγῆς ἢ ἐκλήψεως τρόπῳ ταύτας ἐκτήσαντο καὶ οὐδεμίαν ἀπὸ τοῦ χρόνου βοήθειαν ἔχουσιν ἐκ τῶν τοιούτων, τοὺς μὲν τόπους μόνους ἀφαιρεῖσθαι καὶ τοῖς ἐγκαλοῦσι στρατιώταις ἀναργύρως ἀποδιδόναι, ζημίαν δὲ μηδεμίαν τῷ κατασχόντι ἐπιφέρειν. εἰ δὲ ἐξ ἁρπαγῆς στρατιωτικοῦ τινες δεσπόζουσι τόπου, καὶ τὴν ζημίαν τῷ καθαρπάσαντι ἐπιφέρεσθαι.

---

[32] Att. XXXV (54). [33] Att. XXXV (59). [34] A Ἡ. [35] Att. XXXV (70). [36] Att. in App. — In E hoc caput deest. [37] Att. in App. ex Bas. XI, 1, 8. [38] Att. in App. [39] A δίκην. [40] Att. in App. (Leuncl. tit. 95).

ἢ ὑπόσχεσιν οὐκ ἔξεστιν. ἀλλ' εἰ μὲν θέλουσιν οἱ ἀξιωματικοὶ μὴ συνηγορεῖν, ἔστω· εἰ δὲ θέλουσι συνηγορεῖν, ἐπὶ αὐξήσει καὶ μόνῃ τῶν ἰδίων ἐπαίνων τοῦτο ποιείτωσαν καὶ λογιζέσθωσαν ὡς μισθὸν τοὺς ἐπαίνους[41].

λγ'. Συνήγοροι δὲ καθ' ἕκαστον δικαστήριον ὑπῆρχον ἀφωρισμένοι τὸ παλαιὸν, ἵνα προσεδρευόντων αὐτῶν αἱ δίκαι μὴ παρέλκωνται, ἤγουν αἱ εἰς κρίσιν ἀγόμεναι ὑποθέσεις μὴ παραβλέπωνται ἁπλῶς οὕτω καὶ παρατρέχωσι· παρηκολούθουν δὲ τῷ ἐπάρχῳ τῶν πραιτωρίων ρν', καὶ τῷ ἐπάρχῳ τῆς πόλεως ὡσαύτως[42].

λδ'. Σκηνικοὶ παρὰ τῷ νόμῳ καλοῦνται οἱ ἐπὶ τῶν σκηνῶν ἤγουν τῶν ὑποκρίσεων καὶ μιμήσεων πρὸς γέλωτα καὶ παίγνιον παραγόμενοι, καὶ λέγονται σκηνικοὶ ὡς τοιαῦτά τινα ἀπρεπῆ δηλονότι καὶ ἄσεμνα ὑποκρινόμενοι καὶ μιμούμενοι.

λε'. Μήτε μοναχὸς μήτε ἕτερός τις ἐν δημοσίῳ τόπῳ ἢ ἐν ᾧ θέα ἐπιτελεῖται σταυρὸν ἐπιβαλλέτω ἢ λείψανον ἅγιον[43].

λς'. Μηδεὶς ἐν ἐδάφει ἢ μυλίτῃ λίθῳ ἢ ἐν μαρμάρῳ ἐδαφικῷ γλυφέτω ἢ γραφέτω σταυρὸν, ἀλλὰ περιαιρείσθω, τὴν βαρυτάτην τοῦ παραβαίνοντος ὑφισταμένου ποινήν[44].

λζ'. Ἐάν τις κατὰ δόλον ἐν θορύβῳ ζημιώσῃ, εἴσω μὲν συναπτοῦ ἐνιαυτοῦ εἰς τὸ διπλοῦν ἐνέχεται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. θόρυβος δὲ γίνεται ἀπὸ δέκα ἀνθρώπων ἢ καὶ πλειόνων· ἡ γὰρ τῶν ἡττόνων μάχη καὶ οὐ[45] θόρυβος λέγεται. οὐ μόνον δὲ ὁ ἐν θορύβῳ ζημιώσας ἐνέχεται, ἀλλὰ καὶ ὁ ποιήσας δόλον ἐφ' ᾧ ἕτερον ζημιῶσαι, εἴτε παρῆν αὐτὸς τῷ θορύβῳ εἴτε καὶ μή[46].

λη'. Καὶ οἱ βουλευσάμενοι θόρυβον ἢ στάσιν ποιῆσαι, καὶ οἱ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους, καὶ ὁ ἔφηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος, καὶ οἱ ἐξ ἐφόδου ἀγροῖς ἐπιόντες καὶ ἁρπάζοντες πράγματα, τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται[47].

λθ'. Ὁ κλέψας ἀλλότριον ἅρμα τοῦ βαθμοῦ τῆς στρατείας ἐξωθεῖται[48].

μ'. Ὁ τὸ χαράκωμα παρεξιὼν ἢ διὰ τοῦ τείχους εἰς τὸ κάστρον εἰσιὼν κεφαλικῶς τιμωρεῖται. ὁ δὲ τὴν τάφρον ὑπερπηδῶν ἀποστρατεύεται. εἰ δὲ μέχρι φωνῆς ἢ ψιλῆς μέμψεως ἡ στάσις ἐστὶ, τοῦ βαθμοῦ ἐκβάλλεται[49].

---

[41] Att. in App. (Leuncl. tit. 95). [42] Att. ibid. [43] Syn. Σ, 1 ex Bas. I, 1, 10. [44] Syn. l. l. ex Bas. I, 1, 11. [45] A ὁ. [46] Syn. Σ, 2 ex Bas. LX, 17, 4. [47] Syn. l. l. ex Bas. LX, 18, 3. [48] Syn. Σ, 4 ex Bas. LVII, 1, 7. [49] Syn. l. l. ex Bas. LVII, 1, 8.

μα΄. Ὁ τραχεῖαν ἐξερεθίζων στρατιωτῶν *στάσιν* κεφαλικῶς τιμωρεῖται[50].

μβ΄. Ὁ τῷ περὶ μοιχείας ἐγκλήματι ἢ ἑτέρῳ δημοσίῳ καταδικασθεὶς οὐ δύναται *στρατιώτης* εἶναι[51].

μγ΄. Ὁ ἀπόφυγος γενόμενος ἐν καιρῷ πολέμου κεφαλικῶς τιμωρεῖται, ὁ δὲ ἐν εἰρήνῃ, ἱππεὺς μὲν ὢν ἐναλλάττει τὸν βαθμὸν, πεζὸς δὲ γενόμενος ἐκβάλλεται τῆς *στρατείας*[52].

μδ΄. Πᾶσα δὲ προπέτεια κατὰ τοῦ δουκὸς ἢ ἄρχοντος τοῦ *στρατιώτου* κεφαλικὴν ἐπάγει τιμωρίαν[53].

με΄. Ὁ *στρατιώτης*, ἔνθα στρατεύεται, οὐκ ἀγοράζει χωρίον, εἰ μὴ πατρῷον παρὰ τοῦ δημοσίου[54].

μς΄. Ὅτι ἐὰν εἰδήσει δεσπότου *στρατεύσηται* δοῦλος, ἀπόλλυσιν ὁ δεσπότης καὶ τὴν ἐπὶ τῷ δούλῳ δεσποτείαν καὶ πατρωνικὸν δίκαιον· εἰ δὲ καὶ ἀξίας ἐπέβη ὁ δοῦλος, τὰ αὐτὰ προβαίνει[55].

μζ΄. Καὶ ὅτι ὁ υἱὸς τοῦ τελευτῶντος *στρατιώτου* ὁ μείζων ὑπεισέρχεται εἰς τὸν τόπον τοῦ πατρὸς αὐτοῦ καὶ τὰς αὐτὰς ἀννόνας λαμβάνει[56].

μη΄. Οἱ τὰς δημοσίας ἱλαρίας τουτέστι τὰ κοινῶς λεγόμενα *συγχαρίκια*[57] εἴτε οὖν χαρμόσυνα ἐπιφερόμενοι μηδὲν παντελῶς παρὰ τῶν ἐπαρχεωτῶν λαμβανέτωσαν[58].

μθ΄. *Στατοῦτο* παρὰ τῷ νόμῳ πολλάκις τὸ ὡρισμένον καὶ τεταγμένον μέτρον τῶν κληρικῶν.

ν΄. *Στρίκτους* ἀγωγὴ ἡ περὶ δανείου ἀγωγὴ λέγεται, κυριώτερον δὲ, ὅταν ἐν ταὐτῷ καὶ περὶ κεφαλαίου καὶ περὶ τόκου ἡ κίνησις τῆς ὑποθέσεως γίνεται, τῶν δύο τούτων ζητουμένων ὁμοῦ. δεῖ δὲ εἰδέναι, ὅτι ἐν ταῖς τοιαύταις διπλαῖς ἀγωγαῖς, ἐὰν ὁ κριτὴς περὶ τῆς μιᾶς ἀποφήνηται, περὶ τῆς ἑτέρας δὲ μηδὲν εἴπῃ, οὐδὲν βλάπτεται ἐκ τῆς ἀποφάσεως ὁ περὶ τῆς ἄλλης κινεῖν βουλόμενος, ἀλλ᾽ ἔξεστιν αὐτῷ κινεῖν τὴν ἄλλην ὑπόθεσιν καὶ δικαιοῦσθαι, εἰς ὃ δίκαιον κέκτηται.

να΄. *Σύμφωνόν* ἐστι δύο τινῶν πρὸς ἀλλήλους περί τινος πράγματος συγκατάθεσις καὶ ὑπόσχεσις.

νβ΄. *Συμπαίζειν* τὸν κατηγοροῦντα τῷ κατηγορουμένῳ λέγεται τὸ ἐνδιδόναι καὶ συγχωρεῖν αὐτῷ τὰ κατηγορήματα,

---

50 Syn. Σ, 4 ex Bas. LVII, 1, 9. 51 Syn. l. l. ex Bas. LVII, 1, 12. 52 Syn. l. l. ex Bas. LVII, 1, 13. 53 Syn. l. l. ex Bas. LVII, 1, 14. 54 Syn. l. l. ex Bas. LVII, 1, 18. 55 Syn. l. l. ex Bas. LVII, 1, 44. 56 Syn. l. l. ex Bas. LVII, 7, 3. 57 B *συγχαρίβια*. 58 Syn. Σ, 5 ex Bas. LVI, 17, 65.

καὶ οἷον ἑκόντα ὑποχαλᾶν τε καὶ ὑπεξίστασθαι· ἀσυμπαίκτως δὲ πάλιν τὸ ἐναντίως διακεῖσθαι αὐτόν[59].

νγ΄. Ὁ γινόμενος προδότης ἰδίας κατηγορίας ἐπὶ ποιναλίῳ ἐγκλήματι ὑπομένει τὴν τιμωρίαν, ἣν ἔμελλεν ὁ ἐναγόμενος ὑποστῆναι[60].

νδ΄. Συνήγορος χρηματικὴν δίκην προδιδοὺς σφοδρῶς τιμωρεῖται, καὶ ὁ ποικίλως κατηγορῶν, καὶ ὁ τὴν ἰδίαν ὑπόθεσιν προδιδοὺς καὶ τῷ ἀντιδίκῳ συναγωνιζόμενος. τινὲς δὲ ποικίλως κατηγορεῖν τὸν τὴν ἰδίαν ὑπόθεσιν προδιδόντα φασίν[61].

νε΄. Σῖτον τῷ στρατοπέδῳ πεμφθέντα οὐδεὶς ἀγοράζειν δύναται. ὁ δὲ ἀγοράσας, εἰ μὲν σεμνὸς καὶ ἔνδοξος εἴη, δημεύεται· εἰ δὲ εὐτελής, κεφαλικῶς τιμωρεῖται. τὸ αὐτὸ γίνεται καὶ εἴ τις σίδηρον καὶ ὅπλα, εἴτε ἐργασμένα εἴτε ἀνέργαστα, βαρβάροις διαπωλήσῃ, εἴτε ἐν τοῖς οἰκείοις μένουσι τόποις, εἴτε ἐν τῇ τῶν ῥωμαίων χώρᾳ διὰ πρεσβείαν ἢ δι᾽ ἄλλον τινὰ τρόπον παραγενομένοις[62].

νϛ΄. Ἡ διὰ τῆς θέσεως ἤγουν τῆς θετῆς σχέσεως προσγινομένη συγγένεια ἀπόλλυται τῇ αὐτεξουσιότητι. καὶ ἡ ἐπὶ τῇ τοιαύτῃ συγγενείᾳ κληρονομία καὶ αὐτὴ συναπόλλυται[63].

νζ΄. Οἱ σύνδεσμοι πολλάκις καινοπρεπέστεροι παρὰ τῷ νόμῳ τίθενται, καὶ διὰ τοῦτο εὑρίσκονται πολλάκις οἱ διαζευκτικοὶ ἀντὶ συμπλεκτικῶν καὶ οἱ συμπλεκτικοὶ ἀντὶ διαζευκτικῶν. καλοῦνται δὲ οἱ διαζευκτικοὶ οἱ ἀντὶ τῶν συμπλεκτικῶν λαμβανόμενοι ὑποδιαζευκτικοί. εὕρηταί γουν πολλάκις κείμενον οὕτω „τόδε ἢ τόδε", νοούμενον δὲ ἀντὶ τοῦ „τόδε καὶ τόδε"· καὶ πάλιν „τὸ καὶ τὸ" δηλοῦν τὸ „τὸ ἢ τὸ", ὡς εἶναι ἐν τούτοις μὲν τὸ „καὶ" ἀντὶ τοῦ „ἢ", ἐκεῖσε δὲ ταὐναντίον τὸ „ἢ" ἀντὶ τοῦ „καί". δεῖ δὲ ἐν τοῖς τοιούτοις προσέχειν καὶ σκοπεῖν ἀκριβῶς τὸν ἀναγινώσκοντα, ἵνα μὴ τῇ τῶν συνδέσμων ἐναλλαγῇ ἐξαπατηθῇ[64].

νη΄. Στρατιώτης οὐ δύναται γενέσθαι οὔτε μισθωτὸς, οὔτε ἐγγυητὴς οὔτε διοικητὴς μισθωτοῦ[65].

νθ΄[66]. Οἱ συνήγοροι τῶν ἁγίων προκειμένων εὐαγγελίων ὡς τοῦ θεοῦ αὐτοὺς ἐφορῶντος οὕτω συνηγορείτωσαν[67].

---

[59] Ad Syn. *K*, 8 ex Bas. LX, 1, 10. [60] Syn. l. l. ex Bas. LX, 26, 6. [61] Syn. l. l. ex Bas. LX, 26, 2. [62] Syn. *K*, 10 ex Bas. XIX, 1, 85. 87. [63] Syn. *K*, 16 ex Bas. XLV, 2, 19. [64] Syn. *Δ*, 1 ex Bas. XLIV, 3, 102. [65] Syn. *M*, 13 ex Bas. XX, 1, 92. [66] C *μγ΄*, AD *νβ΄*. [67] Syn. *O*, 5 ex Bas. VII, 6, 14.

ΑΡΧΗ ΤΟΥ Τ[1].

α΄. Τελευτῶν τις ἄδειαν ἔχει ταῖς ἁγίαις ἐκκλησίαις καταλιμπάνειν τὰ ἑαυτοῦ, καὶ ξενῶνα καὶ νοσοκομεῖον καὶ μοναστήριον καὶ ναὸν προστάττειν δι' αὐτῶν κτίζεσθαι ἤγουν δι' ὧν ἀφῆκε πραγμάτων[2].

β΄. Τὰ τυχηρὰ πάντα, εἰ μὴ ἄλλως περὶ τούτων συμφωνηθῇ, κατὰ φύσιν τὸν δεσπότην τούτων ὁρᾷ[3].

γ΄. Ὅταν τὶς πρᾶγμα πωλήσῃ, καὶ ὁ ἀγοραστὴς τὸ πρᾶγμα λαβὼν οὐκ εὐθέως καταβάλῃ τὸ τίμημα ἀλλ' ἀργήσῃ καὶ διαβιβάσῃ καιρόν τινα, τότε παρὰ τοῦ τὸ πρᾶγμα πωλήσαντος καὶ τόκος ἀπαιτεῖται σὺν τῷ τιμήματι. τὴν δὲ τοιούτου τόκου ποσότητα ὁ δικαστὴς ὁρίζει πρὸς τὴν ἀργίαν καὶ τὴν διάβασιν τοῦ καιροῦ καὶ τοῦ πραθέντος πράγματος τὴν ποιότητα, καὶ καλοῦσι τοῦτό τινες τόκον ἐξ ὑπερθέσεως. ἡ ὑπέρθεσις δὲ δηλοῖ τὴν ἀργίαν καὶ τὴν ὑπερημερίαν· καὶ τὴν ἀγωγὴν ταύτην ἀριθμοῦσι ταῖς ἐπὶ καλῇ πίστει λεγομέναις γίνεσθαι ἀγωγαῖς· καὶ τὸ ἐπ' ἀδείας εἶναι τῷ δικαστῇ τὸν τόκον ὁρίζειν ὁπόσος ἔσται, ὀφφικίῳ τοῦ δικάζοντος τὸν τόκον ὁρίζεσθαι λέγουσιν[4].

α΄. Κανὼν περὶ τιμωρίας. — Τὸ δίκαιον, ὅπερ ἔχει τὶς τοῦ τιμωρεῖσθαι, οὐκ ἐντέλλεται ἄλλῳ.

β΄. Ἕτερος περὶ τυχηρῶν. — Τὰ τυχηρὰ δὲ τῶν ἀλόγων καὶ τὸν χωρὶς ῥαθυμίας θάνατον καὶ τὴν φυγὴν τῶν μὴ φυλάττεσθαι εἰωθότων δούλων καὶ τὴν ἁρπαγὴν καὶ τὸν θόρυβον καὶ τὸν ἐμπρησμὸν καὶ τὰ πλήθη τῶν ὑδάτων καὶ τὴν ἐπέλευσιν τῶν λῃστῶν οὐδεὶς ἐπιγινώσκει.

γ΄. Τόκος ἀνεπερώτητος οὐ ῥεπετιτεύεται ἤγουν ἀπαιτεῖται.

δ΄. Οἱ ἀναισχύντως τοκίζοντες καὶ τόκους τόκων ἀπαιτοῦντες ἀτιμοῦνται.

ε΄. Ὅτι ἐπερώτησις συμφωνίας διαφέρει, καὶ εἰ μὲν πρόσκειται τῷ ἐγγράφῳ· ὁμολογῶ παρέχειν σοι τόκους τοῦδε τοῦ δανείου χάριν, ὀφείλω. εἰ δὲ οὕτω γράψω· συμφωνῶ διδόναι σοι τόκους, οὐκ ἰσχυρῶς ἐνέχομαι.

ϛ΄. Ὁ μὴ κεχρεωστημένος τόκος εἰ μὲν πρὸ τοῦ κεφαλαίου καταβληθῇ, εἰς κεφάλαιον καταλογίζεται· εἰ δὲ μετὰ τὸ κεφάλαιον καταβληθῇ, ἐπειδὴ οὐκ ἔχει λοιπὸν εἰς τί καταβληθῇ, ἀναλαμβάνεται.

---

[1] A addit *βιβλίου*, D *στοιχείου*. [2] Att. III. [3] Att. VII (8).
[4] Att. XV (20).

δ'. Τόκος τόκου οὐκ ἀπαιτεῖται, ἀλλ' οὐδὲ τόκος ἀνεπερώτητος, τουτέστι περὶ οὗ ἐν τῇ ἀρχῇ τῆς ὑποθέσεως μὴ γέγονεν ἐπερώτησις ἢ συμφωνία[5].

ε'. Τῶν τόκων τὸ κεφάλαιον διπλασιαζόντων τὸ χρέος παύεται[6].

ϛ'. Οἱ μὲν ἰλλούστριοι, ἤγουν οἱ ἔνδοξοι καὶ μέγιστοι ἀξιωματικοὶ οἱ ἐν ταῖς ἀνωτέρω εὑρισκόμενοι τάξεσιν, ὑπὲρ μιᾶς λίτρας ἀπαιτεῖν ὀφείλουσι τόκον νομίσματα τέσσαρα· εἰ βούλονται δὲ, καὶ ἔλαττον τούτων· τῶν δὲ δ' νομισμάτων ἀπαιτῆσαι πλέον τούτοις οὐκ ἔξεστι. καὶ τοῦτο μὲν ἐπὶ τοῖς τοιούτοις προσώποις εἰς τόκον ἐπὶ τῇ λίτρᾳ ὁ νόμος ὥρισε, τοῖς ἐμπόροις δὲ ἤγουν τοῖς πραγματευταῖς καὶ τοῖς τὰ τοιαῦτα μετερχομένοις, ὡς τύχης οὖσιν ἀφανεστέρας καὶ τὴν ζωὴν ἐκ τῶν τοιούτων ἔχουσιν ἀφορμῶν, ἐπ' ἀδείας ἐστὶν ἄχρι νομισμάτων η' διμοίρου ἑκατοστῆς τόκον ἀπαιτεῖν ἐπὶ τῇ λίτρᾳ. σημαίνει γὰρ ἡ ἑκατοστὴ τὴν εἰς δώδεκά τινα περιϊσταμένην ποσότητα, ὡς εἶναι τὸ δίμοιρον ταύτης η'· ἑκατοστὴ δὲ τὰ ιβ' λέγονται, διότι ἐν τοῖς ἀνέκαθεν χρόνοις ἐπὶ τοῖς ρ' πράγμασι ιβ' πρὸς τὸ κοινὸν ἐξ αὐτῶν οἱ ἔχοντες κατεβάλλοντο. οἱ δὲ ἄλλοι πάντες νομίσματα ἓξ τόκον ἐπὶ τῇ λίτρᾳ λαμβανέτωσαν. πάντες δὲ οἱ πρὸς ἐκκλησίας καὶ ναοὺς καὶ θείους οἴκους δανείζοντες ὑπὲρ λίτρας τόκον γ' μόνα νομίσματα ἀπαιτείτωσαν· οἱ δὲ ναύταις καὶ τοῖς πλέουσιν ἐν τῇ θαλάττῃ δανείζοντες, ἐπεὶ αὐτοὶ δοκοῦσιν οἱ δανεισταὶ τὸν ἐκ τῆς θαλάττης ἀναδέχεσθαι κίνδυνον, τοῖς δανεισταῖς ἐπ' ἀδείας ἐστὶ μέχρι καὶ ιβ'

ζ'. Οἱ ἀπὸ συμφώνου τόκοι καταβληθέντες οὐ δύνανται ἀναλαμβάνεσθαι, οὐδὲ εἰς κεφάλαιον καταλογίζεσθαι· μὴ καταβληθέντες δὲ οὐκ ἀπαιτοῦνται.

η'. Ὁ δανειστὴς ὀφείλει δεικνύειν καὶ τὸ χρέος καὶ τὴν τῶν τόκων ἐπερώτησιν. τὸ γὰρ ἐπί τινα χρόνον ἀπὸ συναινέσεως τόκον λαβεῖν, οὐ ποιεῖ πρόκριμα τῷ χρεώστῃ.

θ'. Καρπῶν δανειζομένων δύναται καὶ ὁ ἀπὸ συμφώνου τόκος ἀπαιτεῖσθαι.

ι'. Ἐπὶ καρπῶν δανειζομένων ἔξεστι καὶ πλείονα τόκον ἐπερωτᾶν διὰ τὸ ἄδηλον τῶν καρπῶν.

ια'. Ὁ διαπόντια χρήματα καὶ καρποὺς δανείζων τελείαν ἑκατοστὴν δύναται λαβεῖν ἤτοι ιβ' νομίσματα εἰς τὴν λίτραν.

ιβ'. Ὁ μὴ κινδυνεύων δανειστὴς ἐπὶ τῷ πλωϊσμῷ τῆς θαλάσσης μείζονα τόκον οὐ λαμβάνει. σημείωσαι, ὅτι ἕτερον κεφάλαιον νόμου παντελῶς τὸν τόκον ἀπείργει.

---

5 Att. XV (20). 6 Att. ibid.

νομισμάτων ἀπαιτεῖν τόκον ἐπὶ τῇ λίτρᾳ τοῖς ἀξιωματικοῖς ὡς πλουσίοις καὶ διὰ τὴν ὑπεροχὴν τοῦ μεγαλείου τούτων καὶ τῆς τιμῆς, καὶ ὅτι οὗτοι καὶ φιλάνθρωποι ὀφείλουσιν εἶναι καὶ τοῖς ἄλλοις πρὸς πᾶν ἔργον ἀγαθὸν προκεῖσθαι παράδειγμα, ὀλίγον ὁ νόμος ἀπαιτεῖν τὸν τόκον ἐνέδωκε. τοῖς πραγματευομένοις δὲ ὡς ἐκ τῶν τοιούτων ἀφορμῶν πορίζομένοις τὸ ζῆν εἰς περισσότερον πάντων ηὔξησε. τοὺς ἄλλους δὲ ὥσπερ μέσους τῶν ἀξιωματικῶν καὶ πραγματευτῶν ἔταξεν. εἰς δὲ τὰ ναυτικὰ δάνεια ἐπέκεινα πάντων καὶ αὐτῶν τῶν πραγματευτῶν, δι' ἣν αἰτίαν φθάσαντες εἴπομεν· τῶν δὲ πρὸς ἐκκλησίας καὶ σεπτοὺς ἄλλους οἴκους δανείων τὸν τόκον ἠλάττωσε δι' εὐσέβειαν καὶ τὴν εἰς θεὸν ἀναφερομένην τιμήν[7].

ζ'. Τελώνης λέγεται ὁ διδοὺς δημόσιον τέλος ἢ ἀπαιτῶν. λέγεται δὲ πάλιν ἀπὸ τούτου τελώνης καὶ πᾶς ὁ πρᾶγμά τι παρὰ τοῦ δημοσίου μισθούμενος*.

η'. Οὐδεὶς ἄκων τέλος[8] μισθοῦται ἤγουν οὐδεὶς ἀναγκάζεται μὴ βουλόμενος τέλους ἀπαίτησιν ἀναδέξασθαι καὶ λαβεῖν μισθὸν ὑπὲρ τοῦ τόκου[9] τῆς ἀπαιτήσεως, οὐδὲ ἔχουσιν ἄδειαν οἱ τὰ τοῦ δημοσίου διενεργοῦντες βιάζεσθαι καὶ ἕλκειν τινὰ μὴ θέλοντα, ἵνα ἀναδέξηται δημόσιον τέλος καὶ λάβῃ τὸν ἐπὶ τούτῳ μισθόν[10].

θ'. Οἱ ἐπὶ τῆς ἐκμισθώσεως[11] τῶν τελῶν μεγάλως κερδαίνοντες, ἐὰν οὐχ εὑρίσκωνται ἄλλοι οἱ ἐπὶ τῷ αὐτῷ μισθῷ μισθώσασθαι βουλόμενοι ταῦτα, ἀναγκάζονται αὐτοὶ καταδέχεσθαι. τοῦτο δὲ τοιοῦτόν ἐστιν. ἔλαβόν τινες μισθὸν ἐπὶ τῷ ποιῆσαι τόδε τὶ ἢ τέλος τυχὸν δημόσιον ἀναδέξασθαι ἢ καὶ ἄλλο τὶ διαπράξασθαι· ἐνήργησαν ἐκείνην τὴν πρᾶξιν· ἐκέρδισαν[12] οὐχ ἁπλῶς ἀλλὰ μεγάλως, τουτέστι κατὰ πολύ· ἐπλήρωσαν τὸν τῆς μισθώσεως χρόνον· ἐπέθεντο τὴν ἐνέργειαν· ἐνήλλαξεν ὁ καιρὸς πολλάκις τὰ πράγματα· οὐχ εὑρίσκονται ἄλλοι, ἵνα ἐπὶ τῷ αὐτῷ μισθῷ τὴν ἐνέργειαν ἀναδέξωνται, διότι ὁρῶσιν ὡς οὐ μόνον οὐδὲν κερδίσουσιν, καθὼς οἱ πρὸ τούτων ἐκέρδισαν, ἀλλὰ τοὐναντίον καὶ τὰ μεγάλα ζημιωθήσονται· τότε γοῦν ἀναγκάζονται ἐκεῖνοι, οἱ τοσοῦτον ἐκ τῆς μισθώσεως ὡς προελέχθη κερδίσαντες, καὶ πάλιν ἐπὶ τῷ αὐτῷ μισθῷ τὴν ἐνέργειαν ἀναδέξασθαι. καὶ οἱ ἐπὶ τῶν δημοσίων τεταγμένοι πρα-

---

[7] Att. XV (20). * Att. XXIII (51). [8] Hoc verbum, in A a correctoria manu supra lineam additum, in B deest. [9] An πόνου? [10] Att. XXIII (51). [11] A prima manu μισθώσεως habet, et sic etiam B. [12] A in margine: ἰστέον ὅτι τὸ ἐκέρδισαν ἐκ τοῦ κερδίζω γράφω ι'.

γμάτων, ὅταν ἐκδώσωσί τισι δημοσιακὴν ἐνέργειαν ἐπὶ μισθῷ, καὶ γνωρίσωσιν ἐκείνους πάνυ πολλὰ ἐκ τῆς αὐτοῖς ἀνατεθείσης δουλείας κερδίσαντας, εἶτα μετὰ τὸ πληρωθῆναι τὸν χρόνον τῆς ἐνεργείας διὰ τὴν τοῦ καιροῦ καὶ τῶν πραγμάτων μεταβολὴν οὐχ εὑρίσκουσιν ἄλλους ἐπὶ τῷ αὐτῷ μισθῷ τὴν ἐνέργειαν ἀναδέξασθαι, ἔχουσιν ἐπ' ἀδείας ἕλκειν τοὺς πρώτους, κἂν καὶ μὴ θέλωσιν, εἰς τὴν τῆς ἐνεργείας ἀναδοχήν[13].

ι'. Τὸ κλεπτοτελωνηθὲν δημεύεται τουτέστι δημοσιεύεται. κλεπτοτελωνηθὲν δὲ λέγεται τὸ πρᾶγμα ὅπερ τελωνηθέν, ἤγουν ὑπὲρ δημοσίου τέλους ἀπαιτηθέν, δολίως ἀφαιρεθῇ καὶ κλαπῇ. καὶ πάλιν κλεπτοτελωνηθὲν λέγεται, ὅπερ ἀφέληταί τις κλέψας καὶ ἀπατήσας τινὰ ὡς τὰ τοῦ δημοσίου ἀπαιτῶν τέλη, καὶ ὡς αὐτὸ τὸ πρᾶγμα ἀποδοθῆναι ὀφεῖλον ὑπὲρ τοῦ τέλους τοῦ δημοσίου. ὁ γὰρ τοιοῦτος κατ' ἀμφότερα κλέπτει, καὶ ὡς ἀπαιτῶν τὸ μὴ ὀφεῖλον ἀπαιτηθῆναι καὶ ὡς πράττων ὅπερ οὐκ ἐτάχθη ποιεῖν. οὐκοῦν ὁπόταν τὶς τεταγμένος ἀπαιτεῖν τὰ τοῦ δημοσίου ἀπαιτήσῃ τὶ καὶ παρυποκλέψῃ καὶ μὴ ἀποδώσῃ τῷ δημοσίῳ, τὸ τοιοῦτον πρᾶγμα ὡς κλεπτοτελωνηθὲν καὶ κρατηθὲν ἀπὸ τοῦ δημοσίου τέλους δημοσιεύεται. καὶ ὁπόταν μηδὲ τεταγμένος ὅλως εἰς δημοσίαν ἐνέργειαν μηδὲ πρᾶγμα δημοσίῳ τέλει ἀνῆκον ἀπαιτήσῃ τινὰς μὴ εἰδότας καὶ λάβῃ σὺν δολιότητι, καὶ τότε ὡς κλεπτοτελωνηθὲν τοῦτο δημοσιεύεται[14].

ια'. Τὴν οὐσίαν τοῦ τυραννήσαντος οὐκ ἔχει τὶς ἄδειαν ἐξαιτεῖσθαι διὰ τὰς ἐντεῦθεν ἀναφαινομένας ὑποψίας. χωρὶς δὲ αἰτίας εἴ τι ταύτης παρὰ τοῦ βασιλέως χορηγηθείη τινί, ἀκωλύτως κατέχει αὐτό[15].

ιβ'. Ὅταν ζῶον τετράποδον ἑτέρου δεσπότου ὂν ποιήσῃ ζημίαν εἰς πρᾶγμα, ὅπερ ἕτερος κέκτηται, καὶ κινήσῃ ὁ τὴν τοιαύτην ὑπομείνας ζημίαν ἀγωγὴν κατὰ τοῦ δεσπότου τοῦ ζώου, ἔξεστι τῷ ἔχοντι τὸ τὴν ζημίαν ποιῆσαν ζῶον ἢ ἐκδιδόναι τὸ ζῶον ἢ τὴν παρ' αὐτοῦ γενομένην ζημίαν ἀποδιδόναι[16].

ιγ'. Γίνεται ζημία παρὰ ζώου πολλάκις οὐ διὰ τὴν φύσιν αὐτοῦ, ἀλλὰ διὰ τὴν θέσιν τοῦ τόπου ἢ τὴν τοῦ μουλίωνος ἀπειρίαν (μουλίωνα δὲ καλοῦσι τὸν τὸ ζῶον ἐλαύνοντα)· πολλάκις γὰρ ὁ μουλίων, ὁ ἀνηλάτης φέρε εἰπεῖν, ἢ ὁ ἐλαύνων τὰς

---

[13] Att. XXXIII (51). [14] Att. ibid. — B δημεύεται, quod et in A a correctoria demum manu in δημοσ. mutatum est. [15] Att. XXXIII (52). [16] Att. XXXV (55).

βοῦς βάρος πολὺ ἐπιθεὶς τῷ ζώῳ, ἢ εἰς τόπον διαβιβάσας ἀνεπιτήδειον, ἢ ἀπείρως καὶ κακῶς ἐλαύνων αὐτὸ, αἴτιος τοῦ τὸ ζῶον συμπεσεῖν γίνεται καὶ ζημίαν ποιῆσαί τινι, ἢ τῷ δεσπότῃ τοῦ ζώου ἢ καὶ ἄλλῳ ξένῳ ἀνθρώπῳ. καὶ εἰ μὲν διὰ τὴν θέσιν τοῦ τόπου ἡ σύμπτωσις τοῦ ζώου καὶ ἡ ἐκ ταύτης ζημία γίνεται, οὔτε ὁ μουλίων ἤγουν ὁ τὸ ζῶον ἐλαύνων, οὔτε ὁ τοῦ ζώου δεσπότης ἐνέχεται, οὐδὲ ἀποδίδωσι τὰ συντριβέντα ἢ ἀπολεσθέντα ἐκ τῆς τοῦ ζώου συμπτώσεως, ὑέλλους τυχὸν ἐκεῖσε παρευρημένους ἢ σκεύη κεράμεια· ὅταν δὲ ἐκ τῆς τοῦ ἐλαύνοντος ἀπειρίας ἢ δολιότητος ἡ πτῶσις τοῦ ζώου καὶ ἡ ἐκ ταύτης ζημία γένηται, ὁ τὸ ζῶον ἐλαύνων ἐνέχεται. καὶ τότε εἰ μὲν ἑκὼν οὗτος τὸ ἑαυτοῦ πταῖσμα ὁμολογεῖ, τὸ ἀπολεσθὲν ἁπλοῦν ἀποδίδωσιν· εἰ δὲ ἀρνήσηται πρῶτον, εἶτα ἀπελεγχθῇ, τὸ ζημιωθὲν ἀπαιτεῖται εἰς τὸ διπλάσιον[17].

ιδ΄. Ἐὰν ἐν τόπῳ δημοσίας παρόδου ἔχωσί τινες συνήθειαν ἵστασθαι, καί τις τῶν εἰς τὰς οἰκίας καταμενόντων τῇ παρόδῳ τῶν πλησιαζουσῶν[18] χύσῃ ἢ ῥίψῃ τὶ, καὶ γένηται ζημία εἰς τοὺς ἱσταμένους ἐν τῇ παρόδῳ, οἱ τὴν οἰκίαν οἰκοῦντες ἀπαιτοῦνται τὴν ζημίαν εἰς τὸ διπλάσιον. ὁ ἀναγινώσκων ὀφείλει ἐν τούτοις σκοπεῖν τὸ κατὰ συνήθειαν· τοῦτο γὰρ πᾶσαν τὴν ἰσχὺν ἔχει. εἰ δὲ αὐτὸ ἐκβληθῇ, οὐδεμία ἐπὶ τῇ ὑποθέσει ταύτῃ γίνεται ἀγωγή[19].

ιε΄. Τὸ τῆς τυμβωρυχίας ἔγκλημα τοῖς ἀτιμοποιοῖς ἤγουν τοῖς ἐπιφέρουσιν ἀτιμίαν συντάττεται[20].

ιϛ΄. Ἐάν τις ἀπὸ τοῦ τάφου ἀφέληται οἱανδήτινα ὕλην, κ΄ λίτρας χρυσίῳ τῷ δημοσίῳ διδότω· εἰ δὲ μὴ εὔπορος ᾖ, εἰς τὸ σῶμα αὐτοῦ διὰ πληγῶν τιμωρείσθω[21].

ιζ΄. Πολλάκις τινὲς ἀφαιροῦνται ἀπὸ τῶν τάφων τινὰ, πολλάκις δὲ καὶ ἀπὸ τῆς σοροῦ (σορὸς δὲ ἐνταῦθα καλεῖται τὸ ἐπάνω τοῦ τάφου πρὸς φυλακὴν ἢ καλλωπισμὸν ἐποικοδομούμενον)· πάλιν πολλάκις ἀφαιροῦνταί τινες ἀπὸ τῶν κιόνων ἢ τῶν τοίχων τῶν βασταζόντων τὸν οἶκον, οὗ ἔνδον ὁ τάφος ἐστίν. ὅστις γοῦν ἔκ τινος τῶν τοιούτων ἀφέληταί τι, τῷ τῆς ἱεροσυλίας ἐγκλήματι καθυπόκειται[22].

ιη΄. Ἄλλος δὲ νόμος φησίν· οἱ τυμβωρυχοῦντες καὶ γυμνοῦντες τὰ τῶν τεθνεώτων σώματα, εἰ μὲν μεθ' ὅπλων τοῦτο ποιήσουσι, κεφαλικῶς τιμωροῦνται· εἰ δὲ χωρὶς ὅπλων,

---

[17] Att. XXXV (55). [18] Sic AB. Legerim τὰς τῇ παρ. πλησιαζούσας.
[19] Att. ibid. [20] Att. XXXV (60). [21] Att. ibid. [22] Att. ibid.

τῇ εἰς μέταλλον τιμωρίᾳ ὑπόκεινται. ὥστε κατὰ τῶν τυμβωρύχων παρὰ τοῦ νόμου τρεῖς ἀποφάσεις ἐκφέρονται· ἡ ζημία καὶ πληγαῖς τοὺς τυμβωρύχους καθυποβάλλουσα (τυμβώρυχοι δέ εἰσιν οἱ τοὺς τύμβους ἤτοι τοὺς τάφους ὀρύττοντες), ἡ τῷ τῆς ἱεροσυλίας αὐτοὺς ἐγκλήματι καθυποβάλλουσα, καὶ ἡ κεφαλικῶς τιμωροῦσα ἢ εἰς μέταλλον κατακρίνουσα. τοιαῦται δὲ αἱ ἀποφάσεις κατὰ τῶν τυμβωρύχων εἰσὶν, ὅτι καὶ οἱ τάφοι ἐν διαφόροις τόποις καὶ κατὰ καιροὺς διαφόρους γίνονται, καὶ οἱ ὀρύττοντες τούτους ἄλλης καὶ ἄλλης γνώμης εἰσὶ καὶ τύχης καὶ καταστάσεως, καὶ χρὴ τὸν δικαστὴν ταῦτα πάντα σκοποῦντα ἁρμοδίαν καὶ πρόσφορον πρὸς τὰ πράγματα ποιεῖν τὴν ἀπόφασιν[23].

ιθ'. Ἐάν τις ὡς ἐπὶ τυραννίδι ἐλεγχθεὶς τιμωρίαν ἤγουν δήμευσιν ὑποστῇ, οἱ μὲν ἔχοντες αὐτοῦ πράγματα καὶ διάγοντες ἐν τῇ βασιλίδι πόλει ἐντὸς β' μηνῶν ὀφείλουσιν αὐτὰ προσαγγεῖλαι, οἱ δὲ μὴ διάγοντες ἐν τῇ βασιλίδι πόλει εἴσω μηνῶν ὀκτώ. εἰ δὲ μὴ τοῦτο ποιήσουσι, τὸ τετραπλάσιον μετὰ τῶν πραγμάτων παρέχουσι[24]. πραγμάτων ἐκείνων, οἵτινες διὰ φόβον θανάτου ἢ τιμωρίαν[25] ὑπὸ τῶν ἀντιδίκων αὐτῶν ὑπεφθάρησαν[26].

κ'. Τὸ τίς καὶ ἄῤῥενας καὶ θηλείας δηλοῖ[27].

κα'. Τριῶν ὄντων κριτῶν, ἐὰν ὁ εἷς λίπῃ, οὐκ ἔχουσιν ἄδειαν οἱ δύο κρίνειν χωρὶς καὶ τοῦ ἑνός· ἐὰν δὲ καὶ οἱ τρεῖς ὦσι καὶ κρίνωσιν ἅμα, διαφωνῶσι δὲ πρὸς ἀλλήλους, ἤγουν οὐ συμφώνους καὶ ὁμοίως ἐχούσας τὰς ἀποφάσεις ποιῶσιν, ἀλλ' οἱ μὲν δύο τόδε τὶ λέγωσιν, ὁ δὲ εἷς ἄλλο τὶ κρίνει, παρὸ δοκεῖ τοῖς δυσὶ, νικῶσιν οἱ δύο καὶ γίνεται τὸ δοκοῦν αὐτοῖς. τοῦτο φαίνεται μὲν καινὸν, ὅτι ἀπόντος ἤγουν λείποντος τοῦ ἑνὸς μὴ δυνάμενοι κρίνειν οἱ δύο, παρόντος δὲ καὶ ἐνδημοῦντος ἰσχυρότεροι γίνονται· οὐκ ἐστὶ δὲ καινόν. ἀλλὰ τὸ μὲν μὴ κρίνειν, ὅταν ὁ εἷς λίπῃ, τοὺς ἄλλους δύο, εὐταξίας ἐστὶ καὶ εὐπρεπείας φυλακτικόν· τὸ δὲ παρόντος καὶ αὐτοῦ δυνατωτέρους εὑρίσκεσθαι τοὺς λοιποὺς, τὸ δίκαιον σώζει καὶ ἀποπληροῖ τὸ τῇ φύσει τῶν πραγμάτων ἀκολουθοῦν. κατὰ δὲ τὸν παρὰ τοῖς νέοις κρατήσαντα νόμον γίνεται τοῦτο· ὅταν οἱ κριταὶ ἀλλοίας καὶ ἀλλοίας καὶ διαφόρους ποιῶσι τὰς ἀποφάσεις,

---

[23] Att. XXXV (60). [24] Att. XXXV (79). [25] B *κατηγορίαν*. [26] Nimirum haec verba *πραγμάτων ἐκείνων κτλ.* corrupta sunt ex rubrica apud Attalensem praeposita his, quae ibi post praecedens caput sequuntur. Cf. rubrica tituli, qui apud Leunclavium 80 est. [27] Att. in App.

τότε εἷς ἕκαστος αὐτῶν ποιεῖ ἐγγράφως τὴν ἰδίαν ἀπόφασιν, καὶ σκοποῦσιν ἄλλοι αὐτὰς καὶ τὴν φαινομένην εὐλογωτέραν καὶ δικαιοτέραν στέργουσι. διορίζεται δὲ ὁ παρὰ τοῖς νέοις κρατῶν νόμος, ἵνα οἱ τὰς ἀποφάσεις τῶν κριτῶν σκοποῦντες μὴ ἀποβλέπωσι πρὸς τὸ πλῆθος μηδὲ λογίζωνται τὸ τίνες εἰσὶ πλείονες ἤγουν περισσότεροι, ἀλλὰ τίνες πρὸς τὴν ἀλήθειαν καὶ τὸ δίκαιον μᾶλλον νεύουσιν[28].

κβ'. Τινὲς εἰς ὅσον εὐποροῦσι καὶ μόνον καταδικάζονται, καὶ οὐ καταναγκάζονται εἰς πλέον, οὐδὲ βιάζονται ἵνα δώσωσι περισσότερον παρὸ δύνανται· οἷον γονεὺς, πάτρων, πατρώνισσα, καὶ παῖδες αὐτῶν καὶ γονεῖς, καὶ ἀνὴρ περὶ προικὸς ἐναγόμενος καὶ κοινωνοί. δεῖ δὲ γινώσκειν, ὅτι ὁ ἀνὴρ καὶ ὁ κοινωνὸς οὕτως οὐδὲν ὑπὲρ ὃ δύνανται ἀναγκάζονται καταβαλέσθαι, ἐὰν ἡ κοινωνία καὶ ὁ γάμος συνιστάμενα εἶεν καὶ μὴ διαλυθῶσιν. εἰ δὲ ὁ γάμος ἢ ἡ κοινωνία διαλυθῇ, καὶ εἰς ὃ οὐ δύνανται ἀναγκάζονται[29].

κγ'. Τιθὴ ἡ τοῦ πατρὸς μήτηρ καὶ τῆς μητρὸς, ἢ καὶ μάμμη καὶ μαῖα· τιθὴς ἡ θεῖα, ἥ τε ἐκ τοῦ πατρὸς καὶ ἐκ τῆς μητρός.

κδ'. Τέμνειν ἐστὶν οὐ μόνον τὸ τελέως καὶ ὁλοκλήρως κόπτειν, ἀλλὰ καὶ τὸ μετρίως πλῆξαι ἐπὶ τῷ τεμεῖν[30].

κε'. Τελευτήσαντος τοῦ ἀνδρὸς ἀναγκάζεται ἡ γυνὴ τὸ ἐλάχιστον ἤγουν τὸ ὀλιγότερον χρόνον ἕνα χωρὶς ἀνδρὸς καρτερεῖν. εἰ δὲ πρὸ τοῦ συμπληρωθῆναι τὸν χρόνον εἰς γάμους ἔλθῃ δευτέρους, τιμωρίαις παρὰ τῷ νόμῳ διαφόροις ὑπόκειται· βραχυτέραις μὲν, εἰ οὐκ ἔχει παῖδας ἐκ τοῦ προτέρου ἀνδρὸς, μείζοσι δὲ τουτέστι μεγαλωτέραις, εἰ καὶ παῖδας ἔχει[31].

κς'. Τελευτήσαντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς εἰς γάμους ἐρχομένης δευτέρους δύνανται οἱ ἐκ τοῦ προτέρου ἀνδρὸς παῖδες εὐθὺς τῶν πατρικῶν αὐτῶν πραγμάτων κύριοι γίνεσθαι, καὶ τὴν μητέρα ἀπὸ τούτων ἐκβάλλειν· ὡσαύτως καὶ ἐπὶ τοῦ ἀνδρός[32].

κζ'. Ἐὰν τυφλὸς ἀγράφως διατίθεται παρόντων ζ' ἢ ε' μαρτύρων καὶ ταβουλαρίου, προλεγέτωσαν[33] ἐφ' ᾧ διαθέσθαι συνεκαλέσατο αὐτοὺς, καὶ οὕτως ἐκφωνείτω τὸ ὄνομα τὰ σημεῖα καὶ τὰ ἀξιώματα τῶν κληρονόμων, καὶ ἐκ πόσου μέρους αὐτοὺς γράφει, καὶ τί βούλεται ἕκαστον λαβεῖν[34].

[28] Att. in App. [29] Att. ibid. [30] Syn. Δ, 3 ex Bas. LX, 16, 5. [31] Syn. Δ, 7 ex Bas. XXVIII, 14. [32] Syn. l. l. ex Bas. XXVIII, 14. [33] Malim προλεγέτω. [34] Syn. Δ, 16 ex Bas. XXXV, 3, 8.

κη΄[35]. Ἀπαγορεύομεν δὲ τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις καὶ ὑποδιακόνοις καὶ ἀναγνώσταις καὶ παντὶ ἄλλῳ οἱῳδήποτε εὐαγοῦς πράγματος προεστῶτι ταυλίζειν ἢ τῶν τὰ τοιαῦτα παιζόντων κοινωνοὺς ἢ θεωρητὰς γίνεσθαι[36].

κθ΄. Καὶ[37] πᾶς ἕτερος παρὰ γνώμην τοῦ διαθεμένου εἰς τάφον κληρονομιαῖον εἰσάγων, ἐνέχεται ταύτῃ τῇ ἀγωγῇ. δύναται γὰρ ὁ τελευτήσας καὶ τελείως καὶ τίνας τῶν κληρονόμων εἰσαγαγεῖν κωλῦσαι[38].

λ΄. Ἐὰν οἰκέτης τάφον καταλύσῃ, εἰ μὲν παρὰ γνώμην τοῦ δεσπότου τοῦτο ποιήσει, μεταλλίζεται· εἰ δὲ κατὰ κέλευσιν ἐκείνου, ἐξορίζεται[39].

λα΄. Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι[40].

λβ΄. Ὅτι οὐκ ἔξεστι συνθάπτειν τοῖς τεθνεῶσι χρήματα[41].

λγ΄. Τάφος ἐστὶν, ἐν ᾧ σῶμα ἢ ὀστέα ἀπετέθη, οὐ πᾶς ὁ ταφῇ ἀφορισθεὶς, ἀλλ᾽ ὅσον ἐστὶ τὸ σῶμα. μνημεῖον δέ ἐστι τὸ διὰ τὴν μνήμην φαινόμενον[42].

λδ΄. Ἄνευ βασιλικῆς κελεύσεως οὐκ ἔξεστι τῷ ἄρχοντι ἢ τῷ καθολικῷ καινὸν ἐπιθεῖναι τὸ τέλος, ἢ τὸ νέον ἢ τὸ παλαιὸν αὐξῆσαι ἢ μειῶσαι[43].

λε΄. Τῶν μὲν ἀλόγων ζώων καὶ θρεμμάτων αἱ γοναὶ ὡς καρπὸς λογίζονται, τῶν δὲ ἀνθρώπων οἱ τοκετοὶ οὐ λογίζονται ὡς καρποὶ, οὐδὲ ἀνήκουσι τῷ ὀφείλοντι λαμβάνειν τοὺς καρποὺς, ἀλλὰ τῷ δεσπότῃ τοῦ πράγματος[44].

λϛ΄. Τῶν ἐναγομένων τελευτώντων ἀναιρεῖται ἡ δημοσία κατηγορία[45].

λζ΄. Τὸν κοινὸν τοῖχον οὐ δύναται ὁ εἷς τῶν κοινωνῶν καταλύειν ἢ ἀνανεοῦν[46].

λη΄. Ἐν τῷ κοινῷ τοίχῳ καπνούχους[47] ἐπιτιθέναι οὐκ ἔξεστιν, μαρμαροῦν καὶ γράφειν τὸν κοινὸν τοῖχον ἔξεστιν[48].

---

[35] Ordo Synopseos hoc loco mirum quantum turbatus est: nam capita 36—44 hic potius, non inferius collocanda erant. Librarii folium aliquod archetypi, ob perversam puta ligaturam, inverso ordine descripsisse videntur. [36] Syn. *T*, 2 ex Bas. III, 1, 20. [37] Lege *Καὶ κληρονόμος καὶ πᾶς*. [38] Syn. *T*, 5 ex Bas. LX, 23, 3. [39] Syn. l. l. ex Bas. LX, 23, 12. [40] Syn. l. l. ex Bas. LX, 23, 15. [41] Syn. l. l. ex Bas. LX, 45, 5. [42] Syn. l. l. ex Bas. LIX, 1, 2. [43] Syn. *T*, 7 ex Bas. LVI, 1, 9. [44] Syn. *K*, 3 ex Bas. XXIII, 3, 28. [45] Syn. *K*, 8 ex Bas. LX, 1, 24. [46] Syn. *K*, 9 ex Bas. LVIII, 2, 8. [47] A *καπνούς*, Synopsis *καπνοδούχους*. [48] Verba *μαρμαροῦν—ἔξεστιν* A non habet.

ὡς ἐπὶ τὸ πολὺ τὰ ἐπιτερπῆ οὐκ ἀποτιμῶνται πλείονος ἢ αἱ μαρμαρώσεις. εἰσὶ δὲ ἐπιτερπῆ τὰ πρὸς τέρψιν καὶ εὐφροσύνην γινόμενα, οἷον ζωγραφίαι, γλυφαὶ καὶ ἀποτορνώσεις. ταῦτα γοῦν τὰ ἐπιτερπῆ τόσου ἄξια τιμήματος ὁ νόμος ὁρίζεται, ὁπόσου καὶ αἱ μαρμαρώσεις εἰσὶ, καὶ ἐὰν τυχὸν οἶκον ὁλόκληρον ἢ πολλάκις τοῖχον καταχαλάσῃ τὶς ξένον ἔχοντα ἐπιτερπῆ καὶ μαρμαρώσεις, τόσου τιμήματος ἀπαιτεῖται ζημίαν εἰς τὰ ἐπιτερπῆ, πόσου ἀπαιτεῖται καὶ εἰς τὰς μαρμαρώσεις[49].

λθ'. Τῷ κοινῷ τοίχῳ σωλῆνας ἤγουν σωληνάρια ἑνοῦν κεκώλυται, βαλανεῖον ἔχειν πλησίον τοῦ κοινοῦ τοίχου οὐ κεκώλυται. τὴν δὲ ἐκ τοῦ βαλανείου ἤγουν τοῦ λουτροῦ ὑγρασίαν ἕως τόσου ἐν τῷ κοινῷ τοίχῳ εἶναι οὐ κωλύει ὁ νόμος, ἕως ἂν μηδὲν ἐκ ταύτης ὁ τοῖχος βλάπτηται· ἡνίκα δὲ βλάπτηται ὁ τοῖχος, κωλύεται[50].

μ'. Σκάλα ἐπιτίθεσθαι τῷ κοινῷ τοίχῳ δύναται, ἐπεὶ καὶ μετατίθεσθαι ἡ σκάλα δύναται[51].

μα'. Ὁ τρυπῶν τεῖχος καὶ ἀφαιρούμενός τι ἐξ αὐτοῦ, ἐνέχεται τῷ δὲ πεκουλάτους ἐγκλήματι, ἤγουν τῷ τῶν παρανοσφιστῶν καὶ ὑποκρατητῶν[52].

μβ'. Τὸ κλεπτοτελωνηθὲν τέλος μετὰ πενταετίας παραδρομὴν ὁ δημόσιος ἀπαιτεῖν δύναται οὐδαμῶς[53].

μγ'. Τελευτῶν τις παῖδας νομίμους καὶ φυσικοὺς, ἤγουν ἐκ παλλακῆς, κατέλειψεν. ὀφείλει ὁ τοιοῦτος τοῖς μὲν νομίμοις παισὶ τὸν λοιπὸν πάντα βίον ἀφιέναι, οὐγγίαν δὲ μόνην μίαν τῇ παλλακῇ καὶ τοῖς φυσικοῖς παισίν. εἰ δὲ μόνη παλλακὴ εἴη, ἡμιούγγιον ἀφίεται αὐτῇ. εἰ δὲ παῖδας νομίμους οὐκ ἔχει, ἀνιόντας δὲ ἔχει, πρῶτον αὐτοῖς ὀφείλει τὸ ἐκ τοῦ νόμου τεταγμένον διδόναι, εἶτα τῇ παλλακῇ καὶ τοῖς ἐκ ταύτης παισὶν ἀφιέναι ὃ βούλεται. εἰ δὲ μὴ ἀνιόντας ἔχει, ὃ θέλει διαπραττέσθω εἰς τὴν παλλακὴν καὶ τοὺς παῖδας τοὺς ἐξ αὐτῆς. εἰ δὲ ἀδιάθετος τελευτήσας τὶς ἀφήσει παῖδας νόθους καὶ παλλακὴν, δύο οὐγγίαι τῇ παλλακῇ καὶ τοῖς παισὶ δίδονται· πλὴν εἰ μίαν παλλακὴν ἔχοι. εἰ δὲ πολλαῖς καταχραίνοιτο, οἱ ἐξ αὐτῶν παῖδες πόῤῥω τῆς τοῦ πατρὸς περιουσίας παρὰ τῶν νόμων ἐλαύνονται καὶ οὐδὲν ἐκ ταύτης κερδαίνουσιν. εἰ δὲ ἐν ταὐτῷ καὶ γνήσιοι παῖδες καὶ ἐκ διαφόρων παλλακῶν καταλειφθῶσιν υἱοί, οἱ ἐκ τῶν παλλακῶν παρὰ

---

49 Syn. *K*, 9 ex Bas. LVIII, 2, 13. 50 Syn. l. l. ex Bas. LVIII, 2, 19.
51 Syn. ibid. 52 Syn. l. l. ex Bas. LX, 45, 12. 53 Syn. *K*, 13 ex Bas. LVI, 4, 2.

τῶν γνησίων οὐδὲν λαμβάνουσιν, μόνον δὲ ἀποτρέφονται παρ' αὐτῶν[54].

μδ'. Ἐν τοῖς ὑπὲρ λεγάτων τόκοις τῷ ἔθει τοῦ κλίματος ὁ δικαστὴς ὀφείλει ἀκολουθεῖν[55].

με'[56]. Τοὺς μείζονας τιμὰς πράξαντας ἤγουν τοὺς μεγαλωτέρας ἐνεργείας διοικήσαντας οὐ χρὴ εἰς ἐλάττονας ἤγουν μικροτέρας ἕλκεσθαι· δοκοῦσι γὰρ ἐντεῦθεν ὑβρίζεσθαι[57].

ΑΡΧΗ ΤΟΥ Υ[1].

α'. Ὁ ὑβρίζων ἐπίσκοπον ἢ κληρικὸν ἐν ἁγίᾳ λειτουργίᾳ ἢ λιτῇ βασανιζόμενος ἐξορίζεται[2].

β'. Καθολικῶς πάντα τὰ μετὰ προσδιορισμοῦ τε καὶ διασταγμοῦ παρά τινων λεγόμενα γίνεσθαι, οἷον δώσω σοὶ τόδε, ἐὰν καὶ σὺ ποιήσῃς μοὶ τόδε, παρὰ τῷ νόμῳ ὑπὸ αἵρεσιν ὀνομάζονται[3].

γ'. Ὕβρις ὕβρει ἀντελλογίζεται[4].

δ'. Ὑπόβολον καλοῦσι τὸ ἐπὶ τῇ ποσότητι τῆς προικὸς, ὅταν ἀποθανούσης τῆς γυναικὸς ἡ προῖξ ἀπαιτῆται, παρὰ τοῦ

α'. Κανὼν περὶ ὑπερθέσεως. — Οὐ δοκεῖ γίνεσθαι ὑπέρθεσις, ἔνθα μὴ ἁρμόζει ἀπαίτησις.

β'. Τὸ εἰπεῖν· ἂν συμβῇ τῷ υἱῷ μου τίποτε, θάνατον δηλοῖ.

γ'. Νεαρὰ ιδ' τοῦ κυροῦ λέοντος. — Ταύτην οὖν τὴν συνήθειαν ἐπειδήπερ οὐ λυπηρὰν ὁρῶμεν τοῖς πράγμασιν ὥσπερ καὶ ἐπ' ἄλλων ἐδικαιώσαμεν, νόμου τιμῶμεν ἀξιώματι, καὶ ἔστω γε ἀπὸ τοῦ νῦν νόμου ἰσχὺν ἀλλ' οὐ συνηθείας κεκτημένη. εἰ μέντοιγε ἐν μόνῳ τῷ ὑποβόλῳ ἡ τοῦ ἀνδρὸς ἀριθμεῖται ὑπόστασις, μετὰ τῶν παίδων τούτου πάντως συναπολήψεται δεσποτείαν, τοῦ δ' ἄλλου τὴν χρῆσιν ἕξει· εἰ δὲ μὴ ἐξαρκεῖ πρὸς σύστασιν τοῦ ὑποβόλου ἡ περιουσία, τὴν μοῖραν ἡ γυνὴ λήψεται οὐ κατὰ τὴν εὑρισκομένην τοῦ μειωθέντος ὑποβόλου ποσότητα, ἀλλὰ τοσοῦτον ἔχουσα, ὅσον ἂν ἔσχεν, εἰ μηδὲν ἐλαττούμενον ἀλλὰ πλῆρες καὶ τὸ ὑπόβολον ἐγνωρίζετο· ταύτης οὖν διδομένης τῇ γυναικὶ μερίδος τὰ περιλειπόμενα ἔστω τῶν παίδων· εἰ δὲ μηδὲν ὑπολίποιτο, ὡς κλῆρον τὴν ἀκληρίαν ἀποίσονται. ἀλλὰ ταῦτα μὲν περὶ γυναικός· ἀνὴρ δὲ ἄπαις μὲν ὤν, καθάπερ ἐν ἄλλοις διατέτακται, οὐδὲν οὔτε λήψεται

---

54 Syn. K, 15 ex Bas. XXXII, 2, 4. 55 Syn. T, 11 ex Bas. XXIII, 3, 1. 56 A μδ'. 57 Syn. T, 10 ex Bas. LIV, 3, 2.

1 A addit βιβλίου, D στοιχείου. 2 Att. III. 3 Ad Att. VI (7, 1) aut ad XVI (21). 4 Att. XVI (21).

ἀνδρὸς ταύτης ὑποβαλλόμενον, ἤγουν ὑποτιθέμενον καὶ ὑπὸ κάτω τῆς εἰς πλέον ποσὸν ἀναβιβαζομένης προικὸς ὡς ὀλιγότερον παρὰ ταύτην τιθέμενον. τὸ γὰρ ὑποβάλλειν μετὰ τῶν ἄλλων δηλοῖ καὶ τὸ τιθέναι ὑπό τινι ἰσχυροτέρῳ καὶ πλείονι ἄλλο τὶ ἀσθενέστερον καὶ βραχύτερον. ἐκ τούτου γοῦν καὶ τὸ τῆς προικὸς ὑπόβολον ὀνομάζεται. ὅταν γοῦν γένηται γάμος καὶ συμφωνίαν τὰ δύο μέρη περὶ ὑποβόλου ποιήσωσιν, ἵνα εἰς τὴν ἀπόδοσιν τῆς προικὸς προστεθῇ καὶ τόσον ὑπόβολον, κατὰ τὴν συμφωνίαν ἀποδίδοται τὸ ὑπόβολον. ὅταν δὲ ἀφήσουσι τοῦτο καὶ οὐδὲν περὶ αὐτοῦ συμφωνήσωσι, ἀπαιτεῖται ὁ τὴν προῖκα ἀποδιδοὺς ἐπιδιδόναι χάριν ὑποβόλου καὶ τρίτον τῆς ποσότητος ὅλης, εἰς ἣν ἡ προῖξ περιΐσταται· οἷον ἐὰν λίτρα μία ὑπάρχῃ ἡ προῖξ, τὸ τρίτον τῆς λίτρας, ὅπερ ἐστὶ νομίσματα κδ΄. καὶ τοῦτο μὲν παρὰ τοῖς νέοις καὶ ἕως ἄρτι κρατεῖ· παρὰ δὲ τοῖς παλαιοῖς τὸ ὑπόβολον ἕως τοῦ ἡμίσεος τῆς προικὸς ἐψηφίζετο. εἰ δὲ ἀποθάνῃ πρὸ τοῦ ἀνδρὸς ἡ γυνή, οὐκ ἔχει χώραν ἡ τοῦ ὑποβόλου ἀπαίτησις[5].

οὔτε ζημιωθήσεται· παίδων δὲ πατὴρ γεγονὼς καὶ μὴ δευτέροις γάμοις τὸν πρὸς τὴν γυναῖκα πόθον μαράνας καὶ αὐτὸς λήψεται μοῖραν παιδὸς τεκνοτροφίας τε ἕνεκεν καὶ τῆς διασεσωσμένης αὐτῷ πρὸς τὸν πρῶτον γάμον αἰδοῦς καὶ τιμῆς.

δ΄. Καὶ ἡ μη΄ τοῦ αὐτοῦ νεαρὰ οὕτω φησίν· ταύτην δὲ τὴν μοῖραν ἐν λογισμῷ ὁ ἀνὴρ ὑποβαλλέσθω· κἂν μὲν φαίνηται ἐπ᾽ ἴσον φθάνουσα τῷ ὑποβόλῳ ἢ ὑπερεκτεινομένη, ἐξαρκεῖσθαι ἐπὶ ταύτῃ τὸν λαμβάνοντα διὰ τὸ πάντως ἢ κερδαίνειν ἢ μηδεμίαν ζημίαν ὑφίστασθαι· εἰ δ᾽ οὐκ ἐξικνεῖται ἡ μοῖρα ἀλλ᾽ ἐνδεῖ τοῦ ὑποβόλου, μήτε τῶν οἰκείων ὁ ἀνὴρ διδότω μήτε τῶν τῆς γυναικὸς ὑπάρξεων λαμβανέτω.

ε΄. Καὶ ἡ ιβ΄ τοῦ αὐτοῦ· ἐπειδήπερ ἅπαξ κρατεῖν ἔδοξε μὴ ἐξ ἴσου τὰς ἐν τῇ συστάσει τῶν γάμων γίνεσθαι συντελείας, ἀλλ᾽ εἶναι τοῦ ὑποβόλου ἐπὶ πλέον τὴν προῖκα, τοῦτο ἔστω πολιτευόμενον θανάτου φέροντος λύσιν τῷ γάμῳ· εἰ μὲν ὁ ἀνὴρ ἄτεκνος ἀπίοι καὶ σύμφωνον μὴ παρῇ, ἀνακομιζέτω ἡ γυνὴ τήν τε προῖκα καὶ τὸ ὑπόβολον, καὶ μηδὲν ἔτι πλέον· εἰ δὲ τὴν γυναῖκα ὁ θάνατος διασπάσῃ, τῆς μὲν οἱ κληρονόμοι τὴν προῖκα λαμβανέτωσαν, τῷ ἀνδρὶ δὲ μὴ γινέσθω τῶν ἰδίων ἡ στέρησις, μηδὲ τὰ ἐκείνου ἕτεροι ἀλλ᾽ αὐτὸς ἐχέτω. πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν ἀλλοτρίους ἐκ τῶν ἐκείνου πραγμάτων κερδαίνειν, αὐτὸν δὲ πρὸς τῇ ἀποστερήσει τῆς συζύγου καὶ τῶν οἰκείων ἤτοι τοῦ ὑποβόλου στερεῖσθαι;

ς΄. Ἡ δὲ θ΄ νεαρὰ τοῦ αὐτοῦ περὶ τοῦ καταλιπόντος ἀτελὲς μοναστήριον τί ποιητέον δηλοῖ, καὶ ζήτει εἰς τὸ μ΄ στοιχεῖον.

---

[5] Att. XIX (27).

έ. Τὸ προτιμᾶσθαί τινα παρὰ ἄλλου εἰς τὸ κρατεῖν κτῆμά τι ἢ πρᾶγμα δι' ὀφειλόμενον χρέος περὶ ὑποθήκης ἀγωγὴν ὁ νόμος καλεῖ, καὶ τὸ κατεχόμενον πρᾶγμα ὡς ἀπὸ ὑποθήκης κατέχεσθαι λέγουσιν. ἐλέγετο δὲ τοῦτο καὶ ἀγωγὴ ὑποθηκαρία. ὁ δὲ βουλόμενος γνῶναι τοῦτο σαφῶς ἐκ τοῦ μέλλοντος λεχθῆναι παραδείγματος γνώσεται. συμβαίνει πολλάκις δανείσασθαί τινα ἀπό τινος ἄλλου τοσῶνδε νομισμάτων ποσότητα, καὶ δίδωσι πρὸς τὸν δανειστὴν ὁ τοιοῦτος πρᾶγμά τι διὰ τὸ χρέος αὐτοῦ εἰς ἀποπλήρωσιν, καὶ τοῦτο, εἰ μὲν αὐτίκα τεθῇ εἰς τὰς χεῖρας τοῦ δανειστοῦ, ἐνέχυρον λέγεται· εἰ δὲ μένει μὲν τοῦτο παρὰ τῷ ἔχοντι, ἐτάχθη δὲ μόνον, ἵνα κατὰ καιρὸν ὁ δανειστὴς, ἐὰν οὐ δοθῇ τὸ χρέος, λαμβάνῃ αὐτὸ, ὑποθήκη καλεῖται. τοῦτο τὸ οὕτως ὑποτεθὲν οὐδεὶς ἄλλος ἀπὸ τῶν δανειστῶν λαμβάνειν ἰσχύει, ἀλλὰ προτιμᾶται πάντων ἐκεῖνος πρὸς ὃν ὑπετέθη. ἐκ τούτου γοῦν, ὅταν πολλῶν ὄντων δανειστῶν εἷς τῶν ἄλλων εἰς κατοχὴν πράγματος εὑρίσκηται προτιμότερος, περὶ ὑποθήκης ἀγωγὴ, καὶ ὑποθηκαρία ἀγωγὴ καλεῖται, καὶ τὸ πρᾶγμα ἐπὶ ὑποθήκῃ ἢ ὡς ἀπὸ ὑποθήκης ὡς εἴπομεν κατεχόμενον. ὥσπερ δὲ ὁ δανειστὴς εἰς τὸ ὑποτεθὲν αὐτῷ πρᾶγμα εὑρίσκεται προτιμότερος, οὕτω καὶ ὁ εἰς ἐνέχυρον ἤγουν ὑποθήκην τῶν οἰκείων τὶ δεδωκὼς, ὅταν βούληται αὐτὸς τὸ χρέος καταβαλεῖν καὶ ἀπολαβεῖν αὖθις ὃ δέδωκεν, οὐ κωλύεται, ἀλλὰ καὶ τῶν ἄλλων, ὅσοι λαβεῖν θέλουσιν αὐτὸ, προτιμᾶται, καὶ ἐστὶ τὸ τῆς ὑποθήκης καὶ τὸν λαβόντα καὶ τὸν δεδωκότα τῶν ἑτέρων προτιμοτέρους εἰς τὴν τοῦ πράγματος ποιοῦν κατοχήν. [καὶ[6] οἷον εἰπεῖν ὥσπερ ἐὰν ὁ ἀνακαλούμενος τοῦτο οἰκεῖον πρᾶγμα διὰ χρέος ὑπέθετο πρὸς ἄλλον τινὰ ἀφ' οὗ δηλονότι ἀνακαλεῖται αὐτό.][7]

ϛ'. Περὶ τοῦ ὑπεξουσίου καὶ περὶ τίνων διατίθεται καὶ περὶ τίνων οὐ διατίθεται, ἐν τοῖς εἰς τὸ δ' στοιχεῖον δεδήλωται[8].

ζ'. Ἡ ὕβρις ἢ ἔργῳ ἢ λόγῳ γίνεται. ἔργῳ μὲν, ὡς ὅταν τὶς τύψῃ ἢ ὠθήσῃ τινά· λόγῳ δὲ, ὡς ὅταν λοιδορίαις χρήσηται κατ' αὐτοῦ. γίνεται δὲ ἡ ὕβρις τριχῶς, ἢ εἰς σῶμα ἢ εἰς ἀξίαν ἢ εἰς ἀτιμίαν. καὶ εἰς σῶμα μὲν ὕβρις γίνεται, ὅταν πλήξῃ τὶς ἢ δείρῃ[9] τινά· εἰς ἀξίαν δὲ, ὅταν ἀκόλουθον δεσποίνης ἀφέληταί τις, καὶ ὅταν τὰ εἰς τιμήν τινος οἰκονομούμενα διὰ

[6] Quae uncis inclusa sunt, in A correctoria manus addidit: in B desunt.
[7] Att. XVII (22). [8] Imo lit. Π c. 117. [9] B δήρῃ.

τρόπου ἐμποδίσῃ τινός· οἱ γὰρ τοιοῦτοι ἤγουν οἱ πράττοντες ταῦτα ὑβρίζουσιν εἰς τὰς ἀξίας τῶν ἀνθρώπων ἐκείνων, καθ' ὧν τὰ τοιαῦτα πράττουσιν· εἰς ἀτιμίαν δὲ ὕβρις λέγεται, ὅταν ἀποπειρᾶταί τις ἢ γυναικὸς εἰς σωφροσύνην αὐτῆς ἢ ἀνδρὸς εἰς τὴν περὶ χρημάτων ὑπόληψιν. πάλιν ἡ ὕβρις ἢ εἰς αὐτὸ τὸ ὑβριζόμενον πρόσωπον γίνεται, ἢ εἰς ἄλλο, καὶ δι' ἐκείνου διαβαίνει πρὸς τὸ τὴν ὕβριν ἀναδεχόμενον πρόσωπον. ὡς ὅταν υἱὸν ὑπεξούσιον ἢ δούλην ἢ γυναῖκα ἢ νύμφην ἤ τινα ἄλλον κατὰ γνησιότητα συγγενείας τοιαύτης προσῳκειωμένον τινὶ καθυβρίσῃ τίς· τῶν γὰρ τοιούτων προσώπων τὴν ὕβριν ὁ ἔχων ταῦτα εἰς ἑαυτὸν ἀναδέχεται, καὶ αὐτὸς ὑβρίζεσθαι λέγει, καὶ ὡς αὐτὸς ὑβριζόμενος ἐγκαλεῖ καὶ κινεῖ τὴν περὶ ὕβρεως ἀγωγήν. πολλάκις ὕβρεως γενομένης μιᾶς δύνανται πρόσωπα τρία κατὰ τοῦ ὑβριστοῦ ἐγκαλεῖν. ὅταν γὰρ γυνή τινος ὑβρισθῇ, καὶ ὅταν ἀδελφή τινος ἄνδρα ἔχουσα, τότε καὶ ὁ ἀνὴρ καὶ ἡ γυνὴ καὶ ὁ ταύτης ἀδελφὸς ἢ πατὴρ δύνανται κατὰ τοῦ ὑβρίσαντος ἐγκαλεῖν, καὶ οὐδεὶς ἀπὸ τούτων κωλύεται τὴν περὶ ὕβρεως κινεῖν ἀγωγὴν, οὐδ' ἀναιρεῖται ἡ τοῦ ἑνὸς ὕβρις διὰ τῆς τοῦ ἑτέρου προσώπου ὕβρεως. καὶ τὸ κατὰ βίαν εἰς οἶκον εἰσιέναι τινὸς εἰς τὴν διὰ χειρὸς ἀνάγεται ὕβριν, καὶ ἐστὶ ταὐτὸν τῷ ὠθεῖν τινα ἢ διὰ χειρὸς μαστιγοῦν. ἅπασα δὲ ὕβρις γινομένη διὰ χειρὸς ὑπὸ τὸν νόμον τὸν κορνήλιον ἀναφέρεται, καὶ κρίνεται καὶ διεκδικεῖται κατὰ τὴν τοῦ κορνηλίου νόμου διαταγήν. ἡ ὕβρις ἢ μεγάλη ἐστὶ, καὶ καλεῖται σφοδρὰ (παρά τισι δὲ καὶ τραχεῖα ἡ αὐτὴ ὀνομάζεται)· ἢ μικρὰ, καὶ λέγουσι μετρίαν ὕβριν αὐτήν. οἱ πατέρες γοῦν καὶ οἱ πάτρωνες, ἤγουν οἱ δούλων τινῶν ἐλευθερωταὶ, ἔχουσιν ἐξουσίαν καὶ τοὺς αὐτεξουσίους καὶ τοὺς ἀπελευθέρους δούλους διὰ μετρίας ὕβρεως σωφρονίζειν, καὶ διὰ τοῦτο οὔτε αὐτεξούσιος υἱὸς κατὰ τοῦ πατρὸς οὔτε ἀπελεύθερος δοῦλος κατὰ τοῦ πάτρωνος ἔχουσιν ἐξουσίαν, ἐὰν μετρίως ἡ ὕβρις γίνηται πρὸς αὐτοὺς ἀπὸ τοῦ πατρὸς ἢ τοῦ πάτρωνος, κινεῖν κατὰ τούτων τὴν περὶ ὕβρεως ἀγωγήν. εἰ δὲ σφοδρῶς ὑβρίσθησαν παρ' αὐτῶν, πληγὰς τυχὸν ὑποστάντες ἢ τραύματα, καὶ οἱ αὐτεξούσιοι υἱοὶ κατὰ τοῦ πατρὸς καὶ οἱ ἀπελεύθεροι δοῦλοι κινοῦσι κατὰ τοῦ πάτρωνος. οἱ δὲ ὑπεξούσιοι παῖδες οὐδὲ ἀπὸ ὕβρεως τραχείας δύνανται κινεῖν κατὰ τοῦ πατρὸς τὴν περὶ ὕβρεως ἀγωγήν. εἰς πᾶσαν ὕβριν ἐγκληματικὴν μὲν οὐκ ἔξεστι κινεῖν ἀγωγήν· χρηματικὴν δὲ ἀγωγὴν κινεῖν οὐ κεκώλυται. καὶ ἐπειδὴ αἱ χρηματικαὶ ἀγωγαὶ εἰς ζημίαν περιϊστῶσι τὴν καταδίκην, ἐν ταῖς περὶ ὕβρεων

ἀγωγαῖς ἐξουσίαν ἔχει ὁ δικαστὴς ὁρίζειν κατὰ τὴν οἰκείαν διάκρισιν τὴν τῆς ζημίας ποσότητα· παρὰ τοῦ νόμου γὰρ ἡ τοιαύτη ζημία ὡρισμένη οὐχ εὕρηται. ἡ τραχεῖα ὕβρις ἢ ἀπὸ τοῦ προσώπου ἢ ἀπὸ τοῦ τόπου ἢ ἀπὸ τοῦ πράγματος κρίνεται. ἀπὸ μὲν τοῦ προσώπου, ὅταν υἱὸς ἀρχόμενος[10] ὑβρίσῃ πατέρα ἢ ἄρχοντα· ἀπὸ τοῦ τόπου, ὅταν ἐν θεάτρῳ ἢ πάντων ὁρώντων ἡ ὕβρις γένηται· ἡ γὰρ ὕβρις ἐνταῦθα ἀπὸ τοῦ προσώπου καὶ ἀπὸ τοῦ τόπου τὸ τραχὺ ἐπιφέρεται· ἀπὸ τοῦ πράγματος, ὅταν ἐγγένηται τῷ ὑβριζομένῳ ἢ χαλεπὸς μώλωψ, ἢ πληγὴ καιρία παρά τι τῶν ἀναγκαιοτάτων μελῶν, ἢ τραῦμα δυσίατον. γίνεται τραχεῖα ὕβρις καὶ ἀπὸ χρόνου· ἀλλ' οἱ πολλοὶ τὰς ἀπὸ τοῦ χρόνου τραχείας ὕβρεις ταῖς ἀπὸ τοῦ τόπου συντάττουσι, καὶ διὰ τοῦτο τὴν τραχεῖαν ὕβριν ἀπὸ τριῶν μόνων λέγουσι γίνεσθαι[11].

η'. Ὁ κληρονόμος τινὸς οὐκ ὀφείλει τὴν περὶ ὕβρεως κινεῖν ἀγωγὴν κατὰ τῶν ὑβρισάντων τὸν ἄνθρωπον ἐκεῖνον, ὃν οὗτος κληρονομεῖ. ἀλλ' οὐδὲ ἄλλος τὶς, ὃν [ὁ] τελευτήσας καὶ κληρονομούμενος ὕβρισε, δύναται μετὰ τὸν ἐκείνου θάνατον τὴν περὶ ὕβρεως ἀγωγὴν κατὰ τοῦ κληρονόμου κινεῖν. οὔτε γὰρ κληρονόμοις καθ' ἑτέρων δηλονότι τινῶν οὔτε κατὰ κληρονόμων ἄλλοις τισὶ δηλαδὴ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγὴ, εἰ μήπω ἔτι ζῶντος τοῦ παρελθόντος ἄρξηται κινεῖσθαι ἡ περὶ τοῦ ὑβρισθῆναι ἢ ὑβρίσαι ἕτερον ἀγωγή. τότε γὰρ καὶ εἰς τοὺς κληρονόμους ἁρμόζει[12].

θ'. Ἀνέτεινέ τις χεῖρα ἐπὶ τῷ τύψαι τινὰ καὶ οὐκ ἔτυψεν· ἐνέχεται καὶ οὗτος τῇ περὶ ὕβρεως ἀγωγῇ. πλὴν ἡ τοιαύτη ἀγωγὴ περὶ ὕβρεως οὐ γίνεσθαι λέγεται ἐξ ὀρθοῦ, οὐδ' ἀγωγὴ ἁπλῆ περὶ ὕβρεως ὀνομάζεται, ἀλλ' οὐτιλία[13] καλεῖται, ὅπερ ἐστὶ πλαγιαστικὴ, ὡς οὐκ ἀναισχύντως καὶ αὐθαδῶς, ἀλλὰ πλαγίως καὶ μεθ' αἰδοῦς τὴν ὕβριν εἰσάγουσα[14].

ι'. Ἡ περὶ ὕβρεως ἀγωγὴ ἐὰν ἕως συμπληρώσεως χρόνου ἑνὸς σιωπηθῇ καὶ οὐ κινηθῇ, σβέννυται καὶ οὐκέτι κινεῖσθαι δύναται[15].

ια'. Ἐὰν συνεργείᾳ τινὸς καὶ σπουδῇ ἢ μέμψει, ᾗπερ κινήσει αὐτὸς, δοῦλός τινος τυφθῇ παρὰ στρατηγοῦ ἢ ἑτέρου ἄρχοντος δημοσίου, ἔχει ὁ τοῦ δούλου κύριος κατὰ τὸν ποιήσαντα τὸν δοῦλον τυφθῆναι τὴν περὶ ὕβρεως κινεῖν ἀγωγήν.

---

[10] Sic AB. Malim ἢ ἀρχ. [11] Att. XXXV (58). [12] Att. ibid. [13] ABE οὐδὲ τῇ ἡλικίᾳ. [14] Att. ibid. [15] Att. ibid.

εἰ δὲ πολλάκις ἐκ τῆς τοιαύτης αἰτίας τύπτων τὸν δοῦλον φονεύσει ὁ στρατηγὸς, καὶ εἰς τὸν τῆς ζημίας λόγον ἐνάγεται ὁ τῆς ὑποθέσεως αἴτιος[16].

ιβʹ. Ἐάν τις ὑβρίσῃ τὸν δικαστὴν ἐκκαλούμενος, ἀτιμοῦται· τουτέστιν εἴ τις προσιὼν τινι ἐπὶ τῷ ζητῆσαι παρ' αὐτοῦ κρίσιν, κατ' αὐτοῦ ἐκείνου παρ' οὗ ζητεῖ κριθῆναι ἐκπέμψει λόγον ὑβριστικὸν, αὐτὸς ὡς ἀτιμοποιὸς ἀτιμίαν ὑπομένειν καταδικάζεται. καὶ πάλιν ἐάν τις κριθῇ παρά τινι, εἶτα καὶ ἐπ' ἄλλῳ κριθῆναι βουληθεὶς τὸν πρότερον ὑβρίσῃ κριτὴν, καὶ αὐτὸς ἀτιμοῦται. οὐ γὰρ ἔχουσιν οἱ ἐκκαλούμενοι ἄδειαν τοὺς δικαστὰς ὑβρίζειν, παρ' οἷς ἐκρίθησαν πρότερον[17].

ιγʹ. Ὅταν δι' ὕβριν ὁ ὑποκάτω τῷ ἄνω ἐπιπέμψῃ καπνὸν, ἢ ὁ ἄνω τῷ κάτω καταῤῥίψῃ τὶ ἢ καταχύσῃ ὑγρὸν, κινεῖται παρὰ τοῦ παθόντος κατὰ τοῦ πεποιηκότος ἡ περὶ ὕβρεως ἀγωγή[18].

ιδʹ. Οἱ ἀξιωματικοὶ καὶ αἱ γυναῖκες τῶν ἀξιωματικῶν ἐὰν ὑβρισθῶσι, δύνανται μὴ μόνον δι' ἑαυτῶν ἀλλὰ καὶ δι' ἑτέρων ἐντολέων τὴν περὶ ὕβρεως ἀγωγὴν κινεῖν[19].

ιεʹ. Οἱ ὑποδοχεῖς τῶν λῃστῶν, ἤγουν οἱ τοὺς λῃστὰς ὑποδεχόμενοι, ὡς λῃσταὶ τιμωροῦνται[20].

ιςʹ. Ὁ ἐν ὑπομνήμασιν ἢ λιβέλλοις ἤγουν ἐγγράφοις κατηγορίαις ἢ ἑτέραις ἐγγράφοις ἐκθέσεσι συναρπάζων ἄρχοντα ἐπί τισιν ὑποθέσεσι, καὶ ὁ ἐν δεήσει, ἣν αὐτὸς ποιεῖ δηλαδὴ, μὴ λέγων τὸ ἀληθὲς, καὶ τῷ πλαστῷ ὑπόκειται, καὶ ἐὰν γένηται τούτῳ ἀντιγραφὴ, ἤγουν πρὸς τὴν δέησιν καὶ τὴν ὑπόμνησιν αὐτοῦ ἐπίλυσις ἔγγραφος, ἐξ αὐτῆς οὐδὲν ὠφελεῖται[21].

ιζʹ. Ὁ δημόσια ἢ ἱερὰ χρήματα ὑφελόμενος, ἐὰν εʹ χρόνους ὁλοκλήρους διαβιβάσῃ καὶ μὴ ὑποπέσῃ τῇ καταδίκῃ τῇ περὶ τῶν τοιούτων ὡρισμένῃ παρὰ τοῦ νόμου (ἐστὶ δὲ αὕτη, ὡς ἐδηλώθη ἀλλαχοῦ, περιορισμὸς), οὐκέτι ὑποπίπτει αὐτῇ, οὐ[δὲ] δύναταί τις μετὰ τοὺς εʹ χρόνους κατὰ τοῦ τοιούτου κινεῖν καὶ τῇ περιορισμοῦ τιμωρίᾳ καθυπάγειν αὐτόν[22].

ιηʹ. Ὁ δημόσια ἢ ἱερὰ χρήματα ὑφελόμενος, τουτέστι λαθραίως καὶ ἀνεπιγνώστως λαβὼν, εἰ μὲν ἐξωτικὸς εἴη, περιορισμῷ ὑποπίπτει· εἰ δὲ αὐτός ἐστιν ὁ τὴν φυλακὴν αὐτῶν ἐμπεπιστευμένος, ἑτέρως κρίνεται, τῷ δὲ περιορισμῷ οὐχ ὑπόκειται[23].

---

[16] Att. XXXV (58). [17] Att. ibid. [18] Att. ibid. [19] Att. ibid. [20] Att. XXXV (63). [21] Att. XXXV (72). [22] Att. XXXV (74). [23] Att. ibid.

ιθ΄. Ἔνθα ὑπέρθεσιν ὁ ἀγοραστὴς ποιήσει, λοιπὸν οὐκ ἀπὸ ἀμελείας, ἀλλ' ἀπὸ δόλου ὁ πράτης ἐνέχεται. εἰ δὲ οἱ δύο ὑπέρθεσιν ποιήσουσι, τῇ ὑστέρᾳ προσέχομεν. εἰκὸς γὰρ ὑπέρθεσιν ποιήσας ὁ ἀγοραστὴς ἠθέλησε μετὰ ταῦτα λαβεῖν καὶ δυνάμενος ὁ πράτης παρασχεῖν ὑπερέθετο, ἢ τοὐναντίον[24].

κ΄. Ἡ περὶ ὕβρεως ἀγωγὴ καὶ αἱ ἐξ ἁμαρτήματος ἐνοχαὶ τῇ κεφαλῇ ἕπονται.

κα΄. Ὅταν ἐξ ὕλης ὑποκειμένης εἶδος γένηταί τι, καὶ εἴη τυχὸν ἡ μὲν ὕλη ξένη, τὸ δὲ εἶδος παρ' ἄλλου γένηται, οἷον ξένον ἄργυρον ἢ χαλκὸν ἢ χρυσὸν ἐποίησέ τις ξέστην ἢ χέρνιβα, τότε εἰ μὲν δυνατὸν τοῦ εἴδους ἀφανισθέντος τὴν ὕλην μένειν, τοῦ δεσπότου τῆς ὕλης καὶ τὸ εἶδός ἐστι· δυνατὸν γὰρ πάλιν τὸν χέρνιβα καὶ τὸν ξέστην ἄργυρον ἢ χρυσὸν χωρὶς εἴδους ἀποκαθίστασθαι. εἰ δὲ οὐ δυνατὸν πρὸς τὴν ἀρχῆθεν ὕλην ἀποστρέφειν τὸ εἶδος, τοῦ πεποιηκότος τὸ εἶδος τὸ πρᾶγμα ὅλον λογίζεται. πολλάκις δὲ καὶ τῷ δεσπότῃ τῆς ὕλης δίδοταί τι διὰ τὴν ὕλην παρὰ τοῦ τὸ εἶδος ποιήσαντος[25].

κβ΄. Ὁ θησαυρὸν εὑρίσκων ἐν τῷ ὑποτεθέντι ἀγρῷ, ἤγουν τῷ τεθέντι ὡς ἐνέχυρον παρὰ τοῦ χρεωφειλέτου πρὸς τὸν δανειστὴν, μέρος τὶ ἀπαιτεῖται δοῦναι πρὸς τὸν τοῦ ἀγροῦ δεσπότην, τὸ δὲ λοιπὸν ἅπαν κερδαίνει αὐτὸς, καὶ ὁ τοῦ ἀγροῦ δεσπότης, εἰ καὶ ἀποδώσει τὸ χρέος, τὸν θησαυρὸν οὐ δύναται ἀπαιτεῖν[26].

κγ΄. Ἡ κατὰ τῶν ὑφελομένων δημοσιακὰ ἢ ἱερὰ χρήματα καταδίκη, τουτέστιν ὁ περιορισμὸς, μετὰ πενταετίαν τοῦ ἁμαρτηθῆναι οὐ κινεῖται[27].

κδ΄. ...[28] καὶ μὴ κατὰ τὸ παλαιὸν δέκα μόνον ἡμερῶν ἔχειν τὸν ὑπομνησθέντα προθεσμίαν, ἀλλὰ διπλασίαν, τουτέστιν εἴκοσιν[29].

κε΄. Ἐν δὲ τῷ θ΄ κεφ. ὁ ὑποδέκτης ἢ ὁ ταβουλλάριος ἅπαξ ἐλεγχθεὶς περὶ τὴν οἰκείαν ὑπηρεσίαν μηκέτι μετερχέσθω διὰ τοῦ αὐτοῦ ἐπιτηδεύματος[30].

κς΄. Υἱὸς ἐλάττων τῶν κ΄ χρόνων ὢν συναινέσει μὲν καὶ προτροπῇ τοῦ πατρὸς ἐλευθεροῦν δύναται, μὴ συναινοῦντος δὲ τοῦ πατρὸς ἐλευθεροῦν οὐ δύναται· κἂν ἐλευθερώσῃ, οὐδὲν ἰσχύει[31].

---

[24] Syn. *Δ*, 8 ex Bas. XIX, 6, 11. [25] Syn. *Δ*, 4 ex Bas. L, 1, 6. [26] Syn. l. l. ex Bas. L, 1, 59. [27] Syn. *Δ*, 13 ex Bas. LX, 45, 8. [28] Initio nonnulla omittunt AB. [29] Syn. *Δ*, 38 ex Bas. VII, 12, 7. [30] Syn. *Ω*, 1 ex Bas. LVI, 11, 9. [31] Syn. *E*, 15 ex Bas. XLVIII, 1, 16.

κζ'. Ὕπατος καὶ ἐλάττων κ' ἐτῶν ἤγουν χρόνων ἐλευθεροῦν δύναται[32].

κη'. Υἱὸς οὐ δύναται δοῦλον ἐλευθεροῦν, ὃν πατὴρ ἢ μήτηρ εἶπε μὴ ἐλευθερωθῆναι. δοκεῖ γάρ, εἰ τοῦτο ποιήσει, ὅτι παραβαίνει τὴν εἰς τοὺς γονεῖς ὀφειλομένην εὐσέβειαν[33].

κθ'. Ὁ ὑποτιθέμενος ἤγουν εἰς ἐνέχυρον διδοὺς καὶ παρακατατιθέμενος οὐχὶ ἑνὶ δανειστῇ, ἀλλὰ πολλοῖς τὰ αὐτὰ πράγματα, ἐνέχεται τῷ στελλιονάτῳ ἐγκλήματι. ἐστὶ δὲ καὶ τοῦτο ἕν τι τῶν εἰς κακοτροπίαν καὶ περιεργίαν ἀναγομένων, καὶ διεκδικεῖται καὶ τοῦτο, ὥσπερ καὶ τἄλλα τὰ τῆς κακοτροπίας ἐγκλήματα. εἰ δὲ καὶ μετὰ τὸ πολλοῖς ὑποθέσθαι εὐπορεῖ πᾶσιν ἀποδιδόναι, ἐλευθεροῦται ἀπὸ τοῦ τοιούτου ἐγκλήματος, καὶ οὐκέτι ἐπὶ τούτῳ ἐνέχεται. τοῦ γὰρ χρεώστου πᾶσι τοῖς δανεισταῖς ἀποδιδόντος τὰ χρέη, καὶ ἡ περὶ τῆς κακοτροπίας ὑπόνοια διαλύεται, καὶ οὐκέτι ἔχει χώραν ἡ ἐπ' αὐτῷ ἀγωγή[34].

λ'. Ὁ πλησιάζων τῇ ἥβῃ, ἤγουν ὁ προσεγγίζων τοῖς ιε' χρόνοις, καὶ κλοπῆς καὶ ὕβρεώς ἐστι δεκτικός, καὶ δύναται κατ' αὐτοῦ κινεῖσθαι καὶ περὶ κλοπῆς καὶ περὶ ὕβρεως ἔγκλημα[35].

λα'. Ὕδωρ εἰς τόπον τινὸς κατερχόμενον καὶ βλάπτον αὐτὸν, καὶ διὰ τοῦτο παρ' αὐτοῦ δι' ἔργου τινὸς κατέρχεσθαι κωλυθὲν, ἐὰν ἐκ τοῦ κωλυθῆναι καταῤῥέειν ὑπερβλήσῃ καὶ βλάψῃ ἕτερον, ἀφίεται εἰς τὴν προτέραν νομὴν καὶ φορὰν, καὶ ὁ τὸ ἔργον τὸ κωλῦον αὐτὸ ποιήσας ἀναγκάζεται καταλύειν τὸ ἔργον καὶ ἀφιέναι ῥέειν τὸ ὕδωρ, εἰ καὶ τὰ μέγιστα παρὰ τοῦ ὕδατος καταβλάπτοιτο[36].

λβ'. Ἡ ἀγωγὴ ἡ περὶ ὕδατος πλησμονῆς εἰσάγεται εἰς πάντα τὰ χειροποίητα ἔργα, εἰ μὴ διὰ γεωργίαν γίνεται[37].

λγ'. Ὁ χρήσας ἤγουν πρὸς χρῆσιν δεδωκώς τινι ὑπαίτια σκεύη, γινώσκων ὅτι ὑπαίτια τὰ σκεύη εἰσὶ, τουτέστι σεσαθρωμένα ἢ τετρυπημένα ἢ ἄλλως πως βεβλαμμένα, ἐὰν ὁ λαβὼν ταῦτα ἐκ τῆς τῶν σκευῶν αἰτίας ζημιωθῇ, αὐτὸς ὁ χρήσας τὰ σκεύη εἰς τὸ ἀποδοῦναι τὴν ἐκ τῶν σκευῶν γενομένην ζημίαν ἐνέχεται[38].

λδ'. Υἱὸς ὑπεξούσιος εἰς ἐκστρατείαν ἀπερχόμενος τὰ δωρηθέντα αὐτῷ παρὰ τοῦ πατρὸς, εἰ μὲν οὐκ εἰσὶν ἀκίνητα,

---

[32] Syn. *E*, 15 ex Bas. XLVIII, 2, 19. [33] Syn. l. l. ex Bas. XLVIII, 3, 65. [34] Syn. *K*, 1 ex Bas. LX, 30, 5. [35] Syn. *K*, 2 ex Bas. II, 3, 111. [36] Syn. *K*, 9 ex Bas. LVIII, 13, 1. [37] Syn. ibid. [38] Syn. *K*, 13 ex Bas. XIII, 1, 18.

ὡς ἰδιόκτητον πεκούλιον ἔχει· εἰ δὲ ἀκίνητα ὦσιν, οὐκέτι ὡς ἰδιόκτητον ἔχει πεκούλιον. τὰ δὲ ἄλλοθεν ἐπιγενόμενα αὐτῷ, εἴτε κινητὰ εἴτε ἀκίνητα εἶεν, ὡς οἰκεῖα ἔχει πεκούλια[39].

λε΄. Υἱὸς αὐτεξούσιος ἐπὶ ξένης διάγων καὶ παρὰ τοῦ πατρὸς δεξάμενός τι, οὐ λογίζεται εἰς τὸ ἀνῆκον αὐτῷ μέρος, εἰ μὴ φανερῶς ἀποδειχθῇ, ὅτι δανειακῶς ὁ πατὴρ ἔδωκε τῷ υἱῷ, καὶ οὐ κατὰ τὴν ὀφειλομένην πατρικὴν σχέσιν δὲ καὶ διάθεσιν[40].

λϛ΄. Υἱὸν ἴδιον ποιήσας τὶς κληρονόμον καὶ ἄλλῳ τὴν κληρονομίαν ἀποκαταστῆσαι εἰπὼν μετὰ θάνατον, εὔδηλον[41] ἐποίησεν, ὅτι οὕτως εἶπεν, ἵνα γένηται πρὸς ἄλλον ἡ τῆς κληρονομίας ἀποκατάστασις, εἴπερ αὐτὸς οὐκ ἔχει υἱὸν ἢ θυγατέρα ἢ παῖδας ἄλλους. ἀδύνατον γὰρ παίδων ὑπόντων αὐτῷ πρὸς ἄλλον ἀποκαταστῆσαι τὴν κληρονομίαν, ἵνα μηδὲ ὁ πατὴρ αὐτῷ δόξῃ τῶν ἰδίων γονῶν τὰς ἀλλοτρίας εἰς τὴν κληρονομίαν αὐτοῦ προκρίνειν. τὸ αὐτὸ κρατεῖ καὶ ἐπὶ θυγατέρων καὶ ἐγγόνων καὶ προεγγόνων[42].

λζ΄[43]. Τὰ ὑπέρ τινος εἰσαχθέντα κατ᾽ αὐτοῦ οὐχ ἑρμηνεύεται[44].

ζ΄. *Περὶ ὑπεξουσιότητος νεαρὰ ιϛ΄ τοῦ κυροῦ λέοντος.* — Ἐπειδὴ δὲ πρὸς τοῖς ἄλλοις τρόποις καὶ οὗτος ἐδείκνυε τὸν παῖδα αὐτεξούσιον, εἴγε ὁ τὴν ἐπιτροπὴν ἐγκεχειρισμένος εἴτε πατὴρ εἴτε προπάτωρ τὸ ἀπόλυτον αὐτῷ οἰκείῳ στόματι ἐδωρεῖτο, ἡμεῖς δὲ καὶ τοῦτο προσεπισυνάπτομεν, ὡς εἰ πρὸς διαγωγὴν ὁμογνωμονοῦσαν ὀφθείη μόνον ὁ παῖς καταστὰς, ἄντε γλῶσσα μὲν οὐ παρέσχε τοῦτο, ἄλλως δὲ γνώμη σιωπῶσα καὶ ἰδίως ῥυθμιζομένῳ τῷ παιδὶ οὐκ ἐναντιουμένη, ἀλλὰ παραχωρήσασα καθ᾽ ἑαυτὸν διάγειν, κἂν ᾖ γαμικῆς ὁμιλίας ἔξω, εἶναι καὶ αὐτῷ κεκυρώμενον τὸ αὐτεξούσιον.

η΄. Ἰουστινιανοῦ διάταξις ὀφείλειν τὸν ἐμαγκιπάτον υἱὸν ἤτοι αὐτεξούσιον τελευτῶντα καὶ διατιθέμενον καταλιμπάνειν τῷ πατρὶ τὸ τρίτον μέρος τῆς αὐτοῦ περιουσίας, κἄντε τοῦτο ὁ πατὴρ προαναφωνήσῃ ποιῶν αὐτὸν ἐμαγκιπάτον, κἄντε μή.

---

[39] Syn. *K*, 14 ex Bas. XLII, 3, 60. [40] Syn. l. l. ex Bas. XLII, 3, 49. [41] D *ἔνδηλον*. [42] Syn. *K*, 16 ex Bas. XLIV, 1, 150. [43] C *λε΄*. Idem uno tenore subjicit literam *X* integram tanquam §§. *λϛ΄—νθ΄*. [44] Syn. *N*, 6 ex Bas. II, 1, 35.

ΑΡΧΗ ΤΟΥ Φ[1].

α΄. Φαλκίδιος λέγεται παρὰ τῷ νόμῳ, ὅταν ἐκ κοινοῦ τινος πράγματος εἰς ὃ μετέχουσι πολλοὶ μέρος τὶ τούτου ἑκάστῳ[2] τῶν μετεχόντων εἰς αὐτὸ δίδοται. καὶ ἐστὶ φαλκίδιος ὡς συνήθειαν ἔχουσιν οἱ κοινοὶ μερίδα καλεῖν. γράφεται δὲ καὶ ἀρσενικῶς ὁ φαλκίδιος καὶ τὸ φαλκίδιον οὐδετέρως, ὡς εἴ τις εἴποι μερίδιον. ἐστὶ δὲ ἡ λέξις ῥωμαϊκὴ, καὶ δοκεῖ τισιν ἀπὸ τοῦ φάλκους, ὃ δηλοῖ τὴν δρεπάνην καὶ τὴν τομὴν τὴν ἀπὸ τῆς δρεπάνης, παράγεσθαι, ὡς τῶν μεριζομένων πραγμάτων ἐξ ἀνάγκης καὶ τεμνομένων καὶ κοπτομένων ὥσπερ τινὶ δρεπάνῃ τῷ μερισμῷ. οὗτος οὖν ὁ φαλκίδιος, ὅταν ἔχῃ τὶς παῖδας οὐ περισσοτέρους παρὰ τοὺς δ΄, ἀλλὰ ἢ δ΄ ἢ ὀλιγοτέρους παρὰ τοὺς δ΄, τὸ τρίτον τῆς πατρικῆς οὐσίας ἐστὶν, ὡς αὐτοῦ ἤγουν τοῦ τρίτου ὡς μέρους διδομένου τοῖς παισὶν εἰς κληρονομίαν, καὶ μεριζομένου τοῦ τοιούτου τρίτου εἰς τοὺς ὅλους παῖδας ἐπίσης. ὅταν δέ τις παῖδας ἔχῃ ε΄ ἢ τῶν ε΄[3] πλείονας, τὸ ἥμισυ τῆς οὐσίας αὐτοῦ φαλκίδιος γίνεται, καὶ ἀναγκάζεται ὁ πατὴρ τὴν ἡμίσειαν περιουσίαν αὐτοῦ τοῖς παισὶ διδόναι εἰς μερισμὸν, ἤγουν ἵνα ἐπίσης πάντες οἱ παῖδες πρὸς ἀλλήλους ταύτην μερίσωνται. δεῖ γοῦν τὸν πατέρα πρῶτον ἀποτιθέναι καὶ φυλάττειν λόγῳ τῶν παίδων τὸ τρίτον ἢ τὸ ἥμισυ τοῦ βίου αὐτοῦ, καὶ οὕτως ἐπὶ τοῖς λοιποῖς τῶν προσόντων αὐτῷ πραγμάτων ὃ βούλεται διαπράττεσθαι. τοῦτο ἀρίστως παρὰ τοῦ νόμου καὶ ἐπαινετῶς ἄγαν τέτακται· οὓς γὰρ ἡ φύσις ᾠκείωσε, τούτους πρώτως θεραπευτέον καὶ τὸ αὐτοῖς ἀνῆκον πρῶτον ἀποδοτέον, εἶτα καὶ πρὸς τοὺς ἔξω τρεπτέον καὶ ποιητέον τὸ κατὰ βούλησιν[4].

β΄. Ὁ φυγάδα δοῦλον κρύπτων κλέπτης ἐστίν[5].

γ΄. Ὁ φυγάδα δοῦλον ὑποδεχόμενος καὶ τῷ δεσπότῃ μὴ

α΄. Φάκτον ἐστὶ τὸ κεφάλαιον καὶ τὸ τῆς ὑποθέσεως ἀποτέλεσμα.

β΄. Κανὼν περὶ φόβου. — Ὁ ἄλογος καὶ μάταιος φόβος οὐ συμβάλλεται.

---

[1] A addit βιβλίου, D στοιχείου. [2] AB ἕκαστος. Caeterum A in marg. a corr. manu haec habet: εἰ καὶ μετὰ τελευτὴν ὁ φαλκίδιος δίδοται, ἀλλ' εἴπερ ὑπόσχηται πατὴρ προῖκα καὶ μὴ εἴπῃ πόσην, ἀναγκάζεται τέως ὅσον ποιεῖ ὁ φαλκίδιος δοῦναι ὑπὲρ προικὸς καὶ ἐν ζωῇ. [3] Sic BE. A ἔχῃ τῶν πέντε πλ. [4] Att. XXVI (37). [5] Att. XXXV (55).

ἀπαγγέλλων μέχρις ἡμερῶν εἴκοσι, δίδωσιν αὐτὸν[6] τῷ δεσπότῃ καὶ ἕτερον ὅμοιον αὐτῷ ἢ ἀντὶ τοῦ ὁμοίου τῷ δούλῳ νομίσματα κ΄. τὰ κ΄ ἐνταῦθα νομίσματα ὡς δοῦλος λογίζονται, τουτέστιν εἰς τὴν τιμὴν τοῦ δούλου λαμβάνονται, καὶ δεῖ γινώσκειν ὅτι τιμὴ δούλου ὡς ἐπὶ τὸ πολὺ παρὰ τοῖς νόμοις ἡ ποσότης τῶν κ΄ νομισμάτων ἐστίν[7].

δ΄. Οἱ κλέπτοντες ἐν φοσσάτῳ, εἰ μέν εἰσιν ὅπλα τὰ παρὰ τούτων κλεπτόμενα, σφοδρῶς τύπτονται, ἤγουν ἰσχυρῶς καὶ κραταιῶς δαίρονται· εἰ δὲ ὑποζύγια κλέψουσι, χειροκοποῦνται, τουτέστι τὰς χεῖρας κόπτονται, διότι τὰ ὑποζύγια ἀναγκαιότερα τῶν ὅπλων εἰσί. τὰ μὲν γὰρ εἰς μόνην τὴν μάχην, τὰ δὲ εἰς καιρὸν πάντα λυσιτελοῦσι· καὶ τὰ μὲν δύνανται καὶ ἐκ μάχης ἀγαγεῖν τὸν ἐπ᾿ αὐτῶν ἱππαζόμενον ἢ ἄλλως πως βασταζόμενον, τὰ δὲ εἰς μόνην τὴν κατὰ τῶν ἐχθρῶν ἄμυναν ὑπάρχουσι χρήσιμα· καὶ διὰ τοῦτο ἐπὶ τῇ τῶν ὑποζυγίων κλεψίᾳ σφοδροτάτη ἡ τιμωρία ἐστὶ, ἐπὶ δὲ τῇ τῶν ὅπλων μετριωτέρα. ἔστι δὲ καὶ ἄλλας αἰτίας εἰπεῖν, αἵτινες καὶ πιθανότεραι ταύτης δόξουσιν, ἀλλὰ παρήκαμεν ταύτας, ἵνα μὴ εἰς περιττολογίαν ἐμπέσωμεν[8].

ε΄. Ὁ φυλακῆς προεστὼς ἐὰν διὰ τὸ λαβεῖν χρήματα δίχα δεσμῶν τοὺς φυλασσομένους ἐάσῃ, ἢ ἀνάσχηται καὶ παραχωρήσῃ σίδηρον ἢ φάρμακον ἐν τῇ φυλακῇ εἰσαχθῆναι, τιμωρεῖται· εἰ δέ τι τοιοῦτο γένηται κατὰ ἄγνοιαν τοῦ προεστῶτος τῆς φυλακῆς ἤγουν ὡς μὴ γινώσκοντος τούτου, ἀποκινεῖται ὡς ῥᾴθυμος, ἤγουν ὡς ἀμελὴς τῆς ἐπὶ τῇ φυλακῇ προστασίας ἐκβάλλεται[9].

ϛ΄. Οἱ φυγόντες ἐκ φυλακῆς εἰ μὲν συντρίψαντες τοὺς δεσμοὺς ἢ μέρος τῆς φυλακῆς χαλάσαντες ἢ ἄλλως κατὰ τῶν φυλάκων δολιευσάμενοι τὴν τοιαύτην φυγὴν ἐργάσονται, κεφαλικῶς κολάζονται· εἰ δὲ κατὰ ῥᾳθυμίαν τῶν τὴν φυλακὴν ἐμπεπιστευμένων ἐκφύγωσι, μετριώτερον τιμωροῦνται[10].

ζ΄. Ἐάν τις συνομοσάμενος μετὰ στρατιωτῶν ἢ ἰδιωτῶν ἢ βαρβάρων φονεύσῃ συγκλητικὸν ἢ στρατιώτην τινὰ, κρινέσθω καθοσιώσεως, τουτέστι καταδικαζέσθω καὶ τιμωρείσθω καθὼς τιμωροῦνται καὶ καταδικάζονται καὶ τὸ ὅλον εἰπεῖν καθὼς κρίνονται οἱ τῷ ἐγκλήματι τῆς καθοσιώσεως ἐνεχόμενοι, καὶ κεφαλικὴν τιμωρίαν ὑπομενέτω καὶ τὰ προσόντα αὐτῷ δη-

---

[6] A αὐτῷ. [7] Att. XXXV (55). [8] Att. XXXV (56). [9] Att. XXXV (68). [10] Att. ibid.

μενέσθωσαν· οἱ δὲ υἱοὶ αὐτοῦ καθολικῶς ἄτιμοι ὑπαρχέτωσαν, καὶ μηδὲν μήτε ἀπὸ τοῦ πατρὸς μήτε ἀπό τινος ἄλλου κληρονομείτωσαν, μηδὲ ἐλπὶς διδόσθω τούτοις ὅτι στρατείας ποτὲ ἢ τῆς τυχούσης ἀξίας ἢ τιμῆς ἐπιτύχωσι, καὶ ὁ ὑπὲρ αὐτῶν βασιλέως δεηθεὶς ἄτιμος ἔστω· αἱ δὲ θυγατέρες τοῦ τὸν φόνον ἐργασαμένου καὶ τῶν συνομοσάντων αὐτῷ τοῦ μὲν πατρὸς καὶ τῶν ἄλλων συγγενῶν μηδὲν πρᾶγμα κληρονομείτωσαν, ἐκ δὲ τῶν μητρικῶν πραγμάτων τὸ τρίτον ἢ τὸ ἥμισυ μόνον ὡς φαλκίδιον λαμβανέτωσαν[11].

η'. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης, ἤγουν πρὸ τῆς ἐννόμου ἡλικίας τουτέστι πρὸ τῶν ιγ' χρόνων, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως[12].

θ'. Περὶ τῶν φθειρόντων κόρας παρθένους καὶ τίσι τιμωρίαις οἱ τοιοῦτοι ὑπόκεινται[13] εἰς τὸ κ' στοιχεῖον ἐν τοῖς περὶ κόρης δεδήλωται.

ι'. Ὁ φονεύων ἄνθρωπον τῷ περὶ ἀνδροφόνων νόμῳ ὑπόκειται. ὡσαύτως καὶ ὁ κατὰ δόλον ποιῶν ἐμπρησμὸν, καὶ ὁ διὰ φόνον ἢ κλοπὴν μεθ' ὅπλων περιερχόμενος ἀνδροφόνος ἐστὶ καὶ τῷ περὶ τῶν ἀνδροφόνων νόμῳ ὑπόκειται. καὶ ὁ ἀρχῆς ἢ δικαστηρίου δημοσιακοῦ προϊστάμενος καὶ σπουδάσας μετὰ ψεύδους καὶ πλάσματος κατηγορηθῆναί τινα καὶ καταδικασθῆναι ὄντα ἀναίτιον, καὶ ὁ κατασκευάσας ἀναιρετικὸν φάρμακον τουτέστι φονευτικὸν καὶ θανάσιμον, καὶ ὁ δεδωκὼς ἄλλῳ τοιοῦτον φάρμακον ἵνα αὐτῷ κατά τινος χρήσηται, καὶ αὐτὸς ὁ τοῦτο τὸ φάρμακον[14] χρησάμενος, καὶ ὁ ψευδομαρτυρήσας κατά τινος ἐπὶ κεφαλικῷ ἐναγομένῳ ἐγκλήματι, καὶ ὁ δικαστὴς καὶ ὁ ἄρχων ὁ λαβὼν χρήματα ἐπὶ τῷ κεφαλικῶς καταδικάσαι τινά[15].

γ'. Καὶ ὁ η' κανὼν τοῦ μεγάλου βασιλείου οὕτω φησίν· ὁ ἀξίνῃ περὶ τὸν θυμὸν κατὰ τῆς ἑαυτοῦ γαμετῆς χρησάμενος φονεύς ἐστιν ἑκούσιος. ὡσαύτως καὶ ὁ ξίφει κατά τινος χρησάμενος καὶ ὁ ἐπιδοὺς φάρμακα, εἰ καὶ δι' ἄλλην ταῦτα παρέσχεν αἰτίαν, καὶ ὁ λῃστὴς καὶ ὁ πολέμιος καὶ αἱ τὰ ἀμβλωθρίδια διδοῦσαί τε καὶ λαμβάνουσαι. ἀκούσιος δὲ φονεύς ἐστιν ὁ λίθον ἀφεὶς ἐπὶ κύνα ἢ δένδρον καὶ ἀνθρώπου τυχὼν, καὶ ὁ παιδεύων ἱμάντι καὶ [λόγῳ]. ὁ μέντοι ξύλῳ ἢ χειρὶ πλήξας ἐπὶ τὰ καίρια ἐγγὺς τοῦ ἑκουσίου.

δ'. Τοῦ αὐτοῦ κανὼν μγ'. — Ὁ πρὸς θάνατον πλήξας φονεὺς, εἴτε ἦρξε τῆς πληγῆς εἴτε ἠμύνατο.

---

[11] Att. XXXV (69). [12] Att. XXXV (70). [13] Verba quae sequuntur usque ad v. ὑπόκειται in cap. 10 B et E propter ὁμοιοτέλευτα omittunt. [14] Sic AB. Malim τούτῳ τῷ φαρμάκῳ. [15] Att. XXXV (71).

ια'. Φονεύς ἐστι καὶ ὁ σκοπὸν ἔχων φονεῦσαι, κἂν μὴ φονεύσῃ, ἀλλὰ τυχὸν τραυματίσῃ ἢ πλήξῃ μετρίως ὃν φονεῦσαι ἐβούλετο. ὡσαύτως ἐκ τοῦ ἐναντίου οὐκ ἔστι φονεὺς ὁ μὴ θελήσας φονεῦσαι, εἰ καὶ φονεύσει· εἰ γάρ τις τύψαι τινὰ βουληθεὶς καὶ ῥίψας κατ' αὐτοῦ τι ἐπὶ τῷ τύψαι ἤγουν διὰ τὸ δοῦναι καὶ πλῆξαι, ἐκ τούτου φονεύσει αὐτὸν, οὐκ ἔστι φονεὺς, διότι τὴν προαίρεσιν καὶ τὸ θέλημα οὐκ εἶχεν εἰς τὸ φόνον ἐργάσασθαι. σκοπεῖται δὲ ἡ διάθεσις καὶ ἡ γνώμη τοῦ τύψαντος ἐκ τοῦ ὀργάνου, μεθ' οὗ ἔπληξε, καὶ ἐκ τούτου φαίνεται, εἴτε ἐβούλετο φονεῦσαι εἴτε οὐδόλως ποιῆσαι τοῦτο ἐβούλετο[16].

ιβ'. Ὁ φονεύσας τινὰ βιαζόμενον καὶ δυναστεύοντα αὐτὸν πρὸς ἀσέλγειαν, ἤγουν πρὸς ἀκολασίαν καὶ μυσαρὰν καὶ ῥυπαρὰν πρᾶξιν, ἀκινδύνως φονεύει, καὶ οὐχ ὑπόκειταί τινι ἀγωγῇ[17].

ιγ'. Ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον φάρμακον ποιῶν ἢ ἔχων ἢ ἑτέρῳ πιπράσκων ἤγουν πωλῶν τῷ περὶ ἀνδροφόνων νόμῳ ἐνέχεται[18].

ιδ'. Οἱ τὰ φίλτρα ποιοῦντες δημευόμενοι τὸν βίον καὶ πᾶσαν τὴν περιουσίαν ἐξοριζέσθωσαν. φίλτρα δέ εἰσι τὰ φιλίας καὶ ἀγάπης ποιητικὰ, δι' ὧν, ὡς φλυαροῦσί τινες, δύναταί τις ἕλκειν τινὰ πρὸς τὸ ἀγαπᾶν ἑαυτόν[19].

ιε'. Ἡ κατὰ τῶν ἀνδροφόνων ποινὴ ἐπὶ μὲν τῶν ἐντίμων καὶ ἐνδόξων ἀνδρῶν, ἤγουν[20] *ὅταν ὁ ποιήσας τὸν φόνον ἔντιμος καὶ ἔνδοξος ᾖ, περιορισμός ἐστι καὶ τελεία δήμευσις, τουτέστιν ἀφαίρεσις πάντων ὧν ἔχει καὶ δήμευσις καὶ μεγίστη δημοσιεύοσις*[21]. *ἐπὶ δὲ τῶν εὐτελῶν, ἤγουν*[22] *τῶν χαμηλῶν καὶ πτωχῶν, τὸ παραδίδοσθαι ξίφει, ἤγουν*[23] *διὰ ξίφους τέμνεσθαι, καὶ τὸ ὑποβάλλεσθαι θηρίοις, τουτέστιν εἰς τροφὴν αὐτοῖς παρατίθεσθαι*[24].

ιϛ'. Ἡ δὲ νεαρὰ ἤγουν ἡ ἐκ νέου γενομένη πρᾶξις[25] *τοῦ βασιλέως*[26] *κυροῦ βασιλείου τοῦ μακεδόνος πάντας τοὺς ποιήσαντος φόνον ἐκ μελέτης καὶ σκέψεως, κἂν ὁποίας ἂν καὶ εἶεν ἀξίας, θνήσκειν θεσπίζει, τουτέστι*[27] *στερεῖσθαι τοῦ ζῆν καὶ φονεύεσθαι*[28].

---

[16] Att. XXXV (71). [17] Att. ibid. [18] Att. ibid. [19] Att. ibid. — B *αὐτόν*. [20] C verba *ἤγουν — ᾖ* non habet. [21] Sic A. BDE verba *δήμευσις καὶ μεγίστη* non habent: C adeo verba *τουτέστιν — δημοσιεύοσις* omittit. [22] Verba *ἤγουν τ. χ.* in C desunt. [23] Verba *ἤγ. διὰ ξ. τ.* in C desunt. [24] Att. XXXV (71). [25] EB *πρόσταξις*. C *ἤτοι ἡ πρόσταξις τοῦ*. [26] C *τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως*. [27] Verba *τουτέστι — φονεύεσθαι* in C desunt. [28] Att. XXXV (71).

ιζ΄. Ὁ ἀπὸ τρυφῆς φονεύσας ἐπὶ πενταετίαν ἤγουν ἕως συμπληρώσεως πέντε χρόνων ἐξορίᾳ καθυποβάλλεται[29].

ιη΄. Ὁ περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ ἀλλ' οὐ μεγάλην ἀμέλειαν, τουτέστι τοῦτο σκοπεῖ, ἐὰν μετὰ δόλου ὁ φόνος ἐγένετο, ἀλλ' οὐχὶ ἐὰν ἐξ ἀμελείας ἢ ἀπροσεξίας μεγάλης. καὶ σκόπει, ὅπως ὁ δόλος, ἀλλ' οὐχ ἡ ἀμέλεια κρίνεται[30].

ιθ΄. Ἔρριψέ τις ἑαυτὸν ἐκ τοῦ τείχους ἢ διὰ τὸ φυγεῖν ἢ δι' ἑτέραν ἀναγκαίαν χρείαν τινὰ, εὑρέθη τὶς κάτω, ἔπεσεν ἐπ' αὐτῷ ὁ καταφερόμενος ἄνωθεν, ἔπληξεν εἰς μέρος τὶ καίριον καὶ ἀπέκτεινεν· ἐνταῦθα οὐκ ἔστι δόλος, ἀλλὰ ἀμέλεια. οὐ γὰρ ἐκ δόλου, ἀλλ' ἐξ ἀπροσεξίας ὁ φόνος ἐγένετο, καὶ διὰ τοῦτο ὁ φονεύσας οὐ κρίνεται φόνου[31].

κ΄. Τὸ φονεῦσαι, καὶ τὸ φόνου αἰτίαν ἤγουν ἀφορμὴν παρασχεῖν, καὶ τὸ ἐντείλασθαι ἤγουν προστάξαι καὶ παρακελεύσασθαι φόνον ποιῆσαι, οὐδὲν διαφέρει[32].

κα΄. Ὁ τὸν ἐπελθόντα, ἤγουν κατ' αὐτοῦ ὁρμηθέντα καὶ κινηθέντα εἰς τὸ φονεῦσαι αὐτὸν, φονεύσας, ἐν ᾧ περὶ τὴν ζωὴν ἐκινδύνευσεν, οὐκ εὐθύνεται[33].

κβ΄. Ὁ φονεύσας ἀνιόντα ἢ κατιόντα ἢ ἕτερον συγγενῆ πυρὶ παραδίδοται[34].

κγ΄. Ὁ φονεύσας, ἐὰν μεμηνὼς ᾖ, ἤγουν μαινόμενος καὶ παραφρονῶν, ἢ κατωτέρω τῶν ζ χρόνων, συγγινώσκεται, ἤγουν συγγνωμονεῖται καὶ συγγνώμης ἀξιοῦται καὶ συγχωρήσεως[35].

κδ΄. Ὁ φονεύσας[36] τινὰ ἐξστραορδίνους ἔχει ποινὴν, τουτέστιν ἐξορίαν διηνεκῆ κατακρίνεται. τὸ γὰρ ἐξστραορδίνους κυρίως τὸ ἔξω τῶν τεταγμένων δηλοῖ. πολλάκις δὲ ὁ φονεύσας καὶ εἰς σφοδροτέραν τιμωρίαν καταδικάζεται[37].

κε΄. Ἐὰν γὰρ ἐπὶ χρήμασι καὶ ἐὰν κατὰ παράλογον θερμότητα φονεύσῃ τὶς τὸν ἀναίτιον, κεφαλικῶς τιμωρεῖται, ἢ ἐὰν μὴ γένηται τοῦτο, τὸ πάντων ἐλαφρότατον καὶ μετριώτερον ἐπὶ τῷ παίσματι αὐτοῦ ἐπαγόμενον εἰς εὐθύνην, περιορίζεται[38].

κς΄. Τὸ περιορισθῆναι δὲ τοῦ ἐξορισθῆναι κατὰ πολὺ ὑπάρχει βαρύτερον. ὁ γὰρ περιορισμὸς ἐξ ἀνάγκης ἔχει καὶ δήμευσιν, καὶ οὔτε συγγένειαν ἔχειν οὔτε κληρονομίαν λαμβάνειν ἢ διδόναι ὁ περιοριζόμενος δύναται[39].

κζ΄. Ἡ διάταξις[40] κελεύει μὴ γίνεσθαι ἰδιωτικὰς φυλα-

---

[29] Att. XXXV (71). [30—35] Att. ibid. [36] Sic auctor, licet de repetundis sermo sit. [37] Att. XXXV (73). [38] Att. ibid. [39] Att. XXXV (78). [40] Sic lego. A *Διάτι*, C *Διατί*, BDE *Διότι*.

κας[41], τοὺς δὲ τοῦτο πράττοντας ὑποκεῖσθαι τῷ δημοσίῳ, καὶ διάγειν ἐν φρουρᾷ τοσαύτας ἡμέρας, ὅσας γέγονεν ὁ ἐγκλεισθεὶς ἐν τῇ γενομένῃ ὑπ᾽ αὐτῶν φυλακῇ, ὁποίας ἂν εἴησαν τύχης ἢ ἀξίας, ἐκπίπτειν δὲ καὶ τῆς δίκης τῆς ἁρμοζούσης αὐτοῖς κατὰ τῶν ἐγκλεισθέντων, προνοίᾳ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος· εἰ δὲ ῥᾳθυμήσει ὁ ἄρχων, ὑφίστασθαι κίνδυνον καὶ περὶ τὴν οὐσίαν καὶ περὶ τὴν σωτηρίαν[42].

κη΄[43]. Τοῦ τοιούτου κυροῦ κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ ἑτέρα εὑρίσκεται νεαρὰ περὶ τῶν φονευόντων[44] καὶ τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ προσφευγόντων ἐκτεθειμένη, ἥτις παρακελεύεται, ἵνα ὁ ἑκουσίως φόνον ποιήσας κατά τινα αὐτόματον ὀργὴν καὶ θερμότητα, καὶ μετὰ ταῦτα τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ προσφυγὼν, μετὰ τὴν ἐκκλησιαστικὴν ἐπιτίμησιν ἐκπίπτῃ καὶ πάσης τῆς περιουσίας αὐτοῦ· καὶ εἰ μὲν ἔχει ὁ τοιοῦτος γυναῖκα, ἵνα λαμβάνῃ αὕτη τὴν προῖκα αὐτῆς ἐξ ὁλοκλήρου καὶ πάντα τὰ οἰκεῖα κέρδη· εἰ δὲ πολλάκις ἔχοι ὁ τὸν φόνον ποιήσας καὶ παῖδας, τότε τὴν μὲν προῖκα λαμβάνει ἡ γυνὴ, τὰ δὲ γαμικὰ κέρδη οὐ δίδοται τῇ γυναικὶ, ἀλλὰ ἔχει μόνην τὴν χρῆσιν τούτων, αὐτὰ δὲ τὰ πράγματα φυλάττεται τοῖς παισὶ, καὶ δίδοται τοῖς παισὶν εἰς κληρονομίαν καὶ τὸ τρίτον τῆς τοῦ πατρὸς περιουσίας, τὸ δὲ λοιπὸν τρίτον δίδοται τῷ μέρει τοῦ φονευθέντος, ἤγουν τῇ γυναικὶ τούτου καὶ τοῖς παισὶν εἰς παρηγορίαν αὐτῶν, καὶ τὸ ἄλλο τρίτον δίδοται εἰς μοναστήριον, εἰς ὃ ὁ φονεὺς, ἐὰν θέλῃ μονάσαι, βουληθῇ εἰσελθεῖν. πολλάκις γὰρ ὁ φονεὺς ἢ αὐτοπροαιρέτως ἢ ἐκ τῆς βίας τῶν κανονιζόντων ἐκκλησιαστικῶν ἀνθρώπων καταναγκάζεται μονάσαι καὶ εἰς μοναστήριον εἰσελθεῖν, καὶ δίδοται τὸ τρίτον τῆς περιουσίας αὐτοῦ εἰς τὸ μοναστήριον. εἰ δὲ ὁ φονεὺς γυναῖκα μὲν ἔχει, παῖδας δὲ οὐκ ἔχει, τότε ἡ γυνὴ καὶ τὰ γαμικὰ κέρδη λαμβάνουσα ἐκ τῆς τοῦ φονευθέντος περιουσίας, ἔχει καὶ τὸ τρίτον τῆς περιουσίας τοῦ φονέως, πλὴν οὐ μόνη αὐτὴ τὸ τρίτον κερδαίνει, ἀλλὰ μετὰ τῶν ἀνιόντων μερίζει αὐτὰ καὶ ἐπαίρει κατὰ ἀναλογίαν καὶ αὐτὴ ὅσον ἐπιλαγχάνει ταύτῃ. εἰ δὲ ἡ γυνὴ τοῦ φονευθέντος προτελευτήσει, καὶ μόνοι οἱ παῖδες ἀπολειφθεῖεν, προτιμῶνται οἱ παῖδες παρὰ τοὺς ἀνιόντας, καὶ λαμβάνουσιν αὐτοὶ τὸ τρίτον τῆς τοῦ φο-

---

41 D verbum *φυλ.* non habet. 42 Att. XXXV (82). 43 A in marg. *νεαρά.*
44 Quae sequuntur post *φονευόντων* D non habet, sed pergit: *εὑρήσεις δὲ τὸ τοιοῦτον εἰς τὸ ν΄ στοιχεῖον με΄ κεφ.*

νεύσαντος περιουσίας. εἰ δὲ μήτε γυνὴ μήτε παῖδες μήτε ἀνιόντες τοῦ φονευθέντος εὑρίσκονται, οἱ λοιποὶ γνησιώτεροι αὐτοῦ συγγενεῖς τὸ τρίτον τῆς τοῦ φονεύσαντος περιουσίας κληρονομοῦσιν. εἰ μέντοι ὁ φονεύσας μὴ βουληθῇ μονάσαι, οὐ τὸ τρίτον ἀλλὰ τὸ δίμοιρον τῆς περιουσίας αὐτοῦ τῷ τοῦ φονευθέντος δίδοται μέρει, αὐτὸς δὲ ἄτιμός ἐστιν ἀεὶ, τουτέστι πάντοτε, καὶ οὐδέποτε ἀρχήν τινα ἢ πολιτικὴν ἢ στρατιωτικὴν ἀναδέχεται, ἀλλὰ καὶ ἐξορίαν διηνεκῆ καὶ ἀειφυγίαν καταδικάζεται. εἰ δὲ καὶ μετὰ προμελετήσεως καὶ προσκέψεως τὸν φόνον ἐργάσεται, τότε κἂν καὶ μὴ θέλῃ, ἄκων γίνεσθαι μοναχὸς ἀναγκάζεται. οἱ τόποι δὲ τῆς στρατείας ἤγουν αἱ ὑπὲρ τοῦ στρατεύειν οἰκονομίαι πρὸς τοὺς κληρονόμους αὐτοῦ παραπέμπονται· εἰ δὲ μὴ ἔχει ὁ φονεὺς κληρονόμους, ἕτεροι τοὺς τῆς στρατείας τόπους λαμβάνοντες εἰς τὴν στρατείαν ὑπηρετοῦσιν[45].

κθ´[46]. Κατὰ δὲ τὴν νεαρὰν τοῦ βασιλέως[47] κυροῦ μανουὴλ οὐκ ἀναγκάζεται ἀποκείρεσθαι ἤγουν κουρεύεσθαι, ἀλλ᾽ ἀντὶ τῆς κουρᾶς ὅλον τὸν τῆς ζωῆς χρόνον εἰς ἐξορίαν διάγειν καταδικάζεται. φησὶ γὰρ ἄτοπον ἀναγκάζειν τὸν φονέα καὶ μὴ θέλοντα ἀποκείρεσθαι, ὅπου γε καὶ τοὺς ἑκουσίως προσερχομένους ἀποκαρῆναι οὐχ ἑτοίμως οὐδ᾽ εὐχερῶς, ἀλλὰ μετὰ δοκιμασίας τῆς προσηκούσης παραδέχεσθαι διορίζονται.

λ´. Ἡ μὲν τοῦ φάκτου ἄγνοια ἤγουν ἀγνωσία, τουτέστι τὸ μὴ γινώσκειν τὸ φάκτον (φάκτον δέ ἐστι τὸ κεφάλαιον καὶ τὸ τῆς ὑποθέσεως ἀποτέλεσμα), οὐδένα βλάπτει. οὐδεὶς γὰρ βλάπτεται διὰ τὸ μὴ γινώσκειν τόδε τὶ γεγονὸς καὶ διὰ τοῦτο μηδὲ κινεῖν περὶ αὐτοῦ, ἀλλ᾽ ἄδειαν ἔχει μετὰ τὸ γνωρίσαι τὸ πρᾶγμα τὴν περὶ αὐτοῦ κινεῖν ἀγωγήν. ἡ δὲ τοῦ νόμου ἄγνοια πάντας βλάπτει χωρὶς τῶν ἀνηλίκων καὶ τῶν γυναικῶν εἴς τινα πράγματα καὶ ὑποθέσεις τινάς. οἱ γὰρ ἀνήλικοι καὶ αἱ γυναῖκες, οἱ μὲν διὰ τὴν ἡλικίαν οἱ δὲ διὰ τὴν τῆς φύσεως ἀσθένειαν, πολλάκις βοηθοῦνται καὶ δικαιοῦνται, κἂν μὴ γινώσκωσι

ε´. Νεαρὰ κυροῦ βασιλείου πορφυρογεννήτου δεσπότου. — Ὅτι κολάζεσθαι δεῖ καὶ τοὺς ἐν ἀξιώματι φονεῖς καὶ ἀποθνήσκειν, καὶ μηδὲν ἐκ τοῦ ἀξιώματος ὠφελεῖσθαι, εἰ μόνον προδήλως φανεῖεν δόλους ἢ συνωμοσίας ἢ συσκευὰς ἢ ἐπιθέσεις πρὸς τὸ μίσους ἄξιον τοῦτο ἔργον ποιοῦντες ἢ τοὺς ὑπηρετοῦντας αὐτοῖς παραπείθοντες τὸ πονηρὸν ἐκτελεῖν τοῦτο.

---

[45] Att. in App. [46] A in marg. νεαρά. Intelligitur Novella Manuelis de anno 1166 (Coll. IV Nov. 48). [47] C εὐσεβεστάτου βασ. D εὐσεβεστάτου καὶ φιλοχρίστου βασ.

τὴν παρὰ τοῦ νόμου διδομένην αὐτοῖς βοήθειαν· οἱ δὲ ἄλλοι πάντες μεγάλως ἐκ τοῦ τὸν νόμον ἀγνοεῖν βλάπτονται· ἀποτυγχάνουσι γὰρ καὶ ἀστοχοῦσι τοῦ οἰκείου δικαίου διὰ τὸ μὴ γινώσκειν ἐν τίσιν ὁ νόμος αὐτοῖς βοηθεῖ[48].

λα΄. Τὰ μὲν φορτία καλῶς εἰς νομίσματα ἀποτιμῶνται, τὰ δὲ νομίσματα οὐκ ἀποτιμῶνται εἰς φορτία[49].

λβ΄. Ὁ θάπτων ἔγκυον ἤγουν ἐν γαστρὶ ἔχουσαν πρὶν ἢ τὸ βρέφος δι᾽ ἀνατομῆς ἐκβληθῇ, φονεύειν δοκεῖ[50].

λγ΄. Καὶ ὁ πρόσκαιρον φυλακὴν φυγὼν διηνεκῶς φυλάττεται· ὁ δὲ διηνεκῆ φυλακὴν φεύγων μεταλλίζεται· ὁ δὲ μέταλλον φυγὼν ἐσχάτως τιμωρεῖται καὶ τῇ διὰ ξίφους τιμωρίᾳ ὑπάγεται[51].

λδ΄. Φιδικομισαρία ἐλευθερία ἐστὶ τὸ εἰπεῖν· ὁ δεῖνα δοῦλος ἑτέρῳ τινὶ μὴ δουλεύσῃ. φαίνεται γὰρ ὁ τοῦτο εἰπών, ὅτι μόνῳ τῷ κληρονόμῳ ὑπὸ δουλείαν ἐκεῖνον ποιεῖ, καὶ ἐμπιστεύει τῷ κληρονόμῳ τὴν μετὰ θάνατον αὐτοῦ ἐλευθερίαν τοῦ δούλου[52].

λε΄. Ὁ τὰ ἴδια φορτία κρύπτων, ὡς ἂν μὴ καταβάλῃ πρὸς τὸν δημόσιον τὸ ἐπ᾽ αὐτοῖς τέλος, κλεπτοτελώνης καλεῖται· καὶ μετὰ τὸ ἐλεγχθῆναι τοιοῦτό τι πεποιηκὼς τὰ φορτία ἀπόλλυσιν. εἰ δὲ κατὰ πλάνην, ἀλλ᾽ οὐ κατὰ δόλον τὰ φορτία τούτου κρυβῶσι, διπλοῦν τὸ ὑπὲρ αὐτῶν τέλος δίδωσι, τὰ δὲ φορτία ἔχει αὐτός. εἰ δὲ δοῦλον ἀποκρύψει, ἐκπίπτει τῆς δεσποτείας αὐτοῦ καὶ γίνεται ὁ δοῦλος δημόσιος. εἰ δὲ ἀποκρύψας ἐλευθερώσει, στέργεται ἡ ἐλευθερία αὕτη, καὶ οὐκέτι οὔτε αὐτὸς ὁ πρότερον τοῦ δούλου δεσπότης οὔτε ὁ δημόσιος δεσπόζει τοῦ δούλου, ἀλλὰ μένει ἐλεύθερος[53].

λς΄[54]. Φυσικοὶ παῖδες, ἤγουν οἱ κατὰ φύσιν χωρὶς νομίμου γάμου γεννώμενοι, καὶ θετοί, τουτέστιν οἱ κοινῶς λεγόμενοι υἱοθετοί, τὸ αὐτὸ δίκαιον ἔχουσιν ἐπί τε κληρονομίᾳ καὶ τοῖς ἄλλοις[55].

---

[48] Syn. *Δ*, 2 ex Bas. II, 4, 9. [49] Syn. *E*, 2 ex Bas. XXVI, 1, 42. [50] Syn. *T*, 5 ex Bas. LIX, 2, 3. [51] Syn. *E*, 29 ex Bas. LX, 51, 26. [52] Syn. *E*, 15 ad Bas. XLVIII, 4, 20. [53] Syn. *K*, 12 ex Bas. LVI, 4, 1. [54] D κθ΄, A λ΄, C λα΄. [55] Syn. *K*, 16 ex Bas. XLV, 1, 1.

ΑΡΧΗ ΤΟΥ Χ[1].

α΄. Τὰ εἰς χρῆσιν ἤγουν εἰς χρείαν τινὶ διδόμενα ἢ κινητά εἰσιν ἢ ἀκίνητα, καὶ χρεωστεῖ ὁ λαμβάνων μὴ ποιῆσαι δόλον ἐν αὐτοῖς ἢ ἀμέλειαν· ὅσα δὲ μήτε ἀμελοῦντος μήτε δολιευομένου τούτου ἀπό τινος τύχης εἰς αὐτὰ γένηται, τὸν δεσπότην ὁρᾷ, τουτέστιν εἰς τὸν δεσπότην αὐτὸν ἀνατρέχει καὶ τὴν ζημίαν ὁ δεσπότης ὑφίσταται, καὶ οὐχ ὁ πρὸς χρῆσιν τὸ πρᾶγμα λαβών. καὶ σκόπει, ὅτι παρὰ τῷ νόμῳ τό· ὁρᾷ τὸν δεῖνα τόδε τὶ, τοῦτο δηλοῖ τὸ εἰς αὐτὸν τὴν ζημίαν ἢ πολλάκις καὶ τὸ κέρδος ἀνάγεσθαι. ἐὰν δὲ ὁ λαβὼν συμφωνήσῃ καὶ εἴπῃ ῥητῶς, ἵνα αὐτὸς καὶ ἐπὶ τοῖς κατὰ τύχην συμβησομένοις ἐνέχεται, ἡ συμφωνία κρατεῖ καὶ ὁ συμφωνήσας ἐνέχεται[2].

β΄. Χρῆσις καρπῶν λέγεται, ὅταν δώσει τὶς ἑτέρῳ τινὶ ἀγρὸν ἢ ἄλλο τὶ τοιοῦτον οὐκ εἰς τελείαν δεσποτείαν, ἀλλ᾽ ἵνα μόνους ἔχῃ τοὺς καρποὺς καὶ τὴν πρόσοδον, τὴν δὲ δεσποτείαν τοῦ κτήματος παραπέμπῃ πρὸς ἕτερον[3].

γ΄. Ψιλὴ δὲ χρῆσίς ἐστι τέρψις μόνη καὶ ὑπηρεσία καὶ διοίκησις ἀκαινοτόμητος· οἷον τὸ πρὸς καιρὸν ἐπὶ λιβαδιαίῳ τόπῳ ζῶα βοσκῆσαι, ὀλίγα ἢ μέτρια ξύλα κόψαι ἐξ ὄρους[4].

δ΄. Χρηματικαὶ ὑποθέσεις λέγονται, ὅσαι ζημίαν χρημάτων τοῖς ἔχουσιν αὐτὰς προξενοῦσι, καὶ καταδίκην τοῖς φανεῖσι πταίσταις τὴν ζημίαν τῶν χρημάτων ἐπάγουσιν. ἐγκληματικαὶ δὲ ὑποθέσεις εἰσὶν, ὅσαι βαρυτέραν ἔχουσι τιμωρίαν. εἰσὶ δὲ καὶ αἱ πληγαὶ τῶν σωμάτων τῆς ἀφαιρέσεως τῶν χρημάτων βαρύτερα[5].

α΄. Χήρα λέγεται οὐ μόνον ἡ διαζευχθεῖσα, ἀλλὰ καὶ ἡ μὴ ὄντως ἄνδρα ἐσχηκυῖα.

β΄. Μέτριος χρόνος δέκα ἡμέρα εἰσίν. ὀλίγος χρόνος νοεῖται οἱ δύο μῆνες.

γ΄. Ὁ οὐτίλιος ἐνιαυτὸς ἤτοι ὡρισμένος τετραετία ἐστίν.

δ΄. Ὁ ἔχων χρῆσιν οἰκίας τὰ κατακέραμα ὀφείλει ποιεῖν τῆς οἰκίας ἀναλώμασιν οἰκείοις· εἰ δέ τι περαιτέρω ἀνάλωσεν εἰς τὴν τῆς οἰκίας διόρθωσιν, τοῦτο λήψεται παρὰ τοῦ ἔχοντος τὴν δεσποτείαν.

ε΄. Ὁ ποιήσας ἐν πόλει ι΄ ἔτη δοκεῖ τὴν οἴκησιν ἐκεῖ ἔχειν.

ϛ΄. Ὁ πληρώσας τὰ ιζ΄ ἔτη καὶ ἀρξάμενος τοῦ ιη΄ δύναται συνηγορεῖν.

---

[1] A addit *βιβλίου*, D *στοιχείου*. — In C haec litera literae *Φ* praeposita est.
[2] Att. VII (8). [3] Att. X (11). [4] Att. ibid. [5] Att. XIII (16). Cf. XXXV (78).

ε'. Οἱ χρεωστοῦντες ἐγγράφως, ἐὰν λέγωσιν ὅτι ἀγράφως ἅπερ ἐχρεώστουν ἀπέδωκαν, οὐ πιστεύονται· εἰ δὲ ε' μάρτυρας παραστήσουσιν, οὓς εἰς αὐτὸ τοῦτο προσεκαλέσαντο, τότε εἰς ὃ λέγουσι παραδέχονται[6].

ϛ'. Αἱ χρηματικαὶ ὑποθέσεις, ἐὰν ἀποδημῶσιν οἱ μάρτυρες, διὰ γραφῶν τῶν μαρτύρων δύνανται λύεσθαι· αἱ δὲ ἐγκληματικαὶ ὑποθέσεις οὐ λύονται εἰ μὴ αὐτοπροσώπως παραστῶσιν οἱ μάρτυρες[7].

ζ'. Τὸ χρέος καθολικώτερον τοῦ δανείου ἐστί. δάνειον μὲν γὰρ τὸ ἀπὸ δόσεώς τινος καὶ καταβολῆς χρεωστούμενον, καὶ ἄλλο τὶ παρὰ τοῦτο οὐκ ὀνομάζεται δάνειον· χρέος δὲ καὶ αὐτὸ τὸ δάνειον, καὶ τὸ ἀπὸ λεγάτου, καὶ τὸ ἀπὸ τιμήματος πραθέντος τινὸς πράγματος ὑπολιμπανόμενον, καὶ τὸ ἀπὸ διαθήκης καὶ ἁπλῶς τὸ ἀπὸ αἰτίας ὁποιασοῦν ὀφειλόμενον[8].

η'. Ὅταν τὶς τελευτήσας κληρονόμους ἔχῃ, καὶ καταλείψῃ καὶ χρέος, ὅπερ αὐτὸς ζῶν ἔτι πρός τινας ὤφειλε, καὶ τοῖς μέλλουσι τοῦτον κληρονομεῖν ἀφήσει σὺν τῇ κληρονομίᾳ καὶ τοῦ χρέους τὴν ὀφειλὴν (κληρονομιαῖον χρέος τοῦτο κατονομάζεται), τοῦτο γοῦν τὸ κληρονομιαῖον χρέος οἱ κληρονόμοι κατὰ ἀναλογίαν, τουτέστι πρὸς ὃ κληρονομοῦσιν, ἀποδιδότωσαν[9].

θ'. Ὅταν τὶς μὴ χρεωστῶν τινί τι καταβάλῃ καὶ ἀποδώσει πρᾶγμα αὐτοῦ ἀχρεώστητον, εἰ μὲν ἀγνοεῖ καὶ ἀρνεῖται ὅτι οὐ χρεωστεῖ, ἀλλὰ ὑπολαμβάνει ὅτι χρεωστεῖ καὶ διὰ τοῦτο ὡς χρεωστῶν δίδωσιν, ἔπειτα δὲ εἰς αἴσθησιν τοῦ πράγματος ἔλθῃ καὶ θελήσῃ ἀνακαλέσασθαι ὅπερ ἔδωκεν, ἀνακαλεῖται αὐτό· εἰ δὲ γινώσκων ἀκριβῶς ἐξ ἀρχῆς, ὅτι οὐ χρεωστεῖ, δώσει πρός τινα ἀχρεώστητον, οὐκέτι δύναται ἀνακαλεῖσθαι αὐτό. δοκεῖ γὰρ ὅτι οἰκειοθελῶς ἐδωρήσατο[10].

ι'. Ὁ χρόνος οὔτε τὸν δημόσιον ἀποκλείει κανόνα οὔτε τὴν περισσοπραξίαν βεβαιοῖ. τοῦτο δὲ τοιοῦτόν ἐστιν· ἐὰν πολλοὶ παρέλθωσι χρόνοι καὶ οὐ καταβάλῃ τὶς τὸ ὀφειλόμενον πρὸς τὸ μέρος τοῦ δημοσίου, οὐ κλείεται ἐκ τοῦ χρόνου ὁ δημόσιος εἰς τὸ λαμβάνειν τὸ ἀνῆκον αὐτῷ. καὶ πάλιν ἐὰν πολλοὺς χρόνους περισσοπρακτῆταί τις (τὸ δὲ τί δηλοῖ τὸ περισσοπρακτεῖσθαι[11], ἐν τοῖς εἰς τὸ π' στοιχεῖον εἰρήκαμεν), οὐκ ἀναγκάζεται διὰ τὴν τοῦ χρόνου νομὴν καὶ εἰς τὸ ἑξῆς περισ-

---

[6] Att. XIII (16). [7] Att. ibid. [8] Att. XV (19). [9] Att. ibid. [10] Att. XVI (21). [11] A in margine: *τὸ τὸ περισσὸν καὶ ὑπὲρ το τεταγμένον ἀπαιτεῖν ἀπό τινος.*

σοπρακτεῖσθαι. καὶ τοῦτο δηλοῖ τό· ὁ χρόνος οὔτε δημόσιον ἀποκλείει οὔτε τὴν περισσοπραξίαν βεβαιοῖ[12].

ια΄. Μία πολλάκις ὑπόθεσις ἐν ταὐτῷ χρηματικὴν ἔχει καὶ ἐγκληματικὴν ἀγωγήν· καὶ ἐστὶ τοῦτο ὥσπερ καινὸν, ὡς ἐπὶ τὸ πολὺ γὰρ αἱ χρηματικαὶ καὶ ἐγκληματικαὶ ἀγωγαὶ πολλὴν ἔχουσι τὴν διάστασιν. γίνεται δὲ χρηματικὴ καὶ ἐγκληματικὴ ἀγωγὴ, ὁπόταν ἀνέλῃ τὶς δοῦλον ἀλλότριον· τότε γὰρ ὡς μὲν ἐργασάμενος φόνον ταῖς ἐγκληματικαῖς ὑπόκειται ἀγωγαῖς, ὡς δὲ ζημιώσας τὸν τοῦ δούλου δεσπόζοντα ταῖς χρηματικαῖς. καὶ οὕτως ὑπόθεσις μία χρηματικὴν ἔχει καὶ ἐγκληματικὴν ἀγωγήν[13].

ιβ΄. Ὁ ἐν χάρτῃ τινὶ γεγραμμένην φλυαρίαν εὑρὼν, εἴτε ἐσφραγισμένην εὕροι ταύτην εἴτε ἀσφράγιστον, τὰ ἐν τῷ χάρτῃ μηδενὶ ἑτέρῳ λεγέτω, τὸν δὲ χάρτην ἢ κατακοπτέτω τε καὶ σχιζέτω, ἢ καιέτω αὐτόν. ὁ δὲ μὴ οὕτω ποιήσας, κεφαλικῶς τιμωρείσθω. ἐὰν δὲ ὁ χάρτης διὰ τῶν ἐν τούτῳ φλυαριῶν κατὰ ὑπολήψεώς τινος ἀνδρὸς ἀποτείνεται, μηδὲν ὅλως βλαπτέσθω ὁ ἄνθρωπος ἐκεῖνος, καθ' οὗ ὁ χάρτης διαλαμβάνει. ὀνομάζονται δὲ τὰ τοιαῦτα χαρτία φάμουσα[14].

ιγ΄. Ἡ χρηματικὴ δίκη ἐντὸς γ΄ χρόνων ὀφείλει λαμβάνειν ἐντελῆ τὴν ἐκπλήρωσιν[15].

ιδ΄. Πᾶς [μὴ] χριστιανὸς οἰκέτην ἔχων χριστιανὸν, λ΄ χρυσίου λίτρας καταθήσει τῷ δημοσίῳ, καὶ ὁ οἰκέτης εἰς ἐλευθερίαν ἀναρπασθήσεται[16].

ιε΄. Ἐάν τις χρεωστῶν κεφαλαίου τόκους μὴ κεχρεωστημένους καταβάλῃ, οὐκ ἂν ἀναλαμβάνει. ὁ δὲ τόκους ὑπὲρ τὸν νόμιμον καταβαλὼν, οὐκ ἀναλαμβάνει μὲν, καταλογίζεται δὲ αὐτοὺς εἰς τὸ κεφάλαιον. καὶ ὅτι ὁ ὀμόσας χρεωστεῖν, εἰ καταβάλῃ, [οὐκ] ἀναλαμβάνει[17].

ιϛ΄. Ὁ χωρὶς ἄρχοντος τοῖς πράγμασι τοῦ χρεώστου προτρεπῶς ἐπιβὰς, ἐκπίπτει τοῦ χρέους, καὶ τὸ γ΄ τῆς οὐσίας δημοσιεύεται τούτου καὶ ἄτιμος γίνεται[18].

ιζ΄. Ὅτι ὁ χρόνος τῆς κατὰ τῆς διαθήκης μέμψεως οὐκ ἐκ τῆς τελευτῆς τοῦ διαθεμένου τρέχει, ἀλλ' ἐξ οὗ ὁ κληρονόμος ὑπεισῆλθε τὴν κληρονομίαν. εἰ μὲν γὰρ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ, εἴσω ἓξ μηνῶν ὑπεισέρχεσθαι ὀφείλει· εἰ δὲ ἐν ἄλλῃ μὲν ἐπαρχίᾳ διάγουσιν οἱ μέλλοντες τὴν κατὰ τῆς διαθήκης μέμψιν

---

[12] Att. XXXIII (52). [13] Att. XXXV (55). [14] Att. XXXV (88). [15] Att. XXXV (90). [16] Att. XXXV (81). [17] Syn. *A*, 54 ex Bas. XXIV, 6, 26. 43. [18] Syn. *B*, 6 ex Bas. LX, 18, 18.

κινῆσαι, ἐν ἄλλῃ δὲ ὁ κληρονόμος, ἐντὸς ἐνιαυτοῦ συναπτοῦ ἀπὸ τῆς τελευτῆς τοῦ διαθεμένου ψηφιζομένου ὑπεισέρχεσθαι αὐτὸν ἢ ἀποτάττεσθαι τῇ κληρονομίᾳ. ἐὰν δὲ εἴσω τῶν εἰρημένων μὴ ὑπεισέλθῃ τῇ κληρονομίᾳ, τὸν ἄρχοντα διὰ τῆς τάξεως ἀναγκάζειν αὐτὸν ὑπεισελθεῖν[19].

ιη'. Τῶν χρεωστούντων δημόσια πάντα τὰ ὑπάρχοντα ὑπεύθυνά εἰσιν[20].

ιθ'. Τὰ δημόσια τέλη οὐκ εἰσι κατὰ προσώπων, ἀλλὰ κατὰ πραγμάτων, καὶ δεῖ τὸν ἄρχοντα τῆς ἐπαρχίας σπουδάζειν, ἵνα οὐδεὶς ὑπὲρ ὧν οὐ νέμεται συντελῇ[21].

κ'. Εἷς χρόνος εἰς ἐλευθερίαν ὡρίσθη· εἰ συμβῇ ἀσθενῆσαι αὐτούς, καὶ τὰς ἡμέρας τῆς νόσου εἰς τὸν ὡρισμένον χρόνον καταλογίζεσθαι χρή[22].

κα'. Ὁ χρησάμενος ἤγουν πρὸς χρείαν τινὰ ζητήσας ἀλλότριον πρᾶγμα, καὶ εἰπὼν πρὸς τὸν δεσπότην τοῦ πράγματος, ὅτι μέλλει χρήσασθαι αὐτῷ ἐπὶ δουλείᾳ τινὶ, εἶτα οὐκ ἐπὶ ταύτῃ ἀλλ' ἐπὶ ἑτέρᾳ χρησάμενος, καὶ ὡς κλέπτης λογίζεται καὶ, ἐὰν συμβῇ ζημία τὶς, εἰς τὸ διπλάσιον αὐτὴν ἀποδίδωσι. τῇ αὐτῇ καταδίκῃ ἐνέχεται καὶ ὁ λαβὼν ἀλλότριον ζῶον, ὥστε ἐγγὺς ἀπελθεῖν, καὶ ἀπελθὼν μακρότερον[23].

κβ'[24]. Ὅταν τὶς χρῆσιν μόνον ἔχῃ πραγμάτων, τὴν δὲ δεσποτείαν ἑτέρῳ παραφυλάττῃ, ὅσα ἂν ἀπὸ τῆς χρήσεως τῶν πραγμάτων καὶ τῶν καρπῶν αὐτῶν προσκτήσασθαι δυνηθείη, μόνην τὴν ἀναγκαίαν εἰς σύστασιν καὶ βελτίωσιν αὐτῶν δαπάνην ἀνελλιπῶς καταβάλλων, ἐξουσίαν ἔχει πρὸς οὓς βούλεται παραπέμπειν· καὶ οὐκ ἀναγκάζουσιν αὐτὸν περὶ τούτων οἱ τῶν πραγμάτων δεσπόται παρὰ τὴν οἰκείαν βουλὴν διαπράξασθαι[25].

---

19 Syn. Δ, 26 ex Bas. XXXIX, 1, 58. 20 Syn. T, 7 ex Bas. LVI, 4, 17. 21 Syn. l. l. ex Bas. LVI, 8, 3. 22 Syn. E, 15 ex Bas. XLVIII, 5, 4. 23 Syn. K, 12 ex Bas. XIII, 1, 5. 24 D κ'. Ἐάν τις. 25 Syn. K, 16 ex Bas. XLV, 4, 9.

ΑΡΧΗ ΤΟΥ Ψ[1].

α΄. Περὶ ψευδομαρτυρούντων ἐπισκόπων καὶ διακόνων εἰς τὸ ε΄ καὶ δ΄ στοιχεῖον δεδήλωται[2].

β΄. Οὐκ ἔχει ἄδειαν ὁ δικαστὴς ἤγουν ὁ κριτὴς[3] τοιαύτην ψῆφον[4] ἐξάγειν[5] ἤγουν ἀπόφασιν, ἵνα βασανίζηταί τις οὕτω ἀνιλεῶς ὥστε[6] ταῖς[7] βασάνοις αὐτὸν ἐναποθανεῖν, ἀλλὰ[8] ἢ ἄλλως πως[9] καταδικάζειν τὸν ὄντα κατάκριτον ἢ καὶ εἰς βασάνους αὐτὸν παραπέμπειν[10], οὐ μὲν οὕτω μέχρι θανάτου, ἀλλὰ εἰς ὅσον δύναται φέρειν ἤγουν[11] ὑπομένειν τὲ καὶ βαστάζειν. εἰ δὲ καὶ συμβαίνει πολλάκις ἐκ τῶν[12] βασάνων ἀποθνήσκειν τινὰ, οὐδὲν τοῦτο πρὸς τὸν κριτήν· οὔτε γὰρ ὑπὸ αἰτίαν καὶ μέμψιν ἐστὶ μὴ εἰπὼν ἐκεῖνος ἕως τόσου βασανίσαι ἕως ἂν ὁ βασανιζόμενος ἀποθάνῃ, οὔτε κωλύεται ἀπὸ τοῦ τινας ἐναποθνήσκειν ταῖς βασάνοις, αἷς ὑποβάλλονται, μηδένα ἀποφαίνεσθαι[13] εἰς βασάνους ὑπάγεσθαι, ἀλλ' ἔξεστιν αὐτῷ[14] ἐν οἷς δεῖ βάσανον ἀποφαίνεσθαι χωρὶς μόνης τῆς ἕως οὗ ἀποθάνῃ προσθήκης. ἔοικε δὲ ὡς οὐδεμιᾶς ἄλλης ὑπερβολῆς λειπομένης βασάνου ἢ τούτου τοῦ λόγου τοῦ ἕως οὗ ἀποθάνῃ, παρὰ τῶν ἐσύστερον ἐπὶ πολὺ περιᾴδεσθαι καὶ σύρεσθαι τοῦτο, ὅταν σφοδροτάταις καὶ ὑπερβολικαῖς βασάνοις βουληθῶσι καθυπαχθῆναί τινα, ὡς δῆθεν ἐκ τῆς τῶν νόμων περιλήψεως ἐπέκεινα ἀξίων ὄντων τῶν τοιούτων ἀνδρῶν βασανίζεσθαι[15].

γ΄. Μετὰ ψῆφον ἤγουν ἀπόφασιν τοῦ κριτοῦ καὶ τελείαν ἀποκατάστασιν οὐδεὶς παραδέχεται καινά τινα καὶ νέα πειρώμενος προβάλλεσθαι δικαιώματα, ὡς τότε μὲν τυχὸν οὐκ ἔχων αὐτὰ[16], ὕστερον δὲ ἐφευρών· ἀλλ' ὁ τοῦτο βουλόμενος ποιεῖν παντελῶς ἐστιν ἀπαράδεκτος, χωρὶς τῶν ἐπὶ δημοσίου πράγματος θελόντων τοῦτο ποιεῖν. τούτους γὰρ σπανίως ὁ νόμος κελεύει τοῖς δικασταῖς παραδέχεσθαι[17].

δ΄. Ψυχῇ καὶ σώματι κτώμεθα ἤγουν λαμβάνομεν νομὴν,

---

[1] D στοιχείου addit. [2] Verba ε΄ καὶ δ΄ στ. δεδ. B non habet. D εἰς τὸ E στ. προεγράφησαν. C ἐν τοῖς εἰς τὸ κτλ. [3] D δικαστ. ἤγ. κριτής τις omisso articulo. Similiter B. [4] Verba τοι. ψῆφον in D desunt. [5] E ἐπάγειν. [6] BD τις οὔτε, omissis verbis ἀνιλεῶς ὥστε. [7] B ἐν ταῖς. [8] Deest in C. [9] B ἀλλ' ἀναγκάζειν, D ἄλλον, lacuna relicta. [10] Pro verbis αὐτὸν παρ. BDE lacunam habent. [11] BDE lacunam habent omissis verbis φέρειν ἤγουν. [12] Deficit in D. [13] Deest in C. [14] BDE omittunt. [15] Att. XXXV (78). [16] D τινά. [17] Att. in App.

τῷ ἑνὶ δὲ μόνῳ ἤγουν ψυχῇ μόνῃ ἢ σώματι μόνῳ οὐ κτώμεθα νομήν. οὐ γὰρ δυνατὸν ἀρχὴν εὑρίσκειν νομῆς ἀπὸ σώματος μόνου ἢ ἀπὸ μόνης ψυχῆς, ἀλλὰ δεῖ καὶ ἀπὸ τῶν δύο τούτων τὴν ἀρχὴν γίνεσθαι τῆς νομῆς. πολλάκις γὰρ νεμόμεθα τῷ σώματι, ἀλλ᾽ οὐ τῇ ψυχῇ, οἷον ὅταν μὴ κατὰ δίκαιον λόγον μηδὲ ὡς δεσπόται νεμόμεθα, ἀλλὰ ἀδίκως ἢ κατὰ μίσθωσιν ἢ ἄλλῳ[18] τοιούτῳ τρόπῳ τινί. ἡ τοιαύτη γοῦν νομὴ οὐ συμβάλλεται εἰς τὸ γενέσθαι δεσπότην τὸν οὕτω νεμόμενον, καὶ διὰ τοῦτο οὐδὲ ὁ ἔχων αὐτὴν νομὴν κτᾶσθαι λέγεται. πάλιν ἔχει τὶς νομὴν τῇ ψυχῇ, ὅταν τὸ δίκαιον διδῷ τινι πρᾶγμα νέμεσθαί τι, οὐκ ἔφθασε δὲ ὁ τοιοῦτος[19] νεμηθῆναι καὶ σώματι· οὐ δικαιοῦται οὗτος ἀπὸ τῆς νομῆς, ἧς ἔχει κατὰ ψυχὴν, εἰ[20] μὴ καὶ τῷ σώματι νεμηθῇ. ὅτε δὲ καὶ ψυχῇ ἤγουν κατὰ δίκαιον λόγον καὶ[21] κατὰ δεσποτείαν τοῦ πράγματος καὶ σώματι γένηται ἡ νομὴ, ἤγουν ὁ τὸ[22] δίκαιον ἔχων καὶ πραγματικῶς νεμηθῇ, τότε ἀρχὴν ἡ νομὴ[23] λαμβάνει καὶ δύναται ὁ οὕτω νεμόμενος εἰς δικαίωσιν ἑαυτῷ προβάλλεσθαι[24] τὴν τοιαύτην νομήν[25].

ε΄. Ψυχῇ μόνῃ ἀπόλλειν νομὴν δυνάμεθα[26].

ς΄. Ψυχῇ μόνῃ τὴν προγενομένην νομὴν περισώζειν δυνάμεθα. κἂν γὰρ μὴ νεμώμεθα τὸ πρᾶγμα, εἰς ὃ ἔχομεν δίκαιον, ἀλλὰ τῇ ψυχῇ νέμεσθαι δοκοῦμεν αὐτὸ, καὶ τὸ ἐπ᾽ αὐτῷ δίκαιον περισώζειν δυνάμεθα[27].

ζ΄. Ἀπὸ τῆς ἀναγνώσεως τῆς ψήφου αἱ ι΄ ἡμέραι τῆς ἐκκλήτου ἀριθμοῦνται[28].

η΄[29]. Εἰ ψευδεῖς ἐπιδόσει παραγαγών τις μάρτυρας νικήσει, καὶ αὐστηρῶς τιμωρεῖται καὶ τὰ κριθέντα οὐκ ἔῤῥωνται ἀλλ᾽ ἀθετεῖται καὶ ἀνατρέπεται[30].

ΑΡΧΗ ΤΟΥ Ω[1].

α΄. Ὡρεῖα λέγονται τὰ οἰκοδομήματα ἤτοι τὰ σιτοδοχεῖα, ἐν οἷς οἱ κατὰ τὰς ὥρας ἤγουν τοὺς καιροὺς γινόμενοι καρποὶ

---

[18] D non habet. [19] Verba οὐκ ἔφθ. δὲ ὁ τοι. BDE ob lacunam non habent. [20] Similiter verba ἧς —εἰ in BDE desiderantur. [21] Item verba δίκ. λόγον καὶ in BDE desunt. [22] Item verba ἡ νο. ἔγ. ὁ τὸ in BDE ob lacunam desunt. [23] Verba ἡ νομὴ BDE non habent. [24] BDE προβ. omittunt. [25] Syn. Δ, 4 ex Bas. L, 2, 2. [26] Syn. ibid. [27] Syn. l. l. ex Bas. L, 2, 55. [28] Syn. Ε, 9 ex Bas. IX, 1, 33. [29] C ε΄. BDE numerum non inscribunt. [30] Syn. Κ, 5 ex Bas. IX, 3, 33. [1] D ω΄ μεγάλου στοιχείου.

ἀποτίθενται, καὶ ἐξαιρέτως οἱ καλλίονες καὶ κρείττονες[2] τῶν τοιούτων καρπῶν, τουτέστι σῖτός τε καὶ κριθή. ἀπὸ τῶν τοιούτων δὲ οἰκοδομημάτων ὡρειάριοι καλοῦνται[3] οἱ ἐπιτηροῦντες αὐτὰ καὶ φυλάσσοντες. ἐγένοντο δὲ μόδιοι χαλκοί τε καὶ λίθινοι, καὶ ἕκαστος τῶν μελλόντων καταβάλλεσθαι δημόσιον τέλος ἐν τοῖς τοιούτοις μοδίοις τὰ ἀνήκοντα κατεβάλλοντο. ἐλάμβανον δὲ ἀπὸ τῶν εἰσφερομένων καὶ οἱ ὡρειάριοι τὰ[4] τεταγμένα ὑπὲρ τῆς αὐτῶν διοικήσεως. ἐλέγοντο δὲ οἱ ὡρειάριοι καὶ ὑποδέκται ὡς τοὺς καρποὺς τοὺς προσφερομένους ὑποδεχόμενοι. (λέγονται δὲ καὶ ὑποδέκται καὶ ληστῶν καὶ κλεπτῶν οἱ τὰ παρὰ τῶν ληστευόντων καὶ κλεπτόντων ὑποδεχόμενοι.)[5] ἐδίδοντο δὲ τοῖς ὡρειαρίοις ἀπὸ μὲν κριθῆς κατὰ τεσσαράκοντα ἕν, ἀπὸ δὲ σίτου κατὰ πεντήκοντα ἕν, ἀπὸ δὲ οἴνου καὶ λάρδου κατὰ εἴκοσιν ἕν. οἱ δὲ ἐν ἀρμενίᾳ ὡρειάριοι καὶ ἀπὸ σίτου καὶ κριθῆς ἐλάμβανον κατὰ τεσσαράκοντα ἕν[6].

---

[2] Verba *καὶ κρ.* BE non habent. [3] B *καὶ ὡρ. λέγονται.* [4] Deest in D. [5] Inclusa in BE desunt. [6] Syn. Ω, 1 ex Bas. LVI, 11, 1. — E addit *Τέλος*. B: *δόξα τῷ θεῷ τῷ διδόντι μοι τὸ τέλος τόδε.*

ΕΚΛΟΓΗ ΝΟΜΩΝ

ΤΩΝ

ΕΝ ΕΠΙΤΟΜΩι ΕΚΤΕΘΕΙΜΕΝΩΝ.

ECLOGA LEGUM

IN

EPITOME EXPOSITARUM.

PROLEGOMENA.

§. 1.

Codices MSS.

Ecloga legum in epitome expositarum (quem titulum inscriptio libri praestat) sive Epitome (ut nos brevitatis causa librum appellabimus) ad nos integra non pervenit, adeo ut vel titulorum ultimorum consequentia quodammodo dubia sit[1].

Epitomae Codices MSS. hi sunt:

1. Vaticanus 640, qui fol. 289 praefationem Epitomae recentiori manu scriptam exhibet.

2. Vaticanus 2075 sive Basilianus 114, membranaceus, forma octava saec. XI exaratus. Fol. 1—24^{a} habentur quaedam ex Novellis Justiniani et ex Appendice Eclogae, Canones Apostolorum, locus Prochiri XXXIV, 17, Glossae graeco-latinae, denique de synodorum temporibus tractatus. Fol. 24 verso incipit Epitome absque inscriptione et praefatione. Praecedit index titulorum; sequuntur *Κεφάλαια τοῦ νόμου τοῦ ῥοδίου*, *Κεφάλαια νόμου γεωργικοῦ κατ' ἐκλογὴν ἐκ τοῦ ἰουστινιανοῦ βιβλίου*, et tituli XLV, quorum primus est *περὶ νόμου καὶ δικαιοσύνης*, ultimus *περὶ κεφαλικῶν ἐγκλημάτων κ. τ. λ.* — Post Epitomen legitur Basilicorum libri L tit. 1 recentiori manu scriptus, deinde prima manu *περὶ στρατιωτικῶν ἐπιτιμίων ἐκ τοῦ ῥούφου καὶ τῶν τακτικῶν*, denique Basilicorum lib. XL tit. 12 sqq.[2]

3. Bodlejanus 173[3], qui fol. 301—327 praefationem Epitomae, indicem titulorum 1—23 et hos ipsos titulos I—XXIII continet.

---

[1] Vide infra notas 41—44 ad indicem titulorum.

[2] Heimbachio auctore haec potius fragmenta sunt ex Institutionibus Theophili.

[3] Videatur Ὁ Πρόχειρος νόμος p. 282 sqq.

4. Laurentianus LVI, 13 fol. 93—107. Is licet *τὸν πίνακα* praefationi praeposuerit, in reliquis tamen adeo cum Bodlejano conspirat, ut ex eo descriptus esse videatur. Folia complura exciderunt: ex iis folia sedecim servavit. qui jam nominandus est,

5. Bienerianus 4[4] fol. 17—32.

6. Vindobonensis jurid. gr. 3, de quo jam pluribus agendum est.

§. 2.

Codex Vindob. jur. gr. 3.

Is Codex fol. 122—200 continet fragmenta ex praefatione et titulis 2. 3. 5—9. 11—21. 23—34. 36—39. 44—50 Epitomae deinceps excerpta. Nimirum librarius, quum illum Codicem exararet, Epitomae apographum jam possedisse, sed quum in alium Codicem Epitomae locupletiorem[5] incideret, ea, quae hic plura inesse cerneret, tamquam supplementum anterioris apographi in hunc, de quo agimus, Codicem ordine descripsisse videtur. Hinc factum est, ut ex contextu titulorum paucissima tantum capita, ea autem, quae in reliquis Codicibus scholiorum instar ad marginem adscripta vel singulis capitibus subjecta reperiuntur, paene omnia, adeoque locos, quos in reliquis Codicibus frustra quaesieris, Vindobonensis Codex praestet.

In notis editionis nostrae quae Vindobonensis omittit indicare supervacaneum esse duximus: e contrario autem quae plura habet diligenter adnotavimus. Ut tamen imago quaedam ejus Codicis lectoribus ob oculos ponatur, titulum XXIV Epitomae, qualis in eo est, hoc loco edam, vitiis nonnullis apertis tacite emendatis.

Τίτλος κδ'. βι. ε' τοῦ κώδ. τί. ιβ' τί. κδ'. περὶ λύσεως γάμων, καὶ τοῦ τῶν αἰτίων[6], καὶ περὶ νόθων παίδων καὶ ἀθεμιτογαμίας.

Ὁμοίως καὶ ὁ δούλῳ προσώπῳ ὡς ἐλευθέρῳ συναπτόμενος γάμον οὐ συνίστησιν, ἀλλὰ καὶ ἐκδικεῖ τὰ προφάσει τοῦ γάμου ἐπιδιδόμενα. ὡς νεα. κβ'[7]. — Καὶ ὁ διὰ τὸ μονάσαι λύων τὸν γάμων μιμεῖται τὸν τελευτῶντα, καὶ διὰ τοῦτο ἁρμόσει ὁ ἀπὸ τελευτῆς κάσσος. — Δεπορτάτιον τουτέστιν ἐξορία γάμον οὐ λύει. δουλεία δὲ ἐπιγινομένῃ θανάτῳ ἔοικε καὶ γάμον λύει. ὡς βι. κδ' τί. α' διγ. λβ'. — Ὁ διὰ τὸν μονήρη βίον λύων τὸν γάμον ὑπόκειται τοῖς ἀπὸ τελευτῆς κάσσοις. ὡς βι. α' τί. γ' διατ. μβ' νεα. κγ'[8]. — Ἴσθι τὸ περὶ τοῦ χρόνου λεχθὲν ἐκεῖ. λέγει γὰρ τὴν γυναῖκα δύο καὶ μόνα[9]

---

[4] Ibidem p. CLXXXIX et 306.

[5] Vide inferius §. 5 not. 66.

[6] Lege *καὶ τῶν αἰτιῶν αὐτῆς*.

[7] Theod. Nov. XXII c. 9.

[8] Lege *ρκγ'*. — Cf. Theod. Nov. XXII c. 4.

[9] Epitome ad Proch. mutata addit: *μεῖναι*.

ἔτη καὶ οὕτως μονάσαι. εἴτε ἐπὶ ἀνδρὸς εἴτε ἐπὶ γυναικὸς παρέλθοι ἢ[10] ἐπέλθοι ὁ κάσσος, μετὰ θάνατον αὐτοῦ ἐπανέρχεται εἰς τοὺς παῖδας. — Ἐὰν ἐπὶ τρία ἔτη δυνηθῇ[11] ὁ ἀνὴρ συμμιγῆναι τῇ γυναικὶ, ἀζημίως λύει ἡ γυνὴ τὸν γάμον. ὡς βι. νεα. ροζ΄[12]. λύσις γάμου ἐστὶν ἀτιμώρητος εἴρηκεν ἡ αἰτία καὶ εἰρημένη[13]. — Εἴσω ξ΄ ἡμερῶν μετὰ τὸ ῥεπούδιον τουτέστιν μετὰ τὴν διάζευξιν τοῦ γάμου κατηγορῶν μοιχείαν ὁ ἀνὴρ τῆς γυναικὸς αὐτοῦ οὐκ ἀπαιτεῖται συκοφάντου τιμωρίαν· μετὰ δὲ τὰς ξ΄ κατηγορῶν ὑπόκειται τιμωρίᾳ. — Οὐκ ἔῤῥωται διαζύγιον, εἰ μὴ προσληφθῶσι ζ΄ μάρτυρες ῥωμαῖοι ἔφηβοι, ἐν οἷς οὐκ ἐστὶν ἀπελεύθερος τοῦ ποιοῦντος τὸ διαζύγιον ἢ τῶν ἀνιόντων ἢ τῶν κατ᾿ αὐτὸ[14] κατιόντων[15]. — Οὐ δύναται ἡ μήτηρ διαζύγιον πέμπειν τῷ ἀνδρὶ τῆς θυγατρὸς, οὔτε ὁ πατὴρ ὁ συναινέσας τὸν γάμον[16] μὴ συναινούσης αὐτῷ τῆς θυγατρὸς, εἰ[17] ἄρα ἀπὸ μεγάλης καὶ εὐλόγου αἰτίας γέγονε. εἰ δὲ συναινούσης αὐτῆς διαλυθῇ ὁ γάμος, οὐ δύναται ἀναγκάζειν αὐτὴν[18] ἐν τῷ ὑποστρέφειν πρὸς ἄνδρα[19]. — Ἐὰν ὑπεξουσία διαζύγιον στείλῃ, ὥστε τὸν ἄνδρα κερδᾶναι καὶ τὸν πατέρα ζημιωθῆναι, οὕτως ἀπαιτεῖ τὴν προῖκα ὁ πατὴρ ὡσανεὶ ἐν τῷ γάμῳ ἡ παῖς ἐτελεύτησεν[20]. καὶ ση. ἐπὶ τούτου γὰρ μόνου τοῦ θέματος ἀναλαμβάνει ὁ πατὴρ τὴν προῖκα καὶ[21] τῆς ὑπεξουσίας θυγατρὸς αὐτοῦ. — Τῆς μαινομένης ὁ γάμος μένει ἐῤῥωμένος καὶ καλῶς αὐτῇ στέλλεται διαζύγιον· ἔοικε γὰρ τῷ ἀγνοοῦντι. αὐτὴ δὲ οὐδόλως στέλλει οὔτε ὁ κουράτωρ αὐτῆς. ὁ δὲ πατὴρ δύναται στέλλειν διαζύγιον[22]. εἰ δὲ ὁ πατὴρ μαίνεται, αὐτὴ στέλλει τὸ διαζύγιον καὶ ἡ προῖξ συναινούσης αὐτῆς καλῶς τῷ κουράτωρι τοῦ πατρὸς αὐτῆς καταβάλλεται. ὡς βι. μη΄[23] τί. γ΄ διγ. ξ΄[24]. — Ἀναγκαζέσθω ὁ ἀνὴρ πᾶσαν ἐπιμέλειαν ποιεῖσθαι τῆς μαινομένης αὐτοῦ γαμετῆς. εἰ δὲ ἐλπίζεται δαπανᾶν ἀσώτως τὴν προῖκα αὐτῆς, χρὴ μεσεγγυᾶσθαι αὐτὴν καὶ ἐξ αὐτῆς ἀποτρέφεσθαι τὴν γυναῖκα καὶ τὴν φαμηλίαν αὐτῆς. ὡς βι. κδ΄ τί. γ΄ διγ. κς΄[25]. — Ὁ γαμετὴν ἀλλοτρίαν ἐκ τῆς ὁδοῦ εἰς τὸν ἴδιον οἶκον λαβὼν κἀκεῖ στείλας διαζύγιον τὸν ἄνδρα[26] αὐτῆς ἐπὶ τρία ἔτη ἐξορίζεται[27]. — Δεσπότης συνάπτων τὸν ἴδιον δοῦλον ἐλευθέρῳ προσώπῳ τινὶ συναινοῦντος[28] τῷ γάμῳ ἢ ἐν εἰδήσει κακούργως σιωπῶν, οὔτε λύσαι τὸν γάμον δύναται ἀλλὰ καὶ τῆς δεσποτείας ἐκπίπτει. ὡς νεα. κβ΄[29]. — Ἐάν τις καταλιπών μοι κέρδος ἐν διαθήκῃ ἀξιώσει δέ[30] με ἐλευθερῶσαι θεράπαιναν καὶ ἀγαγέσθαι αὐτὴν γαμετὴν, ἀνάγκην μὲν ἔχω αὐτὴν ἐλευθερῶσαι ὡς κερδάνας ἐκ τῆς διαθήκης, γῆμαι δὲ αὐτὴν οὐκ ἀναγκάζομαι. ὡς βι. μ΄ τί. β΄ διγ. . . — Ἐὰν ἐπίτροπος δούλῃ τοῦ ἐπιτροπευομένου συναφθῇ δῆθεν πρὸς γάμον καὶ τελευτῶν γράψῃ αὐτὴν κληρονόμον, οὐδὲ τῆς δεσποτείας αὐτοῦ[31] ἀποστερεῖ τὸν ἐπιτροπευόμενον ἐκ τοῦ λαβεῖν αὐτὴν πρὸς γάμον, ἀλλ᾿ οὐδ᾿ ἐν διαθήκῃ γράψας αὐτὴν κληρονόμον ἐλευθέραν αὐτὴν ἐποίησεν· ἀλλ᾿ ὀφείλει κελεῦσαι τῷ ἐπιτροπευο-

---

10 Ibidem verba παρ. ἢ desunt. 11 Ibid. μὴ δυν. 12 Ibid. ρις. 13 Ibid. ἡ εἰρημένη αἰτία pro his: εἰρ. — εἰρημένη. — Cf. Theod. Nov. XXII c. 5. 14 Ibid. verba κατ᾿ αὐτό desunt. 15 Dig. XXIV, 2, 9. 16 Ibid. τῷ γάμῳ. 17 Ibid. εἰ μή. 18 Ibid. ἀνακαινίζειν αὐτόν. 19 Cod. V, 17, 4. 5. 20 Dig. XXIV, 2, 5. — Cf. Bas. ed. Heimb. III p. 232 sqq. 21 Deest in Epit. ad Proch. mut. 22 Dig. XXIV, 2, 4. 23 Ibid. μς΄. 24 Ibid. ζ΄. — Vide schol. Anonymi in Bas. ed. Heimb. III p. 232. 25 Ibid. νς΄. Imo dig. 22. 26 Lege τῷ ἀνδρί. 27 Dig. XXIV, 2, 8. 28 Lege ἢ συναινῶν. 29 Theod. Nov. XXII c. 10. 30 Dele hoc verbum. 31 Epit. ad Proch. mut. αὐτῆς.

μένῳ καταδέξασθαι καὶ προσπορίσαι αὐτῷ τὴν κληρονομίαν. βι. ϛ' τί. κζ' διγ. γ' τοῦ κώδ. — Οὐ δύναται δευτερογαμῆσαι ἄκοντος τοῦ πάτρωνος δούλη ἐλευθερωθεῖσα καὶ νομίμως αὐτῷ γαμηθεῖσα. τοῦτο γὰρ ποιοῦσα γάμον οὐ συνιστᾷ, ἀλλὰ πορνείαν καὶ φθορὰν πλημμελεῖ. νεα. κβ'[32]*. ἀνάγν. τί. κγ' κεφ. κθ'. λ'. — Οἱ ἀπὸ κεκωλυμένων γάμων τικτόμενοι οὐδὲ τῆς νόθων*[33] *ἀξιοῦνται προσηγορίας οὐδὲ διαδέχονται κατά τι τὸν ἴδιον πατέρα*[34]*. — Ἀθέμιτος γάμος ἐστὶν ὁ μεταξὺ ἀνιόντων καὶ κατιόντων. ἐπὶ δὲ τῶν κεκωλυμένων ἐκ πλαγίου δι' ἀγχιστείας ὁ λάθρα πλημμελῶν πλέον τὶ τιμωρεῖται τοῦ φανερῶς ἁμαρτάνοντος. ὁ μὲν γὰρ ἀγνοεῖ ὃ ποιεῖ, ὁ δὲ λάθρα ποιῶν καταφρονεῖ*[35]*. — Ὁ ἐλάττων ἐπὶ προφανῇ γάμον ἴγκεστον τουτέστιν ἀνόμως ἁμαρτάνων ἐὰν ἀποστῇ τοῦ τοιούτου γάμου, συγγινώσκεται. βι. β'. μ' τί. ϛ'*[36]*. ὅτι ὁ πρὸ κατηγορίας ἀναχωρῶν τοῦ ἰγκέστου γάμου συγγινώσκεται· τοῦτο δοκεῖ λέγειν ἴγκεστον γάμον, πρὸς τὴν [προ]γονὴν, πρὸς τὴν νύμφην, πρὸς τὴν μητρυάν. — Ὅτι ὁ ἴγκεστος γάμος οὐδὲ ἀπὸ βασιλείας βεβαιοῦται. — Ἐπὶ ἰγκέστου γάμου προῖξ οὐ συνίσταται, ἀλλὰ καὶ οἱ καρποὶ ἀπαιτοῦνται. — Ὁ γάμον ἀθέμιτον συναλλάξας, ἐὰν οὐκ ἔχει παῖδας ἀπὸ προτέρων νομίμων γάμων, δημεύεται μετὰ τῆς ἐπιδοθείσης αὐτῷ προικός. τὰ οὖν εἰρημένα ἐπὶ ἀνδρὸς καὶ γυναικὸς κρατεῖ. εἰ δὲ παῖδας ἔχει ἀπὸ πρώτου γάμου, εὐθέως αὐτεξούσιοι γίνονται· πλὴν ὀφείλουσι τρέφειν τοὺς ἑαυτῶν γονεῖς*[37]*. ση. ἐπὶ τῶν ἐν ἀγνοίᾳ ἰγκέστων γάμων γινομένων δίδωσι συγγνώμην φύσις, ἡλικία καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτηθέντος, καὶ μάλιστα εἰ μήπω τὶς αὐτοῦ ἐκατηγόρησεν. βι. μη' τί. λη'. — Προικῴων ὑπόντων καὶ μὴ ὑπόντων γνησίους ποιεῖ τοὺς παῖδας ἡ πρὸς τὴν αὐτῶν μητέρα ἐλευθέραν οὖσαν γαμικὴ διάθεσις γενομένη παρὰ τοῦ ἰδίου πατρός*[38]*. — Νόθοι εἰσὶν οἱ ἐξ ἐλευθέρας γινόμενοι παῖδες, πρὸς ἣν οὐκ ἔσχεν ὁ πατὴρ αὐτῶν γαμικὴν διάθεσιν. τὸ αὐτὸ δέ ἐστι καὶ [ἐπὶ τῶν] ἀπὸ δούλης τεχθέντων· κἀκεῖνοι γὰρ νόθοι καλοῦνται καὶ νοοῦνται ἤτοι φυσικοί*[39]*. — Οἱ ἐκ πορνείας καὶ συγκεχυμένης σπορᾶς τικτόμενοι παῖδες καλοῦνται σπούριοι. οὗτοι δὲ τῇ μητρὶ ἕπονται, οἱ δὲ νόμιμοι παῖδες τῷ πατρί. — Ὁ μὴ ἔχων γυναῖκα καὶ λαβὼν τὴν ἰδίαν δούλην παλλακὴν, ἐὰν ἐπιμείνῃ τῇ αὐτῇ βουλήσει μέχρι θανάτου, οὐ μόνον ἡ δούλη ἐλευθεροῦται ἀλλὰ καὶ τὰ ἐξ αὐτῆς γεννώμενα. τοῦτο δὲ ση. καὶ ἡ πθ' νεα. ὅτι ἐλευθερῶν [τις] οὓς ἔσχε παῖδας ἀπὸ δούλης, γνησίους αὐτοὺς ποιεῖ. ση. βι. ε' τοῦ κώδ. τί. δ' διατ. ιε'. ση. δύναται ἡ ἀπελευθέρα παλλακὴ γενέσθαι συγκλητικοῦ πάτρωνος, καὶ ἡ πρὸς αὐτὴν δωρεὰ ἔῤῥωται. ση. ὅτι καὶ εὐγενὴς γυναῖκα δύναται ἔχειν παλλακὴν, καὶ ὁ παλλακίδι μιγνύμενος οὐχ ἁμαρτάνει στροῦπτον· διὰ τοῦτο καὶ ἰσχυρῶς λεγατεύεται τὰ τῇ παλλακίδι καταλιμπανόμενα. βι. λδ' τί. θ' διγ. ιϛ'. — Ἐάν τις ἀγράφως κατὰ διάθεσιν γαμικὴν λάβῃ γυναῖκα καὶ παιδοποιήσῃ ἐξ αὐτῆς, εἶτα λύσας τὸ πρὸς αὐτὴν συνοικέσιον ἄλλην ἀγάγοιτο μετὰ προικῴων συμβολαίων [καὶ] ἐκ τῆς δευτέρας ὁμοίως παιδοποιήσει, μηδὲν γίνεσθαι πρόκριμα περὶ τῆς πατρῴας κληρονομίας τοῖς ἐκ τοῦ πρώτου γάμου παισὶν, ἀλλ' ἐπίσης τοῖς ἐκ τῆς δευτέρας τῆς μετὰ προι-*

---

[32] Theod. Nov. XXII c. 37. [33] Epit. ad Proch. mut. *τῶν νόθων*. [34] Theod. Nov. LXXIV c. 11. [35] Dig. XXIII, 2, 68. [36] Epit. ad Proch. mut.: *μοιχείαν δὲ ἁμαρτάνων οὐ συγγινώσκεται. ὡς βι. μ' τί. ϛ' διατ.* [37] Haec corrupta sunt ex Theod. Nov. XII c. 1. 2. [38] Theod. Nov. LXXXIX c. 1. [39] Theod. Nov. LXXXIX c. 2.

κῴων συναφθείσης εἰς τὸν τοῦ πατρὸς καλείσθωσαν κλῆρον. τὸ δὲ αὐτό ἐστι κἂν τὸ ἀνάπαλιν τῇ μὲν προτέρᾳ μετὰ προικῴων συναφθῇ, τῇ δὲ δευτέρᾳ ἐκ μόνης διαθέσεως. ἀνάγν. βι. ε' τί. λε' τοῦ κώδ. νεα. οη'. — Σχόλ.[40] ὅτι ἐξ ἀδιαθέτου οἱ νόθοι σὺν τῇ μητρὶ δύο οὐγγίας λαμβάνουσι μὴ ὄντων κληρονόμων ἑτέρων γνησίων. — Οἱ ἐκ διαφόρων παλλακῶν παῖδες οὐ κληρονομοῦσιν ὑπόντων γνησίων παίδων ἢ γαμετῆς ἢ ἄλλων διαδόχων αὐτῶν[41]· ἀλλὰ μόνον τρέφονται ἐκ τῶν κληρονομούντων τὸν πατέρα αὐτῶν, ἐὰν οὐ διέθετο[42]. ἡ γὰρ τῶν ἀλιμέντων[43] πρόνοια τουτέστι τροφῶν οὐ δοκεῖ προκριματίζειν τὴν ἀλήθειαν[44]. τούτῳ τῷ κανόνι περὶ ἀμφιβαλλομένου παιδὸς[45], τίς αὐτὸν διαθρέψει, κἄντε ὁ λεγόμενος πατὴρ κἄντε ἡ μήτηρ αὐτοῦ. — Ὁ[46] τὸν ἐξ ἐλευθέρας υἱὸν ἐν ἀγοραίῳ ἰδιοχείρῳ συμβολαίῳ ὑπὸ γ' ἀξιοπίστων μαρτύρων ἢ ἐν διαθήκῃ ἢ ἐπὶ πράξεως ὑπομνημάτων υἱὸν ἀποκαλέσας, μὴ προσθήσει[47] φυσικὸν, καὶ αὐτὸν ἅμα τοῖς ἄλλοις παισὶν, κἂν νόθοι εἶεν, γνήσιον καὶ τὸν γάμον νόμιμον ποιεῖ[48]. — Ὁ ἐν τάξει γαμετῆς ἀγαγόμενος γυναῖκα μετὰ ὅρκου δόσεως, προικὸς μὴ παρακολουθησάσης, ἐὰν ἀλόγως αὐτὴν ἐξωθήσῃ, διδότω αὐτῇ τὸ τέταρτον τῆς οὐσίας τῆς ἰδίας ἧς περίεστιν αὐτῷ[49]. — Τὰ ἄπροικα συνοικέσια τὸν ἀλόγως λύοντα τὸν γάμον ζημιοῦσιν εἰς τὸ τέταρτον τῆς οὐσίας αὐτοῦ, [ἐὰν] δηλονότι οὐχ ὑπερβαίνει τὰς ρ' λίτρας τοῦ χρυσίου. καὶ εἰ μὲν ἀνήρ ἐστιν, ἐνιαυτὸν ποιείτω εἰς τὸ μὴ δευτερογαμῆσαι. εἰ δὲ γυνὴ εἴη τοῦτο ποιοῦσα, οὐ δύναται δευτέρῳ γάμῳ προσομιλῆσαι, εἰ μὴ παρέλθοι ὁ διετὴς χρόνος[50]. καὶ εἰ παῖδας ἔχουσι, τρέφονται παρὰ τοῦ μὴ δεδωκότος τὴν αἰτίαν τῆς λύσεως τοῦ συνοικεσίου.

§. 3.

Epitome ad Prochiron mutata. — Epitome Laurentiana. — Prochiron Vaticanum. — Ecloga ad Prochiron mutata. — Epitome Marciana.

Praeter Codices hactenus recensitos ad crisin et historiam Epitomae magna utilitas est eorum librorum juris, quorum auctores in compilandis istis Epitome[51] tamquam fonte usi sunt. Sunt autem hi:

1. Epitome ad Prochiron mutata, quam vocavi, servata nobis in Codice Marciano 579 et Bodlejano 3399[52]. Ea ex Prochiro, Epitome aliisque fontibus conflata est, atque integros titulos Epitomae insertos habet.

---

[40] In Epitome ad Prochiron mutata sic est: ἐκ τῶν περὶ ἀθεμιτογαμίας. Οἱ ἐξ ἀδ. σὺν τῇ κτλ. [41] Lege αὐτοῦ. Nimirum post κληρ. excidit τὸν ἴδιον πατέρα. [42] Theod. Nov. LXXXIX c. 21. [43] Cod.: εἰ γὰρ τῶν ἄλλων μενόντων. [44] Dig. XXV, 3, 5 §. 9. [45] Epit. ad Pr. mut. addit ἐστίν. [46] In Epit. ad Proch. mut. vocatur σχόλιον. [47] Lege προσθείς. [48] Nov. CXVII c. 2. Cf. Ἀνέκδοτα mea p. 215. [49] Theod. Nov. LXXIV c. 8. [50] Theod. Nov. XXII. c. 16.

[51] Vide tamen infra §. 5 not. 66.

[52] Videatur Delineatio §. 42 et Wiener Jahrb. d. Literat. LXXXVI p. 200. Ibi retractavi errores, in quos in libro Ὁ πρόχειρος p. 329 sqq. incideram.

2. Epitome Laurentiana, quam ita appellavi propterea quod in Codice Laurentiano LXXX, 6 extat[53]. Praemittit praefationem Epitomae: sequitur πίναξ τῶν πεντήκοντα τίτλων τῶν ἐκτεθέντων παρὰ ἐμβάτου (sic): deinde habetur prooemium Prochiri et *Κατάκρισις τεθεῖσα ὑπὸ τῶν πανευσεβῶν βασιλέων*. His praemissis ipsum opus inchoatur: tituli I—XL ex Prochiro sunt, sed ex Epitome locupletati: atque etiam inter tit. X et XI titulus XXVI „ἐκ τοῦ μεγάλου βιβλίου" i. e. ex Epitome, et similiter inter tit. XVIII et XIX titulus XIX, et post tit. XX titulus XI ἐκ τοῦ μεγάλου βιβλίου intercalatus est; tituli XLI—L omnes sunt ex Epitome[54].

3. Prochiron Vaticanum, de quo in Prolegomenis ad editionem Epanagogae p. 58 fusius egi.

4. Ecloga ad Prochiron mutata, quae quatenus ex Epitome quaedam receperit, dixi in libro Ὁ πρόχειρος νόμος pag. CXLII not. 47.

5. Epitome Marciana, de qua dixi in Prolegomenis ad editionem Eclogae p. 7.

§. 4.

Historia Epitomae[55].

Auctor Epitomae quis fuerit, in obscuro est. Inscriptio Epitomae Laurentianae titulos Epitomae quinquaginta ab Embato quodam expositos esse praedicat[56]: ex quo in Delineatione historiae JGR. §. 42 not. 42 observavi, Embato forte non quidem illam, de qua §. 1 dixi, sed Laurentianam Epitomen deberi. Sed insolitum illud Embati nomen nunc potius ex Symbatio corruptum crediderim. Symbatium autem, quem Protospatharii dignitate conspicuum et tanquam alterum Tribonianum in Basilicis componendis Leoni mini-

---

[53] Delineatio §. 42 et Wiener Jahrb. LXXXVII p. 80.

[54] Nimirum tituli Epitomae: 43 (περὶ βίας κτλ.), 44 (π. τῶν δημευομένων κτλ.), 45 (π. ὕβρεων κτλ.), 46 (π. συκοφαντῶν κτλ.), 47 (π. κλεπτῶν κτλ.), 12, 1, 2, 41 (κεφάλαια νόμου γεωργικοῦ κτλ.), 40 (νόμος ῥοδ. ναυτικός κτλ.).

[55] Nuperrime de Epitome tractavi in Schneider krit. Jahrb. 1847 p. 583 sqq. Ex eo tempore in nonnullis, ut infra patebit, sententiam meam de indole et historia Epitomae mutavi.

[56] Minoides Minas inter libros juridicos, quos ex Oriente nuper adduxit, unum videtur indicare, qui a Symbatio compositus sit. Cf. Wolowski Revue. Août 1846. Sed in his, quae hoc loco disputat, ita obscurus est, atque etiam inter Codices ab illo comparatos et in regiam (— sit venia verbo! —) Parisiensem bibliothecam perlatos, ut ex literis viri clarissimi Hase cognovi, nullus ejusmodi Codex est, ut (Papadopoli istius memor) in verba Minae jurare nolim!

strum fuisse[57] atque etiam Novellis Justiniani operam quandam navasse[58] scimus, auctorem Epitomae esse non est probabile. Obstat enim tum indoles Epitomae, quae tanti viri ingenio vix ac ne vix quidem par est, tum illa ratio, qua ipse auctor Epitomae in praefatione Symbatium Basilicorum confectorem laudat. Itaque nec Epitomen ipsam nec Laurentianam Epitomen Symbatii operam esse, sed potius Symbatii nomen ex ipso illo praefationis loco perperam Epitomae inscriptum esse existimaverim[59].

Quo tempore Epitome confecta sit, docet praefatio in fine, verbis: *ἐν τῷ πρώτῳ ἔτει τοῦ εὐτυχοῦς ῥωμανοῦ βασιλέως*. Epitome Laurentiana, quae et ipsa praefationem Epitomae praepositam habet, eundem locum sic exhibet: *ἐν τῷ πρώτῳ ἔτει τοῦ εὐτυχοῦς κωνσταντίνου τοῦ υἱοῦ λέοντος τοῦ εὐεργέτου*. Illa temporis nota annum circiter[60] 920 p. Chr. n., haec vero annum 912 aut 945 indicat. Videtur autem lectio Epitomae Laurentianae rejicienda esse, tum quia reliqui Codices Epitomen ipsam complexi refragantur, tum quia auctor Epitomae, si anno puta 912 scripsisset, illa verba: *τοῦ υἱοῦ λέοντος τοῦ εὐεργέτου*, utpote quae recentiorem historicum sapiunt, isto autem tempore in appellando imperatore Constantino minime solennia fuerunt, additurus non fuisset. Fortassis auctor Epitomae Laurentianae, qui Symbatio Epitomen adscripsit, idem etiam suas de chronologia ejus temporis notiones praefationi temere intrudit; vel annum 945 significare voluit, quo ipse ex Epitome et Prochiro novum hoc enchiridium composuerit[61]. Utut est, Epitome anno primo imperii Romani Senioris, i. e. anno p. Chr. n. 920, confecta est.

---

[57] Delineatio §. 29. 35.

[58] Heimbach *Ἀνέκδοτα* I p. 261. Wiener Jahrb. d. Lit. LXXXVII p. 96. Videantur etiam Glossae nomicae ex edit. Labbaei s. v. *Ἀκερτιλάτους* et *Ἰντερβάλλουμ*.

[59] Similiter Eclogae illi lib. I—X Basilicorum Theodori Hermopolitani nomen, quod in contextu operis occurreret, perperam inditum est. Cf. *Αἱ ῥοπαί* p. 62. Vide tamen, quae §. 5 not. 66 dicemus de Symbatii Epitome.

[60] Anno 918 Romanus in imperii consortium adscitus est mense Decembre, sed anno demum 920 revera imperare coepit.

[61] Delineatio §. 42 not. 42 et Schneider Krit. Jahrb. 1847 p. 590. Si quis de prima editione Epitomae anno 920 facta, et repetita ejus praelectione de anno 945 cogitare voluerit, me quidem, quamdiu certiora vestigia repetitae editionis deerunt, dissentientem habebit. Quid tamen, si quis dicat, hanc temporis notam nec nostrae nec Laurentianae Epitomae auctori deberi, sed simpliciter descriptam esse ex praefatione ejus operis, de quo §. 5 ad not. 66 dicemus?

§. 5.

Fontes Epitomae.

Inscriptio Epitomae hunc librum *ἀπό τε τοῦ δυοδεκαδέλτου*[62], *τῶν διγέστων ἰουστινιανοῦ καὶ ἰνστιτούτων καὶ τῶν καλουμένων νεαρῶν σὺν τῆς ἐκλογῆς τοῦ ἐγχειριδίου* conflatum esse dicit. Enchiridii verbo Prochiron Basilii significari videtur. Dubitavi olim, Prochiron an Epanagoge indicaretur. Sed Epitome capita nonnulla continet, quae Prochiron[63] praestat, Epanagoge non item, ut proinde non haec, sed illud ab auctore adhibitum esse videatur. Codicem, Digesta, Institutiones et Novellas unde auctor cognitas habuerit, in obscuro est. Profert locos ex Stephani et Anonymi Digestis, Theodori ac Thalelaei Codice, Theodori Breviario Novellarum, aliisque antiquiorum JCtorum ad illos libros commentariis: neque tamen hos ipsos commentarios omnes evolvisse videtur, quum tantae eruditionis fuisse minime sit putandus, sed potius statuendum est, auctori aliquod opus ad manus fuisse, quod compilationem ex istis commentariis contineret. Proximum est, de Basilicis eorumque scholiis cogitare. Sed quamvis Basilicorum vestigia reperiantur in Epitome[64], obstat tamen, quod plurimos locos auctor ex Theophili Institutionibus, Athanasii Epitome Novellarum, aliosque congesserit, qui a Basilicis eorumque scholiis plane alieni sunt. Propterea aliquando cogitavi de opere alioquin incognito, cujus nonnisi tribus locis mentionem factam reperi. Nimirum in Epitome ad Prochiron mutata tit. VI laudatur *βι. ε΄ τί. ιζ τῆς συλλογῆς*, et tit. IX *βι. ιε΄ τί. α΄ διάτ. α΄ τῆς συλλογῆς*, atque in Epitome Marciana tit. XXIV haec leguntur: *νεαρὰ β΄ ἡ γενομένη πρὸς ἑρμογένην μάγιστρον τῶν θείων ὀφφικίων καὶ τοῦ μεγάλου βιβλίου τῆς ἐκλογῆς γ΄ βι. καὶ βι. κη΄ τί. ιδ΄ περὶ δευτερογαμίας ἀνδρῶν καὶ γυναικῶν*. Sed et haec nimis incerta sunt. Itaque interim subsistendum esse crediderim in his, quae inscriptio Epitomae indicat. Ibi scilicet Epitome nostra dicitur esse *ἐκλογὴ νόμων τῶν*[65] *ἐν ἐπιτόμῳ ἐκτεθειμένων καὶ εἰς ν΄ τίτλους διηρμοσμένων*. Auctor igitur aliam Epitomen legum ex anti-

---

[62] i. e. XII libris Codicis.

[63] Veluti Proch. tit. XV c. 6, quod in Epanagoge non reperitur, habetur in Epit. VII, 41.

[64] Maxime tit. XV c. 17.

[65] Observes quaeso articulum definitum, quo certum aliquid opus indicatur.

quis libris collectam et in L titulos digestam[66] pro fonte habuit, et ex ea delectum fecit, σὺν τῆς ἐκλογῆς τοῦ ἐγχειριδίου, i. e. adjiciens delectum ex Prochiro.

§. 6.

Editionis ratio.

Epitomae nonnisi titulos I—XXIII edo: reliquos ex Codice Vaticano, qui eos solus praestaret genuinos, describere, quum Romae commorarer, propter temporis angustias non licuit. Editioni meae fundamento est Bienerianus et Bodlejanus Codex, quibuscum Laurentianum et Vaticanum obiter, Vindobonensem autem accurate contuli. Praeterea ad tit. III titulum XLI Epitomae Marianae, ad tit. XX sqq. titulos I sqq. Epitomae Laurentianae, denique ad hos ipsos et item alios titulos Epitomen ad Prochiron mutatam adhibui. Nonnulla, quae aperte vitiosa essent, etiam contra Codicum auctoritatem tam ex aliis fontibus, quam ex ingenio emendavi. Alia vero, licet et ipsa corrupta esse viderentur, intacta relinquere malui: auctor enim Epitomae, dum fontes in epitomas contraheret, aliquando festinantius ac negligentius versatus esse videtur, et corruptelae ex eo ortae non sunt expungendae, ne auctorem magis quam librarios castigare videamur.

Ex his quae modo diximus apparet, quam multa de textu constituendo in notis disputanda erant, si non cavendum fuisset, ne hoc volumen in nimiam molem excresceret. Quare quum ab uberiore commentario critico abstinendum esset, in notis id potissimum egi, ut fontes singulorum capitum qua maxima possem diligentia requirerem et adnotarem. Quae desunt editioni meae, ut alii suppleant inprimis opto atque spero!

---

[66] Fortassis etiam pars librorum §. 2 et 3 laudatorum non tam ex ea, quam edimus, sed ex antiquiore illa Epitome hausit.

EXPLICATIO SIGLORUM.

A = Codex MS. Bodlejanus 173.
B = Codex MS. Laurentianus LVI, 13.
C = Codex MS. Bienerianus.
D = Codex MS. Basilianus 114 sive Vaticanus 2075.
E = Codex MS. Vaticanus 640.
F = Codex MS. Vindobonensis jurid. gr. 3.
V = Codex MS. Bodlejanus 3399 (Epitome ad Prochiron mutata).
W = Codex MS. Laurentianus LXXX, 6 (Epitome Laurentiana).
Z = Codex MS. Marcianus 172 (Epitome Marciana).

Ἐκλογὴ[1]

νόμων τῶν ἐν ἐπιτόμῳ ἐκτεθειμένων[2] καὶ εἰς ν΄ τίτλους[3] διηρμοσμένων[4], πῇ μὲν τῶν χρηματικῶν[5] τί. μ΄, πῇ δὲ τῶν ποιναλικῶν τί. ι΄[6],

ἀπό τε τοῦ δυοδεκαδέλτου, τῶν διγέστων ἰουστινιανοῦ καὶ ἰνστιτούτων καὶ τῶν καλουμένων νεαρῶν

σὺν τῆς ἐκλογῆς τοῦ ἐγχειριδίου,

καθὼς ὑποτέτακται μετὰ τοῦ καθιστορικοῦ προοιμίου[7].

Τῆς νομικῆς μεγαλοφυοῦς δικαιοσύνης τὸ μέγεθος παγκράτιόν[8] ἐστι, καὶ οὐ μόνον ἄρχοντας καὶ ἰδιώτας ἰθύνει, ἀλλὰ καὶ ἔθνη ὑψοῖ τὰ ταύτῃ χρώμενα ἐν εὐθύτητι. ἣν ὡς[9] ἄγκυραν καὶ θεμέλιον καὶ ἕδραν οἱ πρόπαλαι τῶν ῥωμαίων δῆμοι ἐπαγκαλισάμενοι[10], τῇ πρεσβύτιδι ταύτῃ κατὰ πάντων ἐγένοντο καὶ ὑπὲρ πάντων[11] ἐκράτησαν. καθάπερ τὶς αὐτῶν σοφὸς ἔλεγεν[12]· ὅπλοις καὶ νόμοις ῥωμαῖοι τῆς οἰκουμένης ἐκράτησαν[13], τοῖς μὲν τὸ πολέμιον[14] ἀναιροῦντες, τοῖς δὲ[15] τοὺς ὑπηκόους

---

[1] In W simpliciter inscribitur Ἐπιτομὴ τῶν νόμων. D titulum sive inscriptionem non habet; nec E, in quo praefationi sic inscribitur: *Προοίμιον τοῦ παρόντος νομίμου τῶν τριῶν βασιλέων εὑρεθὲν ἐν παλαιῷ βιβλίῳ ὀρθῶς ἔχοντι.* [2] F *ἐκτιθεμένων.* [3] F *ἐν ν΄ τίτλοις.* [4] B *διηρημένων.* [5] B *χρησίμων.* [6] F verba *πῇ μὲν—τί. ι΄* non habet. [7] Verba *καθὼς κτλ.* in BF desunt. [8] E *παγκρατές,* W *κραταιότατον.* [9] B *καί.* [10] E *ἀγγαλ.,* W *ἐναγκ.* [11] W *πάντας,* B *πάντων που.* [12] W *καθάπερ φησί τις αὐτῶν σοφός.* [13] E omittit nonnulla. Sic enim apud eum est: *τῇ πρεσβύτιδι ταύτῃ προσήνεγκαν καὶ κατὰ πάντων ἐκράτησαν.* [14] E *τοὺς μὲν πολεμίους.* [15] E *τοὺς δὲ ὑπ.,* B *τοῖς δὲ ὡς ὑπ.*

ῥυθμίζοντες· ὧν γὰρ ἑκάστοτε πολεμοῦντες ἐκράτουν, τούτους δικαίως νομοθετοῦντες ἐφύλαττον.

Ἐντεῦθεν οὖν ὡς ἐν ἱστορίᾳ ποιήσομαι τὸν λόγον τῆς ἀρχαιογονίας ταύτης, πόθεν[16] ἐδέξατο τὴν ἀρχὴν καὶ τίνες τῶν νομικῶν καὶ κατὰ τίνας ἐνομοθέτησαν χρόνους ῥωμαῖοι. πρῶτος[17] γάϊος καὶ μετὰ τοῦτον πομπώνιος[18], ὃς ἔφη εἰς τριάκοντα μέρη τὸν δῆμον διαιρεθῆναι[19] κατὰ τὸν χρόνον ῥωμύλου, ἅτινα κουρίας[20] ἤτοι φυλὰς ὠνόμασαν[21]. καὶ μετὰ τοῦτον[22] σέκτος παπείριος[23], ἐν οἷς ἦν καὶ σουπερβός[24] τις ῥὴξ δημοράτορος[25] υἱὸς κορίνθιος[26] ἐκ τῶν τὰ πρῶτα φερόντων ἀνδρῶν· ὑφ' οὗ καὶ μετὰ ταῦτα νόμος ἐγένετο ὁ[27] λεγόμενος τριβουνίκιος[28], — τρίβους γὰρ ἡ φυλὴ ἑρμηνεύεται, — δι' οὗ πάντες οἱ νόμοι οἱ[29] διὰ τῶν ῥηγῶν ἀπέπνευσαν ἤτοι ἠφανίσθησαν, ἐπειδὴ τῇ τελευτῇ[30] τῶν νομοθετούντων κατεπαύοντο[31] καὶ τὰ νομοθετούμενα παρ' αὐτῶν. καὶ ἤρξατο μᾶλλον ὁ ῥωμαϊκὸς δῆμος ἀδήλῳ νόμῳ καὶ συνηθείᾳ κεχρῆσθαι ἢ διά τινος εἰσενεγκομένου[32]· καὶ τοῦτο σχεδὸν ἐπὶ πεντήκοντα ἐνιαυτοὺς ἐπεπόνθει[33]. μετα δὲ ταῦτα, ἵνα μὴ ἐπὶ πολὺ τοῦτο γένηται[34] καὶ[35] ὁ τῶν ῥωμαίων δῆμος ἀδήλῳ νόμῳ καὶ συνηθείᾳ πολιτεύηται, ἤρεσε κοινῇ πάντων αὐθεντίᾳ, δέκα παρ' αὐτῶν ἄνδρας ἀφορισθῆναι, δι' ὧν[36] μετενεχθῆναι ἀπὸ τῶν ἑλληνικῶν πόλεων καὶ ἐν ῥώμῃ θεμελιωθῆναι νόμους[37], οὓς ἐν[38] ἐλεφαντίναις δέλτοις γραφέντας[39] ἐν στοαῖς τισι κατὰ τὴν πόλιν ὀνομαζομέναις τὰ ῥῶστρα[40] προτεθείκασι[41] πρὸς τὸ[42] σαφέστερον[43] καὶ ῥᾷον προσλαμβάνε-

---

[16] E ἤγουν πόθεν. [17] E addit οὖν. [18] Intelligit Dig. I, 2 dig. 1 (cf. infra tit. I §. 38) et dig. 2. [19] Sic E, reliqui διῃρηκέναι. [20] E κυρίας. [21] Sic E, reliqui ὠνόμασεν. [22] W μετὰ ῥωμύλου. [23] W σέξστος πάππος, AB πάπιος. [24] AE σουπεριός. [25] E δημοκράτους. [26] E κορινθίου. [27] Deficit in E. [28] B προβουν. [29] Deficit in ABW. [30] E φυλῇ. [31] E ἐγκατεπ. [32] E ὡς διά τινος εἰσενεγκάμενος. W autem haec verba omnino praetermisit. [33] E verba καὶ τοῦτο – ἐπεπόνθει non habet. [34] E γίνηται. [35] W καὶ μή. [36] E ὥστε δι' αὐτῶν. [37] Deest in E. W θεμελισθῆναι. [38] A praepositionem ἐν non habet. E οὓς δὴ καὶ ἐν. [39] W καταγραφ., E γράψαντες. [40] A τάρωστα. [41] E τεθείκ. [42] E ὥστε σαφ. [43] E addit τούτους.

σθαι ἤτοι νοεῖσθαι τῷ δήμῳ. ἀμέλει καὶ ὡς ἐλλειπούσῃ τῇ νομικῇ διατάξει[44] μετὰ τοῦτο προσετέθησαν καὶ ἄλλαι[45] δύο δέλτοι, καὶ οὕτως ἐκ τοῦ συμβάντος[46] ὠνομάσθησαν οἱ νόμοι τῶν δυοδεκαδέλτων[47]. φασὶ δέ τινες ἑρμόδωρόν τινα ἐφέσιον ἐξόριστον ὄντα ἐν τῇ ἰταλίᾳ τὴν μεταφορὰν[48] τοῦ δυοδεκαδέλτου[49] ἀπὸ τῶν[50] ἑλλήνων μεταφράσαι εἰς τὴν τῶν ῥωμαίων γλῶτταν[51]. τὰς δὲ τῶν νόμων προσηγορίας λέγις ἀκτίονας[52] ὠνόμασαν, τουτέστι νομίμους πράξεις. τοῦ[53] νόμου δὲ ἰσχὺν λαμβάνοντος, ἄππιός τις κλαύδιος τὰς ἀγωγὰς ἐποίησε[54], καί τις ἀπογραφεὺς αὐτοῦ[55], υἱὸς ἀπελευθέρου τινὸς, τὸ συντεθὲν ὑπ᾽ αὐτοῦ βιβλίον ἀφείλετο καὶ τῷ δήμῳ παρέδωκεν· καὶ τοσοῦτον χάριεν ἔδοξεν εἶναι[56] τοῦτο τὸ δῶρον[57] τῷ δήμῳ[58], ὅτι καὶ δήμαρχον καὶ συγκλητικὸν τοῦτον[59] ἐποίησαν[60]. καὶ μετὰ τοῦτο[61] σέκτος[62] αἴλιος συντέθεικε γένη[63] ἀγωγῶν, ὅπερ ὠνόμασαν νομοθεσίαν ἀελιανήν[64]. τὰ δὲ παρὰ τοῦ δήμου νομοθετούμενα πλεβίσκιτα[65] ἐκαλοῦντο, τουτέστιν ἐξ αὐθεντίας τῶν πατρικίων. ὅθεν ἀπὸ τότε καὶ οὕτως[66] ἡ σύγκλητος ἑαυτὴν ἤρξατο παρεμβάλλειν, καὶ ὁτιδήποτε ἐνομοθέτησε, τοῦτο ἐφυλάττετο, καὶ τὸ παρ᾽ αὐτῆς νομοθετούμενον ἐλέγετο σενάτους[67] κονσούλτουμ[68], τουτέστι τὸ τῆς συγκλήτου[69] νομοθέτημα. οἱ δὲ αὐτοὶ τὰ αὐτὰ ἔδικτα[70] ἰουρι βονοραρίουμ ἀποκαλέσαντες[71] ὠνόμασαν, οὕτως ὡς ἀπὸ τῆς τιμῆς τοῦ πραίτωρος τετιμημένα[72]. εἶτα τὰ[73] τῶν πραιτώρων ἀναγκαῖα[74] εἶναι[75] τῇ πολιτείᾳ ἐνο-

---

[44] A διαθέσει. [45] A ἄλλοι. [46] W τῶν συμβάντων. [47] E τοῦ δυοδεκαδέλτου. [48] W τῇ μεταφορᾷ. [49] B τῶν δυοδεκαδέλτων. [50] W τῆς. [51] E γλῶσσαν. [52] A λεγκατίονας. [53] Articulum solus E habet. [54] E ἐπενόησε. [55] Pro verbis καί τις ἀπ. αὐτοῦ E sic habet: ὡς δὲ ὑπογράφει τὰ κατ᾽ αὐτὸν ὅτι. [56] Abest ab E. [57] E τὸ δ. τ. [58] AB verba τῷ δήμῳ non habent, W post εἶναι collocat. [59] In A deest. [60] W ἐποίησε. [61] E μετὰ δὲ τοῦτο. [62] W σέξστος. [63] E ἄλλο γένος. [64] E αἰλιανοῦ, W ἀελιανοῦ. [65] Sic E, reliqui πλεβήσκητα scribunt. [66] Verba καὶ οὕτως E non habet. [67] Deficit in E. [68] A καὶ σουλτάτουμ. [69] E δόγμα καὶ νομοθ. καὶ θέσπισμα. [70] AB διατάγματα. [71] E καλ. [72] Sic E, reliqui τουτέστιν ἀπὸ — τιμητικήν. [73] Abest a BW. [74] W ἀναγκαῖον, E ἔδοξεν ἀναγκαῖα. [75] E non habet.

μίσθη τῷ[76] ὑφ᾽ ἑνὸς προνοεῖσθαι καὶ μόνου[77]· τούτου[78] δὲ παρὰ τοῦ βασιλέως ὁρισθέντος δίδοσθαι[79] νομοθέτην, ἵνα ὅπερ ἂν ὁρίσωσι βέβαιον ᾖ, ὁ ἰδικὸς νόμος[80] τουτέστιν ὁ λεγόμενος πολιτικὸς ἐκυρώθη[81].

Ὑπὲρ δὴ τούτων τὰ τῆς ἀρχῆς[82] ἐγχειρίζεται αὔγουστος, καὶ τὸ ὑποχείριον νομοθετεῖ διατίθεσθαι. καὶ μετὰ ταῦτα ἀδριανὸς ὁ βασιλεὺς ἐπιτρέπει ἰουλιανῷ τῷ νομικῷ μετὰ σερβίου κορνελίου[83] συλλέξασθαι ἐπιμελῶς καὶ κατὰ τάξιν ὑποτιτλῶσαι τὰ νομικά. καὶ πρῶτος τὸ[84] ἔδικτον ἐκτέθεικε[85], περὶ[86] ἑκάστης πραγματείας τὰ[87] σποράδην συγκείμενα συναγαγὼν καὶ εἰς ἓν συνάψας, τὰ[88] περὶ γάμων ἐν ἑνὶ, καὶ τὰ περὶ ἐπιτρόπων[89] ἰδικῶς, ὁμοίως καὶ τὰ περὶ λεγάτων, καὶ ἁπλῶς ἕκαστα[90]. καὶ[91] μετὰ πολὺν χρόνον ὁ[92] ἰουστινιανὸς συντίθεται[93] τὸ μέγα σύνταγμα τῶν διγέστων ὡς πανδέκτην[94], ἐπικαινίζων[95] καὶ παλαιοὺς νόμους, οὓς καὶ[96] νεαρὰς ἀπεκάλεσαν[97]. καὶ ταῦτα[98] διὰ τριβουνιανοῦ τοῦ αὐτοῦ[99] κοιαίστωρος.

Καὶ[100] εἶθ᾽ οὕτως τῶν νόμων ἐκτεινομένων καὶ ὑπὸ τῶν κατὰ καιροὺς[101] νομοθετῶν πληθυνομένων, ὡς ἀπείρῳ πλήθει ὄντων[102], βάρος ἐνομίζετο τοῖς ἀνθρώποις ὁ χρηστὸς καὶ ἡδὺς ζυγὸς τοῦ νόμου ἢ κοῦφος[103] καὶ ὠφέλιμος. ἐπὶ[104] τούτῳ ζήλῳ θείῳ κινηθεὶς[105] ὁ γαληνότατος καὶ πρᾳότατος ἡμῶν βασιλεὺς λέων ἐπισυνῆξε[106] συλλήβδην σχεδὸν ἅπαντα[107] τὸν νόμον ἀπό

---

[76] E πρὸς δὲ τό, omisso verbo ἐνομίσθη. Etiam W τὸ legit. [77] BW μόνον. [78] A τοῦτο. [79] E τὸ δίδοσθαι. [80] BW addunt ἐγένετο. [81] Verba πολ. ἐκ. AB non habent; W autem verbum ἐκυρώθη omittit. [82] E Καὶ λοιπὸν τὴν ἀρχήν. [83] BW κορνηλίου. [84] E οὗτος. [85] BW συντέθεικε. [86] E τὰ παρ᾽. [87] E non habet. [88] E ἤτοι τά. [89] E ἐπιτροπῆς. [90] ABE lacunam habent omissa voce ἕκαστα. [91] Deest in E. [92] Deest in AE. [93] E τίθεται. [94] A πάνδεκτον, BW πανδεκτῶν. [95] E ἐπικανονίζων. [96] W non habet. [97] E ἀπεκάλεσεν. [98] Deficit in E. [99] E τοῦ τότε. [100] Deest in BEW. [101] W καιρόν. [102] E ὡς πολλῶν ὄντων τῷ πλήθει, B ὡς ὄγμῳ ἀπείρῳ ὄντων, W ὡς ὄγμῳ ἀπειροπλήθει ὄντων. [103] E ἢ μᾶλλον ὁ κοῦφος καὶ ἔλαφρος. [104] Hinc demum incipit F. [105] E κινούμενος. [106] Sic E. ABF ἐπεσύναξε. W βασιλεὺς, λέοντα λέγω τὸν κράτιστον βασιλέα τὸν ὡς ἔπος εἰπεῖν ῥήτορα ἐν ῥήτορσι καὶ φιλόσοφον ἐν φιλοσόφοις, ἐπισυλλέξας. [107] E ἅπ. non habet, sed scribit τοὺς νόμους.

τε τοῦ δυοδεκαδέλτου, τῶν διγέστων ἰουστινιανοῦ καὶ ἰνστιτούτων σὺν τῶν καλουμένων νεαρῶν[108], καὶ ἐν ἑξήκοντα[109] βιβλίοις[110] ἐπεκτείνας διὰ συμβατίου πρωτοσπαθαρίου καὶ λοιπῶν θείων ἐννόμων[111] ἀνδρῶν· καὶ ὡς λόγος εἰπεῖν[112] ἑκάστῃ πραγματείᾳ τὰ[113] ἴδια ἔδικτα ἀπένειμε[114], τήν τε[115] τραχύτητα τοῦ νόμου σὺν τῶν ἐκεῖσε λέξεων[116] εἰς πρᾳότητα λειώσας, καὶ ταῦτα ἐπὶ τέσσαρσι βίβλοις διαστήσας[117], πάσῃ τῇ ὑφηλίῳ[118] ὡς πολιοῦχος ὑπάτευσεν ὁ καλλίνικος[119] καὶ πρᾳότατος ἡμῶν βασιλεύς.

Τοῦτο[120] τὸ προγυμνάσιον τοῦ συλλογισμοῦ τῆς ἐκλογῆς τοῦ νόμου ὡς ἐν ἱστορίᾳ γραφήσαντες[121], τὰ[122] πλεῖστα τῶν νόμων μετὰ[123] τῶν ἀφ᾿ οὗ προεξηγήθη χρόνων[124] παρεπέμψαμεν, ἐν οἷς καὶ ἐτιμήθησαν καὶ ἐδοξάσθησαν· τοῖς δὲ ἡμῖν σήμερον εὐπετῶς[125] νενομοθετημένοις καὶ παρεκβαλλομένοις[126], ἐν οἷς[127] καὶ παρὰ τοῦ ἀεὶ σεβαστοῦ ἡμῶν βασιλέως τιμηθεῖσιν ἢ καὶ νομοθετηθεῖσι, παρεξεβάλλομεν μηδὲν ἐξ οἰκείων φθεγγόμενοι[128], ἀλλ᾿ ἐκ πάντων τὰ χρειώδη τῶν βιβλίων[129] ἐρανισάμενοι ἐν τῇ ποθεινῇ τοῦ νόμου ποιότητι διὰ ν' τίτλων τεθείκαμεν[130] ἐν τῷ πρώτῳ ἔτει τοῦ εὐτυχοῦς ῥωμανοῦ βασιλέως[131], πρὸς ὑπόμνησιν καὶ ὠφέλειαν[132] τῶν ἐντυγχανόντων

---

[108] E *σὺν ταῖς καλουμέναις νεαραῖς*, W *μετὰ τῶν κ. ν.* [109] E *ς'.* [110] Sic E, reliqui *βίβλοις*. [111] E *καὶ ἐνν.*, A *εὐνόμ.* [112] E *ἔχει.* [113] Articulum non habet E. [114] Sic E, reliqui *ἀπολαβοῦσα.* [115] E *γάρ.* [116] E *σὺν ταῖς ἐκεῖσε ἐγκειμέναις λέξεσιν οὗτος εἰς κτλ.* Similiter W. [117] E *ἐκθέμενος*, W *βιβλίοις διαστ.* [118] EW *ὑφ᾿ ἥλιον.* [119] E addit *οὗτος.* [120] E addit *δή.* [121] E *γράψαντες*, W *τοῦ νόμου ἱστοριογραφήσαντες*, rectius uti videtur. [122] W *ἐν ἐπιτόμῳ τὰ πλ.* [123] E *ὡς ἐν ἐπιτόμῳ μετά.* [124] Sic AB in margine. In textu *μετὰ τοῖς προεξηγηθεῖσι χρόνοις.* Similiter W, omissa tamen praepositione. E *μετὰ τῶν χρόνων.* [125] E *εὐπρεπῶς*, quod fortasse praestat. [126] E *παρεισαγομένοις.* [127] E *τοῖς* omissa praepositione. Idem sequentia non male sic tractavit: *τοῖς παρὰ τοῦ ἀεὶ σεβ. ἡ. βασ. φημὶ τμηθεῖσι συμπεριελάβομεν καὶ τἆλλα μηδὲν κτλ.* [128] E *φθεγξάμενοι.* [129] E *ταῖς βίβλοις.* W verba *ἀλλ᾿ ἐκ — ἐρανισάμενοι* non habet. [130] E *τεθεικότες.* [131] Pro verbis *ῥωμανοῦ βασιλέως* W solus habet haec: *κωνσταντίνου τοῦ υἱοῦ λέοντος τοῦ εὐεργέτου.* [132] Verba *καὶ ὠφ.* E non habet.

ταύτῃ τῇ μικρᾷ βίβλῳ, ἀπαρξάμενοι ἐν πρώτοις τὰ περὶ νόμου καὶ δικαιοσύνης[133].

---

[133] EF haec ultima *ἀπαρξάμ. κτλ.* plane non habent. W vero, utpote qui titulorum ordinem Prochiro accommodaverit, sic scribit: *ἀπαρξάμενοι ἐν πρώτοις ὅθεν καὶ ἡ ἐξ ἡμῶν φύσις τὴν ἀρχὴν εἴληφεν.* Videsis prooemium Prochiri in fine.

ΠΙΝΑΞ[1] ΤΗΣ ΣΥΛΛΟΓΗΣ

τοῦ νόμου τῶν καὶ[2] ὑποτεθέντων ν' τίτλων ἐν τῷδε τῷ χρειώδει βιβλίῳ.

Τίτλος α'. Περὶ νόμου [καὶ][3] δικαιοσύνης.

– β'. Περὶ νόμου φυσικοῦ, ἐθνικοῦ καὶ πολιτικοῦ[4].

– γ'. Περὶ νόμου ἀγνοίας, καὶ περὶ ἀμφιβαλλομένων, καὶ περὶ αἱρέσεων.

– δ'. Περὶ παίδων κυοφορουμένων, καὶ περὶ μαινομένων[5].

– ε'. Περὶ αὐτεξουσιότητος καὶ ὑπεξουσιότητος[6], καὶ λύσεως αὐτῶν, καὶ περὶ υἱοθεσιῶν, καὶ περὶ[7] εὐνούχων.

– ς'. Περὶ νομῆς καὶ οὐσουφρούκτου[8] ἤτοι χρήσεως νομῆς* καὶ χρήσεως καρπῶν[9].

– ζ'. Περὶ μισθώσεως καὶ ἐκμισθώσεως, καὶ περὶ ἐμφυτεύσεως.

– η'. Περὶ ἐκκλησιαστικῶν πραγμάτων, καὶ περὶ ἐπισκόπων καὶ μοναχῶν καὶ κληρικῶν[10].

– θ'. Περὶ τῶν[11] διοικούντων ἀλλότρια πράγματα, καὶ περὶ τῶν προστησάντων δούλους, καὶ περὶ ὑπεξουσίων καὶ πεκουλίων αὐτῶν, καὶ περὶ τῶν ἐπὶ προστασίᾳ διδομένων[12].

---

[1] Titulorum indicem praestant ABDF. Inscriptionem tamen D non habet, et B hunc indicem praefationi praeponit. [2] F καὶ τῶν. [3] Particulam καὶ omittunt ABD. F π. δικ. καὶ νόμου. [4] Verba ἐθν. καὶ πολ. F non habet. [5] Praetermisit hanc rubricam F. [6] F verba καὶ ὑπεξ. omisit. [7] Καὶ deficit in F. [8] D περὶ οὐσ. * Lege μόνης. [9] In F rubrica brevior est: περὶ χρήσεως καρπῶν. [10] Hanc rubricam F omisit. [11] Articulus deest in ABF. [12] Verba καὶ π. τ. ἐπὶ πρ. διδ. desunt in F.

Τίτλος ι'. Περὶ συστάσεως[13] κοινωνίας καὶ λύσεως αὐτῆς[14].
- ια'. Περὶ πάκτου ἤτοι συμφώνου, καὶ περὶ διαλύσεως[15].
- ιβ'. Περὶ ἐνάγοντος καὶ ἐναγομένου, καὶ ποῖος[16] βαρεῖται τῇ ἀποδείξει, καὶ περὶ ὅρκου.
- ιγ'. Περὶ μαρτύρων εὐπροσδέκτων καὶ κεκωλυμένων[17].
- ιδ'. Περὶ ἀρχόντων καὶ[18] περὶ δικαστῶν καὶ ψήφου αὐτῶν, καὶ περὶ συνηγόρων, καὶ περὶ[19] προστίμων.
- ιε'. Περὶ δημοσίων πραγμάτων, καὶ περὶ ὑποτελῶν καὶ ἐξισωτῶν[20].
- ις'. Περὶ πράσεως καὶ ἀγορασίας.
- ιζ'. Περὶ δανείου καὶ ἐνεχύρου καὶ τόκου.
- ιη'. Περὶ παρακαταθήκης[21] καὶ ὑποθήκης, καὶ περὶ πραγμάτων, ὧν ἡ δεσποτεία φιλονεικεῖται.
- ιθ'. Περὶ ἐγγυῶν καὶ μανδατόρων.
- κ'. Περὶ μνηστείας καὶ ἀῤῥαβῶνος[22].
- κα'. Περὶ δωρεῶν μνηστείας.
- κβ'. Περὶ κεκωλυμένων γάμων[23].
- κγ'. Περὶ ὅρου καὶ διαθέσεως γάμου[24].
- κδ'. Περὶ λύσεως γάμου[25] καὶ τῶν αἰτιῶν αὐτῶν, καὶ περὶ παίδων νόθων καὶ ἀθεμιτογαμίας.
- κε'. Περὶ δευτερογαμούντων[26], καὶ πρὸ γάμου δωρεᾶς, καὶ περὶ τῶν πενθούντων γυναικῶν, καὶ ἀναργυρίας προικός.
- κς'. Περὶ διαλυομένου[27] συνοικεσίου καὶ περὶ ποίῳ τρόπῳ ἀπαιτεῖται ἡ προῖξ[28], καὶ περὶ διατιμήσεως αὐτῆς.
- κζ'. Περὶ πάκτου προικὸς, καὶ δικαίου προικὸς καὶ τῶν βαρῶν αὐτῆς.
- κη'. Περὶ δωρεῶν καὶ ἀνατροπῆς δωρεῶν.
- κθ'. Περὶ διαθήκης αὐτεξουσίων καὶ ὑπεξουσίων, καὶ στρατιωτικῆς διαθήκης, καὶ τίνες ἐν αὐτῇ μαρτυροῦσιν[29].

---

[13] Deficit in D. [14] D *αὐτῶν*. [15] D addit *καὶ περὶ τῶν ἐπὶ προστασίᾳ διδομένων*. F autem hanc rubricam plane omisit. [16] D *περὶ ποῖος*. [17] Verba *εὐπρ. κ. κεκ.* nec D nec F habet. [18] Verba *π. ἀρχ. καὶ* desunt in F. [19] Deest in F. [20] Verba *καὶ ἐξισ.* F non habet. [21] DF *καταθήκης*. [22] D *ἀῤῥαβώνων*. F addit *καὶ περὶ πένθους*. [23] Haec rubrica in F deest. [24] Hic desinit ὁ *πίναξ* in AB. [25] F *γάμων*. [26] F *δευτερογαμοῦντος*. [27] F *διαλύσεως*. [28] F *καὶ κατὰ ποῖον τρόπον ἡ προῖξ ἀπαιτεῖται*. [29] D *μάρτυρες*.

Τίτλος λ'. Περὶ ἀνατροπῆς διαθήκης καὶ περὶ μέμψεως αὐτῆς.

- λα'. Περὶ διαθήκης ἀπελευθέρων[30] καὶ περὶ προνομίων πατρώνων[31] καὶ περὶ διακατοχῶν[32].

- λβ'. Περὶ φαλκιδίου, καὶ ἀμέτρων δωρεῶν, καὶ κωδικέλλων[33].

- λγ'. Περὶ ἐνστάσεως κληρονομίας, καὶ ὑποκαταστάσεως, καὶ περὶ συνεισφορᾶς προικος[34], καὶ διασκέψεως αὐτῶν.

- λδ'. Περὶ ἀποκαταστάσεως ἐλαττόνων[35] τῶν κε' ἐνιαυτῶν, καὶ περὶ πληθυντικῆς ὑποκαταστάσεως[36], καὶ περὶ πεκουλίων αὐτῶν.

- λε'. Περὶ ἀποκλήρων[37].

- λς'. Περὶ ἐπιτρόπων καὶ κουρατόρων[38].

- λζ'. Περὶ λεγάτων προσκαίρων καὶ διηνεκῶν.

- λη'. Περὶ ἐλευθεριῶν καὶ ἀναδουλώσεων[39].

- λθ'. Περὶ παραγγελίας, καὶ περὶ καινοτομίας, καὶ περὶ δουλείας οἴκων[40] καὶ ἀγρῶν νομῆς[41]. Περὶ κεφα-

---

[30] F ἀπελευθέρου. [31] F verba καὶ π. πρ. πατρ. non habet. [32] F διακατοχῆς. [33] F κωδικέλλου. [34] D καὶ προικός. [35] D ἔλαττον, F ἐλάττω. [36] D ὑποστάσεως, F πληθυντικῶν ὑποκαταστάσεων. [37] Hanc rubricam F non habet. [38] F περὶ κληρονομίας. [39] F ἀναδουλώσεως. [40] F οἰκιῶν.

[41] F addit καὶ περὶ ὀροθεσίων. Reliquam partem indicis supra edidi ex D. In F alius ordo est: is enim, omissis rubricis titulorum XL—XLIII, sic pergit:

μδ'. Περὶ ὕβρεων καὶ ἁμαρτημάτων ἐλευθέρων τὲ καὶ δούλων.

με'. Περὶ συκοφαντῶν καὶ κατηγόρων, καὶ περὶ δηλατώρων, καὶ περὶ πλαστοῦ, καὶ περὶ δούλου διπλασιαζομένου, καὶ περὶ θησαυροῦ.

μς'. Περὶ κλεπτῶν καὶ ὑποδεκτῶν καὶ ἱεροσύλων καὶ ἐκτραποδιστῶν καὶ ἀποφυγόντων δούλων.

μζ'. Περὶ κεφαλικῶν ἐγκλημάτων, καὶ φόνων ἑκουσίων καὶ ἀκουσίων, καὶ περὶ εὐνουχιζομένων αἰσχρότητος.

μη'. Περὶ βίας καὶ ἁρπαγῆς πράγματος καὶ ἀγρῶν, καὶ περὶ στασιαστῶν καὶ ἀπελατῶν, καὶ περὶ καταπτώσεων καὶ ἐμπρησμῶν καὶ τάφων.

μθ'. Περὶ μοιχείας καὶ ἁρπαγῆς γυναικῶν, καὶ περὶ πόρνων καὶ πορνοβόσκων.

ν'. Περὶ ἀγωγῶν καὶ ἐνοχῶν, καὶ περὶ ἐγκλημάτων, καὶ περὶ κανόνων.

Hunc ordinem titulorum XLIV—XLVIII quo minus pro vero ac genuino habeam, prohibet me tum dubia hujus Codicis fides (qui vel ipse in textu fol. 194 recto titulum, quem in indice XLVI fecit, XLVIII appellaverit), tum auctoritas aliorum librorum juris, qui ad Epitomen nostram efformati, integros deinceps titulos ex ea in se receperunt. Nimirum Epitome ad Prochiron mutata, Epitome Laurentiana, Prochiron Vaticanum, Ecloga ad Prochiron mutata, denique Epitome Marciana (cf. Delineatio §. 42) hos titulos, de quibus quaeritur, plane eodem ordine repraesentant, quem πίναξ ex D editus indicat.

λαίων τοῦ νόμου τοῦ ῥοδίου κατ᾽ ἐκλογὴν ζήτει εἰς τὴν ἀρχὴν ἀπὸ τοῦ πίνακος, καὶ τὸν γεωργικόν[42].

Τίτλος μ'. Περὶ βίας καὶ ἁρπαγῆς πραγμάτων καὶ ἀγρῶν, καὶ περὶ στασιαστῶν, καὶ περὶ ἀπελατῶν, καὶ περὶ καταπτώσεων καὶ ἐμπρησμῶν, καὶ περὶ τάφων.

– μα'. Περὶ τῶν δημευομένων ἐν τῷ φίσκῳ, καὶ περὶ ἀναζητουμένων, καὶ περὶ δεπορτατευομένων, καὶ περὶ αἱρέσεων.

– μβ'. Περὶ ὕβρεων, καὶ περὶ ἁμαρτημάτων ἐλευθέρων τὲ καὶ δούλων.

– μγ'. Περὶ συκοφαντῶν καὶ κατηγόρων, καὶ περὶ δηλατόρων, καὶ περὶ πλαστοῦ, καὶ περὶ δόλου διπλασιαζομένου, καὶ περὶ θησαυροῦ.

– μδ'. Περὶ κλεπτῶν καὶ ὑποδεκτῶν καὶ ἱεροσύλων καὶ ἐξανδραποδιστῶν.

– με'. Περὶ κεφαλικῶν ἐγκλημάτων, καὶ περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων, καὶ περὶ εὐνουχιζομένων καὶ αἰσχρότητος[43].[44].

---

[42] Nimirum hoc voluit librarius, intercalandos hic esse titulum leges navales, alium leges rusticas, et probabiliter etiam tertium leges militares complexum (cf. not. 44). Unde *τίτλος μ'*, qui sequitur, potius *τίτλος μγ'* est, et sic deinceps, ut *τίτλος με'* sit *τίτλος μη'*.

[43] Siquidem hic titulus potius XLVIII est, ut nota 42 demonstrare studui, poterit, ut numerus L titulorum impleatur, titulus XLIX et L ex indice, quem F praebet, suppleri. Cf. not. 41.

[44] In D *τὸν πίνακα* non statim sequitur tit. I Epitomae, sed praecedunt *Κεφάλαια τοῦ νόμου τοῦ ῥοδίου* (Leunclavianis locupletiora), et *Κεφάλαια νόμου γεωργικοῦ κατ᾽ ἐκλογὴν ἐκ τοῦ ἰουστινιανοῦ βιβλίου*. Quae olim effecisse videntur titt. XL et XLI Epitomae. Cf. not. 42. Leges militares (*περὶ στρατιωτικῶν ἐπιτιμίων ἐκ τοῦ ῥούφου καὶ τῶν τακτικῶν*) idem D post finem Epitomae praestat.

ΤΙΤΛΟΣ ΠΡΩΤΟΣ.

Περὶ δικαιοσύνης καὶ νόμου[1].

α΄. Ὁ νόμος ἀπὸ τῆς δικαιοσύνης ὠνόμασται. συνίσταται δὲ ἀπὸ φυσικοῦ, ἐθνικοῦ καὶ πολιτικοῦ[2].

β΄. Χρὴ τὸν περὶ νόμους σπουδάζοντα πρότερον εἰδέναι, πόθεν ἡ τοῦ νόμου κατάγεται προσηγορία[3].

γ΄. Κατάγεται δὲ ἀπὸ τῆς δικαιοσύνης. ὡς γὰρ ὁ σοφὸς κέλσος ὁρίζεται, ὅτι οἱ τῶν νόμων ἐξηγηταὶ τὴν τοῦ ἀγαθοῦ καὶ δικαίου γνῶσιν ἐπαγγέλλονται, καὶ ὅτι τὴν ἀγαθὴν φιλοσοφίαν ἐπιτηδεύουσιν, χωρίζοντες μὲν τὸ δίκαιον ἀπὸ τοῦ ἀδίκου, διακρίνοντες δὲ τὸ θεμιτὸν ἀπὸ τοῦ ἀθεμίτου[4].

δ΄. Τί ἐστι δικαιοσύνη[5]; δικαιοσύνη ἐστὶ σταθηρὰ καὶ διηνεκὴς βούλησις ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον[6].

ε΄. Παραγγέλματα δὲ νόμου, τὸ κοσμίως ζῆν καὶ ἄλλον μὴ καταβλάπτειν[7].

ϛ΄. Σοφία δὲ νόμου ἐστὶ τὸ εἰδέναι τὰ θεῖα καὶ τὰ ἀνθρώπινα πράγματα, καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον[8]. τὴν γὰρ δικαιοσύνην ἀσκοῦμεν[9].

ζ΄. Τί ἐστι νόμος; νόμος ἐστὶ κοινὸν παράγγελμα, φρο-

[α΄.] Δύσχρηστος τοῖς ἀδικοῦσιν ἡ δικαιοσύνη ὥσπερ τοῖς ὀφθαλμιῶσιν ὁ ἥλιος.

[β΄.] Σύνεσίς ἐστιν ἐντρέχ... διανοίας τῆς ἑκάστῳ πράγματι τὸ οἰκεῖον καὶ πρέπον ἀπονεμούσης[a].

[γ΄.] Τὰ πράγματα θείου δικαίου εἰσὶν ἢ ἀνθρωπίνου. τὰ θείου δικαίου οὐδενός εἰσι· τὰ δὲ ἀνθρώπινα ἐν οὐσίᾳ τινός εἰσιν[b].

---

[1] Rubricam AB non habent. D addit *οὐλπιανὸς βι. α΄ τί. α΄.* [2] Dig. I, 1, 1. [3] Dig. ibid. [4] Dig. ibid. [5] Verba *τί ἐστι δικ.* D non habet. [6] Dig. I, 1, 10. — A addit *τί. δ΄ ϛῐ.* [7] Dig. ibid. [8] Dig. ibid. [9] Haec verba ex Dig. I, 1, 1 §. 1 huc translata sunt.

a) Inst. I, 1 pr. b) Dig. I, 8, 1.

νίμων ἀνδρῶν δόγμα, ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἀποστροφὴ, πόλεως συνθήκη κοινή. ἐστὶ δὲ καὶ θεῖον εὕρημα[10].

η΄. Οὕτω τὸν νόμον ὁρίζεται καὶ δημοσθένης ὁ ῥήτωρ, τουτέστιν ᾧ πάντας ἀνθρώπους προσήκει πείθεσθαι, ὅτι πᾶς ὁ νόμος εὕρημά ἐστι καὶ δῶρον θεοῦ. δίγ. β΄[11].

θ΄[12]. *Ὁ νόμος πάντων ἐστὶ βασιλεὺς θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. δεῖ δὲ αὐτὸν προστάτην εἶναι τῶν καλῶν καὶ τῶν αἰσχρῶν, καὶ ἄρχοντα καὶ ἡγεμόνα, καὶ κατὰ τοῦτο κανόνα τε εἶναι δικαίων τὲ καὶ ἀδίκων καὶ τῶν φύσει πολιτικῶν ζώων, προστακτικὸν μὲν ὧν ποιητέον, ἀπαγορευτικὸν δὲ ὧν οὐ ποιητέον*[13].

ι΄. Ἀρετὴ νόμου ἐστὶ τὸ προστάττειν τι γίνεσθαι ἢ κωλύειν ἢ συγχωρεῖν ἢ τιμωρεῖσθαι. προστάττει μὲν τρέφεσθαι παρὰ τῶν πατέρων τοὺς παῖδας· κωλύει δὲ γίνεσθαι φόνον ἢ ἁρπαγήν· ἐπιτρέπει δὲ διατίθεσθαι καὶ συναλλάσσειν[14].

ια΄. Οὐ καθ᾽ ἕκαστον πρόσωπον οἱ νόμοι ἀλλὰ κοινῶς οἱ νόμοι. κοινωφελεῖς γὰρ οἱ νόμοι καὶ ὑπὲρ πάντων ἢ κατὰ πάντων νομοθετοῦνται[15].

ιβ΄. Οὐ πάντα τὰ θέματα περιλαμβάνει ὁ νόμος, ἀλλὰ τὰ ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνοντα. καὶ διὰ τοῦτο οὐ δυνατὸν πάντα τὸν νόμον λογισμὸν ἀποτελεῖν. διγ. ι΄. ια΄[16].

ιγ΄. Χρὴ τοὺς γενικοὺς καὶ ἀναμφιβόλους νόμους καὶ κατὰ τῶν ὁμοίων ἐπεκτείνεσθαι φάκτων, καὶ οὐ δεῖ τὰ παρὰ κανόνα ἀκριβολογεῖσθαι, ἀλλ᾽ ὡς παρὰ κανόνα δέχεσθαι. διγ. ιβ΄ οὐλπ.[17]

[δ΄.] *Παραβαίνουσιν οἱ νομοθέται τὸ ἅπαξ ἢ δὶς συμβαῖνον καὶ οὐκ ἀξιοῦσι περὶ αὐτοῦ νομοθετεῖν*[a].

[ε΄.] *Εἴ τι κελεύει ἢ κωλύει ὁ πραίτωρ, δύναται διὰ ἐναντίας διαλαλιᾶς ἢ συγχωρεῖν καὶ περιαιρεῖν*[b].

[ϛ΄.] *Ὁ γὰρ νόμος παραγγέλλει μὲν γενέσθαι τὸ καλὸν, ἀπαγορεύει δὲ γενέσθαι τὸ αἰσχρόν. κατὰ τοῦτο καὶ ἡγεμών ἐστι καὶ τῶν καλῶν καὶ τῶν αἰσχρῶν*[c].

[ζ΄.] *Εἰδέναι νόμους ἐστὶν οὐ τὸ γινώσκειν τὰ ῥήματα ἀλλὰ τὴν δύναμιν αὐτῶν*[d].

[η΄.] *Τὰ παρὰ κανόνα ἐφ᾽ ὃν ἐξεφωνήθησαν καὶ μόνον δεῖ κρατεῖν, καὶ οὐ δεῖ κατὰ τῶν ὁμοίων ἕλκεσθαι πρὸς ὑπόδειγμα*[e].

[θ΄.] *Πρὸς ἐκεῖνα μᾶλλον ἁρμόζεσθαι χρὴ τὰ συνεχῶς καὶ εὐχερῶς, οὐ μὴν τὰ σπανίως συμβαίνοντα*[f].

---

[10] Dig. I, 3, 1. [11] Dig. I, 3, 2. — A in margine: *τί. δ΄ παπιανοῦ.* [12] A in margine: *Χρύσιππος.* [13] Dig. I, 3, 2. [14] Dig. I, 3, 7. [15] Dig. I, 3, 8. — A in margine: *τί. γ΄ οὐλπιανοῦ.* [16] Dig. I, 3, 10. 20. [17] Dig. I, 3, 12. 14.

a) Dig. I, 3, 6. b) Dig. XLII, 1, 14. c) Cf. Basil. ed. Heimb. I p. 37. d) Dig. I, 3, 17. e) Dig. I, 3, 14. f) Dig. I, 3, 5.

ιδ΄. Δυνάμεθα δὲ τὰ προαναφερόμενα ἐν ἄλλῳ κεφαλαίῳ νόμιμα καὶ εἰς τὰ ἐφεξῆς κείμενα ὅμοια φάκτα ἕλκειν, καὶ ἀπὸ τῶν ὁμοίων τέμνειν τὸ ζητούμενον[18].

ιε΄. Εἰδέναι νόμους οὐκ ἐκεῖνό ἐστι, τὸ κατέχειν καὶ νοεῖν τὰ ῥήματα, ἀλλὰ τὴν δύναμιν αὐτῶν καὶ τὴν ἰσχύν[19].

ις΄. Οὐ δεῖ σκοπεῖν τὰ γράμματα, ἀλλὰ τὸν νοῦν, καὶ δεῖ τὴν ἔννοιαν μᾶλλον φυλαχθῆναι τοῦ νόμου, ἵνα φιλαγαθέστερον αὐτὸν χρὴ ἑρμηνεύεσθαι[20].

ιζ΄. Ὁ τὰ ῥήματα τοῦ νόμου φυλάττων, μαχόμενος δὲ τῇ διανοίᾳ αὐτοῦ, ἐναντιοῦται τῷ νόμῳ, καὶ οὐ φεύξεται τὰς ὡρισμένας κατὰ τῶν παραβαινόντων αὐτὸν ποινάς[21].

ιη΄. Ἐὰν τὰ πράγματα καὶ φυσικὸν ἐπιδέχεται λογισμὸν καὶ νόμων ἐναντίωσιν, πρὸς τὸν νόμον χρὴ γενέσθαι τὴν τομήν. βι. ν΄ τί. ιζ΄ διγ. κ΄[22].

ιθ΄. Κἂν τοῖς ῥήμασι τοῦ νόμου οὐχ ὑποπίπτῃ τὶς, τῇ δὲ διανοίᾳ ὑποπίπτῃ, οὐ χρὴ τὸν νόμον περιγράφειν. βι. μη΄ τί. γ΄ διγ. κθ΄. λ΄[23].

[ι΄.] Ἐν τοῖς πράγμασι προτιμάσθω τὸ δίκαιον τῆς τοῦ νόμου ἀκριβείας. ὅτι νικᾷ τὴν ἀκρίβειαν τοῦ νόμου ὁ τοῦ δικαίου λογισμός. βι. γ΄ τί. α΄ διάτ. η΄. ἀνάγν. τοῦ ἰω̄[a] κώδ. κα΄.

[ια΄.] Βι. ε΄ τί. οα΄ διάτ. ζ΄ τοῦ κώδ. Τὰ ἔγγραφα τὴν ἀλήθειαν οὐ βλάπτει. ὅτι τὰ ἀληθῆ σκοποῦμεν καὶ οὐ τὰ γράμματα[b].

[ιβ΄.] Ὅτι ἱερόσυλόν ἐστι τὸ ἐναντιωθῆναι θείῳ τύπῳ ἢ γενικῷ νόμῳ, ὡς βι. δ΄ τί. α΄ διάτ. κγ΄[c] τοῦ κώδ. ἄλλως· πᾶν τὸ γινόμενον παρὰ τὴν ἔννοιαν τοῦ νόμου ἄχρηστόν ἐστι, ὡς βι. α΄ τί. κγ΄ διάτ. ς΄ τοῦ κώδ.[d] ἄλλως· περιγράφει μὲν γὰρ ὁ ποιῶν ὅπερ ῥητῶς μὲν ὁ νόμος οὐ κεκώλυκε, οὐ μὴν δὲ αὐτὸ βούλεται γίνεσθαι· καὶ ἁπλῶς εἰπεῖν, ὅσον διέστηκε ῥητὸν ἀπὸ διανοίας, τοσοῦτον διέστηκεν ἐναντιώσεως νόμου περιγραφή[e]. κἂν ἔξεστι τοῖς ἀνθρώποις φυσικῶς περιγράφεσθαι ἀλλήλους ἐν πράσει καὶ ἀγορασίᾳ. ὡς βι. β΄ τί. νγ΄ διάτ. γ΄ τοῦ κώδ.[f]

[ιγ΄.] Βι. α΄ τί. γ΄ κεφ. κδ΄ ω̄[g]. ἔθος γὰρ τοῖς ἀδικοῦσι καὶ ἀποστεροῦσι ἐν ὕβρεσι καὶ λοιδορίαις ἐξευτελίζειν τοῖς ἀδικουμένοις· μέθη γὰρ δεινὴ φιλοδοξία καὶ φιλαρχία.

---

18 Dig. I, 3, 13. 19 Dig. I, 3, 17. 20 Haec corrupta esse videntur. — Sunt autem ex Dig. I, 3, 17. 18. 21 Cod. I, 14, 5. 22 Imo Dig. 85 §. 2. 23 Imo tit. 5 dig. 32. 33.

a) Potest esse ἰωάννου vel ι΄ βι. Vel legendum *τοῦ αὐτοῦ κώδ. κανόνα βι. ε΄ τί. οα΄ διάτ. ζ΄*, ut haec ultima ex scholio 11 huc trahantur. b) Cf. Cod. IV, 22. c) Imo Cod. I, 23, 5. Nisi significatur Cod. IV, 21, 23, quae deperdita est. d) Imo Cod. I, 14, 5. e) Dig. I, 3, 30. f) Non invenio. Cf. Dig. IV, 4, 16 §. 4 et cap. 20 hujus tituli. g) Non invenio.

κ΄. Ἄλλο ἐστὶ τὸ ἐναντιωθῆναι τοῖς ῥήμασι τοῦ νόμου καὶ ἄλλο ἐστὶ τὸ περιγράφειν τὴν διάνοιαν αὐτοῦ. τουτέστιν ἔξεστι τοῖς ἀνθρώποις περιγράφεσθαι ἀλλήλους ἐν πράσεσι καὶ ἀγοραςίαις φυσικῶς. ὁ περαιτέρω γ΄ ἑκατοστῆς ἐπερωτήσας τόκον τοῖς τοῦ νόμου διαμάχεται ῥήμασιν. εἰ δὲ τοῦτο φεύγων παρασκευάσει δανεῖσαι τὰ ἴδια χρήματα περαιτέρω τῆς ἑκατοστῆς τρίτου τόκον ἐπιζητήσας, τὴν διάνοιαν περιγράφεται[24].

κα΄. Οὐ χρὴ τὸν δικαστὴν ἑνὶ μόνῳ μέρει προσέχειν, ἀλλὰ πάντα τὸν νόμον περισκοπεῖν· ἀλλ᾽ οὐδὲ ἀποκρίνασθαι τοῖς ἐρωτῶσιν, οὔτε δικαστὴν ψηφίζεσθαι, οὔτε τὸν ἐπερωτώμενον ἀποκρίνεσθαι ἀπὸ προκομιδῆς νόμου, οὐδὲ συμψηφίσασθαι οὐδὲ ἀποφήνασθαι. βι. α΄ τί. δ΄[25] διγ. κδ΄.

κβ΄. Λέγων ὁ πραίτωρ· κατὰ τοὺς νόμους καὶ τὰς διατάξεις βοηθῶ σοι, οὐ τοῦτο δοκεῖ λέγειν· ἐὰν ἐπιτρέπουσιν οἱ νόμοι καὶ αἱ διατάξεις βοηθῶ σοι, ἀλλ᾽· ἐὰν μὴ ἀπαγορεύσωσιν[26].

κγ΄. Νόμου ποινὴν ὁρίσαντος ἐν πράγματι, οὐ δύναται ἔξωθεν ἀπὸ συμφώνου ἄλλην ποινὴν ἐπινοεῖσθαι. βι. με΄ τί. α΄ διγ. ιη΄[27].

κδ΄. Τὰ παρὰ τὸν νόμον γινόμενα οὐ μόνον ἄχρηστά ἐστιν, ἀλλὰ καὶ ἀντὶ μὴ γεγονότων παραλαμβάνεται. ἀλλ᾽ οὔτε ἐπερώτησις παράνομος οὔτε μανδάτον ἔῤῥωται, ἀλλ᾽ οὐδὲ ὅρκος παρὰ τὸν νόμον παρεχόμενος[28].

κε΄. Πᾶς νόμος ἢ περὶ προσώπων ἢ περὶ πραγμάτων ἢ περὶ ἀγωγῶν ἀναφέρεται. πρῶτον δεῖ παρὰ τοῦ πρωτοτύπου τὰς προσωπικὰς ἀγωγὰς διελθεῖν, καὶ οὕτως τῆς ὑποθηκαρίας χρήσασθαι τῶν πραγμάτων, καὶ εἶθ᾽ οὕτως τὰ περὶ ἀγωγῶν[29].

[ιδ΄.] Τὴν βλάβην οὐκ ἐκ τοῦ ἀποτελέσματος ἀλλὰ ἀπὸ τῆς δικαιώσεως κανονίζομεν[a].

[ιε΄.] Τὰ γὰρ νόμῳ συνιστάμενα ἐναντίῳ νόμῳ οὐκ ἀναιρεῖται[b]. καὶ κἂν εἰς ἓν πρόσωπον συνδράμῃ πολλὰ νόμιμα, ὅμως ἕκαστον τὴν ἰδίαν φυλάττει ἰσχύν. ὡς βι. λδ΄ τί. δ΄ κεφ. κβ΄[c].

[ις΄.] Πρόσωπα μὲν, ὅταν εἴπομεν ὁ δεῖνα συγκλητικός ἐστιν ἢ ἰδιώτης· πράγματα δὲ, ἡνίκα ζητοῦμεν πότερον ἔῤῥωται ἡ γενομένη ὑπό τινος διαθήκη ἢ ἄχρηστός ἐστιν· ἀγωγὰς, ἡνίκα ἀμφισβητεῖται πότερον τότε πρόσεστιν ἀγωγὴ ἢ οὐ πρόσεστι. ὡς βι. α΄ ἰνστ. γ΄[d].

---

[24] Ex comment. ad Dig. I, 3, 29. 30. [25] Imo tit. 3. [26] Dig. IV, 6, 28 §. 2. [27] Nobis Dig. 19. Legerim ἄλλη ποινή. [28] Cod. I, 14, 5. [29] Cf. not. 30.

a) Dig. L, 17, 79. b) Cf. Dig. L, 17, 100. c) Non invenio. d) Theophil. I, 3 pr.

κϛ'. Αἱ προσωπικαὶ ἀγωγαὶ οὐχ ὑπερβαίνουσι τοὺς ἐφ' ὧν ἐτέθησαν, ὡς ἐπὶ τῆς ἰδικῆς ὑποθηκαρίας. αἱ δὲ γενικαὶ καὶ κατὰ πάντων ἐκτείνονται προσώπων τε καὶ πραγμάτων, ὡς ὁ δίκαιον καὶ δεσποτείαν ἀλλοτρίαν διαδεξάμενος τοῦ παραπέμψαντος τὰ δίκαια ὑπεισέρχεται[30].

κζ'. Βασιλέως φιλοτιμία οὐκ ἐξέρχεται τὸ πρόσωπον τοῦ τετυχηκότος· οὔτε κατὰ τῶν ὁμοίων ἐκτείνεται, κἂν τὰς αὐτὰς ἐπεδείξατο περὶ τὴν πόλιν εὐεργεσίας, ἢ καθάπαξ τὸ πταῖσμα συνεχώρησεν[31].

κη'. Τὰ ἐν πρώτοις νομοθετούμενα τὸν βασιλέα δεῖ ἑρμηνεύειν. καὶ ἐκ τῶν ὁμοίων τέμνεσθαι τὰ περὶ ὧν οὐ κεῖται νόμος[32]. *τὴν δὲ μεταξὺ τοῦ νόμου καὶ τοῦ δικαίου ζήτησιν βασιλεῖ ἔξεστιν ἑρμηνεύειν*[33]. *καὶ ὅπερ ἀρέσει τῷ βασιλεῖ νόμος ἐστὶν, εἴτε τοῦ βασιλέως τῇ ἀποφάσει, ἣν ἐν δικαστηρίῳ ψηφίσηται, εἴτε ἐξ ἐπιπέδου διαλαλήσῃ, ἢ διά τινα ὁρισμὸν τοῦ βασιλέως εἴτε ἐν τῷ δικάζειν εἴτε ἐν τῷ καθ' ἕτερον τρόπον πρὸς δέησιν. τί. δ' διγ. δ'*[34].

[ιζ'.] *Καὶ διὰ τοῦτο τὰ ὑπέρ τινος εἰσαχθέντα κατ' αὐτοῦ οὐχ ἕλκεται*[a], *τουτέστι τὰ ὑπέρ τινος νομοθετηθέντα οὐ βλάπτει αὐτὸν ἐκ περιστάσεως, ὡς βι. δ' τί. κα' διάτ. ιθ'. τὸ δὲ ἐκ τοῦ ἐναντίου κεῖται βι. α' τί. ε' διάτ. ζ', ὅτι τὰ κατά τινος εἰσαχθέντα οὐκ ὠφελοῦσιν αὐτὸν ἐξ ἄλλης αἰτίας. ζήτει τί. γ' .... δ'. εἴρηται δὲ βι. θ' τοῦ κώδ. [τί. κβ'] διάτ. ιγ', τὸν ποιοῦντα ψευδῆ ἀποχὴν ὡς πλαστογράφον κατέχεσθαι.*

[ιη'.] *Εἴ τι νομίσει νοῆσαι*[b] *ὁ βασιλεὺς, ἔννομόν ἐστι*[c].

[ιθ'.] *Οἷον ἐνεμήθη ὁ πράτης καλῇ πίστει ἔτη ι' συνεζευγμένα ἀλλήλοις, ὁ χρόνος σιωπᾶται καὶ βοηθεῖται ὁ ἀγοραστὴς τῇ παραδρομῇ τοῦ χρόνου ἤγουν τῆς ι'ετίας ἢ κ'ετίας καὶ ἁπλῶς τῆς λ'ετίας.*

[κ'.] *Φω'.* (*Φωτίου*?) *Βασιλεύς ἐστιν ἔννομος ἐπιστασία, κοινὸν ἀγαθὸν πᾶσι τοῖς ὑπηκόοις, μήτε κατὰ ἀντιπάθειαν τιμωρῶν, μήτε κατὰ προπάθειαν ἀγαθοποιῶν, ἀλλ' ἀναλόγως τοῖς τῶν ἀρχομένων ἀρεταῖς ὥσπερ τὶς ἀγωνοθέτης τὰ βραβεῖα παρεχόμενος*[d].

[κα'.] *Ἄλλο φω'* (*φωτίου*)[e]. *Τέλος τῷ βασιλεῖ τὸ εὐεργετεῖν, διὸ καὶ εὐεργέτης λέγεται. καὶ ἡνίκα τῆς εὐεργεσίας ἐξατονήσῃ, δοκεῖ κινδυνεύειν κατὰ τοὺς παλαιοὺς τὸν βασιλικὸν χαρακτῆρα*[f].

---

[30] Haec unde sumta sint, nescio. Graeculum sapiunt ad Dig. I, 5, 1. 2 somniantem. Caeterum D hic subjicit *σχόλιον· οἷον ἐνεμήθη.* Cf. schol. 19.
[31] Dig. I, 4, 1. [32] Dig. I, 3, 11. 12. [33] Cod. I, 14, 1. [34] Dig. I, 4, 1.

a) Cod. I, 14, 6. b) Lege *ἢ ὁρίσει.* c) Cod. I, 14, 12. d) Epanag. II, 1. e) In D inscribitur: *σχόλιον,* et in textu post cap. 27 intercalatum est. f) Epanag. II, 3.

κθ΄. Ὁ βασιλεὺς ἐλεύθερός ἐστι τοῦ νόμου καὶ τῆς ἐκ τούτου ἀνάγκης. εἰ καὶ ὁ βασιλεὺς οὐχ ὑπόκειται νόμῳ, ἀλλ' οὖν κατὰ νόμους πολιτεύεται, εἰ καὶ τούτων ἐστὶν ἐλεύθερος. βι. α΄ τί. α΄[35] διγ. λα΄.

λ΄. Ἡ αὐγούστα ὑπόκειται. εἰ δὲ καὶ μή ἐστιν ἀπολελυμένη τοῦ νόμου, ὁ βασιλεὺς τὰ οἰκεῖα προνόμια αὐτῇ δίδωσιν[36].

λα΄. Περὶ τῶν νεωστὶ νομοθετημένων, ἔνθα νεαρὰ διάταξις τίθεται, χρὴ φανερὸν καὶ ὁμολογούμενον εἶναι οὕτως τὸ νενομοθετημένον, ὥστε ἀναχωρῆσαι ἡμᾶς ἀπὸ τοῦ παλαιοῦ νόμου, εἰ καὶ ὡς ἐπὶ πολὺ δίκαιον ἔδοξεν εἶναι. τί. δ΄ διγ. γ΄[37].

λβ΄. Τοὺς νόμους προφανεῖς εἶναι χρὴ καὶ παρὰ πάντων νοεῖσθαι, ἵνα καὶ τὰ ἐπιτετραμμένα ποιῶσι καὶ τὰ ἀπηγορευμένα παραιτῶνται. εἰ δέ τι εὑρεθῇ ἀσαφὲς ἐν νόμῳ, τοῦτο ὁ βασιλεὺς ἑρμηνευέτω καὶ τὴν τραχύτητα τοῦ νόμου εἰς πρᾳότητα μεταβαλλέτω[38].

λγ΄. Οἱ νόμοι καὶ αἱ διατάξεις τὰ μέλλοντα ῥυθμίζουσι πράγματα, οὐ μὴν εἰς τὰ παρελθόντα ἀνατρέχουσιν[39]. καὶ γὰρ αἱ μεταγενέστεραι διατάξεις ἰσχυρότεραι τῶν πρὸ αὐτῶν εἰσιν[40].

λδ΄. Μήπω κρατήσας νόμος, ἀλλ' ἐν τῇ συνηθείᾳ ὡς νέος ἀμφιβαλλόμενος, τῷ βασιλεῖ ὀφείλει ἀναφέρεσθαι καὶ τὴν τομὴν δέχεσθαι[41].

λε΄. Δεῖ τοὺς νόμους φιλαγάθως ἑρμηνεύειν[42]. ὅτι ὁ νόμος τῇ τῶν ἰδιωτῶν γνώμῃ ἰσχυρότερός ἐστιν. ὅθεν τὸ ἐκ τοῦ νόμου διδόμενον κέρδος ἰδιώτης παντάπασιν ἀφελέσθαι οὐ δύναται.

λϛ΄. Οὐ δεῖ μεταποιεῖν τὰ πρόδηλον ἑρμηνείαν ἔχοντα, ἀλλ' ὡς νοηθεῖσι καὶ τιμηθεῖσι τιμᾶν, ὥσπερ ἡ χρῆσις ἔδειξεν[43]. βι. λε΄ τί. β΄[44].

λζ΄. Ἐν ταῖς ἑρμηνείαις τῶν νόμων πρᾳότερον τὰ περὶ ποινῶν ἐννοεῖν[45].

λη΄. Ἐν πᾶσι τοῖς πράγμασιν ἐκεῖνό ἐστι τέλειον, ὅπερ

[κβ΄.] Βι. λε΄ τί. β΄ διγ. ιε΄. Αἱ[a] τῶν ἰδιωτῶν ἀσφάλειαι τοὺς νόμους οὐ καταβλάπτουσι· οἷον ὡς ἐπὶ τοῦ εἰπόντος, μὴ ἔχειν ἰσχὺν οἱ νόμοι ἐν τῇ διαθήκῃ αὐτοῦ, δοκεῖ λέγειν ἡ διάτ.

---

35 Imo tit. 3. 36 Dig. I, 3, 31. 37 Dig. I, 4, 2. 38 Cod. I, 14, 9. 39 Cod. I, 14, 7. 40 Dig. I, 4, 4. 41 Cod. I, 14, 11. Cf. Schol. Enantiophanis Basil. ed. Heimb. I p. 40. 42 Dig. I, 3, 18. 43 Dig. I, 3, 23. 27. Nonnulla hic epitomando ab auctore corrupta sunt. 44 Haec pertinent ad schol. 22. 45 Dig. XLVIII, 19, 42.

a) D haec intercalat in textu post cap. 37.

ἐξ ἁπάντων τῶν οἰκείων συνέστη μερῶν, καὶ τοῦ ἑκάστου πράγματος ἰσχυρότατον μέρος ἐστὶν ἡ ἀρχὴ αὐτοῦ[46].

λθ'. Τὸ ἐκ μέσου καὶ τὸ ἐκ περαιτέρω συγκείμενον οὐκ ἔστι τέλειον, ἐὰν μὴ ἐπακολουθῇ ἡ κεφαλὴ αὐτοῦ καὶ τὸ ἄλλον μέρος[47].

μ'. Σακερδώτας δεῖ καλεῖσθαι τοὺς τῶν νόμων ἐξηγητὰς τουτέστι θεραπευτάς. καὶ εἰ μὴ σφάλλομαι, φιλοσοφίαν ἀληθῆ καὶ οὐκ ἐσχηματισμένην ἐπιτηδεύουσι τοῖς ταύτην τὴν ὕλην ἀναπλάττουσιν ἢ τρακταΐζουσι[48]· καθὼς ἐν τῷ β' τί. τοῦ α' βι. τῶν διγ. εἴρηται, ὅτι οὐ δύνανται συνεστηκέναι οἱ νόμοι, εἰ μὴ ἦσαν οἱ τούτων ἐξηγηταὶ καὶ βελτίους αὐτοὺς ποιοῦντες.

μα'. Σακτίον ἐστὶ, τουτέστι ἅγιόν ἐστι, τὸ τελευταῖον μέρος τοῦ νόμου τὸ ἐκ παραβασίας ποινὴν ἐπάγον. βι. μη' τί. ιθ' διγ. μδ'[49]. σημ. Βα'[50]. Ὁ γὰρ μὴ κρίνων τὸ πρακτέον κατὰ τὸν δεδομένον ἐκ τοῦ νόμου κανόνα, ἀνομίαν ποιεῖ, καὶ οὐ δικαιοσύνης ἐστὶν ἐργάτης ἀλλὰ κραυγῆς.

ΤΙΤΛΟΣ β'.

Περὶ νόμου φυσικοῦ καὶ ἐθνικοῦ καὶ πολιτικοῦ[1].

α'. Ἅπας τῶν ἀνθρώπων βίος κατὰ ἀριστοτέλην φύσει καὶ νόμοις διοικεῖται. τούτων δὲ ἡ μὲν φύσις ἐστὶν ἄτακτον καὶ ἀνώμαλον καὶ κατ' ἄνδρα ἴδιον τοῦ ἔχοντος.

β'. Οἱ δὲ νόμοι κοινὸν καὶ τεταγμένον καὶ ταὐτὸν πᾶσι. εἰ μὲν οὖν φύσις ἂν ᾖ πονηρὰ, πολλάκις φαῦλα βούλεται· οἱ δὲ νόμοι τὸ καλὸν καὶ συμφέρον βούλονται. καὶ ἐπειδὰν εὑρεθῇ ἶσον καὶ ὅμοιον, τοῦτό ἐστι νόμος, ᾧ πάντας πείθεσθαι προσήκει.

γ'. Ὁ νόμος ἐκ τριῶν ἔχει τὴν σύστασιν, ἀπὸ φυσικοῦ, ἐθνικοῦ, καὶ πολιτικοῦ. ἀπὸ μὲν φυσικοῦ, ὅσον τὰ ἐναέρια καὶ τὰ ἐν τῇ γῇ διετύπωσε ζῶα· ἄῤῥενός τε καὶ θηλείας συν-

---

[κγ'.] Ἴδιον εἶναι τῶν νομοθετούντων τὸ μηδὲν ἴδιον λέγειν. ἡμεῖς δὲ νομοθέται οὐκ ἐσμὲν, ἀκολουθεῖν δὲ νομοθέταις πειρώμεθα.

---

[46] Dig. I, 2, 1. [47] Haec fortassis sumta sunt ex interpretatione Dig. I, 3, 24.
[48] Dig. I, 1, 1 §. 1. [49] Nobis Dig. 41. [50] i. e. *Βασιλείου*.
[1] F addit *τί. β' βιβλίου α'*.

άφεια. εἰπόντες οὖν περὶ τοῦ φυσικοῦ πρῶτον, ἔπειτα διαλεξώμεθα καὶ περὶ τοῦ ἐθνικοῦ καὶ πολιτικοῦ νόμου[2].

δ΄. Νόμος ἐστὶ μὴ μέχρι μόνων ἀνθρώπων ἀλλὰ καὶ κατὰ πάντων τῶν ἀλόγων ζώων πολιτευόμενος χερσαίων, ἐνύδρων καὶ ἀερίων. οὐχὶ γὰρ μόνον μέχρι ἀνθρώπων ἔστησεν ἡ φύσις τὰ ἑαυτῆς πρὸς συνάφειαν, ἀλλὰ διέταξε τὰ ἐναέρια, τὰ ἐν τῇ γῇ διετύπωσεν, οὐκ εἴασε δὲ οὐδὲ τὰ ἐν τῇ θαλάσσῃ τικτόμενα τῆς οἰκείας προμηθείας ἐκτός. παραδείγματα δὲ τοῦ φυσικοῦ νομίμου ἄῤῥενός τε καὶ θηλείας συνάφεια, ὅπερ ἡμεῖς γάμον προσαγορεύομεν[3].

ε΄. Τὸ φύσει χρεωστούμενον ἀπαιτεῖσθαι μὲν οὐ δύναται, καταβληθὲν δὲ οὐ ῥεπετιτεύεται, ὡς βι. λε΄ τί. β΄ διγ. α΄[4]. ὡς ἐπὶ τοῦ καταβαλόντος τῷ ἀφήλικι τὸ ἴδιον χρέος· φύσει γὰρ κατέβαλεν, οὐχὶ καὶ νόμῳ.

[α΄.] Βι. β΄ τί. α΄ κεφ. ιδ΄[a]. Τὸ παρὰ τὸ μακεδόνειον δανεισθὲν, ἐὰν καταβληθῇ, οὐ ῥεπετιτεύεται.

[β΄.] Εἰ καὶ νόμος[b] ἀσθενεῖ, χρέος δὲ τῇ φύσει συνέστηκε, καταβληθὲν οὐ ῥεπετιτεύεται, ὡς βι. β΄ τί. β΄ διγ. ιγ΄[c].

[γ΄.] Τὸ φύσει μόνον χρεωστούμενον, εἰ καὶ ἀπαιτηθῆναι οὐ δύναται, ὅμως καταβληθὲν οὐ ῥεπετιτεύεται, ὡς βι. λε΄ τί. β΄ διγ. ζ΄[d].

[δ΄.] Δεσπότης παρὰ ἰδίου οἰκέτου χρεωστούμενος καὶ ψιλῇ γνώμῃ δύναται τοῦ φυσικοῦ χρέους ἀπαλλάξαι τὸν οἰκέτην. βι. λγ΄ [τί. η΄] διγ. ς΄[e].

[ε΄.] Φυσικῶς οἱ δοῦλοι προσπορίζουσι τὴν ἐνοχὴν, ὡς βι. μη΄ τί. ι΄ διγ. να΄[f].

[ς΄.] Εἶδός ἐστι προσπορισμοῦ καὶ τὸ ἀπαλλάξαι δεσπότην τῆς ἐνοχῆς.

[ζ΄.] Οἰκέτης δανεισάμενος φυσικῇ ἐνοχῇ ὑπόκειται. ὁ δοῦλος ὢν καὶ ἐλεύθερος ὡς βι. μς΄ τί. γ΄ διγ. μη΄[g]. ὁμοίως καὶ ἡ ἀπαιτητικὴ ἀγωγή.

[η΄.] Ὁ πούπιλος ἐπερωτώμενος ἐνέχεται. τί. β΄[h] διγ. α΄.

[θ΄.] Πρὸς μὲν τὸν πολιτικὸν νόμον οὐδέν εἰσιν οἱ δοῦλοι, πρὸς δὲ τὸν φυσικὸν πάντες οἱ ἄνθρωποι ἴσοι εἰσὶν, ὡς βι. ν΄ τί. ιζ΄ διγ. λα΄[i].

[ι΄.] Οἱ δοῦλοι κατὰ μὲν νόμον οὐδὲ εἶναι νομίζονται, τῇ δὲ φύσει ἴσοι εἰσὶ τοῖς ἄλλοις ἀνθρώποις. ὡς βι. ν΄ τί. ιζ΄ διγ. πβ΄[k].

[ια΄.] Τὰ φυσικὰ ἥττωται τοῖς νόμοις, κἂν λογισμὸν ἔχει φυσικόν. διγ. λε΄[l].

---

[2] Inst. I, 1 in fine. [3] Theoph. I, 2 pr. [4] sc. §. 17.

a) Non invenio. Cf. Dig. XII, 6, 26 §. 9. 40 pr. XIV, 6, 7 §. 16. 9 §. 4.
b) Legerim νόμῳ. c) Imo dig. 3 §. 7. d) Imo dig. 1 §. 17. e) §. 1.
f) Non invenio. g) Etiam hunc locum eruere non potui. h) scil. lib. XLVI Dig. i) Nobis Dig. 32. k) Imo Dig. 32. l) Non invenio.

ϛʹ. Τὰ ἐξ ἀνάγκης νόμου καταβληθῆναι μὴ ὀφειλόμενα, ἀλλὰ προαιρέσεως ἕνεκα καταβαλλόμενα, οὐκ ἀναλαμβάνονται.

ζʹ. Ἃ μὲν ἐπερωτήθη ὁ ἀνὴρ κατὰ χάριν τῇ γυναικὶ τῇ ἰδίᾳ δαπανήματα, οὐκ ἀπαιτεῖται. ἐὰν δὲ καταβάλλῃ τὶ ἐξ αὐτῶν, οὐκ ἔχει ἀνάληψιν.

ηʹ. Τὸ αὐτὸ καὶ ἐπὶ χειρογραφήσαντος τόκους τῷ γαμβρῷ αὐτοῦ ὑπὲρ τῶν δαπανημάτων, ὡς εἴρηται βι. μδʹ τί. δʹ διγ. ιζʹ[5]· ἄγροικος πατὴρ προῖκα ὑπὲρ θυγατρὸς ἐπιδοὺς συνεφώνησεν αὐτὸν τρέφειν τὴν γυναῖκα καὶ τοὺς αὐτῆς, καὶ μετὰ χρόνον τινὰ ὡς τόκους χρεωστῶν ἐχειρογράφησε τῷ γαμβρῷ αὐτοῦ· οὐκ ἀπαιτεῖται αὐτούς.

θʹ. Φύσει χρεωστεῖ τῷ πάτρωνι τὰς ὀφφικιαλίας ὀπέρας ὁ ἀπελεύθερος[6], τουτέστι δουλείας καὶ καμάτους, ἀλλὰ καὶ τὸ ἐκ τοῦ νόμου διδόμενον τετραούγγιον ὅπερ χρεωστεῖ ἐλευθερικὴν ὑπηρεσίαν οὐχὶ δὲ δουλικὴν, ὡς βι. λεʹ τί. ϛʹ διγ. ιʹ[7].

ιʹ. Φύσει δίκαιόν ἐστι μηδένα ἐκ τῆς ἑτέρου ζημίας γίνεσθαι πλουσιώτερον[8]· ὡς ἐπὶ τῶν δωρεῶν ἐν γάμοις γινομένων ἐξ ἑνὸς τῶν συνοικούντων πρὸς τὸν ἕτερον, ἢ τοῦ βίᾳ ἁρπάζοντος τὰ ἀλλότρια, ἢ τὸν χρεωστοῦντα καὶ μὴ καταβάλλοντα[9] πρὸς τὸν ἐν καιρῷ τοῦ δάνους ἀναγκαίως αὐτῷ[10] ὀφθέντα· ἐπειδὴ ὁ ἀληθῶς χρεωστῶν, ἀπειρίᾳ δὲ ἢ ἀδικίᾳ τοῦ δικαστοῦ ἀπολυόμενος, μένει τῇ φύσει χρεωστῶν, κατὰ τὸν κανόνα τὸν λέγοντα· ὅτι ὁ ἐξ ἀδικίας τοῦ δικαστοῦ δεσπότης ἀποφανθεὶς οὐκ ἔχει τὴν ἰν ῥὲμ εἰς ἐκδίκησιν αὐτοῦ, ἀλλὰ μόνον εἰς[11] παρακατάσχεσιν.

ιαʹ. Τὸ φύσει[12] καταβληθὲν ἀπαιτεῖσθαι οὐ δύναται. ὡς ἐπὶ τοῦ δούλου τοῦ δανεισαμένου καὶ τὸ δεσποτικὸν πάκτον καταβαλόντος, οὐκ ἐνάγεται ὁ δεσπότης τὴν ἰν ῥὲμ βέρσον. φυσικῶς γὰρ ὁ δεσπότης τὸ χρέος ἀπέλαβεν. κἂν ἡ φυσικὴ ἐνοχὴ κανονίζεται οὐκ ἐκ τοῦ ἁρμόσαι αὐτῷ ἀγωγὴν, ἀλλ' ἐκ τοῦ καταβαλόντος μὴ ἔχειν τὴν ἀπαίτησιν.

[ιβʹ.] Ὅσα ἡ φύσις οὐκ ἐᾷ καταβάλλεσθαι, ταῦτα οὐκ ἔχει ἀπαίτησιν ...... διατ. ρπηʹ [a].

---

[5] sc. pr. [6] Dig. XII, 6, 26 §. 12. [7] Non invenio. Locus non sanus. [8] Dig. XII, 6, 14. L, 17, 206. [9] Malim *τοῦ χρεωστοῦντος κ. μ. καταβάλλοντος*. [10] Legendum videtur — exemplo Theoph. I, 2 pr. —: *ἐν καιρῷ ἀνάγκης χρήσιμον αὐτῷ*. [11] Abundare videtur. — Cf. tit. 14 c. 54. [12] Adde *χρεωστούμενον*.

a) Dig. L, 17, 188.

ιβ'. Τὰ ἀδύνατα δοθῆναι καὶ ἐν φύσει μὴ ὄντα ἀντὶ μηδὲ προκειμένων εἰσίν[13]. οἷον ἐνεστησάμην τινὰ ὑπὸ ἀδύνατον αἵρεσιν εἰπών· ἔστω μοι ὁ δεῖνα κληρονόμος, ἐὰν πίῃ τὴν θάλασσαν. οὐδὲ πάλιν τὸ ἠρτημένον οὐκ ἐστὶν ἀντὶ τοῦ ὄντος. ὡς βι. λ'[14] τί. α' διγ. α'.

ιγ'. Τὸ γνώμης ἑτέρου ἠρτημένον λεγάτον αἱρετικόν ἐστι, τὸ δὲ δοκιμασίας ἐπιτρόπου ἢ ἐξωτικοῦ ποῦρον τουτέστι καθαρόν[15].

ιδ'. Ὁ λαβὼν πρᾶγμα ἐπὶ τῷ δοῦναι ἄλλο ἀντ' αὐτοῦ φυσικῶς γίνεται ἔνοχος, ὡς βι. ιθ' τί. ε'[16]. καὶ πάλιν· τὸ κελεύσει τινὸς ἑτέρῳ καταβαλλόμενον τῷ κελεύσαντι δοκεῖ καταβάλλεσθαι, ὡς βι. ν' τί. ιζ' διγ. πς'[17].

ιε'. Τὸ φύσει δίκαιον καὶ χωρὶς νόμου τινὸς ἐξαρκεῖ πρὸς πίστιν τῆς ἀληθείας, ὅτι πάνυ μωρόν ἐστι περὶ τῶν προδήλων ἀμφιβάλλειν, ὡς βι. κη' τί. α' διγ. [κζ']. Περιγράφει γὰρ ὁ ποιῶν ὅπερ ῥητῶς μὲν ὁ νόμος οὐκ ἐκώλυσεν, οὐ μὴν δὲ αὐτὸ βούλεται γίνεσθαι· καὶ ἁπλῶς εἰπεῖν, ὅσον διέστηκε ῥητὸν ἀπὸ διανοίας, τοσοῦτον διέστηκεν ἐναντιώσεως νόμου περιγραφή. ὡς βι. α' τί. γ' διγ. κε'[18]. Ὁ φυσικὸς λόγος ἑκάστῳ ἐπιτρέπει κινδυνεύοντι εἰς σωτηρίαν βοηθεῖν ἑαυτῷ, καὶ διὰ τοῦτο ὁ ἀνελὼν τὸν ἐπιόντα μετὰ ξίφους οὐκ ἐνάγεται ὡς φονεύς· ὡς βι. θ' τί. β' διγ. δ'. διότι φυσικῶς ἡ βία τὴν βίαν ἀπωθεῖται. καὶ τὰ δύο τῇ φύσει συγκρίνεται. ὅσα ποιεῖ τις ἐπὶ παραφυλακῇ τοῦ ἰδίου σώματος, νομίμως ποεῖ. βι. α' τί. α' διγ. γ'.

[ιγ'.] Ἡ φυσικὴ ἐνοχὴ δέχεται ἐγγύας, καὶ ὁ ἐγγυώμενος τῇ φυσικῇ ἐνοχῇ καλῶς ἐνάγεται, καὶ ὅτι φυσικῆς ἐνοχῆς γνωρίσματα καταβληθέντα μὴ ῥεπετιτεύεσθαι. ὡς βι. με' τί. γ' διγ. γ'[a]. Αἱ δὲ ἀδύνατοι ἐπερωτήσεις εἰσὶν ἀνυπόστατοι.

[ιδ'.] Ὁ διδοὺς ἐπὶ τὸ ἀναλαβεῖν οὐκ ἐκπίπτει τῆς δεσποτείας αὐτοῦ. βι. μς' τί. γ' διγ. νε'.

[ιε'.] Ἔξεστι τῶν ὑπὲρ ἡμῶν συμφώνων καταφρονεῖν. βι. ιη' τί. γ' διγ. β'.

[ις'.] Ἀθέμιτον ἄνθρωπον ἀνθρώπῳ ἐπιβουλεύειν, ἐπειδὴ φύσει συγγενεῖς ἀλλήλων ἐσμέν.

[ιζ'.] Καὶ ὁ νήπιος χωρὶς ἐπιτρόπου ἐπερωτώμενος οὔτε φύσει οὔτε νόμῳ ἄγεται.

[ιη'.] Ὁ νήπιος ἐπιορκεῖν οὐ πιστεύεται. ὁ νήπιος ὅρκον οὐ συγχωρεῖ. ὡς .... τί. β'[b] καὶ τί. ς' διγ. ..

---

[13] Dig. L, 17, 135. [14] Forte λα'. [15] Dig. XXXI, 1. [16] sc. dig. 25. [17] Imo Dig. 180. [18] Nobis Dig. 30.

a) Imo Dig. XLVI, 1, 6. 7. b) Dig. XII, 2, 26. 32. 3, 4.

ιϛ'. Ὁ νεμόμενος τὸν ἴδιον υἱὸν φυσικὸν δοῦλον ὄντα οὐ παρὰ τοῦτο πλούσιος νομίζεται εἶναι. ἐπειδὴ εἰ ἄλλος ἐνέμετο, πολλοῦ ἠγόρασεν αὐτόν.

ιζ'. Βι. μη' τί. κ' διγ. λζ'[19]. Φυσικός τις λόγος ὥσπερ τὶς νόμος σιωπηρὸς προσεκύρωσε τοῖς παισὶ τὰς τῶν πατέρων περιουσίας ὡς κεχρεωστημένων αὐτοῖς διαδοχήν. ἐπὶ τῶν ἀδιαιρέτων ἐξ ἀδιαθέτου ἐπίσης οἱ κληρονόμοι λαμβάνουσιν[20].

ιη'. Γυνὴ δωρεὰν λαβοῦσα παρὰ τοῦ ἀνδρὸς φυσικῶς νέμεται τὸ δωρηθέν. τὰ γὰρ ἐν φάκτῳ ὁ πολιτικὸς νόμος οὐκ ἀναιρεῖ· ὅτε δὲ θέλει ὁ ἀνήρ, λύει τὴν νομήν[21].

ιθ'. Καὶ ὑπεξούσιος παρὰ τὸ μακεδόνιον δόγμα δανεισάμενος φυσικῶς νέμεται τὸ δανεισθέν.

κ'. Καὶ οἱ τῶν χρεῶν τόκοι οὔτε φύσει οὔτε νόμῳ καταβάλλονται, ἀλλ' εἰς τὸ χρέος λογισθήσονται κατὰ τὴν τοῦ φιλοχρίστου βασιλέως διάταξιν[22].

κα'. Περὶ ἐθνικοῦ νόμου. Ἐθνικὸς δὲ νόμος ἐστὶν ὁ παρὰ μόνοις ἀνθρώποις κρατῶν, οὐκέτι δὲ καὶ κατὰ ἀλόγων ἐπεκτεινόμενος ζώων. δεῖγμα δὲ τοῦ ἐθνικοῦ νόμου ἡ περὶ τὸ θεῖον λατρεία, καὶ ἡ περὶ τοὺς γονεῖς τε καὶ τὴν πατρίδα πειθῶ, ἀλλὰ καὶ ἡ τοῦ νόμου ὑπεξέλευσις, οἷον τὸ τοὺς φονεῖς ἀποτέμνεσθαι (δεῖ γὰρ αὐτὸν δι' ὧν ἠδίκησε τιμωρεῖσθαι), τὸ τὸν μοιχὸν κολάζεσθαι, τὸ τὸν κλέπτην εἰς χρήματα τιμωρεῖσθαι (ἐπειδὴ γὰρ ἔβλαψεν ἡμᾶς περὶ χρημάτων), τὸ τὸν χρεώστην εὐγνώμονα γίνεσθαι πρὸς τὸν ἐν καιρῷ ἀνάγκης χρήσιμον ὀφθέντα, τὸ τὸν οἰκέτην ὑποτετάχθαι ταῖς εὐλόγοις προστάξεσι τῶν δεσποτῶν, τὸ γίνεσθαι συναλλάγματα, πράσεις, ἀγορασίας, μισθώσεις, ἐκμισθώσεις, παρακαταθήκας, κοινωνίας, δάνεια, τὸ γίνεσθαι δωρεὰς καὶ διαθήκας γράφεσθαι[23].

κβ'. Περὶ πολιτικοῦ νόμου. Πολιτικὸν δέ ἐστι, ὅπερ καὶ τοπικὸν καὶ χρειῶδες προσαγορεύεται, τὸ ἐν συνηθείᾳ τῇ πόλει γινόμενον καὶ τόπου χρείαν ἀποπληροῦν. οἷον ἐν τῇ λακεδαιμονίᾳ λυκούργου τοῦ νομοθετήσαντος ξενηλασίαν, ἵνα μὴ διὰ τῆς τῶν ξένων ἐπιμιξίας διαφθείροιτο καὶ χεῖρον γένοιτο τὸ τῶν λακεδαιμονίων ἦθος. ὁ τοιοῦτος νόμος τιμάσθω[24] μὲν παρὰ τοῖς λακεδαιμονίοις, ἀθηναῖοι δὲ τοῦτον καταφρονοῦσι, τοσοῦτον τῆς ξενηλασίας ἀφεστῶτες, ὅτι καὶ βωμὸς ἐλέου τιμᾶται παρ' αὐτοῖς· οὕτως ἑτοίμως τοὺς εἰς αὐτὴν φοιτῶντας

---

[19] Lege ζ'. [20] Dig. L, 17, 192 pr. [21] Dig. XLI, 2, 1 §. 4. [22] Nov. Basilii. Cf. Prochir. XVI, 14. [23] Theoph. I, 2 pr. [24] An ἐτιμᾶτο?

ἀποδεχόμενοι, ὅτι πολλάκις καὶ διὰ φιλανθρωπίας ὑπερβολὴν καὶ πολεμεῖν ὑπὲρ αὐτῶν οὐκ ὤκνησαν[25].

κγ΄. Τέμνεται δὲ ὁ νόμος εἰς δύο, εἰς ἔγγραφον καὶ ἄγραφον. ἄγραφος δέ ἐστιν ὅπερ ἡ χρονία συνήθεια συνέσει τῶν χρωμένων[26] ἐβεβαίωσεν καὶ εἰς μίμησιν ἀνήγαγε τοῦ ἐγγράφου νόμου. ὥστε λακεδαιμόνιοι μὲν μνήμῃ τοὺς οἰκείους νόμους διαφυλάττειν ἐσπούδασαν, ἀθηναῖοι δὲ ἐκείνους τιμᾶν, ὅσους ἐν γράμμασιν ἴσασιν ὄντας καὶ τούτους φυλάττειν. ὡς βι. α΄ .... διγ. β΄[27].

κδ΄. Ὁ μήπω κρατήσας νόμος, ἀλλ᾿ ἐν τῇ συνηθείᾳ ὡς νέος ἀμφιβαλλόμενος τῷ βασιλεῖ ὀφείλει ἀναφέρεσθαι καὶ τὴν τομὴν δέχεσθαι[28].

κε΄. Ἐν πάσῃ τῇ νομικῇ τὰ γενικὰ τῶν ἰδικῶν[29] ἐπικρατέστερά εἰσιν[30]· ἔν τισι δὲ καὶ ἶσα. ἐπειδὴ πᾶσα διάταξις ἐπὶ συγκλήτου ἐκφωνηθεῖσα γενικὸς νόμος νοεῖται· ὁ δὲ ἐπὶ πόλιν ἐκφωνηθεὶς ἢ πρὸς ἐπαρχίαν ἢ πρὸς σωματεῖον ἰδικὸς νόμος χρηματίζει. ὡς βι. α΄ τοῦ κώδ.[31]

κϛ΄. Τὰ ἰδικὰ διὰ τῶν γενικῶν τέμνονται[32]· ὡς ἐπὶ τῶν λεγάτων, ὅτι πεκούλιον λεγατεύων τὶς καλῶς ἐλευθεροῖ τὸν βικάριον[33]. τὰ γὰρ ἰδικὰ ὑφεξαιροῦνται τῶν γενικῶν. ὡς βι. μ΄ τί. γ΄[34] διγ. ι΄.

κζ΄. Εἰ καὶ ῥητοῦ τινος φάκτου ἢ καὶ προσώπου μέμνηται ἡ διάταξις, ἔχει δὲ ἔν τινι[35] αὐτῆς γενικὰ ῥήματα, κατὰ παντὸς προσώπου καὶ φάκτου τὴν δύναμιν ἔχει[36].

[κη΄.] Περὶ ὧν οὐ κεῖται ἔγγραφος νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος τοῦ τόπου. ὡς βι. α΄ τί. ...[37]. εἰ ἐπὶ πολὺν ἐκράτησε χρόνον ἡ συνήθεια ἢ δικαστικὴ ψῆφος ταῦτα ἐκύρωσεν. ὅτι ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ, ἐν οἷς οὐκ ἐστὶν ἔγγραφος νόμος. ἀλλ᾿ οὐδὲ κοινὸν[38] εἰσάγει νόμον ἡ συνήθεια, κἂν μεγίστη καὶ σαφὴς ἑρμηνεία νόμων ἡ χρῆσις[39]. ἡ δὲ δευ-

---

[κθ΄.] Ὅτι πᾶς πραγματικὸς τύπος γενικὸς νόμος ἐστίν. ὁ δὲ πρὸς ἰδικήν τινα χρείαν ἰδικὸς νόμος καλεῖται. βι. β΄[a] τί. ιδ΄ διατ. γ΄ τοῦ κώδ.

---

[25] Theoph. I, 2 pr. [26] A τὸν χρόνον. [27] Videtur indicari Dig. I, 1, 6 §. 1. Theoph. I, 2, 9. 10. [28] Cod. I, 14, 11. Cf. Schol. Enantiophanis Bas. ed. Heimb. I p. 40. [29] Imo τῶν γενικῶν τὰ ἰδικά. [30] Dig. L, 17, 80. [31] sc. tit. 14 c. 3. [32] Legerim οὐ τέμν. Dig. L, 17, 147. [33] A in marg.: ὁ τοῦ δούλου δοῦλος. [34] Imo tit. 4. [35] sc. μέρει. [36] Cod. I, 14, 12. [37] Dig. I, 3, 32. [38] An καινόν? Sed hallucinatur epitomator. [39] Dig. I, 3, 32–37.
a) Lege α΄.

τέρα διάτ. τοῦ νβ' τί. τοῦ η' βι. τοῦ κώδικος λέγει πάντα τὰ ἔθη τῶν πόλεων φυλάττεσθαι κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. ὥστε οὖν οὐ χρὴ δέχεσθαι πᾶν ἔθος, ἀλλὰ μόνον τὸ νόμιμον[40]. πολλάκις συνήθεια καὶ παρὰ τὸν νόμον κρατεῖ· ἔξεστι τῷ βουλομένῳ μάχεσθαι τὴν τοιαύτην συνήθειαν καὶ ἐκβάλλειν αὐτήν. βι. μζ' τί. μζ' διγ. ιγ'[41].

[κθ'.] Ὅτι χρὴ μετὰ πολλῆς ἀκριβείας καὶ σκέψεως ἐρευνᾶν τὰς κατηγορίας. φασὶ γὰρ καὶ οἱ τῶν ἔξω σοφοί· ἡ μὲν ἀμφισβήτησις κρίσει ἀναρτάσθω, ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω, ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω, ὁ δὲ ὅρος γεγράφθω, τὰ δὲ γεγραμμένα κυρούσθω, τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις. οἱ μὲν γὰρ τῶν ἀνθρώπων διὰ βραδύτητα καλῶς τοῦ δικαίου οὐκ ἐφίκνυνται, οἱ δὲ δι' ὀξύτητα μὲν ἐφίκνυνται, διὰ δὲ ἐμπαθείαν καπηλεύουσι καὶ τὸν τῆς δικαιοσύνης παρασαλεύουσι ζυγόν. εἰσὶ δὲ οἳ καὶ αἰδοῖ καὶ κολακείᾳ καὶ φόβῳ καὶ φιλίᾳ καὶ ἔχθρᾳ ἢ δυναστείᾳ δυσωπούμενοι τὸ κρίμα κατευθύνειν οὐ δύνανται.

ΤΙΤΛΟΣ γ'[1].

Περὶ νόμου ἀγνοίας καὶ περὶ ἀμφιβαλλομένων καὶ περὶ αἱρέσεων.

α'. Ἡ τοῦ νόμου ἄγνοια οὐ συγγινώσκεται, ἡ δὲ τοῦ φάκτου ἄγνοια συγγινώσκεται. γυνὴ ἐπικερδῆ νόμον[2] ἀγνοήσασα συγγινώσκεται[3], πολιτικὸν[4] δὲ νόμον ἀγνοήσασα οὐ[5] συγγινώσκεται[6].

β'. Ὅτε[7] ἀγνοεῖ τις δίκαιον εὐγενείας[8], περὶ νόμου πλα-

[α'.] Πᾶ.[a] ὡς ἐπὶ τῶν διακατοχῶν. ὅμως[b] οἱ ἀτελεῖς τῆς ἡλικίας καὶ ἐπὶ τούτῳ βοηθοῦνται.

[β'.] Διάτ. ιγ'[c]. Ταῖς γυναιξὶν οὐκ ἀεὶ βοηθοῦμεν, ἀλλ' ὁπηνίκα ζημιωθῶσι νόμον ἀγνοήσασαι.

[γ'.] Δανειζομένοις[d] στρατιώταις συγγνώμη δίδοται δι' ἁπλότητα. ζήτει βι. γ' τί. α' διατ. θ' τοῦ κώδ.[e]

---

[40] F ἔννομον. [41] Videtur significari Dig. XLVII, 10, 13 §. 7 in f.

[1] F addit βι. κε'. [2] F ἐπὶ κέρδει φάκτον. [3] Z οὐ συγγιν. [4] Forte ἐγκληματικόν. [5] Negatio in Z deest. [6] Dig. XXII, 6, 9 pr. [7] Z hanc §. non habet. [8] Legerim συγγενείας. In F hoc verbum deest.

a) An παραγραφή, scil. ad verba laudata §. 2 obvia? An διάτ. ια', scil. Cod. I, 18? b) Α ὁμοίως. c) sc. Cod. I, 18. d) An δικαζομένοις? e) Non invenio. Forte c. 17 indicatur.

νᾶται, ὡς ἐπὶ τῶν[9] διακατοχῶν, καὶ οὐ συγγινώσκεται. εἰ δέ τις ἐκτεθῇ[10] δουλεύων καὶ ἀγνοεῖ τοὺς γονεῖς αὐτοῦ, περὶ φάκτου πλανᾶται καὶ συγγινώσκεται[11].

γ΄. Στρατιώτης νόμους ἀγνοῶν συγγινώσκεται, κἂν καταδικασθῇ, εἰ[12] μὴ ἄρα ἀπὸ καταδίκης κατέβαλεν[13].

δ΄. Ἡ τῶν ἀλλοτρίων φάκτων ἄγνοια φορητή ἐστι καὶ συγγινώσκεται. καὶ ὁ περὶ φάκτου πεπλανημένος πρὸ ἀποφάσεως βοηθεῖται, μετὰ δὲ ἀπόφασιν οὐκέτι δύναται τὴν τοῦ φάκτου ἄγνοιαν προβάλλεσθαι. φάκτου ἄγνοια ἐστὶν κατ᾽[14] αὐτὰ τὰ πραττόμενα πράγματα. εἴρηται δὲ γενικῶς, ὅτι ὁ κατὰ ἄγνοιαν φάκτου καὶ οὐ κατὰ ἄγνοιαν νόμου καταβαλὼν ῥεπετιτεύει. ὡς βι. α΄ τί. ιη΄ διατ. ζ΄.

ε΄. Οὐ βλάπτεταί τις κατὰ πλάνην ὑπογράφων[15] ᾧ οὐκ ᾔδει συναλλάγματι, δηλονότι ὑπὲρ ἑαυτοῦ. οὐδὲ γὰρ ἡ κατὰ πλάνην γενομένη ὑπογραφὴ συγχωρεῖ ἐῤῥῶσθαι τὸ γινόμενον. ὡς βι. δ΄ τί. κβ΄[16], τί. δ΄ διατ. κα΄[17].

[δ΄.] Διάτ. ζ΄[a]. Ἡ τοῦ φάκτου ἄγνοια μὴ πληρωθέντος τοῦ πράγματος οὐδὲν βλάπτει· εἰ γὰρ μετὰ[b] ψῆφον ἠγνόησεν, οὐ συγγινώσκεται. εἶναι ἰνδέβιτα τουτέστιν ἀχρεώστητα[c]. εἴρηται βι. η΄ τί. λε΄ διατ. δ΄ τοῦ κώδ. ἔνθα φησὶν, ὅτι ἔῤῥωται ἡ φωνὴ τῶν δικαζομένων μέχρι τῆς καταδίκης.

[ε΄.] Εἴρηται βι. α΄ τί. ιη΄ διατ. δ΄ τοῦ κώδ. οὐ προκριματίζεται ὁ κληρονόμος, ἐξ ὧν διεῖλεν ἀπὸ τῆς πλαστῆς διαθήκης, ἐὰν δείξει, ὅτι οὐδόλως ἐγένετο ἡ διαθήκη, ἢ ἐγένετο μὲν, ἄχρηστος δέ ἐστι. τί γάρ; [ὅτι] τὸ πατρῷον ὡς μητρῷον ἐχρήσατο, ἢ τὸ πλαστὸν ὡς μὴ ὂν πλαστὸν διελύσατο; ὡς βι. β΄ τί. δ΄ διατ. κα΄.

[ϛ΄.] Σημ. τὴν διαφορὰν τοῦ ὑπογράφοντος [ὑπὲρ ἑαυτοῦ πρὸς τὸν ὑπογράφοντα] ὑπὲρ ἄλλου, ὅτι ὁ μὲν ὑπὲρ αὑτοῦ ὑπογράφων, ἐὰν ἐπίσταται τὸ πραττόμενον, κατέχεται· ὁ δὲ ὑπὲρ ἄλλου ὑπογράφων, κἂν[d] οἶδε τὸ γινόμενον, οὐ κατέχεται. ἀεὶ δὲ ὀφείλει γνῶναι. σημ. βι. δ΄ τί. να΄[e] διατ. β΄ τοῦ κώδ. ὁ ὑπογράφων κατὰ πλάνην εἰς τὸ ὠνεακὸν[f] τοῦ οἰκείου πράγματος πωλουμένου παρὰ ἄλλου οὐ προκριματίζεται[g].

[ζ΄.] Εἴρηται βι. α΄ τί. ιη΄ διατ. β΄ τοῦ κώδ. Κἂν ὁ μείζων τῶν κε΄ ἐνιαυτῶν ἀποτάξηται τῇ μητρῴᾳ αὐτοῦ κληρονομίᾳ[h], ἐὰν

---

[9] In A deest. [10] Sic F. A οὐκ ἐκτεθεῖ. [11] Dig. XXII, 6, 1 §. 2. [12] In A deest; FZ habent. [13] Cod. I, 18, 1. [14] A καί. [15] A ἐφ᾽. FZ ὑφ᾽ ὧν. [16] Cod. IV, 22, 5. Basil. ed. Heimb. II p. 509. [17] Haec verba τί. δ΄ διατ. α΄ pertinent ad §. 6, et relegant nos ad Cod. IV, 4, 21.

a) Cod. I, 18. b) A κατά. c) A ἃ χρεωστεῖται. Videntur autem haec ab hoc loco aliena esse. d) A καί. e) A κα΄. f) A ἀνῆκον. g) Cf. Schol. ad Basil. XXII, 1, 85 ed. Heimb. II p. 509. h) A τὴν μητρῴαν αὐ. κληρονομίαν. Post haec nonnulla exciderunt. Cf. Basil. ed Heimb. I p. 84.

ϛ'. Ὅτι τὰ προσποιητὰ ἔγγραφα οὐκ ἀναιροῦσι τὴν ἀλήθειαν, ὡς οὐδὲ ὑπόνοια ἀδικεῖ τὴν ἀλήθειαν[18]. οὐδὲ νομίμως τὶς ἀγοράζει τὸ ἴδιον, κἂν ὡς ἀλλότριον αὐτὸ ἔλαβεν[19]. καὶ πάλιν· ὁ νόμον ἀγνοῶν, εἰ καὶ πεπλάνηται, συνομολογεῖν δοκεῖ[20]. καὶ ὁ δυνάμενος μαθεῖν φάκτον, καὶ ἀγνοῶν αὐτὸ, οὐ συγγινώσκεται. ἀλλὰ καὶ ἡ ἐκλελυμένη καὶ ἄγαν ῥᾳθυμία οὐ συγγινώσκεται[21].

ζ'. Ὁ δι' ἀπειρίαν ἢ ἀγροικότητα τοῦ βίᾳ[22] θανόντος πρὸ τῆς ἐκδικήσεως ἀνοίξας τὴν διαθήκην[23] συγγινώσκεται[24].

η'. Εἰ δὲ καὶ ὀφείλων εἰδέναι τὶ ἢ δι' αὑτοῦ [ἢ] παρ' ἑτέρου[25] συνετωτέρου αὐτοῦ μαθεῖν, εἰ καὶ ἀγνοεῖ, ἀντὶ εἰδότος παραλαμβάνεται[26].

θ'. Ὁ διὰ ἡλικίαν ἢ φύσιν ἢ ἀγροικότητα ἢ ἄλλην αἰτίαν

δηλονότι καταδέξηται αὐτὴν ἐντὸς γ' ἐτῶν μήπω πραθέντων τῶν ἐν αὐτῇ πραγμάτων, κατὰ [τὴν ϛ'] διάτ. τοῦ λα' τί. τοῦ ϛ' βι. τοῦ κώδ. τὰ δὲ λεχθέντα ἐπὶ ἐξωτικοῦ[a], ὁ γὰρ ἐξωτικὸς μείζων ὢν εἰ παραιτήσηται καὶ κληρονομήσῃ[b]· οὐκέτι γὰρ[c] αὐτὴν ἀπαιτεῖ. τὸν δὲ υἱὸν εἴσω γ' ἐτῶν καταδέξασθαι ἣν παρῃτήσατο κληρονομίαν.

[η'.] Ὡς βι. β' τί. δ' διάτ. λη'. Ὅτι διάλυ[σις οὐ προβαίνει μὴ δοθέντος τινὸς ἢ ὑποσχεθέντος ἢ παρακρατηθέντος][d].

[θ'.] Ὅθεν ἡ μετ' ὀλίγον ὑποστρέψασα πρὸς ἄνδρα οὐ δοκεῖ διαζευχθῆναι. ὡς βι. ν' τί. ιζ' διγ. μη'.

[ι'.] Οὐδὲ βασιλεὺς δύναται βοηθεῖν τῷ μείζονι τῶν κε' ἐτῶν νόμον ἀγνοοῦντι. ὡς βι. α' τί. ιη' διατ. β'.

[ια'.] Ὁ κατὰ ἄγνοιαν φάκτου νεμηθεὶς κληρονόμος, εἴ τινας ἀγωγὰς διὰ τῆς κομφουσίωνος ἀπώλεσε, τουτέστι διὰ τῆς συγχύσεως, ἀνακτᾶται αὐτάς. ὡς βι. λδ' τί. γ' διγ. ιζ'[e].

[ιβ'.] Ἐκ τῶν κατὰ πλάνην γινομένων οὐ προκριματίζεται ἡ τοῦ πράγματος ἀλήθεια, ὡς βι. μη' τί. ιγ' διγ. α'.

[ιγ'.] Σημ. ὡς δὲ ἐψευσμένη ἀπογραφή[f].

[ιδ'.] Οὐ δυνάμεθα τὸ ἡμέτερον δίχα φάκτου ἀλλότριον ποιεῖν. ὡς βι. ν' τί. ιζ' διγ. α'[g].

[ιε'.] Καὶ οἷς τρόποις κτώμεθά τι τοῖς αὐτοῖς καὶ ἀποκτώμεθα[h]. σημ. δεσπότης διδοὺς δεσπότην ποιεῖ[i]. βι. λε' τί. ε'[k] διγ. δ'.

[ιϛ'.] Διάτ. τῆς ξ' νεαρᾶς[l] τῶν διασκέψεων τοῦ παραπέμψα-

---

[18] Cod. IV, 22, 2. Videsis Basil. l. l. [19] Dig. XVIII, 1, 15. 16. L, 17, 45. [20] Dig. XLII, 2, 2. [21] Dig. XXII, 6, 9 §. 2. [22] Deest in F. Z *βίου*. [23] AFZ addunt *αὐτοῦ*, quod tamen delendum erat. [24] Dig. XXIX, 5, 3 §. 22. [25] A *διὰ τοῦ παρ' ἑτέρῳ*. [26] Dig. XXXVII, 1, 10.

a) sc. *δέξαι*. b) Lege *τὴν κληρονομίαν*. c) Abundat. d) Supplev. e Z. A inferius habet. e) Non invenio. f) Cf. tit. 12 c. 27. g) Imo Digi 11. h) Dig. L, 17, 35. 100. 153. i) sc. *νομήν*. Cod. VII, 32, 8. k) An tit. 2? l) Nov. 158. Caeterum hunc locum aliis sanandum relinquo.

δικαίαν πλανώμενος καὶ ὀλισθαίνων συγγινώσκεται, ὥς φησιν ὁ πραίτωρ· τὸ κατὰ φόβον ἢ βίαν ἢ δόλον γινόμενον οὐχ ἡγήσομαι κύριον[27].

ι΄. Πάντα, ὅσα κατὰ θερμότητα ἢ ὀργὴν γίνεται, οὐκ ἄλλως[28] ἔῤῥωται, ἐὰν μὴ τῆς ὀργῆς παυσάμενος μείνῃ ἐν τοῖς αὐτοῖς[29].

ια΄. Οὐδεὶς δοκεῖ ἀπατᾶν τὸν εἰδότα τὸ πραττόμενον καὶ συναινοῦντα[30]. καὶ οὐδεὶς κρύπτειν δοκεῖ τὸν εἰδότα, οὐδὲ χρεωστεῖ σαφηνίζειν τὸν μὴ ἀγνοοῦντα[31]. ὡς βι. ιθ΄ τί. α΄ διγ. [α΄].

[ιβ΄.] Ὁ[32] πλανώμενος οὐκ ἀπόλλυται τὸ ἴδιον. ὅτι οἱ πεπλανημένοι οὐ συναινοῦσιν. οὐδὲν γὰρ οὕτως ἐναντίον τῆς συναινέσεως ὡς ἡ πλάνη[33]. οὐδεμία γὰρ βούλησις τῶν πεπλανημένων ὡς ......[34] ὁ ψευδόμενος κατὰ πλάνην οὐ βλάπτεται· ὁμοίως καὶ ὁ ἐπερωτηθεὶς κατὰ πλάνην, ὡς οὐδὲ ἡ πλαστὴ διήγησις βλάπτει τὴν ἀλήθειαν. ὡς βι. δ΄. τί. κβ΄[35].

[ιγ΄.] Ἡ ἐν συλλαβῇ γενομένη πλάνη οὐδὲν βλάπτει· οἷον ὡς ἐπὶ τοῦ λεγάτου τυχὸν ἀντὶ κρατίνου εἶπε κράτιστον[36]. καὶ τοσοῦτον ἡ ἀγαθὴ πίστις οὐ χαρίζεται[37], ὅσον[38] ἡ ἀλήθεια.

[ιδ΄.] Τὸ μὴ δυνάμενον εἶναί τινος οὐδεμίαν ἐνοχὴν δύναται ποιῆσαί τινος[39]. τὸ μηδενὸς ὂν τοῦ προκαταλαμβάνοντος γίνεται. ὡς βι. μα΄ τί. ζ΄ διγ. α΄.

[ιε΄.] Τὸ γὰρ ἡμέτερον οὐ μεταβαίνει ἄνευ ἡμετέρου φάκτου[40], ὥστε τὸ ἐμὸν πλεῖον ἐμὸν γενέσθαι οὐ δύναται. ἐπειδὴ ὁ μὴ κωλύων τὸν ὑπὲρ αὐτοῦ παρεμβάλλοντα συναινεῖν[41] δοκεῖ, καὶ ὁ μὴ[42] δεκτὸν ἡγούμενος ἐνέχεται τῇ[43] περὶ ἐντολῆς ἀγωσθαι τῆς διασκέψεως δίκαιον ἐφ᾽ ὃν ὁ ἐνιαυτὸς ἔφθασε τῷ τῆς διασκέψεως ἐξέπεσε χρόνῳ.

[ιϛ΄.] Ὁ μὴ διδοὺς ὅπερ δύναται δόλον ποιεῖ. ἐπειδὴ γὰρ ἡ ἀγαθὴ πίστις ἐναντία ἐστὶ δόλου καὶ ἀπάτης. καὶ ὁ ἄκαιρος οἶκτος δόλῳ ἔοικεν. καὶ τὸ πανούργως διαλεχθῆναι πρὸς βλάβην ἑτέρου, καὶ τὸ παραπροσποιῆσαι[a] καὶ σιωπῆσαι δόλος, ὡς βι. ιη΄ διγ. μα΄[b]. δόλον ποιεῖς καὶ τῷ μὴ ποιῆσαι τὰ δέοντα, ὡς βι. κϛ΄ τί. ζ΄ διγ. ζ΄[c].

[ιη΄.] Οὐλπιανοῦ. Ἐξ ὑπονοίας μόνον οὐ κτᾶταί τις ὡς ἐγκαταλελησμένης.

---

[27] Dig. IV, 1, 1? [28] A οὐ καλῶς. [29] Dig. L, 17, 48. [30] Dig. L, 17, 145. [31] Malim τῷ μὴ ἀγνοοῦντι. [32] F Ὅτι — ἀπόλλυσι. [33] Dig. L, 17, 116 §. 2 et II, 1, 15. [34] Forte βι. λθ΄ τί. γ΄ διγ. κ΄. Z ὡς βι. β΄. [35] sc. Codicis. [36] Dig. XL, 4, 54 pr. [37] A χωρίζ. [38] Z ὅθεν. [39] Dig. L, 17, 182. [40] Dig. L, 17, 11. [41] A συναινοῦσι. [42] Delendum. [43] Z τῆς — ἀγωγῆς.

a) A περὶ προσποιεῖσθαι. b) Videtur allegari Dig. XVIII, 1, 43 §. 2. c) Pr.

γῇ[44]. καὶ ὁ δόλῳ παυσάμενος νέμεσθαι ὡς νεμόμενος καταδικάζεται[45]. οὕτω καὶ ὁ σιωπῶν καὶ μὴ ἀντιλέγων· δοκεῖ γὰρ[46] ἐντέλλεσθαι[47].

ις΄[48]. Οὐδεὶς ἐκ τῆς οἰκείας ἀναισχυντίας ἀγωγὴν κτᾶται. κἂν[49] γὰρ ἔξεστι τῶν ὑπὲρ ἡμῶν συμφώνων καταφρονεῖν[50].

ιζ΄. Ἀπὸ πολλῶν αἰτιῶν τὸ αὐτὸ ἡμέτερον εἶναι οὐ δύναται, εἰ καὶ ἀπὸ[51] πολλῶν αἰτιῶν χρεωστεῖσθαι ἡμῖν δύναται[52]. ὥς φησιν οὐλπιανὸς ἐν τῷ μα΄ βι. τί. [ζ΄ διγ.] α΄. ὃ ἐγκατέλιπον, οὐκέτι ἐστὶν ἐμόν· παύεται γὰρ εἶναι τοῦ καταλιπόντος καὶ γίνεται τοῦ κρατοῦντος, ὥσπερ καὶ νοῦμοι ῥιπτόμενοι καὶ ὄρνεις ἀπολλυόμεναι[53].

[ιη΄.] Ἐν τοῖς ἀμφιβόλοις πλέον συντρέχομεν τῷ τὰ ἴδια λαβεῖν βουλομένῳ ἢ τῷ κερδᾶναι θέλοντι[54].

ιθ΄. Ἐν τοῖς ἀμφιβόλοις τὴν φιλαγαθεστέραν ἑρμηνείαν ἐπιλεγόμεθα[55]. ἐπὶ δὲ τῶν ἀσαφῶν τὸ ἧττον ἐπιλεγόμεθα[56]. καὶ ἐν ταῖς συναφείαις οὐ τί ἔξεστι σκοποῦμεν ἀλλὰ τί σεμνόν ἐστιν, ὡς βι. ν΄ τί. ιζ΄ διγ. [ρϛζ΄].

κ΄. Δύο περὶ κέρδους ἀγωνιζομένων ἐκεῖνος νικᾷ ὁ τῷ χρόνῳ προγενέστερος[57].

κα΄. Τὰς τυχηρὰς περιστάσεις τῇ κοινότητι μᾶλλον ἢ τῇ ἰδιότητι[58], ὅτι τὰς τυχηρὰς περιστάσεις οὐδεὶς ἀνθρώπινος λογισμὸς προασφαλίσαι δύναται[59].

κβ΄. Ἀπὸ νεύματος οὐδεὶς γίνεται ἔνοχος οὐδὲ φύσει οὐδὲ νόμῳ[60], ὡς οὐδὲ ἀπὸ νούδου τουτέστιν ἀπὸ γυμνοῦ πάκτου τίκτεται ἀγωγὴ καὶ οἷον ἀπὸ ψιλῆς ἐπερωτήσεως.

κγ΄. Ἐν τοῖς ἀμφιβόλοις κατὰ τοῦ ἐπερωτήσαντος[61] ἑρμηνεύομεν. ὡς βι. με΄ τί. α΄ διγ. λζ΄[62].

[ιθ΄.] Οὐκ ἔστι νοῦδον πάκτον τὸ ἐπαγγέλλεσθαι μήνυτρα τῷ καταμηνύοντι τοὺς φυγάδας.

[κ΄.] Τὰ ἀμφίβολα κατὰ τοῦ ἐπερωτήσαντος νοεῖται. βι. λδ΄ τί. β΄ διγ. κε΄[a].

[44] Dig. L, 17, 60. [45] Dig. L, 17, 157. [46] Z non habet. [47] Cf. tit. XXIII §. 19. [48] A ιβ΄, et sic deinceps alios numeros habet. [49] Z καί. [50] Dig. IV, 4, 41. [51] A αὐτό. [52] Dig. L, 17, 159. [53] Z ἀποβαλλύμενοι. [54] Dig. L, 17, 41 §. 1. [55] Dig. L, 17, 168. [56] Dig. L, 17, 9. [57] Dig. L, 17, 98. [58] Deest aliquid. [59] Dig. L, 8, 1 §. 7. [60] Dig. XLV, 1, 1 §. 2. [61] F: τὴν ἐπερώτησιν κατὰ τοῦ ποιήσαντος. — Z corrupte sic: κβ΄. Ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ὅρκον ἐπιφέρειν· τότε γὰρ ἀποκλήσει τῷ ἀνήβῳ ἐν τοῖς etc. [62] Nobis Dig. 38 §. 18. — Caeterum F hic addit: ὡς βι. κη΄ τί. δ΄· αἱ δύο ἡμέραι τοῦ βισέξτου ἀντὶ μιᾶς παραλαμβανέτωσαν.

a) Imo τί. ε΄ διγ. κϛ΄.

κδ'. Τὰ ἀπὸ γνώμης καὶ διαθέσεως τὴν σύστασιν ἔχοντα ἀληθῆ καὶ φανερὰν εἴδησιν ἐπιζητεῖ[63].

κε'. Ὁ ἰσχύων τὶ πρᾶξαι, ἐφ' ᾧ πληρωθῆναι τὴν αἵρεσιν, δοκεῖ δύνασθαι πληρῶσαι τὴν αἵρεσιν, ὡς[64] βι. ν' τί. ιζ' διγ. ροδ'. καὶ ὁ παραλιμπάνων[65] αἵρεσιν, ἣν οὐκ ἤθελε τεθῆναι, τῇ αἱρέσει ἄχρηστον ποιεῖ τὴν ἔνστασιν. ὡς βι. κη' τί. ε' διγ. α'[66]. βι. λς' τί. α' διγ. νς'[67].

κς'. Καὶ ὁ προστιθεὶς τὴν αἵρεσιν, ἣν οὐκ ἤθελεν ἐντεθῆναι, τῇ αἱρέσει ἄχρηστον ποιεῖ τὴν ἔνστασιν[68]. ὁ δὲ προστιθεὶς τὴν αἵρεσιν, ἣν ὤφειλεν ἐντεθῆναι τῇ ἐνστάσει, ποῦραν αὐτὴν ποιεῖ, τουτέστι καθαράν. διγ. η'[69].

κζ'. Ἐὰν αἵρεσις ἐπικλασθῇ μοι, παρ'[70] ἑτέρου ἐμποδισθεῖσα[71] πεπληρῶσθαί μοι δοκεῖ. ὡς βι. λα' διγ. λδ'[72].

κη'. Ὅτε αἵρεσις ἐμποδισθῇ, ἀντὶ ἐκβάσεως νοεῖται, ὅτε ἄλλος ἐμποδίσῃ, οὐχὶ ὁ βεβαρημένος αὐτῇ[73]. ὡς βι. λ' διγ. να'[74]. καὶ ὁ κατὰ τύχην ἐμποδισθεὶς ἔοικε τῷ πληρώσαντι τὴν αἵρεσιν. ὡς βι. ς' τί. μς' διατ. ς'[75] τοῦ κώδ. βι. δ' τί. ς'[76].

κθ'. Ἐὰν πολλὰς αἱρέσεις ἐντάξω τῇ ἐνστάσει, καὶ μία αἵρεσις βεβαιοῖ τὴν ἔνστασιν ἐξελθοῦσα. ὡς βι. κη' τί. ε' διγ. πη'[77].

λ'. Τὰ δὲ μὴ συμπλεκτικῶς μήτε διαζευκτικῶς λεγόμενα ἐκ τῆς γνώμης τοῦ εἰπόντος καταλαμβάνεται.

λα'. Ἐὰν αἱρετικῶς[78] τινι καταλειφθῇ λεγάτον, καὶ ἀποθάνῃ πρὸ τῆς αἱρέσεως, οὐ παραπέμπει[79] εἰς κληρονόμους τὸ λεγάτον. τὸ αὐτὸ καὶ εἰ δοῦλος γένηται τιμωρίας, ἀσθενεῖ τὸ

[κα'.] Βι. λε' τί. ζ' διγ. γ'[a]· αἵρεσις ἐπὶ συστάσει διαθήκης ἐμποδισθεῖσα παρὰ τοῦ δυναμένου ταύτην πληρῶσαι ἀντὶ πεπληρωμένης παραλαμβάνεται.

[κβ'.] Ὁ ὑπὸ αἵρεσιν γραφεὶς κληρονόμος, εἰ μὲν ἔτι ἤρτηται, δύναται, κἂν ἤθελεν ἀδιτεῦσαι, μετὰ ταῦτα μεταμελεῖσθαι καὶ μὴ προσελθεῖν τῇ κληρονομίᾳ. εἰ γὰρ ἐξῆλθεν ἡ αἵρεσις, οὐκέτι δύναται μεταμελεῖσθαι.

[κγ'.] Ὁ διδοὺς πρᾶγμα ἐπὶ αἱρέσει, δύναται κατὰ τὴν αἵρεσιν ῥεπετιτεύειν αὐτό. βι. ...[b] τί. γ' διγ. θ'.

---

[63] Dig. L, 17, 76. [64] Z ὡς βι. κη' τί. α' διγ. λζ', reliqua vero omittit. [65] Corruptela hic esse videtur. [66] Imo Dig. 9 §. 5. 6. [67] Non invenio, nisi forte Dig. XXXV, 1, 107 auctor allegare voluit. [68] Z αἵρεσιν. [69] Imo cf. locos, quos in fine c. 25 excitavi. [70] Z ὑπό. [71] Sic Z. A ἐμποδισθεῖσαν. [72] §. 4. [73] A αὐτήν. [74] Legerim νδ'. Videtur enim indicari Dig. XXX, 54 §. 1. [75] Lege ζ'. [76] const. 10. [77] Imo Dig. 27 §. 2. Forte legendum κη'. [78] A αἱρετικῷ. [79] Sic Z. A καταλιμπάνει.

a) Non invenio. Cf. Dig. XXXV, 1, 24. L, 17, 161. b) An lib. XXIII?

λεγάτον[80]· οὐ μὴν ἐὰν ἐκπέσῃ τῆς πόλεως. ἴσως γὰρ ἀνακαλεῖται.

λβ'. Τὰ πρὸ μιᾶς ἡμέρας ἔχοντα τὴν αἵρεσιν εἴτε κληρονομίαι εἴτε λεγάτα ἀνίσχυρά[81] εἰσι τῇ αἱρέσει, τὸ δὲ λεγάτον ἔῤῥωται[82].

λγ'. Ὁμοίως καὶ τὰ πρὸ τῆς αἱρέσεως ἐπερωτώμενα ἀνίσχυρά εἰσι.

λδ'. Ὡς βι. με' τί. α' διγ. μα'[83]. Ὅτε χωρὶς ἡμέρας ἐπερωτᾶταί τις, παραχρῆμα ἐνέχεται, εἰ μὴ τόπος[84] πρόσκειται· τότε γὰρ περιμένομεν τὴν ἡμέραν.

λε'. Ἐὰν ἐπὶ αἱρέσει λεγατεύσω τινὶ καὶ πρὸ μιᾶς ἡμέρας ἀποθάνῃ, ἴσχυσε τὸ λεγάτον.

λϛ'. Τὰ ὑπὸ αἵρεσιν τεκνογονίας καταλιμπανόμενα ἔῤῥωνται, κἂν τέρας τέκῃ, κἂν δευτερογαμήσῃ[85].

λζ'. Ὥσπερ τὸ λεγατευόμενον[86] ὑπὸ αἵρεσιν πρὸ μὲν τῆς ἐκβάσεως ἐστὶ τοῦ κληρονόμου, μετὰ δὲ ταῦτα τοῦ λεγαταρίου, οὕτως καὶ ὅπερ οὐ δύναται προσπορισθῆναι[87] τῷ τὴν χρῆσιν ἔχοντι προσπορίζεται τῷ τὴν δεσποτείαν ἔχοντι[88].

λη'. Ἐὰν ὑπὸ δύο διεζευγμένας αἱρέσεις ἐπερωτήσω[89], ἀπὸ μόνης τῆς πρώτης ἐκβαινούσης βεβαιοῦται ἡ ἐπερώτησις[90].

[κδ'.] Ὁ ἀψάμενος τῆς τελευταίας ἡμέρας τοῦ κ' ἐνιαυτοῦ οὐκ ἔστιν ἐλάττων τῶν κ' ἐνιαυτῶν ἀλλ' οὐδὲ μείζων τῶν κ' ἐνιαυτῶν πιστεύεται εἶναι. ὡς βι. μ' τί. α' διγ. δ'[a].

---

80 Dig. XXXV, 1, 59 §. 1. 81 A ἰσχυρά. 82 Cf. Dig. XXVIII, 5, 34. 83 Hic locus poterit restitui in Basil. XLIII, 1, 41. 84 A τόπω, Z τρόπω. 85 Z addit: αἱρετικὴ πρᾶσις παραπέμπει καὶ εἰς κληρονομίαν τὴν αἵρεσιν. 86 A τῷ λεγατευομένῳ. 87 AZ προσπορηθῆναι. 88 Dig. VII, 1, 12 §. 5. 89 Z ἐπερωτήσεις. 90 Dig. XLV, 1, 63. — Z addit §. hanc: Ἐνεστησάμην τινὰ ὑπὸ ἀδύνατον αἵρεσιν· ἔστω μοι ὁ δεῖνα κληρονόμος, ἐὰν πίει τὴν θάλασσαν. ἀδύνατός ἐστιν ἡ αἵρεσις, ἧς ἡ φύσις ἐμποδίζει τῇ ἐκβάσει· οἷον, εἰ τῷ δακτύλῳ μου ἅψομαι τοῦ οὐρανοῦ, δώσεις μοι δέκα νομίσματα; ὡς βι. ιγ' πϛ'. — Haec ultima habet etiam F.

a) Lege α'.

ΤΙΤΛΟΣ δ'.

Περὶ παίδων κυοφορουμένων καὶ περὶ μαινομένων.

α'. Ἡ συμβαίνουσα τῇ ἐγκυμονούσῃ περὶ τύχης συμφορὰ οὐκ ἀδικεῖ τὰ ἐγκυμονούμενα[1]. καθὼς ἀντώνιος ὁ βασιλεὺς ἀντέγραψεν, ὅτε[2] γυνή τις ἐλευθέρα ὑπὸ μωρίας καὶ συναρπαγῆς καὶ ἀπάτης ἐν συμβολαίῳ δούλην ἑαυτὴν ἀπεκάλεσεν· καὶ τὸ κακῶς συντεθῆναι τὰ συμβόλαια οὐ βλάπτει τῶν παίδων τὴν κατάστασιν. ὡς βι. α' τί. ε' διγ. η'.

β'. Οἱ ἐν γαστρὶ ὄντες ἐν πᾶσι τοῖς ὑπὲρ ἑαυτῶν πραγματευομένοις ἀντὶ τεχθέντων εἰσὶν, ἄλλον δὲ οὐκ ὠφελοῦσι πρὶν τεχθῆναι[3]. καὶ ὅτι τοῖς ἐγκυμονοῦσιν[4] τὰ[5] λεγίτιμα δίκαια ἁρμόζει· καὶ δίκαιον ποστλιμινίου, τουτέστιν ὑποστροφῆς[6] αἰχμαλωσίας· καὶ κλαπείσης τῆς μητρὸς κἂν[7] φούρτιβοι γίνονται· καὶ ἀπελεύθερον ἔχουσι τὸν πατρῷον ἀπελεύθερον[8].

γ'. Ὁ ἐγκυμονούμενος οὐ λέγεται ὑπεξούσιος τοῦ πατρὸς αὐτοῦ, ὅτι οὐδὲ ἐν φύσει εἶναι δοκεῖ οὐδὲ οὐσίαν ἔχει. ὡς βι. λε' τί. β' διγ. θ'.

δ'. Ἐὰν ἐγκύμων ἐστὶ γαστὴρ, οἱ μὲν προλαμβανόμενοι[9] ὑπὸ τῆς γαστρὸς συγγενεῖς οὐ δύνανται ἀδιτεύειν, ἕως οὗ γαστὴρ ἐγκύμων ἐστίν· εἰ δὲ τοῦ αὐτοῦ εἰσι βαθμοῦ, ἀδήλως καὶ βεβήλως, [διὰ] τὸ ἄδηλον εἶναι, πόσοι τεχθήσονται· ὡς βι. ε' τί. δ' διγ. γ'.

ε'. Ὅτε κατάστασις παίδων τεχθέντων καὶ ἐγκυμονουμένων ἀμφιβάλλεται, πλέον σπουδάζονται ὑπὸ τοῦ νόμου οἱ ἐγκυμονούμενοι. περὶ γὰρ αὐτὸ τὸ εἰς φῶς προαχθῆναι κινδυνεύουσιν, οἱ δὲ ἤδη τεχθέντες περὶ τὸ ἀπολαβεῖν τὴν οἰκείαν συγγένειαν ἔχουσιν[10].

ϛ'. Ἐν πᾶσι τοῖς μέρεσι τοῦ νόμου ὁ ποστοῦμος ἀντὶ τεχθέντος παραλαμβάνεται[11].

ζ'. Τῷ ἐν γαστρὶ ὄντι ἐπίτροπος οὐ δίδοται, ἀλλὰ κουράτωρ. ὡς βι. κϛ' τί. ε' διγ. κ'.

η'. Οἱ ἐν γαστρὶ ὄντες ἔχουσι μετὰ τὸ τεχθῆναι ἀγωγὰς

---

[1] Dig. I, 5, 5 §. 2. [2] A novam §. inchoat sic: β'. Ὅτι γυνή. Ego cum praecedentibus conjungo, legens ὅτε. Sed forte emendandum: τί γάρ; ὅτι. Cf. Basil. XLVI, 1, 6. [3] Dig. I, 5, 7. [4] Imo ἐγκυμονουμένοις. [5] A οὐ. [6] A ὑποστροφήν. [7] Lege καὶ αὐτοί. [8] Legerim: ἀπελεύθεροι ἔχ. πατρώνους αὐτούς. — Dig. I, 5, 26. [9] A προσλ. [10] Dig. XXXVII, 9, 1 §. 15. [11] Dig. I, 5, 26.

ἐφ᾽ οἷς ἐν τῷ καιρῷ τῆς κυήσεως ἠδικήθησαν. ὡς βι. θ´ τί. β´[12] διγ. μγ´.

θ´. Ὁ τὴν ἐγκύμονα θάπτων πρὶν ἢ ἐκβάλλειν τὸ βρέφος, αὐτὸς δοκεῖ φονεύειν τὸ βρέφος. ὡς βι. ια´ τί. η´[13]. ση. καὶ διὰ τοῦτο τὴν τελευτῶσαν ἔξεστιν ἀνατέμνειν διὰ τὸ ἐξαγαγεῖν τὸ ἐγκυμονούμενον.

ι´. Ἐὰν ἐγκύμων γυνὴ κεφαλικῶς καταδικασθῇ, ἐλεύθερον τίκτει, καὶ οὐ τιμωρεῖται ἕως ἂν τέκῃ. καὶ ἡ ἐξ ἐννόμου[14] συλλαβοῦσα καὶ ὑποστᾶσα πυρὸς καὶ ὕδατος ἀπαγόρευσιν ῥωμαῖον τίκτει καὶ τῷ πατρὶ ὑπεξούσιον[15].

ια´. Πέντε ἐγέννησε γυνὴ ἐν αἰγύπτῳ· τὰ μὲν δ´ ἅμα γεννήσασα, μετὰ μ´ ἡμέρας τὸ ε´ παιδίον ἐγέννησεν. ὡς βι. α´ τί. ..[16]. τοῦτο δὲ γέγονεν ἐν ἀλεξανδρείᾳ[17].

ιβ´. Ἐὰν μόστρωσον ἢ προδηγίωσον[18] τέκῃ γυνὴ παρὰ τὸν συνειθισμένον[19] τῆς ἀνθρώπου μορφῆς τε καὶ φύσεως τύπον, [οἱ] τικτόμενοι οὐ νομίζονται παῖδες οὔτε ἰν ποτεστάτε τῶν οἰκείων πατέρων εἰσίν. καὶ μόστρωσον μέν ἐστι τὸ ἔχον ἀνθρώπου καὶ ἑτέρου ζώου συγκεκραμμένην μορφὴν, ὡς ἔνθα τίκτεται παιδίον κέρατα ἔχον. προδηγίωσον δέ ἐστι τὸ κατὰ μηδὲ ἓν ἐν τῇ οἰκείᾳ μορφῇ τύπον τῆς ἀνθρωπίνης μορφῆς ἔχον· τυχὸν γὰρ ἐτέχθη κυνὸς ἢ χοίρου τύπον ἔχον. τὸ μὲν οὖν μόστρωσόν τε καὶ προδηγίωσον τῆς τῶν παίδων ἐκβάλλεται προσηγορίας. ὁ δὲ ἑξαδάκτυλος τεχθεὶς[20] κατὰ τοὺς τῆς φύσεως ὅρους τὸ βρέφος, μετὰ τῶν γνησίων τοῦ οἰκείου πατρὸς τάσσεται παίδων. ὡς βι. α´ τί. ε´[21].

ιγ´. Ὁ διδόμενος τῇ γαστρὶ κουράτωρ φυλάττειν μόνον ὀφείλει τὰ πράγματα καὶ τὰ εὔφθαρτα πιπράσκειν. ὡς βι. κϛ´ τί. ζ´[22].

ιδ´. Τὸ δεδομένον τοῖς[23] νηπίοις ἐν τῇ τουτέλαε προνόμιον οὐ διαβαίνει εἰς κληρονόμους αὐτοῦ. ὡς βι. ε´ τί. λε´ διγ.[24]

ιε´. Ἐὰν ἐγκυμονούμενος ἐγκαταλειφθῇ παρὰ τοῦ πατρὸς, ῥήσσει τὴν διαθήκην τοῦ ἰδίου πατρός.

ιϛ´. Οἱ μείζονες τῶν ζ´ ἐτῶν συνεπαισθάνεσθαι νομίζονται, οἱ ἥττονες οὔ. ὡς βι. κγ´ τί. γ´[25].

---

[12] A η´. [13] sc. dig. 2. [14] sc. γάμου. [15] Dig. I, 5, 18. [16] Dig. V, 4, 3. [17] A in marg.: ἀριστοτέλης ε´ δοχεῖα ἔχειν, scil. φησὶ τὰς γυναῖκας. Cf. Dig. XLVI, 3, 36. [18] A ποδ. [19] A συνηθισμόν. [20] Nonnulla exciderunt. Suppleri possunt ex integro Stephani Indice, quem praestat Schol. 1 ad Basil. XLVI, 1, 11. [21] sc. dig. 14. [22] Cf. dig. 48. [23] A ἐν τοῖς. [24] Cf. Dig. XXVI, 7, 42 et XLII, 5, 24 pr. [25] Dig. XXIII, 1, 14.

ιζ΄. Περὶ μαινομένων. — Μανία ἐπισυμβαίνουσα οὔτε ἀξίαν οὔτε ἀρχὴν ἀναιρεῖ, οὔτε τὴν κατὰ παίδων ὑπεξουσιότητα, οὔτε ἔκπτωσιν δεσποτείας ἐπιφέρει. ὡς βι. α΄ τί. ϛ΄[26].

ιη΄. Γαμετὴν μὲν ἀγαγέσθαι οὐ δύναται, οὐδὲ τὸν πρὸ τῆς μανίας διαλύει γάμον. εἰ δὲ ἑκάτεροι μανείησαν, μένει ἐῤῥωμένος ὁ γάμος. ὡς βι. α΄ τί. ϛ΄[27].

ιθ΄. Οἱ ἔγγιστα συγγενεῖς ἀπίθανοί εἰσι λέγοντες ἀγνοεῖν τὰ πάθη τῶν συγγενῶν αὐτῶν. ὡς βι. λη΄ τί. η΄[28] διγ. θ΄.

κ΄. Ὁ ἀληθῶς μεμηνὼς εἰ καὶ πατροκτόνος γίνεται, συγγινώσκεται ὡς ἀρκούντως τῇ μανίᾳ κολαζόμενος. ἐν δὲ τοῖς διαλείμμασιν ἁμαρτάνων οὐ συγγινώσκεται[29]. ση. ὁ λάθρα πλημμελῶν οὐ συγγινώσκεται· ὁ δὲ φανερῶς πλημμελῶν συγγινώσκεται.

κα΄. Ἐὰν παρὰ τὴν ἀμέλειαν τῶν φυλαττόντων τῶν μαινομένων βλαβῇ τις, οἱ φύλακες κολάζονται. ὡς βι. α΄ τί. ιη΄[30].

κβ΄. Ὁ μεμηνὼς ἔοικε[31] τῷ ἀπόντι, ἐπειδὴ λείπεται αὐτῷ λογισμός. ὡς βι. γ΄ τί. α΄[32].

κγ΄[33]. Ἐξ ὧν αἰτιῶν οἱ νήφοντες ἐν ἀγνοίᾳ κτῶνται, ἐκ τῶν αὐτῶν αἰτιῶν καὶ οἱ μαινόμενοι κτῶνται. ὡς βι. ιβ΄ τί. α΄[34].

κδ΄. Ὁ φουριοσὸς καὶ ἴνφανς καὶ ἀλλότρια ἀδικοῦντες πράγματα οὐκ ἐνάγονται. ὡς βι. ϛ΄ τί. α΄[35].

κε΄. Καὶ φουριοσοὶ καὶ ἴνφαντες ἀναφέρονται[36] κληρονόμοι· ἐνάγεσθαι δι᾽ αὐτῶν[37] οὐ δύνανται. ὡς βι. ιγ΄ τί. α΄[38].

κϛ΄. Διακατοχὴ τῷ μαινομένῳ διὰ οἰκέτου οὐ προσπορίζεται. ὡς βι. κθ΄ τί. β΄ διγ. κϛ΄[39].

κζ΄. Ὁ ὑπὲρ μαινομένου δοθεὶς ἐγγυητὴς οὐ κατέχεται. ὡς βι. μ΄ τί. α΄[40].

κη΄. Οὐ δοκεῖ παρεῖναι ὁ μαινόμενος. καὶ ἐὰν ὁ πούπιλος καὶ ὁ μαινόμενος φονεύσωσιν, οὐχ ὑπόκεινται τῷ κορνελίῳ. βι. μζ΄. τί. ι΄[41].

κθ΄. Οἱ ἄνηβοι πολιτικῶν ὀφφικίων εἰργέσθωσαν. μαινόμενοι δὲ οὐ συναλλάσσουσιν. ὡς βι. ν΄ τί. ιζ΄[42].

---

[26] sc. dig. 8. — Dig. I, 5, 20. [27] sc. dig. 8. [28] A ν΄. Est autem Dig. XXXVIII, 8, 9 §. 1. [29] Dig. I, 18, 14. [30] A η΄. — Indicatur dig. 14. [31] Lege: οὐκ ἔοικε. [32] Lege γ΄. — Dig. III, 3, 2 §. 1. [33] Signa ad textum apposita in A et B demonstrant ad hanc et sqq. §§. tria scholia excidisse. [34] Dig. 12. [35] sc. dig. 60. [36] Haec corrupta sunt. Forte legendum: ἐνέχονται. [37] Lege δὲ αὐτοί. [38] Dig. 2. [39] Imo dig. 47. [40] Cf. Dig. XLV, 1, 6 et XLVI, 1, 25 et 70 §. 4. [41] Dig. XLVII, 10, 17 §. 11 et XLVIII, 8, 12. [42] dig. 2 §. 1 et dig. 5.

λ'. Οἱ ἄνηβοι οὐ βασανίζονται. καταπτοεῖσθαι ὀφείλουσι, λώροις ἢ νάρθηκι τυπτόμενοι πρὸς κατάληψιν τῆς ἀληθείας. ὡς βι. κθ' τί. ε'[43].

λα'. Ὀμνύων περὶ τοῦ διδόναι ὀπέρας ἐνάγεται μετὰ τὴν ἥβην περὶ αὐτῶν[44].

λβ'. Ὁ ἀφῆλιξ συναλλάξας καὶ τὸν σωματικὸν ὑπερτελέσας ὅρκον τοῦ μὴ ἀνατρέπειν τὸ συνάλλαγμα, οὔτε ἀπὸ θείας ἀντιγραφῆς βοηθεῖται[45].

λγ'. Ἐὰν ὁ ἀνὴρ τῆς μαινομένης μέλλῃ ἀσώτως δαπανᾶν τὴν προῖκα αὐτῆς, χρὴ μετεγγυᾶσθαι καὶ ἐξ αὐτῆς ἀποτρέφειν τὴν γυναῖκα καὶ τὴν φαμιλίαν αὐτῆς. ὡς βι. κδ' τί. γ' διγ. κβ'[46].

Τ Ι Τ Λ Ο Σ ε'.

Περὶ αὐτεξουσιότητος καὶ ὑπεξουσιότητος καὶ λύσεων αἰτῶν, καὶ περὶ υἱοθεσιῶν, καὶ περὶ εὐνούχων.

ζήτει βι. η'[1] τοῦ κώδ. τί. μζ', μη'.

α'. Ὁ μέλλων αὐτεξούσιον τὸν παῖδα αὐτοῦ ποιῆσαι, προσιέτω τῷ ἁρμοδίῳ δικαστῇ καὶ λεγέτω αὐτῷ, ὅτι τόνδε ποιῶ αὐτεξούσιον καὶ τῆς ἐμαυτοῦ ἀφίημι χειρός· ὥστε εἰ συμβῇ τὸν παῖδα ἄτεκνον ὄντα διαθέσθαι, ἐῤῥῶσθαι τὴν ἐκείνου διαθήκην, φυλάττοντος δηλονότι τὴν νόμιμον μοῖραν τῷ πατρί. ὡς βι. α' τί. . . καὶ ια'[2].

β'. Ἐὰν καταδικασθῇ τις θανάτῳ, ἅμα τῇ ἀποφάσει γίνονται οἱ παῖδες αὐτοῦ αὐτεξούσιοι[3].

γ'. Ἡ ἔμπρακτος ἐπαρχότης καὶ ἡ πατρικιότης καὶ ἡ στρατηγία καὶ ἡ ἐπισκοπὴ λύει τὴν ὑπεξουσιότητα[4]. τὸ δὲ γενέσθαι συγκλητικὸν τὸν ὑπεξούσιον οὐ ποιεῖ αὐτὸν αὐτεξούσιον[5], ὡς βι. α'[6].

δ'. Δύναταί τις τὸν μὲν υἱὸν ποιεῖν αὐτεξούσιον, [τὸν δὲ ἔκγονον κρατεῖν ὑπεξούσιον·][7] καὶ ἐκ τοῦ ἐναντίου τὸν ἔκγονον

---

[43] dig. 1 §. 33. [44] Dig. XXXVIII, 1, 7 §. 5. [45] Cod. II, 27, 1. [46] §. 8.

[1] Sic lego pro ν', quod A habet. [2] Legerim τῶν ἰνστιτούτ. τί. ια'. Est enim ex Theophilo I, 11 (12), 6; quem locum praestat Proch. XXVI, 5. [3] Proch. XXVI, 2 ex Theoph. I, 11 (12), 1. [4] A αὐτεξ. — Hactenus Proch. XXVI, 8 ex Nov. 81. [5] A ὑπεξ. [6] Innuere videtur Theoph. I, 11 (12), 4. [7] Addo ex Prochiro.

ποιεῖν αὐτεξούσιον, κατέχειν δὲ ὑπεξούσιον τὸν υἱόν. τὸ αὐτὸ καὶ ἐπὶ προεγγόνων[8].

ε'. Εἶχέ τις υἱὸν ὑπεξούσιον, [ὃς εἶχε γαμετὴν ἐγκύμονα· τὸν υἱὸν ἐποίησεν αὐτεξούσιον][9] *ἢ εἰς θέσιν αὐτὸν ἄλλῳ δέδωκεν· ἐτέχθη μετὰ ταῦτα ἔγγονος. λέγομεν ὑπεξούσιον αὐτὸν γενέσθαι τοῦ πάππου, ἐπειδὴ σκοποῦμεν ἐπὶ τῶν ἐννόμων γάμων τὸν καιρὸν τῆς συλλήψεως· ὅτε δὲ ἡ σύλληψις ἐγένετο, ὑπεξούσιος ἦν ὁ υἱὸς ὁ τοῦτον σπείρας*[10]. *ση. τὸ αὐτὸ καὶ ἐπὶ προγόνου καὶ προεγγόνης καὶ τῶν ἑξῆς. οἱ γὰρ ἐκ τῆς ἐμῆς τικτόμενοι*[11] *θυγατρὸς οὐχ ὑποβληθήσονται [τῇ ὑπεξουσιότητι] τοῦ πρὸς μητρὸς πάππου, ἀλλ' ὑπεξούσιοι ἔσονται τῷ οἰκείῳ πατρί. ὡς βι. α' τί. η'*[12].

ς'. Τῇ τοῦ πατρὸς τελευτῇ ἀμάχως ὁ υἱὸς καὶ ἡ θυγάτηρ αὐτεξούσιοι γίνονται. τελευτήσαντος δὲ πάππου οὐ πάντως οἱ ἔκγονοι καὶ ἔκγοναι αὐτεξούσιοι γίνονται. δεῖ γὰρ σκοπεῖν τὸν καιρὸν τῆς τοῦ πάππου τελευτῆς, καὶ εἰ μὲν εὑρεθῇ τὸ μέσον πρόσωπον, τουτέστιν ὁ υἱός, ὑπεξούσιος, οἱ δὲ ἔκγονοι κατ' ἐκεῖνον τὸν χρόνον ὑπεξούσιοι τῷ πάππῳ καθ' ὃν τελευτᾷ, ἔσονται ὑπεξούσιοι τῷ πατρὶ τελευτήσαντος τοῦ πάππου οἱ ἔκγονοι· μεταπεσοῦνται [γὰρ] εἰς τὴν τοῦ οἰκείου πατρὸς ὑπεξουσιότητα. εἰ δὲ ὁ μέσος ἢ προτελευτήσει τοῦ πατρὸς ἢ τῆς ὑπεξουσιότητος αὐτοῦ ἠλευθερώθη, τότε οἱ ἔκγονοι, ἐπειδὴ οὐ μεταπίπτουσι εἰς τὴν ἑτέρου ὑπεξουσιότητα, αὐτεξούσιοι γίνονται[13].

ζ'. Ὁ ἐξορισθεὶς ὑπεξούσιος παύεται τοῦ εἶναι ὑπεξούσιος τοῦ πατρός· περεγρῖνος γὰρ ὢν ὑπεξούσιος εἶναι ῥωμαίου οὐ δύναται[14].

η'. Δεπορτατίονι πατρὸς ὁ υἱὸς αὐτεξούσιος γίνεται. εἰ δὲ ἀπενηνεγμένος[15] *μὲν μὴ γένηται, γένηται δὲ ῥελεγάτος ὁ πατήρ, τουτέστιν ἐξόριστος, οὐκ ἀφαιρεῖται ὁ νόμος τοῦ πατρὸς τὴν πολιτείαν· διὸ μένει ἐπὶ σχήματος ἔχων ὑπεξουσίους τοὺς παῖδας. καὶ ἐκ τοῦ ἐναντίου δέ, εἰ οἱ παῖδες ῥελεγατευθῶσι παρὰ τοῦ ἄρχοντος, κἂν*[16] *εἰς νῆσον ἐξορισθῶσιν, οὐκ ἀπαλλάττονται τῆς τοῦ πατρὸς ὑπεξουσιότητος διὰ τὴν ἐλπίδα*[17].

θ'. Υἱοθεσία ἐστὶ νομίμη πρᾶξις μιμουμένη τὴν φύσιν.

---

[8] Proch. XXVI, 6 ex Theoph. I, 11 (12), 7. [9] Haec suppleo ex Prochiro. [10] Hactenus Proch. XXVI, 7 ex Theoph. I, 11 (12), 9. Sequentia ex Theoph. I, 8 (9), 3 cum antecedentibus inepte conjuncta sunt. [11] A *ὁ — τικτόμενος.* [12] Theoph. I, 8 (9), 3. [13] Proch. XXVI, 1 ex Theoph. I, 11 (12) pr. [14] Theoph. I, 11 (12), 1. [15] V addit *δεπορτάτος.* [16] V *καί.* [17] Theoph. I, 11 (12), 2.

ὅθεν καλῶς ὁ πάππος υἱοθετεῖ τὸν ἔκγονον τοῦ αὐτεξουσίου αὐτοῦ υἱοῦ, καὶ φύσει καὶ νόμῳ, νόμῳ μὲν διὰ τὴν θέσιν αὐτὴν, φύσει δὲ διὰ τὸ πρόσωπον καὶ τὸ ὄνομα, καὶ τῆς αὐτοῦ γενήσεται φαμιλίας τε καὶ ὑπεξουσιότητος[18]. εἰ καὶ ἀπὸ ἰδιώτου συγκλητικὸς υἱοθετηθῇ, οὐ μειοῦται διὰ τῆς θέσεως τὸ ἀξίωμα, ἀλλὰ μᾶλλον[19] προσαύξεται[20].

ι΄. Οὐ μόνον ἡ φύσις ἀλλὰ καὶ ἡ θέσις ὑπεξουσίους παῖδας ποιεῖ. τὸ δὲ τῆς ὑπεξουσιότητος ὄνομα γενικὸν μέν ἐστι, διαιρεῖται δὲ εἰς δύο εἴδη, εἴς τε ὑπεξουσιότητα καὶ αὐτεξουσιότητα[21]. ἡ γὰρ καθόλου θέσις κατὰ δύο πράττεται τρόπους· ἢ βασιλέως κελεύοντος ἢ ἄρχοντος ψηφιζομένου. καὶ ἀπὸ μὲν αὐθεντείας τοῦ βασιλέως λαμβάνομεν εἰς υἱοθεσίαν τοὺς αὐτεξουσίους· καὶ λέγεται ἀδρογάτιον. ἀπὸ δὲ ψήφου τῶν ἀρχόντων τοὺς ὄντας ὑπὸ τὴν τῶν πατέρων ὑπεξουσιότητα, εἴτε πρώτου βαθμοῦ εἰσιν εἴτε δευτέρου, ὁποῖός ἐστιν ὁ υἱὸς καὶ ἡ θυγάτηρ, ὁ ἔκγονος καὶ ἡ ἐκγόνη· καὶ λέγεται ἀδόπτιον[22].

ια΄. Εἰ μὲν αὐτεξούσιος εἰς θέσιν λαμβάνεται, ἀρκεῖ ἡ γνώμη αὐτοῦ. εἰ δὲ ὑπεξούσιος παρὰ πατρὸς δίδοται, τότε οὐ μόνον τὴν αὐτοῦ περιεργαζόμεθα γνώμην, ἀλλὰ καὶ τὴν τοῦ πατρὸς αὐτοῦ συναίνεσιν. δοκεῖ δὲ συναινεῖν[23] οὐ μόνον [ὁ] ἐπινεύων τοῖς πραττομένοις, ἀλλὰ καὶ ὁ μὴ ἀντιλέγων[24].

ιβ΄. Ἡνίκα τὶς ὑπεξούσιον εἰς θέσιν λαμβάνει, μὴ διαλύεσθαι τὴν τοῦ φυσικοῦ πατρὸς ὑπεξουσιότητα, μηδέ τι μετιέναι ἐπὶ τὸν θετὸν πατέρα, μηδὲ γίνεσθαι αὐτοῦ ὑπεξούσιον τὸν παῖδα, εἰ καὶ[25] τὴν ἐξ ἀδιαθέτου κλῆσιν εἰς τὰ πράγματα τοῦ λαβόντος αὐτὸν εἰς υἱοθεσίαν ἡ εἰρημένη διάταξις αὐτῷ ἐφιλοτιμήσατο. ὡς βι. α΄ ἰνστ. τί. ι΄[26], διάταξις ἰουστίνου.

ιγ΄. Ὁ ὑπεξούσιος ἄρχων δύναται παρ᾽ ἑαυτῷ αὐτεξούσιος[27] ποιεῖσθαι καὶ εἰς θέσιν δίδοσθαι[28]. καὶ ἀδελφὸς ἀδελφὸν δύναται λαβεῖν εἰς θέσιν ὡς υἱὸν, καὶ ἀπελεύθερος δύναται λαβεῖν τὸν υἱὸν τοῦ πάτρωνος. ὁ ὑπεξούσιος ὑπεξουσίους ἔχειν οὐ δύναται. τοῦτο νόει ἐπὶ ἰδιώτου ἢ ἀφήλικος.

ιδ΄. Ἐὰν υἱοθετήσωμαι αὐτεξούσιόν τινα, ἕξω καὶ τοὺς αὐτοῦ παῖδας ὑπεξουσίους ὡς ἐν τάξει ἐκγόνων, καὶ πάντα τὰ

---

[18] Theoph. I, 10 (11) pr. et §. 2. [19] F *μόνον*. [20] Dig. I, 7, 35.
[21] Hallucinatur *ὁ ἐξελληνίζων*, dum adoptionem in *ὑπεξουσιότητα*, arrogationem in *αὐτεξουσιότητα* vertit. [22] Dig. I, 7, 1 et 2 pr. [23] A *συναίνεσιν*. [24] Dig. I, 7, 5. [25] Sic F. A *εἰς*. [26] Theoph. I, 10 (11), 2.
[27] A *ὑπεξούσιον*. [28] Dig. I, 7, 3.

αὐτοῦ προσπορίζεταί μοι σιωπηρῶς, εἴγε τῶν προσποριζομένων εἰσίν[29].

ιε´. Καὶ ὁ τυφλὸς δύναται καὶ εἰς θέσιν λαμβάνειν τινὰ καὶ εἰς θέσιν ἑτέρῳ δίδοσθαι[30].

ιϛ´. Ἐὰν ἔκγονος [ὡς] ἐξ υἱοῦ υἱοθετεῖται, δέον καὶ τὸν υἱὸν συναινεῖν, κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι ἄκοντί σοι ὁ υἱὸς οὐ γίνεται[31].

ιζ´. Ἐὰν συναινοῦντος τοῦ υἱοῦ μου υἱοθετήσομαι ὡς ἐξ αὐτοῦ ἔκγονον, καὶ εὑρεθῇ ὑπεξούσιος ὁ υἱός μου, μετὰ θάνατόν μου εἰς τὴν ἐξουσίαν τοῦ πατρὸς αὐτοῦ μεταπίπτει. εἰ δὲ μὴ συνήνεσε τῇ θέσει, οὐ γίνεται αὐτοῦ, τελευτῶντός μου, ὑπεξούσιος. ὥστε εἰ ἔτυχεν ὁ πάππος πρὸ τῆς ἐπ᾿ αὐτῷ θέσεως διαθήκην ποιῆσαι, οὐ ῥήγνυσιν αὐτὴν, κἂν τὰ μάλιστα μηδεμίαν ἐν αὐτῇ μνήμην ἐποιήσατο τοῦ ἐκγόνου. μόνος γὰρ ὁ ἐπιτικτόμενος υἱὸς ῥήγνυσι τὴν διαθήκην, καθ᾿ ἣν οὐδεμία τοῦ ἐκγόνου γέγονε μνήμη[32].

ιη´. Λυομένης τῆς θέσεως τῷ τρόπῳ τῆς αὐτεξουσιότητος[33] *οὐδὲ ἓν σχεδὸν ἴχνος τῆς παλαιᾶς φυλάττεται θέσεως, οὐδὲ ἀπολαύει τῶν τοῦ πατρὸς ἀξιωμάτων ὁ παῖς*[34]. *οὐδὲ*[35] *τὴν πάλαι θετὴν θυγατέρα δύναταί τις εἰς γάμον λαβεῖν· τιμᾷ γὰρ ὁ νόμος τοῦ πατρὸς τὸ ὄνομα.*

ιθ´. Θέσεως πραττομένης χρὴ πάντως διαγινώσκειν τὴν ἡλικίαν τοῦ λαμβάνοντος εἰς θέσιν, μὴ ἔλαττόν ἐστι τῶν ξ´ ἐνιαυτῶν. ὁ γὰρ τοιοῦτος ὀφείλει παιδοποιεῖν, εἰ μὴ ἄρα διὰ νόσον[36] *ἐμποδίζεται, ἢ ἐστὶν εὔλογος ἑτέρα αἰτία τοῦ θέλειν αὐτὸν υἱοθετεῖσθαι. τί γάρ; ὅτι βούλεταί τινα τῶν αὐτοῦ συγγενῶν εἰς θέσιν λαβεῖν; πρὸς δὲ τούτοις οὐ δύναταί τις πολλοὺς εἰς θέσιν λαβεῖν· οἷον*[37] *τὸν ἀλλότριον ἀπελεύθερον, οὐδὲ τὸν μείζονα τὴν ἡλικίαν ὁ ἔλαττον τῶν χρόνων*[38]. *πλὴν τὸν ἐν καιρῷ δουλείας τεχθέντα αὐτῷ παῖδα καὶ ἐλευθερωθέντα λαμβάνειν*[39] *εἰς θέσιν δύναται*[40].

κ´. Ἐπ᾿ ἐκείνων γὰρ τῶν προσώπων ἔχει χώραν ἡ θέσις, ἐφ᾿ ὧν καὶ ἡ φύσις[41]. *ἡ γὰρ θέσις, ὡς πολλάκις εἴρηται, μιμεῖται τὴν φύσιν. δεῖ δὲ τὸν εἰς θέσιν λαμβάνοντα μείζονα εἶναι τοῦ υἱοθετουμένου ιη´ ἔτεσιν. ἡ δὲ φύσις πρεσβύτερον οἶδε τοῦ υἱοῦ τὸν πατέρα. νομίζεται γὰρ τέρας εἶναι καὶ τῆς*

---

[29] Dig. I, 7, 15 pr. [30] Dig. I, 7, 9. [31] Dig. I, 7, 6. [32] Dig. 1, 7, 10. 11. [33] F *ἐμαγκηρατίονος*. [34] Dig. I, 7, 13. [35] Malim *οὐ δέ*. [36] F *νόσων*. [37] Lege *οὐδέ*. [38] Dig. I, 7, 15 §. 2. 3. [39] A *αὐτῷ λαμβ.* F *λαμβ. αὐτόν*. [40] Dig. I, 7, 46. [41] Dig. I, 7, 16.

φύσεως ἀλλότριον τὸ λέγειν μείζονα τὸν παῖδα εἶναι τοῦ πατρός[42]. καὶ νῦν ἀναγκαία τοῦ κουράτωρός ἐστιν ἡ αὐθεντεία τοῦ ἀφήλικος εἰς θέσιν παρέχοντος ἑαυτὸν, καὶ δεῖ τὸν κουράτωρα συναινεῖν[43].

κα΄. Οὔτε ὁ γινόμενος ἐπίτροπος οὔτε ὁ κουράτωρ τόν ποτε νέον δύναται λαμβάνειν εἰς θέσιν, ἐν ᾧ ἐλάττων ἐστὶν ὁ υἱοθετούμενος τῶν κε΄ ἐνιαυτῶν. ἴσως γὰρ διὰ τοῦτο αὐτὸν εἰς θέσιν βούλοιντο λαβεῖν, ἵνα μὴ ἀποδώσωσι τοὺς τῆς διοικήσεως λόγους[44].

κβ΄. Ἐκείνοις καὶ μόνοις ἡ τῶν πουπίλλων ἐπιτέτραπται θέσις, οἵτινες ἢ ὑπὸ συγγενείας ἢ ὑπὸ καθαρωτάτης ὑπαχθέντες διαθέσεως βούλονται τούτους λαμβάνειν εἰς θέσιν. καὶ διὰ τοῦτο οἱ ἐπίτροποι τῇ θέσει οὐ συναινοῦσι τοῦ ἀνήβου, ἵνα μὴ τῆς ἐπιτροπῆς ἀπαλλαγῶσι καὶ ἀφανίζωσι τὴν πουπιλλαρίαν ὑποκατάστασιν, ἣν ἐτύπωσεν ὁ πατήρ. ἡ γὰρ πουπιλλαρία ὑποκατάστασις διαθήκη εἶναι νομίζεται τοῦ πουπίλλου[45].

κγ΄. Ὁ λαμβάνων πούπιλλον εἰς θέσιν τὰ σωτηριώδη πάντα αὐτοῦ σκοπεῖ ἡ θέσις[46], τὸ συμφέρον καὶ τὴν οὐσίαν τοῦ υἱοθετηθέντος, καὶ ποίας ἐστὶ πολιτείας, καὶ τὴν τάξιν καὶ τὴν ἡλικίαν τοῦ λαμβάνοντος εἰς θέσιν, μὴ ἐλάττων ἐστὶ τῶν ξ΄ ἐνιαυτῶν. καὶ δεῖ ζητῆσαι, εἰ σεμνή τις αἰτία τὴν υἱοθεσίαν συνεστήσατο, τουτέστιν ἵνα μή ἐστιν αἰσχρὸς ἢ δαπανηρὸς ἢ ἄπορος[47]. δεῖ δὲ πρὸς τούτοις καὶ ἀσφάλειαν ποιῆσαι[48]. ἀναγκάζεται γὰρ τὸ δ΄ μέρος τῶν οἰκείων πραγμάτων καταλεῖψαι τῷ υἱοθετουμένῳ[49], καὶ ὧν αὐτὸς τὸ κέρδος προσεπόρισε μετὰ τὴν θέσιν, κἄντε ἀπὸ δωρεῶν κἄντε ἀπὸ κληρονομιῶν κἄντε ἀπὸ λεγάτων[50].

κδ΄. Περὶ[51] τῶν τῆς ἱκανοδοσίας ῥημάτων, ἣν δίδωσιν ἀδρογάτωρ, ἀνήβου τελευτῶντος τοῦ υἱοθετηθέντος πάντα ἔῤῥωται τὰ ἐν τῇ πουπιλλαρίᾳ ὑποκαταστάσει. ἡ τῶν ἐλευθεριῶν πρόνοια[52], ἃς ἐν τῇ πουπιλλαρίᾳ καταλέλοιπεν ὁ πατὴρ, τῶν δὲ[53] ληγαταρίων ἀναμφίβολος γίνεται πρόνοια ἐκ τῶν τῆς ἱκανοδοσίας ῥημάτων[54].

κε΄. Δύναται ὁ πατρῷος ἐπίτροπος εἶναι καὶ τὸν πρόγο-

---

[42] Theoph. I, 10 (11), 4. [43] Dig. I, 7, 8. [44] Dig. I, 7, 17 pr. [45] Dig. I, 7, 17 §. 1. [46] Verba *ἡ θέσις* in F desunt. Locus corruptus. [47] Dig. 1, 7, 17 §. 2. 4. [48] Dig. I, 7, 17 §. 5. [49] A et F *τὸν υἱοθετούμενον*. [50] Dig. I, 7, 18. Theoph. I, 10 (11), 3. [51] Forte *Διά*. [52] Legendum: *καὶ τῶν ἐλευθερ.*, rejecto verbo *πρόνοια*. [53] Legerim *τε*. [54] Dig. I, 7, 19 pr.

νον λαμβάνειν εἰς θέσιν. εἰ δὲ γενόμενος ἔφηβος ὁ πούπιλλος[55] *δείξει, ὅτι οὐ συμφέρει αὐτῷ εἶναι ἐν ὑπεξουσιότητι, δίκαιόν ἐστιν ἐμαγκιπατεύεσθαι αὐτὸν παρὰ τοῦ πατρὸς τοῦ θετοῦ*[56].

κϛ'. Δύναται εἰς θέσιν λαμβάνειν τινὰ ἐν τάξει ἐκγόνου, κἂν μὴ ἔχῃ υἱόν[57]. *καὶ ἐὰν εἰς θέσιν λάβω υἱὸν, οὐκ ἔστιν αὐτῷ ἐν τάξει μητρὸς ἡ ἐμὴ γαμετὴ, ἀλλ᾽ οὐδὲ ἡ μήτηρ ἡ ἐμὴ γίνεται αὐτῷ ἐν τάξει μάμμης. τῇ μέντοι θυγατρὶ τῇ ἐμῇ γίνεται ἀδελφὸς, ὡς μὴ οὔσῃ ἔξω τῆς ἐμῆς φαμιλίας τε καὶ ὑπεξουσιότητος*[58].

κζ'. Τὰ βάρη τοῦ υἱοθετηθέντος παιδὸς ἐπὶ τὸν πατέρα τὸν θετὸν ἐκ τοῦ φυσικοῦ πατρὸς μεταφέρεται[59]· *καὶ ἀνάγκην ἔχει τρέφειν τὲ αὐτὸν ὁ πατὴρ ὁ θετός. καὶ ἀνάγκῃ πάντα πράττειν, ὅσα τὲ καὶ ὁ φυσικὸς πατὴρ ἐπὶ τοῖς οἰκείοις ἀναγκάζεται πράττειν παισίν.*

κη'. Εἰ κατὰ πλάνην νομίσω σε ὑπεξούσιόν μου εἶναι, τυχὸν γὰρ οὐ κατὰ νόμον υἱοθετησάμην σε, οὐδὲν νέμομαι διά σου. ὡς βι. μα' τί. γ' διγ. μγ'[60].

κθ'. Περὶ εὐνούχων. — Ὁ εὐνοῦχος ὄνομά ἐστι γενικὸν, τέμνεται δὲ εἰς τρία. τῶν γὰρ εὐνούχων οἱ μέν εἰσι σπάδωνες, οἱ δὲ καστράτοι, οἱ δὲ θλιβίαι. καὶ σπάδωνές εἰσιν, οἵτινες διά τι πάθος ἢ ψῦξιν ἐνοχλήσασαν τοῖς γονίμοις μορίοις παιδοποιεῖν κωλύονται, τούτων δὲ ἀπαλλαγέντες παιδοποιοῦσι. θλιβίαι δὲ, οἵτινες ὑπὸ τῆς τροφοῦ ἢ τῆς μητρὸς ἔκθλιψιν τῶν διδύμων ὑπέστησαν. καὶ διὰ τοῦτο οὐ δύνανται υἱοθετεῖν[61]. *καστράτοι δέ εἰσιν, ἐφ᾽ ὧν γέγονεν ἐκτομὴ τῶν γεννητικῶν μορίων. ἀνέλπιστα γὰρ αὐτοῖς τὰ τῆς παιδοποιΐας. ὁ δὲ σπάδων, ἐπειδὴ τοῦτον ἐλπὶς εἰκὸς τοῦ πάθους ἀπαλλαγέντα δύνασθαι παιδοποιεῖν ....*[62] *ὁ δὲ καστράτος καὶ ὁ θλιβίας οὐ δύνανται υἱοθετεῖν· οἷς γὰρ ἡ φύσις ἠρνήσατο παιδοποιεῖν, [τούτοις καὶ ὁ νόμος.]*[63] *καὶ ταῦτα μὲν τὸ παλαιόν. ἀρτίως δὲ γέγονε διάταξις τοῦ ἀεισεβάστου ἡμῶν βασιλέως κυροῦ λέοντος*[64], *οὐ μόνον εὐνοῦχοι υἱοθετεῖν δύνανται, ἀλλὰ καὶ γυναῖκες πρὸς παραμυθίαν τῶν τελευτησάντων αὐταῖς παίδων δύνανται εἰς θέσιν λαμβάνειν, κἂν θήλεια τοὺς φυσικοὺς παῖ-*

---

[55] A *πουπιλάριος*. [56] Dig. I, 7, 32 §. 1 et 33. [57] Dig. I, 7, 37 pr. [58] Dig. I, 7, 23. [59] A *μεταφέρεσθαι*. — Dig. I, 7, 45. [60] Nobis *διγ. μδ'*. [61] Sic A et F. Videntur autem verba transposita esse: nempe illa *καὶ διὰ τοῦτο δύν. υἱοθ.* post *μορίων* collocanda sunt. [62] Adde *υἱοθετεῖ*. [63] Haec addo ex F. — Theoph. I, 10 (11), 9. [64] Nov. Leonis 26 et 27. — Jam desunt quaedam, nisi forte simpliciter addendum sit *ὅτι*.

δας ὑπεξουσίους οὐκ ἔχει· ὁ δὲ νόμος ἀκολουθεῖ τῇ φύσει. ἡ δὲ ἔχουσα[65] *παῖδας οὐδὲ ἀντιγραφῇ βασιλικῇ*[66] *λήψεται εἰς παῖδά τινα.*

λ'. Ὁ γὰρ τὸν δοῦλον εἰς θέσιν[67] *βουληθεὶς λαβεῖν, πρόδηλον, ὅτι τῆς δουλείας αὐτὸν σιωπηρῶς ἔσπευσεν ἀπαλλάξαι· οὗτος τοίνυν, ὃ μὲν ἐξεφώνησεν, οὐκ ἔπραξε· ὃ δὲ [οὐκ] ἐνεθυμήθη, διεπράξατο αὐτό. καὶ τοῦ ἐν ὑπομνήσει ἀποκαλέσαντος τὸν οἰκέτην αὐτοῦ [υἱὸν] υἱὸν μὴ γίνεσθαι, παύσασθαι δὲ τοῦ εἶναι δοῦλον*[68].

λα'. Ἐκ τῆς κζ' νεαρᾶς λέοντος βασιλέως, ἧς ἡ ἀρχή· Καὶ ἄλλως πρέπον ὑπάρχει τὴν ὠφέλειαν ἐν κοινῷ κατατίθεσθαι. — Ὅτι καὶ τοῦτο ἡ βασιλεία ἡμῶν τὸ ὑποχείριον φιλοτιμεῖται, ὥστε μὴ μόνον παρὰ βασιλέως, καθὼς οἱ πρόσθεν ἐπέτρεπον νόμοι, τὸν υἱοθετεῖσθαι βουλόμενον, ἀλλὰ καὶ παντὸς τοῦ καθ' ἑκάστην χώραν τὸ ἄρχειν καὶ διέπειν λαχόντος τὴν ἐξουσίαν λαμβάνειν.

ΤΙΤΛΟΣ ς'[1].

Περὶ νομῆς καὶ οὐσουφρούκτου ἤτοι χρήσεως νομῆς καὶ χρήσεως καρπῶν.*

α'. Εἴρηται ἐν βι. μα' τί. β' τῶν διγ.[2], *ὅτι ἡ νομὴ φυσική ἐστι κατοχή. καὶ ἐκ ταύτης ἀρχὴν ἔλαβεν ἡ δεσποτεία, ὡς δείκνυσι τὰ ἐκ πολέμου λαμβανόμενα καὶ ἡ ἐν θαλάσσῃ νῆσος καὶ οἱ μαργαρῖται οἱ ἐν αἰγιαλῷ εὑρισκόμενοι. τούτων γὰρ πάντων ὁ πρῶτον τῆς νομῆς δραξάμενος δεσπόζει.*

β'. Ἡ νομὴ ἐκ δύο σύγκειται, ἐξ ἀσωμάτων καὶ ἐκ σωμάτων. [καὶ ἐξ ἀσωμάτων μὲν][3], *ὡς δουλεῖαι, χρήσεις· ἐκ δὲ σωμάτων, ἀγρὸς καὶ οἰκία. καὶ ψυχῇ δύναταί τις παρακατέχειν νομὴν, εἰ καὶ τὰ μάλιστα μήτε αὐτὸς μήτε ὀνόματι αὐτοῦ ἐστί τις ἐν κατοχῇ τοῦ πράγματος, ἀλλὰ κατέλιπε τὸ πρᾶγμα ψυχῇ καταφρονοῦντος*[4].

γ'. Τοῦτο δὲ γίνεται ἐπὶ ἀγρῶν καὶ προαστείων· κατα-

---

[65] F *οὐκ ἔχ.* Theoph. I, 10 (11), 10: *μὴ σχοῦσα.* [66] F *δι' ἀντιγραφῆς βασιλικῆς.* [67] Hic lacuna est folii unius in B inter fol. 100 et 101. [68] Theoph. I, 10 (11), 12.

[1] F pergit: *βιβλίον τρίτον τί. λγ' διατ. ι' τοῦ κωδικέλλου περὶ χρήσεως καρπῶν.* * Lege *μόνης.* [2] dig. 1 pr. §. 1. [3] Haec in A recentiori manu in margine adscripta sunt. [4] Theoph. Inst. IV, 15 pr. §. 5.

λιμπάνομεν ταῦτα[5] ἐλπίζοντες καιροῦ καλοῦντος τους αὐτους πάλιν καταλήψεσθαι τόπους[6].

δ'. Τὰ δὲ τῶν[7] σωμάτων καὶ δι' ἡμῶν καὶ διὰ τοῦ ὑπεξουσίου υἱοῦ καὶ διὰ δούλων καὶ διὰ προκουράτωρος καὶ ἐντολέως καὶ θεραπαίνης κτώμεθα νομήν. ὁμοίως καὶ διὰ μισθώσεως καὶ δι' ἑτέρων ὀνομάτων[8].

ε'. Τὸ κελεύσει μου ἑτέρῳ παραδοθὲν ἢ ἀπὸ χρεώστου μου καταβληθὲν πρὸς ἐμὲ δοκεῖ πράττεσθαι[9].

ϛ'. Οἱ πολῖται δι' αὑτῶν οὐδὲν δύνανται νέμεσθαι. οὐδὲ γὰρ τὸν φόρον ἢ τὰς βασιλικὰς νέμονται, ἀλλ' ἐπικοίνως κέχρηνται· διὰ δούλων νέμονται καὶ χρῆσιν ἔχουσιν[10].

ζ'. Τὰ κινητὰ ἢ αὐτοκίνητα χωρὶς ἀνθρώπων, ἕως ὅτε φυλάττει τὶς, νέμεται. εἰ γὰρ τούτων τὶ διαπέσῃ, ὡς μὴ εὑρίσκεσθαι, λέλυται ἡ νομή[11]. καὶ διαθέσει ἀπόλλυται νομή. καὶ ψυχῇ γὰρ μόνῃ ἀπόλλυται νομή[12], οὐ μὴν καὶ κτώμεθα νομήν[13].

η'. Εἰ ὃ παρεθέμην σοι, ψηλαφήσεις ἐπὶ κλοπῇ, πέπαυμαι τῆς νομῆς. εἰ δὲ μὴ μετακινήσεις, κἂν ἀφαιρήσειν[14] προήρησαι, ἐγὼ νέμομαι. κλοπὴ γὰρ μόνῳ λογισμῷ [οὐ] γίνεται[15].

θ'. Εἴ τι ὁ υἱός μου κατάσχῃ, ἐγὼ νέμομαι, κἂν ἀγνοῶν ὑπεξούσιον αὐτὸν εἶναι, ἢ[16] παρ' ἑτέρου ὡς δοῦλος κατέχεται[17]. τὸ αὐτὸ καὶ ἐπὶ δούλου μου τοῦ κελεύσει μου κληρονομοῦντος.

ι'. Ἄλλο γάρ ἐστι τὸ νέμεσθαι καὶ ἄλλο τὸ εἶναι ἐν νομῇ. ὡς ἐπὶ τῆς λεγατόρουμ καὶ τῆς damni infecti, τουτέστι περὶ μελλούσης ζημίας[18].

ια'. Ὁ οὐσουφρουκτουάριος φυσικῶς νέμεται. καὶ οὐ κοινωνεῖ ἡ δεσποτεία τῇ νομῇ[19]. ἀλλὰ καὶ εἴ τι προσθήκη γένηται, τῷ κυρίως νεμομένῳ προστίθεται[20].

ιβ'. Τὸ ἀπὸ ἑνὸς τῶν συνοικούντων θατέρῳ δωρηθὲν οὐκ ἐστὶν ἐννόμου νομῆς[21].

ιγ'. Ὁ μισθωσάμενος ὃ ἐνέμετο, παύεται τῆς νομῆς[22].

---

[5] A *αὐτῶν*. [6] Theoph. Inst. IV, 15 pr. §. 5. [7] Legerim *Τῶν δέ.* [8] Cf. Dig. XLI, 2, 1 §. 2. 5. 6. 9 sqq. 20. — Ultima verba in nostro aperte corrupta sunt. Forte: *μισθωτοῦ καὶ δούλου ἀνίμο νεμόμεθα.* Vide Dig. XLI, 2, 3 §. 12. [9] Dig. XLI, 2, 1 §. 21. [10] Dig. XLI, 2, 1 §. 22. *Χρῆσιν ἔχουσιν* pro *οὐσουκαπιτεύουσιν,* per *ἐξελληνισμόν* saepius in nostro obvium. [11] Dig. XLI, 2, 3 §. 13. [12] Lege *ἀπόλλυμεν νομήν.* [13] Dig. XLI, 2, 3 §. 6. [14] A *ἀναιρ.* [15] Dig. XLI, 2, 3 §. 18. [16] A *εἰ.* [17] Dig. XLI, 2, 4. [18] Dig. XLI, 2, 10 §. 1. [19] Dig. XLI, 2, 12. [20] Dig. XLI, 2, 13 §. 12. [21] Dig. XLI, 2, 16. [22] Dig. XLI, 2, 19 pr.

ιδ΄. Οὐ δύναμαι τὴν αἰτίαν τῆς νομῆς, ἧς ἔχω σωματικῶς καὶ ψυχῇ, ἐναλλάσσειν, εἰ μὴ τὴν προτέραν ἀπολέσας ἑτέρας δράξασθαι βουληθῶ[23].

ιε΄. Ὁ γὰρ τὸν ἐλεύθερον καλῇ πίστει νεμόμενος διὰ χρήσεως οὐ δεσπόζει. νομῆς γὰρ μὴ ὑποκειμένης οὐ προσπορίζεται χρῆσις[24]. ὡς βι. β΄ ἰνστιτ. τί. θ΄[25].

ιϛ΄. Ὁ βίᾳ ἢ λάθρα ἀλλότριον δοῦλον νεμόμενος οὐδὲν αὐτοῦ κτᾶται. πᾶς γὰρ νεμόμενος ἀλλότριον πρᾶγμα κακῇ διαθέσει, τοῦτο κλέπτει καὶ ἀποτελεῖ αὐτὸ κλοπιμαῖον. ἀλλ᾽ ἐνδέχεται γάρ τινα ψηλαφᾶν τὸ ἀλλότριον πρᾶγμα παρὰ γνώμην δεσπότου καὶ κλοπὴν μὴ ἁμαρτάνειν, ὡς ἐπὶ τοῦ ἀγνοήσαντος, ὅτι κλοπιμαῖόν ἐστι, καὶ ἀγοράσαντος[26]· ὁ τοιοῦτος ἀπήλλακται πονηρᾶς διαθέσεως. κλοπὴν δίχα κακῆς[27] διαθέσεως μηδέποτε ἁμαρτάνεσθαι[28].

ιζ΄. Ὃ νέμεται ὁ δοῦλός μου ὀνόματί μου ἀγνοοῦντος, οὐ νέμομαι. εἰ δὲ πεκουλιαρίως, ἐν νομῇ μου ἐστίν. ὃ μέντοι ἀπὸ κλοπῆς ἔσχεν, οὐκ ἔστιν ἐν πεκουλίῳ, ἀλλ᾽ οὐδὲ ἐν νομῇ μου[29].

ιη΄. Ὃ ἀπώλεσα, παύομαι νέμεσθαι. καὶ διὰ μισθωτῶν καὶ ἐνοίκων καὶ δούλων ἡμῶν νεμόμεθα, κἂν ἀποθάνωσιν ἢ τὸ πρᾶγμα μισθώσωσιν. ὁ δὲ ψυχῇ νεμόμενος, ἕως ἂν ἐξεωθῇ ἢ ἀναχωρήσῃ, νέμεται[30].

ιθ΄. Ὥσπερ γὰρ αἱ ἐνοχαὶ οἷς συνίστανται τρόποις καὶ λύονται, οὕτως ἀγνοῶν οὐκ ἀπόλλει νομήν[31]. οὐδὲ[32] παύεται τῷ λογισμῷ νέμεσθαι[33]. ὁ δὲ νήφων[34] λογισμῷ γὰρ καὶ ἀποτίθεται καὶ ἐναλλάσσει νομὴν, πλανώμενος δὲ οὐδὲ κτᾶται οὐδὲ ἀπόλλει[35]. οἷον ὡς ὁ ἀποκρύπτων χρυσίον ὁπουδήποτε, κἂν πλανηθῇ τὸν τόπον, εἰ μὴ ἄλλος κατέσχεν αὐτὸ, ἔτι νέμεται. τὰ ὑπὸ γῆν γὰρ νεμόμεθα, ὥσπερ καὶ τὸν δοῦλον τὸν μὴ ὁρώμενον[36]. καὶ τὸν κολωνὸν, εἰ ἐξέλθοι ἐκ τοῦ ἀγροῦ μου ἐφ᾽ ᾧ ὑποστρέψαι, ἐγὼ νέμομαι[37].

κ΄. Ἐπὶ τῶν ἀκινήτων κλοπὴ οὐχ ἁμαρτάνεται. λείπεται δὲ τοίνυν δεκαετία ἢ εἰκοσαετία εἰς τὸ δεσπότην γίνεσθαι τοῦ ἀγροῦ τὸν καλῇ πίστει νεμόμενον, φυλαττόμενον ὑπὸ τῶν διατάξεων, μηδενὸς ἀφαιρεθῆναι τὴν μακρὰν καὶ ἀμφίβολον νομήν[38].

---

[23] Ibid. §. 1. [24] Theoph.: οὐ προάγεται οὐσουκαπίων. [25] Theoph. Inst. II, 9, 4. [26] Imo πωλήσαντος. [27] A καλῆς. [28] Theoph. Inst. II, 6 §. 3—5. [29] Dig. XLI, 2, 24. [30] Dig. XLI, 2, 25. [31] Dig. XLI, 2, 46. [32] Legerim ὁ μανεὶς οὐ, nisi quaedam exciderunt. [33] Dig. XLI, 2, 27. [34] A νίφω. [35] Dig. XLI, 2, 34 pr. [36] Dig. XLI, 2, 44 pr. [37] Dig. XLI, 2, 31. [38] Theoph. Inst. II, 6, 7.

κα΄. Ὁ ἐναγόμενος περὶ τύχης, εἰ μὲν ἐν νομῇ δουλείας ἐστὶν, αὐτὸς βαρεῖται τῇ ἀποδείξει, ὅτι εὐγενής ἐστιν· εἰ δὲ ἐν νομῇ ἐλευθερίας ἐστὶ, τότε ὁ ἐνάγων αὐτὸν ὀφείλει δεῖξαι, ὅτι δοῦλός ἐστιν[39]. σῃ. τότε ἀρνήσεως οὐκ ἔστιν ἀπόδειξις, ὅτε οὐ μάχεται πρόληψις· ἀεὶ γὰρ ἐν[40] προλήψει μάχεται ἡ ἄρνησις.

κβ΄. Ὅπου ἡ τῆς νομῆς βία γέγονεν, ἐκεῖ καὶ τὸ περὶ αὐτῆς γυμνάζεται δικαστήριον[41]. ἐν ᾧ εἰ μὲν καλῇ πίστει νεμόμεθα, πρὸς παρόντων [ἄχρι] ι΄ ἐνιαυτῶν, πρὸς ἀπόντων ἄχρι κ΄· εἰ δὲ κακῇ πίστει, ἄχρι λ΄[42]. κακὴ δὲ πίστις ἐστὶν, ὅταν τὶς εἰδὼς τὸ πρᾶγμα ἀλλότριον εἶναι οἰκείῳ ὀνόματι νέμηται.

κγ΄. Περὶ χρήσεως καρπῶν. — Χρῆσίς ἐστι δίκαιόν τι, ὃ ποιεῖ με κατὰ ἀλλοτρίων πραγμάτων ἔχειν χρῆσιν καὶ ἐπικαρπίαν[43]. ἐστὶ γὰρ ἡ χρῆσις τῶν καρπῶν ἐν σώματι, οὗτινος φθειρομένου συμφθείρεται[44].

κδ΄. Χρῆσις καρπῶν ἀγροῦ ἐστι τὸ γεωργεῖν τὸν ἀγρὸν καὶ καρπίζεσθαι τὸν τὴν χρῆσιν ἔχοντα[45]. αὐτῷ γὰρ διαφέρει τὰ ἐν αὐτῷ γινόμενα καὶ τὰ ἐξ αὐτοῦ δυνάμενα λαμβάνεσθαι[46].

κε΄. Χρῆσις δὲ μόνη ἐστὶ τὸ κεχρῆσθαι τοῖς ἐκεῖσε λαχάνοις, ὀπώραις, ἄνθεσι, χορτοφύλλοις, ξύλοις τοῖς πρὸς τὴν καθημέραν χρῆσιν ἐξαρκοῦσι, ἥντινα ψιλὴν χρῆσιν[47] ἐκάλεσεν. οὐκ ἔξεστι τῷ ἔχοντι ταύτην πιπράσκειν ἢ μισθοῦν ἢ προῖκα παραχωρεῖν ἑτέρῳ, ὁπότε τῷ ἔχοντι χρῆσιν τῶν καρπῶν ταῦτα πάντα πράττειν ἐπιτέτραπται[48].

κϛ΄. Χρῆσις δὲ καρπῶν προβάτων ἐστὶ τὸ κεχρῆσθαι τῷ γάλακτι, τοῖς ἀρνίοις, τῷ ἐξ αὐτῶν ἐρίῳ. χρῆσις δὲ μόνη ἐστὶ τὸ κοπρίζειν δι᾽ αὐτῶν τὸν ἴδιον ἀγρόν[49].

κζ΄. Πᾶς πόρος τῷ τὴν χρῆσιν ἔχοντι τῶν καρπῶν ἀνήκει[50]. οἷον πρόσχωσις καὶ τὰ ἐκ τῶν ἀνεπαισθήτως γινόμενα. οὐ μὴν τῆς ἐν ποταμῷ τεχθείσης νήσου τοῦ ἀγροῦ. ἀνήκει[51] δὲ αὐτῷ καὶ τὰ ἰξευόμενα τουτέστι τὰ κυνηγούμενα[52].

κη΄. Ὁ τὴν χρῆσιν ἔχων τῶν καρπῶν ἀποδίδωσι τὰ δημόσια καὶ τὰ δαπανήματα καὶ τὰς ἐκ τοῦ πράγματος ἐαθείσας διατροφάς. καὶ ἀνανεοῖ, ὥσπερ ἐγκεντρίζει τὰ δένδρα[53].

κθ΄. Καὶ δι᾽ ἡμῶν αὐτῶν καὶ διὰ τῶν ὑπεξουσίων ἡμῶν κτώμεθα χρῆσιν καρπῶν[54]. οἷον παρεχώρησά σοι τὸν οὐσού-

---

[39] Dig. XL, 12, 7 §. 2. [40] Abundat. [41] Cod. III, 16, 1. [42] Nempe epitomator nonnulla omisit. [43] Theoph. II, 4 pr. [44] Dig. VII, 1, 2. [45] A *τῷ — ἔχοντι*. [46] Dig. VII, 1, 9 pr. [47] A *κλῆσιν*. [48] Theoph. II, 5, 1. [49] Theoph. II, 5, 4. [50] Dig. VII, 1, 7 pr. [51] A *ἀρκεῖ*. [52] Dig. VII, 1, 9 §. 4. 5. [53] Dig. VII, 1, 7 §. 2. 3. [54] Dig. VII, 1, 6 §. 2.

φρουκτον τοῦ ἐμοῦ οἰκέτου· ἐφ᾽ ὅσον περίεστιν ὁ οἰκέτης, ὁ οὐσούφρουκτος συνίσταται· τούτου δὲ τελευτήσαντος ἡ χρῆσις ἀποσβέννυται[55].

λ΄. Ὁ μὲν κληρονόμος εἶχε τοῦ ἐμοῦ ἀγροῦ τὴν δεσποτείαν, ὁ δὲ ληγατάριος τὴν χρῆσιν. ἢ καὶ ἐκ τοῦ ἐναντίου ἐληγάτευσά σοι τὸν ἀγρὸν παρακατεχομένου τοῦ οὐσουφρούκτου· ἐνταῦθα ὁ μὲν λεγατάριος τὴν δεσποτείαν ἕξει, ὁ δὲ κληρονόμος τὴν χρῆσιν[56].

λα΄. Ὁ ἔχων οὐσούφρυκτον τῶν φθειρομένων, εἰ μὴ πρότερον δώσει τὸν περὶ ἀποκαταστάσεως καυτίονα, οὐ δύναται αὐτὰ ἀπαιτεῖν, οἷον σῖτον, ἔλαιον, ἐσθῆτα· οἷς ἐστι παραπλήσια καὶ τὰ ἀργύρια· ἐν αὐτῇ γὰρ τῇ χρήσει καὶ τῇ συνεχεῖ ἐναλλαγῇ ἐκ τοῦ [ἐξ] ἑτέρου μετιέναι εἰς ἕτερον τρόπον τινὰ ἀποσυμβαίνει[57].

λβ΄. Ὁ οὐσούφρουκτος κατὰ ἀλλοτρίας δεσποτείας ἐστί. καὶ διὰ τοῦτο παρέξεις μοι ἱκανοδοσίαν, ὅτι τοσαῦτά μοι ἀποκαταστήσεις, ὅσα καὶ λαμβάνεις, ἐὰν συμβῇ τελευτῆσαί σε ἢ ὑποστῆναι capitis deminut*ίονα*[58].

λγ΄. Σβέννυται ἡ χρῆσις τῇ φθορᾷ τοῦ οἴκου καὶ τῇ ἀνανεώσει τοῦ ἐδάφους καὶ τῇ ἀχρησίᾳ τοῦ χρόνου καὶ τῷ θανάτῳ τοῦ οὐσουφρουκτουαρίου[59].

λδ΄. Καινὴν ἀμφίασιν βαλεῖν τοῖς ἀναμφιάστοις τοίχοις ὁ τὴν χρῆσιν ἔχων οὐ δύναται, κἂν κρεῖττον τὴν αἵρεσιν τοῦ δεσπότου ποιεῖ[60]. ἀνανεοῖ δὲ τὰ ἀνακέραμα[61], καὶ τὰ ἐπὶ τέρψεως, οἷον γράψαι καὶ ψηφῶσαι καὶ τὰ λοιπά[62].

λε΄. Οὐ δύναται δεσπότης ὑψοῦν τὸν οἶκον ἄνευ τοῦ οὐσουφρουκτουαρίου, οὔτε ἅλωνος ληγατευθείσης οἰκοδομεῖν ἐν αὐτῇ[63].

λϛ΄. Ἡ γονὴ τῆς δαμάλεως οὐκ ἐστιν οὐσούφρουκτος αὐτῆς, οὐδὲ τοῦ ἀγροῦ οὐσούφρουκτος ὁ οἶνος καὶ ὁ σῖτος, ἀλλὰ καρποί. σωματικὰ γάρ εἰσι ταῦτα, οὐκ ἀσώματα δίκαια. ὡς βι. κα΄ τί. β΄ διγ. μγ΄.

λζ΄. Ἀπὸ τῆς καυσίμης ὑποοθώματα καὶ κλάδους ἀπὸ τῶν δένδρων λαμβάνει ὁ τὴν χρῆσιν ἔχων. ἀπὸ δὲ μὴ τῆς τοιαύτης ὕλης δένδρα μεγάλα οὐ δύναται κόψαι, εἰ μὴ πρὸς ἀνανέωσιν τοῦ ἐποικίου[64] ἐργάσιμα, ὥσπερ καὶ ἄσβεστον ἑψεῖν καὶ

---

[55] Theoph. II, 4 pr. [56] Theoph. II, 4, 1. [57] Theoph. II, 4, 2. [58] Theoph. l. l. [59] Cf. Theoph. II, 4, 3. [60] Dig. VII, 1, 44. [61] A *ἀνὰ κέραμον.* [62] Dig. VII, 1, 7 §. 2. 3. [63] Dig. VII, 1, 7 §. 1. [64] A *ἐπιοικείου.*

ψάμμον ὀρύττειν καὶ ἄλλο τὶ τῷ ἔργῳ[65] ἀναγκαῖον δύναται λαβεῖν[66].

λη'. Δύναται παραχωρεῖν ἑτέρῳ καρπίζεσθαι ὁ τὴν χρῆσιν ἔχων ἢ μισθοῦν καὶ πιπράσκειν. ὁ γὰρ πωλῶν ἢ μισθῶν νέμεται, καὶ ὁ δωρούμενος ἢ κατὰ παράκλησιν διδοὺς νέμεται[67]. ὡς βι. γ' τί. λγ' διατ. ι'[68] τοῦ κώδ.

λθ'. Ὁ τοκετὸς τῶν δούλων τῇ δεσποτείᾳ διαφέρει, οὐ μὴν ὁ τὴν χρῆσιν ἐπ' αὐτοῖς ἔχων ὡς τὰς ὀπέρας τουτέστι δουλείας καὶ ἐργασίας τοῦ δούλου[69].

μ'. Οὐ γὰρ γίνεται τῶν[70] καρπῶν δεσπότης ὁ τὴν χρῆσιν ἔχων, εἰ μὴ ὑπ' αὐτοῦ ληφθῶσιν. εἰ δὲ μετὰ ταῦτα δράξεται αὐτῶν, δεσπότης[71] αὐτῶν γίνεται[72].

μα'. Ἐὰν θερίσας σῖτον ἢ κριθὰς ἤ τι τοιοῦτον ὁ οὐσουφρουκτουάριος μήπω δὲ ἀλοήσας, ἢ τεμὼν σταφυλὴν ἢ τινάξας τὴν ἐλαίαν μήπω δὲ θλίψας αὐτὰς τελευτήσει, ὁ τὴν χρῆσιν ἔχων παραπέμπει τὴν δεσποτείαν τούτων[73] ἁπάντων τοῖς ἰδίοις αὐτοῦ κληρονόμοις. βι. ζ' τί. δ' διγ. ιγ'.

μβ'. Εἰ καὶ πεπείρους ὄντας τοὺς καρποὺς μήπω χωρίσας αὐτούς τις τῆς γῆς ἢ τῶν δένδρων τελευτήσῃ, ὁ τὴν χρῆσιν ἔχων οὐ παραπέμπει αὐτὰ τοῖς ἰδίοις κληρονόμοις. βι. [ς'] τί. α' διγ. οη'[74].

μγ'. Ὥσπερ τὸ ληγατευόμενον ὑπὸ αἵρεσιν πρὸ μὲν τῆς ἐκβάσεώς ἐστι τοῦ κληρονόμου, μετὰ δὲ ταύτης τοῦ λεγαταρίου, οὕτως καὶ ὁ τὴν δεσποτείαν ἔχων εἰς τὴν περὶ κλοπῆς[75] τὴν τοῦ πράγματος ἀπαίτησιν ἔχει, ὁ δὲ τὴν χρῆσιν ἔχων τὴν περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγὴν ἔχει[76].

μδ'. Ἐὰν χρησθεῖσά σοι θεράπαινα τίκτει παρὰ σοί, ἀπαιτεῖ ὁ δεσπότης καὶ ἐπὶ τῷ τοκετῷ αὐτῆς κουστοδίας τουτέστιν ἀσφαλείας, ὥσπερ καὶ ἐπὶ ἐσθῆτι τοῦ χρησθέντος οἰκέτου καὶ ἐπὶ τοῖς πώλοις ἢ μόσχοις ἢ ἀρνοῖς τοῖς ἐπερχομένοις τῷ χρησθέντι σοὶ βοσκήματι[77].

με'. Ἐπὶ πάσης χρήσεως καρπῶν καλῶς ἐπιζητεῖ πρότερον ἐγγύας λαβεῖν ὁ τὴν δεσποτείαν ἔχων. εἰ δὲ πολλοί εἰσιν οἱ τὴν χρῆσιν χρεωστοῦντες, ἑκάστῳ ἡ ἀσφάλεια δίδοται[78].

---

[65] A τῶν ἔργων τῶν ἀναγκαίων. [66] Dig. VII, 1, 10. 11. 12 pr. [67] Dig. VII, 1, 12 §. 2. [68] An ιγ'? [69] Videntur quaedam omissa esse. Cf. Theoph. II, 1, 37. [70] Deest in C. [71] C ὁ δεσπ. [72] Dig. VII, 1, 12 §. 5. [73] C αὐτοῦ τῶν. [74] C η'. [75] Haec corrupta sunt. [76] Dig. VII, 1, 12 §. 5. [77] Haec fugitiva esse videntur, non enim usumfructum (τὴν χρῆσιν τῶν καρπῶν), sed commodatum (τὸ ἐν χρήσει δοθὲν) spectant. Cf. Dig. XIII, 6, 5 §. 9. XLVII, 2, 14 §. 15. [78] Dig. VII, 1, 13 pr.

μϛʹ. Κρείττονα τὴν αἵρεσιν οὐ μὴν χείρονα τῆς δεσποτείας δύναται ποιεῖν ὁ τὴν χρῆσιν ἔχων. οὔτε γὰρ ἐκκόπτειν κάρπιμον δένδρον, οὔτε τὰ πρὸς τέρψιν ἱστάμενα ἐπὶ τερπνὸν τόπον, οὔτε ἐναλλάσσειν τὰς οἰκίας καὶ ἑτέρας σχηματίζειν ἢ μετατιθέναι ἢ μὴ κατὰ ἀνάγκην πρὸς ὑποδοχὴν τῶν καρπῶν ποιεῖν τι. φιλοκαλεῖν γὰρ ὀφείλει, οὐ μὴν ἐναλλάττειν τὸ εὑρεθέν[79]. τῶν δὲ[80] τῇ βίᾳ τῶν ἀνέμων ἐκριζωθέντων καὶ καταπεσόντων οὐκ ἀναγκάζεται ἀντικαταστῆσαι αὐτοῖς ἄλλα[81].

μζʹ. Τὸ τέλος τοῦ κανάλου καὶ τοῦ ὑδραγωγίου καὶ τῆς ὁδοστρωσίας καὶ τῆς στρατιωτικῆς παρόδου[82] καὶ τοῦ πολιτικοῦ καὶ τὰ δημόσια τέλη ὁ τὴν χρῆσιν ἔχων δίδωσιν[83].

μηʹ. Πάντων τῶν πραγμάτων ληγατεύειν τὴν χρῆσιν δυνάμεθα, ἐν ᾧ μὴ ὑπερβαίνει τὸ ...[84]

μθʹ. Ἐὰν ὁ δεσπότης τὰ χρησθέντα[85] ἐργαστήρια εἰς ἴδια φορτία ἀποθέσθαι εἰώθει ἐπὶ πραγματείᾳ, δύναται ὁ τὴν χρῆσιν ἔχων αὐτὰ μισθοῦν. ἀρκεῖ γὰρ αὐτῷ τὸ μὴ καταφρονητικῶς ἢ ὑβριστικῶς χρῆσθαι τῇ χρήσει[86].

νʹ. Ἐὰν οἴκου ληγατευθῇ μοι χρῆσις, ἐφ᾽ ὅσον οἱονδήποτε μέρος αὐτοῦ σώζεται, τοῦ παντὸς ἐδάφους ἔχω τὴν χρῆσιν[87].

ναʹ. Ἐὰν χρῆσις εἰς διατροφὰς τῶν ἀπελευθέρων καταλειφθῇ, τὰ μέρη τῶν τελευτώντων πρὸς τὸν δεσπότην ὑποστρέφει[88].

νβʹ. Ἐὰν δύο περὶ δεσποτείας φιλονεικοῦσιν, ὁ τὴν χρῆσιν ἔχων ὀφείλει ἐν νομῇ εἶναι[89].

νγʹ. Ὀφείλει πάντα ποιεῖν ὁ τὴν χρῆσιν ἔχων, ὅσα περὶ τὰ ἴδια ποιεῖ ἐπιμελὴς οἰκοδεσπότης[90].

νδʹ. Τὰ ἐν τῇ ζωῇ τοῦ διατιθεμένου παλαιωθέντα ὁ κληρονόμος ἀνανεοῦν οὐ δύναται[91].

νεʹ. Ὅτε ἡνωμένως ληγατευθῇ ἡ χρῆσις τῶν καρπῶν, τότε ἁρμόζει τὸ δίκαιον τῆς προσαυξήσεως[92].

νϛʹ. Ἐὰν διῃρημένως ἐμοὶ καὶ σοὶ ἐνιαυτὸν παρ᾽ ἐνιαυτὸν χρῆσις καρπῶν ληγατευθῇ, γυμνὴ μένει ἡ δεσποτεία. ἐὰν δὲ ἀποθάνῃ ὁ εἷς ἡμῶν, τὴν χρῆσιν αὐτοῦ ὁ τὴν δεσποτείαν ἔχων νέμεται· οὔτε γὰρ ἔχομεν προσαύξησιν[93].

---

[79] Dig. VII, 1, 13 §. 4. 6. 7. [80] Forte δένδρων. [81] Haec παραγραφὴν sapiunt ad Dig. VII, 1, 18. [82] C στρατικῆς περιόδου. [83] Dig. VII, 1, 27 §. 3. [84] In AC lacuna est. Supple ἐννεαούγκιον. — Est Dig. VII, 1, 29. [85] Legerim: κεχρῆσθαι τοῖς ἐργαστηρίοις εἰς τό. [86] Dig. VII, 1, 27 §. 1. [87] Dig. VII, 1, 53. [88] Dig. VII, 1, 57 §. 1. (Locus in Basil. XVI, 1, 57 restituendus.) [89] Dig. VII, 1, 60 §. 1. [90] Dig. VII, 1, 65 pr. [91] Ibid. §. 1. [92] Dig. VII, 2, 1 pr. [93] Dig. VII, 4, 2 pr.

νζ΄. Εἰ μὲν ἅμα δύο τισὶν ἐνιαυτὸν παρ᾽ ἐνιαυτὸν χρῆσις καρπῶν ληγατευθῇ, τὸν πρῶτον ἐνιαυτὸν ἅμα νέμονται, ὥσπερ εἰ ἑνὶ ἐληγατεύθη[94].

νη΄. Ἐὰν δύο ληγατευθῇ δεσποτεία, καὶ ἄλλῳ χρῆσις καρπῶν, οἱ δύο τὸ ἥμισυ ἔχουσιν, καὶ ὁ ἄλλος τὸ ἥμισυ[95].

νθ΄. Τὰ λεγάτα καὶ αἱ χρήσεις καὶ αἱ κληρονομίαι τότε προχωροῦσιν, ὅτε ὑπεισέλθῃ ὁ κληρόνομος τῇ κληρονομίᾳ, κἂν ἐπὶ ἡμέραν ἢ ὑπὸ ἡμέρας ἢ καθ᾽ ἕκαστον ἐνιαυτὸν ληγατευθῇ[96].

ξ΄. Ἐὰν τῷ εἰς χρῆσίν μοι δοθέντι δούλῳ ἐπερωτηθῇ ὁ μέλλων μοι δωρήσασθαι, ἐμοὶ ἐνέχεται. εἰ δὲ ἐμαυτῷ ἐπερωτήσω, ἢ κατὰ δωρεὰν δούλῳ, οὗ τὴν χρῆσιν ἔχεις, καὶ καταβληθῇ τῷ δούλῳ, σοὶ προσπορίζεται, ἐν ᾧ σε λαβεῖν ἤθελον[97].

ξα΄. Ἔσθ᾽ ὅτε ἐν ἠρτημένῳ ἐστὶν ὁ διὰ τοῦ εἰς χρῆσιν ὄντος δούλου προσπορισμὸς, ἔνθα πρᾶγμα λάβῃ ἐξ ἀγορασίας, μὴ δεδωκὼς τὸ τίμημα, ἀλλὰ ἀσφαλισάμενος, ἢ ἐπερωτήσει μέλλων δανείζειν. εἰ μὲν γὰρ [ἐκ] τῶν τοῦ εἰς χρῆσιν ἔχοντος[98] δανείσῃ τὰ χρήματα, αὐτῷ ἄνωθεν προσπορίζεται· εἰ δὲ μὴ, τῷ τὴν δεσποτείαν ἔχοντι· εἴτε συνεστώσης τῆς χρήσεως εἴτε λυθείσης παράσχῃ. τοῦτο νόησον.

ξβ΄. Ἐὰν φθαρῇ ὁ οὐσούφρουκτος, οὐδὲ μίαν ἔχω ἐπὶ τῷ πράγματι ἀγωγήν. βι. ιθ΄ τί. α΄ διγ. κδ΄.

ξγ΄. Ὅπερ οὐ δύναται προσπορισθῆναι τῷ τὴν χρῆσιν ἔχοντι, προσπορίζεται τῷ τὴν δεσποτείαν ἔχοντι. οὐ καλῶς δὲ ἐπερωτᾷ ὀνόματι αὐτοῦ τοῦ τὴν χρῆσιν ἔχοντος μὴ ἐκ πράγματος αὐτοῦ ἢ ἐξ ἰδίας ὑπηρεσίας[99].

ξδ΄. Δύναται ὁ δεσπότης ὑποτίθεσθαι τὴν δεσποτείαν μὴ βλάπτων τὸ τοῦ οὐσουφρούκτου δίκαιον. ὡς βι. λγ΄ διάτ. β΄[100].

ΤΙΤΛΟΣ ζ΄.

Περὶ μισθώσεως καὶ ἐκμισθώσεως καὶ περὶ ἐμφυτεύσεως.

α΄. Μίσθωσις καὶ ἡ ἐκμίσθωσις ἔοικε τῇ πράσει καὶ τῇ ἀγορασίᾳ καὶ διὰ τῶν αὐτῶν πρόεισι κανόνων. ὥσπερ γὰρ ἡ πρᾶσις τότε συνίσταται, ὅτε τὸ τίμημα ἑκατέρῳ μέρει ἀρέσει,

---

[94] Dig. VII, 4, 2 §. 2. [95] Dig. VII, 2, 9. [96] Haec si non corrupta, tamen pessime epitomata sunt ex Dig. VII, 3. [97] Dig. VII, 1, 24. 25. [98] C ὄντος. Dig. VII, 1, 25. [99] Dig. VII, 1, 25 §. 3. [100] Non invenio.

οὕτω καὶ ἡ μίσθωσις συνίστασθαι νοεῖται, εἰ τὸ μίσθωμα τοῖς μέρεσιν ἤρεσεν[1].

β'. Ὁ μισθωσάμενος πάντα κατὰ τὸν ὅρον τῆς μισθώσεως ὀφείλει ποιεῖν, τουτέστι κατὰ τὸ δόξαν μεταξὺ τῶν συναλλαττόντων. εἰ δέ τι ἐν τοῖς συμφώνοις παροφθῇ, κατὰ τὸ κάλλιστον καὶ τὸ δίκαιον ὀφείλει τοῦτο τυποῦσθαι[2].

γ'. Ἐὰν χρήσω τινὶ ἐσθῆτα ἢ ζῶον, εἶτα ὑπὲρ τῆς χρήσεως τούτου ῥητὸν χρυσίον λόγῳ μισθοῦ δοθῇ μοι ἢ ὁμολογηθῇ δίδοσθαι, ὁ λαβὼν τοσαύτην ἐπιμέλειαν περὶ τὴν φυλακὴν ποιεῖν ὀφείλει, ὅσην σφόδρα ἐπιμελέστατος περὶ τὰ οἰκεῖα παρέχει πράγματα[3].

δ'. Ἐὰν γὰρ παράσχῃ, καὶ τυχηρῶς τὰ χρησθέντα ἀπολεῖται πράγματα, προφάσει τῆς τῶν πραγμάτων ἀποκαταστάσεως οὐ κρατεῖται[4].

ε'. Ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ῥᾳθυμίας καὶ ἀθυμίας ἐνέχονται[5]. ἐὰν μυόβρωτον γένηται τὸ δοθὲν τῷ κναφεῖ, ἐνέχεται. καὶ ἐὰν ἑτέρῳ τὸ ἑτέρου παράσχῃ, κἂν ἐν ἀγνοίᾳ, ἐνέχεται[6]. ὁ δὲ μισθωσάμενος ἀγέλην τοῖς τυχηροῖς οὐχ ὑποπίπτει· ἀλλὰ καὶ τὸν μισθὸν αὐτῆς λαμβάνει, ἐὰν δειχθῇ, ὅτι χωρὶς ἀπάτης αὐτοῦ λῃσταὶ αὐτὴν ἀφείλοντο[7].

ς'. Ὁ μισθωσάμενος ἄλογον ἐπὶ τῷ βαστάσαι τὶ δῆλον καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνέχεται[8].

ζ'. Εἰ καὶ ἐν ἀγνοίᾳ μισθώσω πίθους κεκλασμένους καὶ ἐκχυθῇ ὁ οἶνος, εἰς τὸ διαφέρον ἐνέχομαι. ὁμοίως καὶ ὁ λαβὼν μισθὸν ἐπὶ παραφυλακῇ πράγματος κινδυνεύει περὶ τὴν αὐτοῦ φυλακήν[9].

η'. Ἐάν τις ἐπὶ τῷ μετακομίσαι μισθώσεται κίονα, καὶ κλασθῇ ἐν τῷ κουφίζεσθαι ἢ βαστάζεσθαι ἢ ἀποτίθεσθαι, οὐκ ἐνέχεται, εἰ μὴ ἀπὸ ῥᾳθυμίας οἰκείας καὶ τῶν ὑπουργούντων αὐτῷ[10].

θ'. Ἐὰν λάβῃ τὶς ἐπὶ τῷ ἐγγλύψαι ἢ ἐγκλεῖσαι λιθέαν καὶ κλασθῇ, εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου, ἐνέχεται· εἰ δὲ ἀπὸ αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται, εἰ μὴ τὸν κίνδυνον ἀνεδέξατο[11].

ι'. Ὁ ἐπὶ χρήμασι μισθωσάμενος τὴν συμβᾶσαν τοῖς καρ-

[1] Theoph. III, 24 pr. [2] Theoph. ibid. §. 5. [3] Theoph. l. l. [4] Theoph. l. l. [5] Dig. XIX, 2, 9 §. 5. — Proch. XVII, 3. [6] Dig. l. l. dig. 13 §. 6. — Proch. XVII, 10. [7] Dig. XIX, 2, 9 §. 4. — Proch. XVII, 2. [8] Dig. XIX, 2, 30 §. 2. — Proch. XVII, 21. [9] Dig. XIX, 2, 19 (§. 1) et 40. — Proch. XVII, 14. 22. [10] Dig. XIX, 2, 25 §. 7. — Proch. XVII, 20. [11] Dig. XIX, 2, 13 §. 5. — Proch. XVII, 9.

ποῖς ἄμετρον βλάβην ἐκ τῆς γενομένης θεομηνίας οὐκ ἐπιγινώσκει ὁ μισθωσάμενος[12], ἀλλὰ τὴν μετρίαν. ὁ δὲ τοὺς καρποὺς μεριζόμενος μετὰ τοῦ μισθωσαμένου ὡσανεὶ δικαίῳ κοινωνίας, καὶ τὸ κέρδος καὶ τὴν ζημίαν συμμερίζεται τῷ δεσπότῃ[13].

ια΄. Ἐφ᾽ ὅσον ὁ τῆς μισθώσεως παρεκτείνεται χρόνος, οὐ δύναται ὁ δεσπότης αὐξῆσαι τὸν κανόνα ἢ ἐκβάλλειν τὸν μισθωσάμενον. βι. δ΄ τί. ξε΄ διάτ. [ις΄].

ιβ΄. Ὁ τὸ ἴδιον πρᾶγμα ἐν ἀγνοίᾳ μισθωσάμενος μίσθωσιν ἀνυπόστατον συναλλάσσει[14].

ιγ΄. Ἐὰν πενταετίαν[15] μισθώσω τὸν ἐμὸν ἀγρόν τινι, ἐν δὲ τῷ δευτέρῳ τυχὸν ἢ τρίτῳ ἐνιαυτῷ τελευτήσῃ ὁ μισθωσάμενος, ὁ κληρονόμος αὐτοῦ ὑπεισελεύσεται τὴν μίσθωσιν μέχρι τῆς πενταετίας[16].

ιδ΄. Ὁ μετὰ τὴν συμπλήρωσιν τῆς μισθώσεως μὴ ἀποκαθιστῶν τὸ πρᾶγμα, ἀλλὰ μένων ἄχρι αὐτοτελοῦς ἀποφάσεως [μὴ] ἀποκαθιστῶν[17], καὶ τὸ πρᾶγμα ἀποδιδότω καὶ τὴν διατίμησιν αὐτοῦ[18].

ιε΄. Ἐὰν χωρὶς αἰτίας καταλίπῃ τὸν ἀγρὸν ὁ μισθωσάμενος πρὸ τῆς συμπληρώσεως τοῦ χρόνου, δίδωσιν ὅλον τοῦ χρόνου τὸ μίσθωμα[19].

ις΄[20]. Πᾶσαν βίαν, ᾗ οὐ δύναται ἀντιστῆναι ὁ μισθωτὸς, ὁ δεσπότης ἐπιγινώσκει. τὰ δὲ ἀπὸ αἰτίας τοῦ πράγματος συμβαίνοντα πρὸς ζημίαν εἰσὶ τοῦ μισθωτοῦ, ἐὰν τυχὸν ὁ οἶνος ὀξίσῃ ἢ ἄλογον[21] μετακοιτήσῃ φοβηθέν[22]. τὰ δὲ ἀπὸ συμφώνου, ἐὰν συμφωνηθῇ μὴ ἔχειν πῦρ καὶ σχῇ, ἐνέχεται, εἰ καὶ κατὰ τύχην ὁ ἐμπρησμὸς γένηται. τὸ αὐτὸ καὶ ὁ συμφωνῶν μὴ ἔχειν ἐν τῷ οἴκῳ χόρτον καὶ σχῇ[23].

ιζ΄. Ἐὰν[24] κατὰ πλάνην τὶς μισθώσηται τὸ ἴδιον, οὐκ ἔῤῥωται ἡ μίσθωσις, οὐδὲ στερεῖται[25] τοῦ οἰκείου. ὡς δηλοῖ ἡ λδ΄[26] διάτ. τοῦ κώδ. ὅτι παρ᾽ ὃν[27] ὀφείλει τὴν νομὴν αὐτοῦ ἀποκαταστῆσαι τὸν μισθώσαντα καὶ οὕτως κινῆσαι περὶ τῆς δεσποτείας τοῦ πράγματος πρὸ καταδίκης· ἐπεὶ καὶ τὴν διατί-

---

[12] Verba ὁ μισθ. abundant. [13] Dig. XIX, 2, 25 §. 6. — Proch. XVII, 19. [14] Cod IV, 65, 20. [15] V ἐπὶ πεντ. [16] Theoph. III, 24 §. 6. [17] C ἀποκαθιστᾶν omissa negatione. [18] Cod. IV, 65, 33 (34). [19] Dig. XIX, 2, 55 §. 2. — Proch. XVII, 25. [20] F inscribit: βι. ιθ΄ τί. θ΄ διάτ. ιβ΄. [21] C εὐλόγως. [22] C φοβηθείς. [23] Dig. XIX, 2, 15 §. 2. 3 et 11 §. 1. 4. — Cf. Proch. XVII, 4. 5. [24] A Κἂν. [25] C οὐδ᾽ ὕστερ. [26] V λγ΄. [27] Haec corrupta sunt. V ὅτι τὸ παρὸν. Forte τί. τοῦ παρόντος.

μησιν αὐτοῦ ἀπαιτεῖ σὺν τῇ ἀποκαταστάσει. βι. δ' τί. ξε' διάτ. κ' τοῦ κώδ.

ιη'. Ἐὰν ὁ μισθώσας ὁμολογήσει ποινὴν τῷ μισθωσαμένῳ, εἴπερ αὐτὸν ἐξεώσεται πρὸ τῆς συμπληρώσεως τῆς πενταετίας, ἀζημίως αὐτὸν ἐξεοῦται μὴ καταβάλλοντα τὸν μισθὸν ἢ μὴ γεωργοῦντα[28].

ιθ'. Ὁ ἔνοικος ἐφ' ὅσον δίδωσι τὸ μίσθωμα, οὐκ ἐκβάλλεται παρὰ τοῦ δεσπότου, εἰ μὴ ἄρα εἰς ἰδίαν χρείαν ἀναγκαίαν δέεται τοῦ οἴκου, ἢ ἐπισκευάσαι βούλεται, ἢ ὁ ἔνοικος κακῶς αὐτῷ κέχρηται[29]. τῶν ἐνοίκων ἐπὶ πολὺν χρόνον τούτεστιν ἐπὶ διετίαν μὴ φαινομένων μήτε τὸ στεγονόμιον κατατιθέντων, ἔξεστι, οἷς διαφέρει, ἀνοίγειν, καὶ παρόντων δημοσίων προσώπων ἀπογράφεσθαι τὰ ἐκεῖ ὄντα[30].

κ'. Ἐὰν μετὰ τὸ πληρωθῆναι τὸν χρόνον τῆς μισθώσεως συναινοῦντος ἑκατέρου μέρους ὁ μισθωτὸς ἐπιμείνοι, ἀνανεοῦται εἰς ἐκεῖνον μόνον τὸν ἐνιαυτὸν ἡ μίσθωσις, οὐ μὴν καὶ εἰς ὅλον τὸν λειπόμενον χρόνον, εἴγε εἰς πενταετίαν ἦν τυχὸν ἡ προτέρα μίσθωσις· ὅπερ καὶ ἐπὶ τῶν πολιτικῶν ἐστι μισθώσεων. εἰ δὲ καὶ τὸν δεύτερον ἐπιμείνοι, ἐνέχεται εἰς αὐτὸν, καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως[31].

κα'. Ἐξεῖναι ἐντὸς ἐνιαυτοῦ λύειν τὴν μίσθωσιν ἐν πάσαις ταῖς ἐπαρχίαις, καὶ μηδὲν διδόναι πρόστιμον ὡς ἐκ παραβασίας, εἰ μὴ ἄρα ἐν ἀρχῇ τοῦ συναλλάγματος ἀπετάξατο τούτῳ ἰδικῶς[32].

κβ'. Ἐὰν δίαιταν[33] εἰς ἐνιαυτὸν μισθωσάμενος ὅλον παράσχω τὸν μισθὸν, καὶ πέσῃ ἢ καυθῇ τῷ ἕκτῳ μηνὶ, ἀναλαμβάνω τὸ λοιπόν[34].

κγ'. Ἐάν τις ἑνὶ ἐνιαυτῷ συγχωρήσει τῷ μισθωσαμένῳ διὰ τὴν ἀφορίαν, καὶ εὐφορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς γένηται, λαμβάνει τὸ συγχωρηθέν. εἰ δὲ ἐν ὑστέρῳ ἐνιαυτῷ γένηται ἡ ἀφορία καὶ ἡ συγχώρησις τῶν πρώτων εὐφορησάντων, ἐὰν οἶδεν ὁ μισθωτὸς, [οὐ] συλλογίζεται[35].

κδ'. Ἐὰν ἀερικὴ ἀφορία γένηται, οὐχ ὁρᾷ τὸν γεωργὸν ἡ

---

[28] Dig. XIX, 2, 54 §. 1. — Proch. XVII, 24. [29] Cod. IV, 65, 3. [30] Dig. XIX, 2, 56. — Proch. XVII, 26. — Caeterum F haec intercalat: *Ὅσα ἔνοικος ἥνωσεν ἐν τῷ ἀλλοτρίῳ οἴκῳ, θυρίδας καὶ πυλῶνας, τοῦ οἴκου εἰσίν· ὅσα δὲ οὐ πεπήγασιν, ὁ ἔνοικος ἐκδικεῖ αὐτά.* [31] Dig. XIX, 2, 13 §. 11. — Proch. XVII, 12. [32] Cod. IV, 65, 34 (33). [33] C *δι' αἰτίαν οἰκείαν.* Forte *δίαιταν οἰκίας.* [34] Dig. XIX, 2, 19 §. 6. — Proch. XVII, 16. [35] Dig. XIX, 2, 15 §. 4. — Proch. XVII, 13. [36] Cod IV, 65, 8.

ζημία, εἰ μὴ ἄρα τοῦτο ἔδοξεν, ἢ ἔθος ἐν τῷ κλίματι, ἢ ἐκ τῆς μετὰ ταῦτα εὐφορίας ἀνεσώθη ἡ συμβᾶσα ἀφορία[36].

κε΄. Ὁ ἐγγυητὴς τοῦ μισθωσαμένου πρᾶγμα ἐπὶ χρόνον τινὰ οὐκ ἐνέχεται μετὰ τὴν συμπλήρωσιν τοῦ ὡρισμένου χρόνου, κἂν ἐπιμείνῃ τῇ μισθώσει ὁ μισθωσάμενος, εἰ μὴ ἄρα καὶ ἐπὶ τῇ δευτέρᾳ μισθώσει ἐγγυήσατο αὐτὸν, ἀλλ᾽ ἐκεῖνος μόνος ἐνέχεται ὑπὲρ τοῦ μετὰ ταῦτα χρόνου. ὁ ἐπιμείνας τῇ προτέρᾳ αὐτοῦ μισθώσει μετὰ τὸν ὡρισμένον χρόνον οὐ μόνον αὐτὸς εὐθύνεται, ἀλλὰ καὶ τὰ ἐνέχυρα, ἃ δέδωκε τῷ πρώτῳ, ποιεῖ ἐνέχεσθαι διὰ σιωπηρᾶς συναινέσεως ἐπὶ τῷ μετὰ ταῦτα χρόνῳ. ὡς βι. δ΄ τί. ξε΄ διατ. ζ΄ τοῦ κώδ.

κϛ΄. Οὐ δύναται ἐκβάλλειν ἄκοντα τὸν μισθωσάμενον ὁ μισθώσας, κἂν ἄλλος αὐτῷ εἰσάγει πλεῖον μίσθωμα, δηλονότι πρὸ τοῦ ὡρισμένου χρόνου, καὶ ἐὰν εὐγνωμονῇ ἐκεῖνος περὶ ὧν ὡμολόγησεν[37].

κζ΄. Ὁ μισθωσάμενος πρᾶγμα δύναται αὐτὸ ἑτέρῳ μεταμισθοῦν, εἰ μὴ ἄρα τὸ ἐναντίον ἔδοξεν· ὡς δηλοῖ ἡ γ΄ διάτ. τοῦ ι΄ τί. τοῦ δ΄ βι. τοῦ κώδ. ὅτι οὐδὲ κατέχεται ὁ μισθωσάμενος παρὰ τοῦ ἔχοντος τὸ πρᾶγμα ἐν μισθώσει, ὑπὲρ αὐτοῦ τοῦ μισθώσαντος αὐτῷ χρεωστοῦντος τῷ δεσπότῃ τοῦ πράγματος. διάτ. ϛ΄[38].

κη΄. Ὁ στρατιώτης μισθωσάμενος παρά τινος πρᾶγμα ἐκπίπτει τῆς ἰδίας στρατείας καὶ οὐ κατέχεται[39] εἰς τὸ αὐτὸ πρᾶγμα τῷ μισθώσαντι. βι. β΄ τί. ιβ΄ διατ. ζ΄. σημ. τὴν λέγουσαν, μὴ δύνασθαι στρατιώτην εἶναι ἐξωτικοῦ προκουράτορα οὔτε ἐπίτροπον. ὡς βι. δ΄ τί. ξε΄ διατ. λε΄ τοῦ κώδ.

κθ΄. Ὁ κλέπτων τὸν μισθωθέντα αὐτοῦ δοῦλον ὡς κλέπτης ἐνέχεται[40]. εἰ δὲ τόπον εἰς βοσκὴν μισθώσω καὶ ἐκ τῶν αὐτοῦ κακῶν βοτανῶν βλαβῶσιν ἢ φθαρῶσι τὰ θρέμματα, εἰ μὲν ᾔδειν, εἰς τὸ διαφέρον ἐνέχομαι· εἰ δὲ ἠγνόουν, οὐκ ἀπαιτῶ τὸν μισθόν[41].

λ΄. Ἀνὴρ ἀγαθὸς οὐ μισθοῖ τὴν ἰδίαν ἐσθῆτα, εἰ μή ἐστι πένθιμος ἢ σκηνική[42]. καλῶς δὲ μισθοῖ τὰς ἰδίας ὀπέρας[43], τουτέστι ἔργα δούλου πρὸς πορισμὸν τοῦ εἰς χρῆσιν αὐτὸν ἔχοντος[44]. Ὁ μισθώσας τὰς ἰδίας ὑπηρεσίας καὶ μὴ ἐμποδίσας

---

[36] Cod. IV, 65, 8. [37] Cod. IV, 65, 21. [38] sc. Cod. IV, 65. [39] C καταδέχ. [40] Dig. XIX, 2, 42. — Proch. XVII, 23. [41] Dig. XIX, 2, 19 §. 1. — Proch. XVII, 15. [42] Dig. VII, 1, 15 §. 4. 5. [43] Cod. IV, 65, 22. [44] Haec non satis intelligo.

ἐργάζεσθαι, τοῦ χρόνου παντὸς λαμβάνει τὸν μισθόν. ὁμοίως καὶ ὁ συνηγορήσας[45].

λα΄. Πᾶς ἐργολάβος ἢ τεχνίτης ὁ ἁψάμενος ἔργου καὶ μὴ[46] πληρῶν αὐτὸ, διδότω τὴν συμβᾶσαν[47] ζημίαν, δηλονότι λαμβάνων τὸν μισθὸν αὐτοῦ. εἰ δὲ πένης ἐστὶν ὁ τεχνίτης ἢ ὁ ἐργολάβος καὶ μὴ ἀρκεῖ πρὸς καταβολὴν τῶν χρημάτων[48], τυπτέσθω καὶ τῆς πολιτείας ἐξιέτω[49].

λβ΄. Ἐὰν πρὸ δοκιμασίας πέσῃ τὸ ῥεῖθρον, εἰ μὲν ἀπὸ αἰτίας τοῦ ἐδάφους ἢ τοῦ σεισμοῦ, ὁ μισθώσας ζημιοῦται· εἰ δὲ ἐξ ἐλαττώματος τοῦ ἔργου, ὁ μισθωσάμενος[50].

λγ΄[51]. Περὶ ἐμφυτεύσεως. ἀνάγν. βι. δ΄ τί. ξς΄ τοῦ κώδ. — Ἐπειδὴ μεταξὺ τῶν παλαιῶν ἄδηλον ἦν τὸ τῆς ἐμφυτεύσεως ὄνομα, ἀμφιβάλλετο ὑπό τινων μὲν μίσθωσις εἶναι, ὑπό τινων δὲ πρᾶσις ἐνομίζετο· πρᾶσις μὲν, ἐπειδὴ διέβαινεν ἐπὶ κληρονόμοις, καὶ ἐξεποιεῖτο διαφόρως[52]· μίσθωσις δὲ ἐνομίζετο διὰ τὸ καθ᾽ ἕκαστον ἔτος διδόμενον· διάταξις[53] γέγονε Ζήνωνος[54] τοῦ θειοτάτου, ἥτις ἐμφύτευσιν τοῦτο ἐκάλεσεν, ἰδιάζουσαν καὶ αὐτῷ φύσιν ἐπινοήσασα, οὔτε πρὸς μίσθωσιν καθόλου οὔτε πρὸς πρᾶσιν ὁρῶσαν, ἀλλ᾽ ἰδίοις ὅροις συνισταμένην· καὶ εἰ μὲν πακτευθῇ, τουτέστι συμφωνηθῇ, μεταξὺ τῶν συναλλασσόντων, οὕτως ἰσχυρόν ἐστι τὸ σύμφωνον, ὡς ἂν φύσεως τοιαύτης προσούσης τῷ συναλλάγματι· εἰ δὲ ἐν τοῖς συμφώνοις παροφθῇ τι, κατὰ τὸ κάλλιστον καὶ τὸ δίκαιον ὀφείλει τυποῦσθαι. ὡς βι. γ΄ ἰνστιτ. κδ΄[55].

λδ΄. Εἰ μὲν παντελὴς φθορὰ τοῦ ἐμφυτευθέντος πράγματος γένηται, τὸν δεσπότην, τουτέστι τὸν ἐμφυτεύσαντα, ὁράτω ἡ ζημία. εἰ δὲ μερικὴ, ὁ ἐμφυτευσάμενος ταύτην ἐπιγινωσκέτω τὴν βλάβην[56]. ὡς βι. δ΄ τί. ξς΄ διατ. α΄ τοῦ κώδ.

λε΄. Ὁ δὲ ἐμφυτευτὴς καὶ ὁ μισθωτὸς ἐπὶ διετίαν ἢ καὶ τριετίαν ἀγνωμονῶν τὸ ἐτήσιον πάκτον ἢ χεῖρον ποιῶν τὸ πρᾶγμα ἐκβαλλέσθω τῆς ἐμφυτεύσεως μὴ δυνάμενος περὶ ἐμπονημάτων κινεῖν[57]. ὁμοίως καὶ ὁ διηνεκῶς ἐμφυτευσάμενος ἐκπίπτων τοῦ πράγματος μένει τῷ κανόνι τῆς ἐμφυτεύσεως διηνεκῶς ὑποκείμενος. διάτ. β΄.

λς΄. Ἐὰν προσαγάγῃ ὁ ἐμφυτευτὴς τὸν κανόνα, καὶ μὴ

---

[45] Dig. XIX, 2, 38. [46] Deest in C. [47] V σύμπασαν. F addit αὐτῷ. [48] F τῆς ζημίας. [49] V ἐξεούσθω. — Cod. VIII, 10, 12 §. 9. [50] Dig. XIX, 2, 62. — Proch. XVII, 28. [51] A et B vocant κεφ. α΄, et ita mox β΄ usque ad θ΄. [52] A ἀδιαφ. [53] F ἑβδόμῃ διάτ. [54] Deest in A. [55] Theoph. III, 24 §. 3. [56] Cf. Theoph. l. l. [57] Athanas. II, 2 (ed. Heimb. p. 33).

δέξηται αὐτὸν εἴσω τριῶν ἐτῶν ὁ ἐμφυτεύσας, διαμαρτυρείσθω[58] αὐτὸν, ἐν μὲν κωνσταντίνου πόλει παρὰ τοῖς ἐπάρχοις, ἐν δὲ ταῖς ἐπαρχίαις παρὰ τῷ ἄρχοντι ἢ τῷ ἐπισκόπῳ, καὶ τότε κερδαινέτω αὐτὰ καὶ μήτε τοῦ μέλλοντος χρόνου ἀπαιτείσθω. . . . .[59] ὅτε διαμαρτύρεται αὐτὸν ὁ ἐμφυτεύσας. σημ. . . . .[60] ὡς εἰ μὴ ἀγνωμονήσει ὁ ἐμφυτευτὴς ἀπαλλάττεται τῆς ἐμφυτεύσεως. τοῦτο γὰρ λίαν ἐστὶν ἀδιαίρετον. ἀλλὰ τότε νόει τὸ λεχθὲν ἐνταῦθα προβαῖνον, ὅτε θέλει ὁ ἐμφυτεύσας[61]. ὑπὲρ γὰρ αὐτοῦ εἰσηνέχθη[62] τὸ νόμιμον καὶ κεκανόνισται. ὡς τὰ ὑπὲρ ἡμῶν εἰσαχθέντα οὐ βλάπτουσιν ἡμᾶς ἐκ περιστάσεως[63] οὐδὲ τὰ ὑπέρ τινος εἰσαχθέντα ἕλκεται[64] κατὰ αὐτοῦ. ὡς βι. λζ τί. ν' διγ. ιγ'[65]. οὐδὲ τὰ ὑπὲρ ἡμῶν νομοθετηθέντα δύναται καθ' ἡμῶν γενέσθαι.

λζ. Τὰς δὲ ἐμφυτεύσεις τὰς γινομένας παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος τῶν πόλεων καὶ τοῦ ὀρφανοτροφείου[66] καὶ τῶν ξενώνων καὶ τῶν νοσοκομείων καὶ τῶν πτωχείων γίνεσθαι κελεύουσιν αἱ διατάξεις ἐπί τε τοῦ προσώπου αὐτοῦ τοῦ λαμβάνοντος καὶ ἄλλων δύο ἐφεξῆς κατὰ διαδοχὴν θνητῶν κληρονόμων[67], ἢ μέχρι τοῦ τῆς ζωῆς χρόνου τοῦ ἐμφυτευσαμένου, ὡς ἂν τοῖς συναλλάττουσι συναρέσειεν· μὴ ὑπερβαινούσας δηλαδὴ τὸν λ' ετῆ χρόνον[68].

λη'. Τὰ δὲ ἐρείπια τῆς ἐκκλησίας κωνσταντινουπόλεως καὶ τῶν ἐναστείων[69] μοναστηρίων διηνεκῶς ἐμφυτευέσθωσαν ἐπὶ τῇ τρίτῃ ἢ ἡμισείᾳ μοίρᾳ τῶν αἱρομένων τῆς κτήσεως ἐνοικίων. ὡς νε. ρκ'[70].

λθ'. Ἐπὶ τῶν πολυτίμων προαστείων ὁ ἐμφυτευσάμενος[71] ἐπὶ τρισὶ προσώποις οὐχ ὁ κανὼν σκοπεῖται οὐδὲ τὸ ἕκτον μέρος τῆς μειώσεως αὐτοῦ, ἀλλ' ἡ διατίμησις, πόσην ποιοῦσι πρόσοδον εἰς κ' ἔτη. καὶ τότε ἡ πρόσκαιρος αὐτῶν ἐμφύτευσις γίνεται πρὸς τὴν ποσότητα τῆς διατιμήσεως τῆς προσόδου[72]. σημ. ὅθεν καὶ δωρεῖται ἕκαστος ὃ ἔχει ἐν ἐμφυτεύσει κἂν παρὰ τοῦ φίσκου αὐτὸ ἔλαβεν[73].

μ'. Τὰ κατὰ τοῦ βυζαντίου καὶ τῶν περιοικίδων αὐτοῦ

---

[58] V διαμαρτυράσθω. [59] Lacunam Codices habent. [60] Etiam hic lacuna est. [61] V ἐμφυτευτὴς, ἐξωθεῖται. [62] V ἔξην. [63] V addit ὡς βι. ε' τί. ζ τοῦ κώδ. [64] A ἕπεται τὰ. [65] F τί. η' διγ. γ'. Est Dig. XXXVII, 10, 3 §. 5. [66] A ὀρφανείου. [67] Excidisse quaedam videntur. Cf. Proch. XV, 5. [68] Nov. 120 c. 1. 3. — Cf. Proch. XV, 1. 5. [69] V ἐν ἄστει. [70] Cf. Proch. XV, 4. [71] Legerim ἐμφυτευομένων. [72] Theod. Nov. VII §. 2. [73] Vide c. 42 infra h. t.

μοναστήρια καὶ διηνεκῶς ἐμφυτεύουσιν ἀκίνητον· εἰ μὲν εὐκτήριοι οἶκοι, κατὰ γνώμην τοῦ πλείονος μέρους τῶν αὐτοῦ κληρικῶν· εἰ δὲ πτωχεῖα ἢ νοσοκομεῖα ἢ ἕτερος σεβάσμιος οἶκος, ὁ προεστὼς ποιεῖ[74] τὸ συνάλλαγμα, ὀμνυόντων τῶν αὐτῶν διοικητῶν παρουσίᾳ τῶν ἐκεῖσε ὄντων χαρτουλαρίων, ὡς οὐ περιγράφεται ἢ βλάπτεται ὁ οἶκος. ἐπὶ δὲ τῶν μοναστηρίων ὁ ἡγούμενος μετὰ τοῦ πλείονος μέρους τῶν ἐκεῖ λειτουργούντων μοναχῶν ποιεῖ[75] τὸ συνάλλαγμα. καὶ ἐπὶ πάντων τῶν εἰρημένων ὁ προλεχθεὶς ὅρκος ἐντάσσεται τῷ συμβολαίῳ, καὶ οὐ πλέον κουφιζέτω τοῦ ἕκτου μέρους τῆς προσόδου, ἣν ἔχει τὸ ἐμφυτευόμενον[76].

μα΄. Τοῖς δὲ οἰκονόμοις καὶ χαρτουλαρίοις καὶ ὀρφανοτρόφοις καὶ τῶν λοιπῶν εὐαγῶν διοικηταῖς, ἔτι γε μὴν καὶ γονεῦσι καὶ παισὶν αὐτῶν καὶ συγγενέσιν καθάπαξ ἀπαγορεύουσιν αἱ διατάξεις τοῦ ἐμφυτεύεσθαι ἐν οἷς οἰκονομοῦσιν. τοὺς δὲ τὴν αὐτὴν[77] ἐμφύτευσιν διαπραξαμένους οἰκονόμους καὶ χαρτουλαρίους καὶ διοικητὰς, εἰ διὰ παρενθέτου τὶ ποιήσουσι, τοσοῦτον ἅμα ζημιοῦσθαι καὶ προσκυροῦσθαι τῷ οἴκῳ, ὅσην καὶ ὁ ἐμφυτευσάμενος τῆς καταβληθείσης τιμῆς ὑπέστη ζημίαν[78].

μβ΄. Ὁ ἐμφυτεύων λαμβάνει τοῦ ἐκποιηθέντος ἐμφυτεύματος τὸ ν΄ μέρος παρὰ τοῦ ἐμφυτευτοῦ ὑπὲρ[79] οὗ συναινεῖ καὶ ὑπογράφει τῷ ἐκποιουμένῳ παρ᾽ αὐτοῦ[80]. καὶ ταῦτα μὲν οὕτως. ἔξωθεν νόει ὅτι ἐκποίησίς ἐστιν ἡ ἐμφύτευσις. ὅθεν καὶ δωρεῖται ἕκαστος, ὃ ἔχει ἐν ἐμφυτεύσει, ὅτι δεσπότης νοεῖται ὁ ἐμφυτευτὴς ἐφ᾽ ὅσον δίδωσι τὸν δόξαντα κανόνα. ὡς βι. ια΄ τί. ξε΄ διατ. α΄ τοῦ κώδ. Τὰς δὲ ἀνακάμψεις κατὰ τὴν διάταξιν τοῦ ἀεισεβάστου ἡμῶν βασιλέως λέοντος ἀναδιπλασιάζεσθαι τὸ τέλος τοῦ ἐμφυτευσαμένου ἢ μισθωσαμένου, κἄντε πρώτου προσώπου ἢ κἄντε δευτέρου[81].

---

[74] A ποιεῖται. [75] A ποιοῦνται. [76] Nov. 120 c. 6. [77] A παρ᾽ αὐτήν. [78] Nov. 120 c. 5. — Proch. XV, 6. [79] A καὶ ὑπὲρ. [80] Cod. IV, 66, 3. [81] Nov. Leonis 13.

Τ Ι Τ Λ Ο Σ η'.

Περὶ ἐκκλησιαστικῶν πραγμάτων καὶ περὶ ἐπισκόπων καὶ μοναχῶν καὶ κληρικῶν.

α'. Ὁ κατὰ δωρεὰν λαβὼν ἀκίνητον ἱερατικὸν πρᾶγμα διπλάσιον τὸ δωρηθὲν[1] ἀποδίδωσι μετὰ καὶ τῶν ἐν μέσῳ καρπῶν. ὁμοίως καὶ ὁ καταλλάξας. καὶ ὁ εἰς ὑποθήκην λαβὼν τοῦ χρέους[2]. καὶ ὁ συντάξας παρὰ τὸν νόμον διηνεκῶς ἐξορίζεται[3].

β'. Ὁ ταβελλίων ὁ τοῖς εἰρημένοις ὑπουργήσας συναλλάγμασιν ἀειφυγίαν ἕξει, μηδὲ ἐκ θείου τύπου προσδοκῶν ἐπάνοδον[4].

γ'. Οἱ ἄρχοντες τοιαῦτα ὑπογραφῆναι ἢ ὑπαγορευθῆναι ἢ πραχθῆναι παρ' αὐτοῖς ἀνασχόμενοι συμβόλαια, ἀρχῆς καὶ ἀξίας ἐκπίπτουσιν[5].

δ'. Τὰ ἱερὰ σκεύη ἐπὶ μόνῃ ἀναῤῥύσει αἰχμαλώτων ἐκποιείσθωσαν, τῶν παραβαινόντων ταῖς ποιναῖς ὑποβαλλομένων[6].

ε'. Ἐὰν μοναστήριον εἰς ἰδιωτικὴν κατάστασιν ἐκποιηθῇ, τὸ ἀρχαῖον σχῆμα τῇ ἐκκλησίᾳ ἀποδιδόσθω[7].

ς'. Τὰς ἀνωφελεῖς καὶ ἐπιβλαβεῖς κτήσεις τῶν εὐαγῶν οἴκων πραττομένων ὑπομνημάτων ἐκποιείτωσαν οἱ τούτων διοικηταί[8].

ζ'. Αἱ περιελθοῦσαι εἰς εὐαγεῖς οἴκους ἄποροι κτήσεις ἀναδιδόσθωσιν τοῖς δεδωκόσιν αὐτάς[9].

η'. Ὁ κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ τρόπον ἕτερον ἄπορον κτῆσιν εὐαγεῖ οἴκῳ ὅπου[10] διακειμένῳ δεδωκὼς ἀναγκάζεται καὶ οἱ κληρονόμοι αὐτοῦ ἀναλαβεῖν αὐτήν, ἀλλὰ καὶ πᾶν βάρος ἐπανέρχεται πρὸς τὸν δεδωκότα καὶ τοὺς κληρονόμους αὐτοῦ[11].

θ'. Ἐὰν ἰδιώτης χρεωστεῖται παρά τινος ἐκκλησίας, ἀναγκάζεται λαβεῖν ἀντὶ τοῦ χρέους καὶ ἀκίνητον πρᾶγμα[12]. νεαρὰ μζ' καὶ ρκ'.

ι'. Ἀντὶ πάσης χρονίας παραγραφῆς ἀντικείσθω ἡ τῶν μ' ἐνιαυτῶν παραγραφή[13].

ια'. Τὰ εἰς εὐαγεῖς οἴκους ἢ ἐκκλησίας καταλειφθέντα λε-

---

[1] F δοθέν. [2] sc. ἐκπίπτει. [3] Athanas. II, 2 ex Nov. 120. [4] Athan. II, 1 ex Nov. 7. [5] Athanas. II, 1 ex Nov. 7. [6] Athanas. II, 1 ex Nov. 7. [7] Athanas. II, 2 ex Nov. 120. [8] Ibidem. [9] Ibidem. [10] Lege ὁπουδήποτε. [11] Est epitome Nov. 120 c. 9 pr. [12] Theod. Nov. 46 §. 3. [13] Athanas. II, 3 ex Nov. 131.

γάτα εἴσω μηνῶν ἓξ τῇ ἐμφανείᾳ τῆς διαθήκης καταβαλλέσθω. εἰ δὲ μήγε, ὁ τοιοῦτος βεβαρημένος καρποὺς καὶ τόκους αὐτῶν καὶ ἐπαυξήματα προσδώσει[14].

ιβ'. Περιελθόντα εἰς βασιλέα ἐξ εὐαγῶν οἴκων ἐξαμείψεως τρόπῳ, ἐὰν πρὸς ἕτερον ἐπανέλθωσι πρόσωπον, ὑπὸ τῶν κατὰ καιρὸν οἰκονόμων ἐκδικείσθω[15].

ιγ'. Ἐὰν ἐπιτρέψῃ τις ἐν τελευταίᾳ βουλήσει οἰκοδομηθῆναι σεπτὸν οἶκον, τὰ μὲν εὐκτήρια ἐντὸς ε' ἐνιαυτῶν, ὁ δὲ ξενῶν καὶ τὰ τοιαῦτα ἐν τῷ α' ἔτει γενέσθω, ἢ ἐν ἑτέρῳ οἴκῳ πληρούσθω ἡ βούλησις[16].

ιδ'. Ὁ βουλόμενος εἰς χρῆσιν λαβεῖν ἱερατικὸν, εὔπορος ἔστω καὶ ἕτερον ὅμοιον προσδωρείσθω τῷ εὐαγεῖ οἴκῳ[17].

ιε'. Τόπος ἀσυλίας μὴ ἔστω φονεῦσιν, μήτε μοιχοῖς, μήτε παρθένων ἅρπαξι, μήτε τοῖς χρεωστοῦσιν δημόσια· ἀλλὰ καὶ εἰ ἀντείπωσι [τοῖς] μεθοδεύουσι τοὺς τοιούτους οἱ ἐκκλησιέκδικοι[18], τῷ γὰρ ἀδικουμένῳ οὐ τοῖς ἀδικοῦσιν ἔχειν[19] δοκεῖ τὸν ὅρον.

ις'. Μηδεὶς τὸν ἔνδον τοῦ ἁγίου νάου καθεζόμενον ἀποσπάσθω· ὁ δὲ ἀποσπῶν ὡς ἱερόσυλος κρίνεται[20].

ιζ'. Οἱ προσφεύγοντες ταῖς ἁγίαις ἐκκλησίαις τὴν ἀσφάλειαν παντόθεν[21] ἔχουσι, καὶ ἐν μεσαύλοις καὶ ἐπὶ ἐσχάτων ἄχρις τῶν θυρίδων· ὁ δὲ μεθ' ὅπλων προσφεύγων ἐξωθεῖται τοῦ προσφυγίου, εἰ μὴ ἄρα τὰ ὅπλα ἀπωθεῖται[22].

ιη'. Ὁ ἐν προσφυγίῳ φαινόμενος οὐ δοκεῖ κρύπτεσθαι, ἀλλὰ δοκεῖ αὐτὸς παρεστᾶναι[23].

ιθ'. Περὶ ἐπισκόπων. — Χρὴ τὸν ἐπίσκοπον ἅμα τοῖς κτήτορσι τὰς ἀδικίας τῶν ἀρχόντων τῷ βασιλεῖ προσαναφέρειν[24].

κ'. Ὅσα ἔσχεν ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς, δωρεῖται καὶ ἐκποιεῖται ὡς θέλει, οὐ μὴν ἀλλὰ καὶ διατίθεται εἰς αὐτά. ὅσα δὲ ἐκτήσατο μετὰ τὴν ἐπισκοπὴν, διαφέρει αὐτοῦ τῇ ἐκκλησίᾳ, καὶ οὐδὲ διατίθεται εἰς αὐτὰ, εἰ μὴ ἄρα ἀπὸ γονέων ἢ θείου ἢ ἀδελφοῦ αὐτοῦ εἰς αὐτὸν περιῆλθεν[25].

κα'. Ὁ χειροτονούμενος ἐπίσκοπος λίβελλον πρῶτον διδότω τῆς ἰδίας πίστεως, καὶ ἀπαγγελλέτω τὰς εὐχὰς, καὶ ὀμνύτω μηδὲν δοῦναι, μήτε μὴν ἐπαγγέλλεσθαι παρασχεῖν τινι

---

[14] Athanas. II, 3 ex Nov. 131. [15] Athanas. II, 9 ex Nov. 55. [16] Nov. 131 c. 10. Cod. I, 3, 45 (46). [17] Athanas. II, 1 ex Nov. 7. [18] Desunt nonnulla. Theod. Nov. XVII §. 12. [19] Lege *παρέχειν*. [20] Cod. I, 12, 3. [21] C *ἐκ παντόθεν*. [22] Cod. I, 12, 3. [23] Cod. I, 12, 6. [24] Athanas. I parat. §. 3 ex Nov. 8. [25] Cod. I, 3, 41 §. 2. — Cf. Proch. XXIV, 1.

ὑπὲρ τῆς χειροτονίας. εἰ δέ τι παρὰ τὰ εἰρημένα γένηται, καὶ ὁ γενόμενος καὶ ὁ χειροτονῶν αὐτὸν τῆς ἐκκλησίας ἐκβάλλονται[26]. σημ. τὸ αὐτὸ καὶ ἐπὶ πρεσβυτέρων.

κβ'. Οἱ κληρικοὶ καὶ οἱ πρῶτοι τῆς πόλεως προκειμένων τῶν θείων εὐαγγελίων ἐπὶ τριῶν προσώπων τὸ ψήφισμα ποιείτωσαν τοῦ ἐπισκόπου, ὀμνύοντες, ὡς οὐ διὰ δόσιν οὐδὲ δι' ἄλλην τινὰ προσπάθειαν ἐπελέξαντο αὐτὸν, ἀλλ' ὡς εἰδότες αὐτὸν ὄντα τῆς καθολικῆς ἐκκλησίας καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὰ λ' ἔτη, καὶ ὡς [οὔτε γαμετὴν οὔτε παῖδας ἔσχεν, ἀλλ' ὅτι καὶ εἰ ἔσχεν] γαμετὴν, μίαν μόνην ἐκ παρθενίας οἶδε καὶ οὐ χήραν οὐδὲ διαζευχθεῖσαν ἀνδρὸς, ἀλλὰ καὶ τοῖς κανόσιν ἤτοι τοῖς νόμοις μὴ ἀπηγορευμένην, καὶ οὐ ταξεωτικῆς οὔτε βουλευτικῆς τύχης ἐστὶν, εἰ μὴ ἄρα τὰ ιε' ἔτη ἀνελλιπῶς ἐποίησεν εἰς μοναστήριον[27].

κγ'. Ἐὰν κατηγορηθῇ ὁ μέλλων χειροτονεῖσθαι ὡς ἀνεπιτήδειος, ἀναβαλλέσθω τέως ἡ χειροτονία. καὶ εἰ εὑρεθῇ ὁ χειροτονούμενος ὑπεύθυνος κατὰ τοὺς νόμους [ἢ] κανόνας, κωλυέσθω· εἰ δὲ ἀνεύθυνος ᾖ, χειροτονείσθω[28].

κδ'. Ἐὰν δὲ ὁ κατήγορος παρὼν μὴ δείξει, ἃ διεβεβαιώσατο, ἢ ἀπολειφθῇ, εἰ μὲν κληρικός ἐστι, τῆς ἐκκλησίας ἐκβάλλεται, εἰ δὲ λαϊκὸς ᾖ, δεόντως σωφρονίζεται[29], καὶ ἐπὶ τρεῖς μῆνας ἐξορίζεται.

κε'. Ἐὰν ἐπὶ τρεῖς μῆνας[30] γένηται τὸ τοῦ ἐπισκόπου ψήφισμα ὑπὸ τῶν κληρικῶν, οὓς θέλει ποιεῖ ὁ ὀφείλων χειροτονεῖν κινδύνῳ τῆς ψυχῆς αὐτοῦ[31].

κς'. Χωρὶς θείας κελεύσεως οὐ παρίσταται οὐδὲ διάγεται ἐπίσκοπος, κἂν χρηματικὴ κἂν ἐγκληματικὴ εἴη ἡ αἰτία· ἀπὸ δὲ κελεύσεως τοῦ ἰδίου πατριάρχου ἢ τοῦ ἰδίου μητροπολίτου ἀποδημεῖ. σημ. ὅτι ἐὰν ἄρχων τοῦτο ποιήσει, ἐκπίπτει τῆς ζώνης αὐτοῦ καὶ κ' λίτρας χρυσίου παρέχει, εἰς ὃ ὁ ἐπίσκοπος[32].

κζ'. Ἐπίσκοπος ἢ κληρικὸς εὑρισκόμενος ἐν τῷ βυζαντίῳ παρὰ μόνῳ τῷ ἀρχιεπισκόπῳ ἢ τοῖς θείοις δικασταῖς ἐνάγεται, εἰ μὴ ἄρα προκάταρξις γέγονε κατ' αὐτοῦ ἐν τῇ ἰδίᾳ πόλει. σημ. ὅπου γὰρ ἡ προκάταρξις γέγονεν, ἐκεῖ καὶ τὸ πέρας τῆς δίκης γυμνάζεται[33].

---

[26] Theod. Nov. 137 §. 2. 3. — Cf. Proch. XXVIII, 2. [27] Theod. Nov. 137 §. 1. — Cf. Proch. XXVIII, 1. [28] Theod. Nov. 137 §. 4. — Proch. XXVIII, 3. [29] Theod. l. l. — Proch. XXVIII, 4. [30] Lege μὴ ἐντὸς ς' μηνῶν. [31] Theod. Nov. 123 §. 6. [32] sc. ὑβρίσθη. — Theod. Nov. 123 §. 19. 20. [33] Theod. Nov. 123 §. 54.

κη'. Ἐπίσκοπος μὴ συνοικείτω οἱαδήποτε γυναικὶ, μηδὲ γυνὴ διακόνισσα συνοικείτω ἀνδρί[34].

κθ'. Οἱ ἐπίσκοποι καλῶς μαρτυροῦσιν ἐν τῷ ἰδίῳ ἐπισκοπείῳ παρόντων τῶν[35] δημοσίων προσώπων καὶ προκειμένων τῶν θείων λογίων[36]. Ἴσθι δὲ, ὅτι καινοτομεῖ τὴν παροῦσαν διάτ. ἡ λς'[37] διάτ. τοῦ γ' τί. τοῦ α' βι. τοῦ κώδ. λέγουσα[38], ὅτι ἀναγκάζονται οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ καὶ οἱ μοναχοὶ τοῖς ἄρχουσιν ὑπείκειν καὶ καταλαβεῖν τῶν δικαστηρίων.

λ'. Ἐπίσκοπος, εἰ συκοφαντήσει τινὰ ἐν πουβλίκῳ δικαστηρίῳ, λ' λίτρας χρυσίου δίδωσι[39].

λα'. Ὁ καθαιρεθεὶς μὴ ἐπιβαινέτω τῇ πόλει, ἧς ἐξέπεσεν[40].

λβ'. Μηδεὶς ἀκοινώνητος γινέσθω ἐπίσκοπος· εἰ γὰρ γινόμενος [γνωσθῇ][41], ὑποβάλλεται ποινῇ αὐτὸς καὶ ὁ χειροτονῶν αὐτόν[42].

λγ'. Τὰ εἰς λύτρωσιν αἰχμαλώτων ἢ ἀποτροφὴν πενήτων καταλιμπανόμενα, οὐ περιγράφονται[43], ἀλλ' ὁ ἐπίσκοπος ἀπαιτείτω καὶ διδότω αὐτὰ, ἐὰν ὁ καταλείπων οὐκ εἶπε τὸν ὀφείλοντα διακονεῖν τῇ τοιαύτῃ χρείᾳ.

λδ'. Ὁ ἀρξάμενος κτίζειν σεπτὸν οἶκον ἢ τὸν σαθρωθέντα ἐποικοδομεῖν ἑαυτῷ καὶ τῷ ἰδίῳ κληρονόμῳ ὑποβάλλει τὴν πλήρωσιν τοῦ ἔργου, πρότερον τοῦ τιμίου πηγνυμένου σταυροῦ ὑπὸ τοῦ ἐπισκόπου ἐν τῷ μέλλοντι κτίζεσθαι οἴκῳ[44].

λε'. Περὶ μοναχῶν. — Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατιθέσθω τὰ καθ' ἑαυτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ, ἐπεὶ προσκυροῦται τῷ μοναστηρίῳ πάντα, κἂν μὴ ῥητῶς φήσειεν εἰσαγαγεῖν αὐτά[45].

λς'. Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶν, φυλάττων ἑαυτῷ ἓν μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει· ἐὰν δὲ ἀδιάθετος τελευτήσει, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὸ ἐξ ἀδιαθέτου, τουτέστι τὸν φαλκίδιον, καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ[46].

λζ'. Ὁ δι' ἄσκησιν λύων τὸν ἴδιον γάμον τῷ ἀπὸ τελευτῆς ὑπόκειται κάσσῳ[47].

---

34 Theod. Nov. 123 §. 64. 65. 35 Abundat. 36 Theod. Nov. 123 §. 18. 37 An λγ'? 38 Imo legendum: ἡ παροῦσα διάτ. τὴν — λέγουσαν. 39 Cod. I, 3, 22 pr.? 40 Theod. Nov. 123 §. 27. 41 Deest in C V ὁ γὰρ γενόμ. 42 Theod. Nov. 123 §. 25. 43 Theod. Nov. 123 §. 74. 44 Athanas. II, 3 ex Nov. 131. 45 Theod. Nov. 5 §. 5. — Proch. XXIV, 2. 46 Theod. Nov. 123 §. 76. — Proch. XXIV, 3. 47 Athanas. I parat. §. 6 ex Nov. 22.

λη΄. Ὁ ἀπὸ μοναστηρίου μετιὼν εἰς ἄλλο μοναστήριον ἐκπίπτει τῶν ἰδίων πραγμάτων μηδὲ προσδεχθείς[48].

λθ΄. Ὡς βι. α΄ τί. γ΄ διατ. λη΄ τοῦ κώδ. ὅτι ὁ γενόμενος μοναχὸς οὐκ ἀναλαμβάνει ἐξερχόμενος τοῦ μοναστηρίου, ὅσα ἐδωρήσατο κινητὰ πράγματα τῷ μοναστηρίῳ, κἂν ὑπερβαίνουσιν τὰ φ΄ νομίσματα καὶ πρᾶξις ὑπομνημάτων ἐν αὐτοῖς οὐ προῆλθε.

μ΄. Εἴτε δὲ ἀνὴρ εἴτε γυνὴ καταλίπῃ τὸν σύζυγον καὶ ἀσκῆσαι βουληθῇ, μὴ ζημιούσθω ἐντεῦθεν· ἀλλ᾿ ἕκαστος τὸ οἰκεῖον λαμβάνει, τοσοῦτον μόνον κερδαίνων τοῦ ἑτέρου προσώπου, ὅσον ἀπὸ τελευτῆς συμπεφώνηται, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον ὁ μονάζων δοκεῖ τεθνᾶναι· τοῦτο γὰρ καὶ νεαρὰ εἰρημένη[49]. μὴ γαμεῖν δὲ τὴν γυναῖκα πρὸ ἐνιαυσιαίου χρόνου διὰ τοῦ τοκετοῦ τὸ ἄδηλον. τὸ κερδαινόμενον, κἂν μὴ δευτερογαμήσει, τοῖς παισὶ φυλάξῃ[50].

μα΄. Ἐάν τις πατὴρ ἢ μήτηρ ἐξ ἀπαιδίας ἀποκατάστασιν ἢ ὑποκατάστασιν ἐπαγάγοι τισὶν, τουτέστι ἐπὶ αἱρέσει γάμου ἢ παιδοποιΐας, εἶτα μὴ γαμήσει δι᾿ ἄσκησιν καὶ μονάσῃ, ἄδειαν αὐτὸν ἔχειν ὡς βούλεται τὰ αὐτοῦ διοικεῖν, εὐσεβῶς μέντοι. τὰ αὐτὰ καὶ ἐπὶ γυναικός φαμεν[51].

μβ΄. Εἴτε μονάσει εἴτε κληρωθῇ υἱός τινος, οὐχ ἕλκεται ἀπὸ τῆς μονήρου ζωῆς οὔτε ἀπὸ τῆς χειροτονίας ὑπὸ τοῦ ἰδίου πατρός. οὐ μὴν ἀλλ᾿ οὐδὲ νοεῖται ἀχάριστος, ὡς ἐκ διαθήκης ὀφείλει μὲν λαβεῖν τὸ νόμιμον, ἐξ ἀδιαθέτου δὲ καλεῖται εἰς τὰ τοῦ πατρὸς αὐτοῦ πράγματα[52].

μγ΄. Ἐὰν μοναχὸς κοσμικὸς γένηται, μοναστηρίῳ ἐμβάλλεται καὶ προσκυροῦται ἐκείνῳ τῷ μοναστηρίῳ ἃ ἐπεκτήσατο. εἰ δὲ καὶ τοῦ δευτέρου μοναστηρίου ἐξέλθοι καὶ γένηται κοσμικὸς, ταξεώτης γίνεται[53].

μδ΄. Ἀρχιμανδρίτου τελευτῶντος[54], μὴ πάντως ὁ τῷ χρόνῳ προλαμβάνων τὸν ἄλλον εἰς τὸν τούτου τόπον προβαλλέσθω, ἀλλ᾿ ἐκεῖνος ὁ ἐξ ἀγαθοῦ βίου καὶ σεμνοτάτου τρόπου καὶ ἀσκήσεως[55].

με΄. Δοῦλος οὐ γίνεται κληρικὸς οὐδὲ μοναχὸς, κἂν συναινέσῃ ὁ δεσπότης αὐτοῦ ἢ σιωπήσῃ[56], μετὰ τριετίαν ανα-

---

[48] Theod. Nov. 5 §. 8. — Proch. XXIV, 4. [49] AB νε εἰρ^μ. Forte νεα. ρκγ΄. Indicatur enim Nov. 123 c. 40. [50] Cod. I, 3, 52 (53) §. 3. [51] Cod. I, 3, 52 (53) §. 2. [52] Cod. I, 3, 54 (56) §. 1. [53] Theod. Nov. 123 §. 81. [54] C ἀρχιμανδρίτης τελευτῶν. [55] Cod. I, 3, 46 (47) pr. [56] Cod. I, 3, 36 (37) §. 1.

λαμβάνει αὐτόν. εἰ δὲ εἰδήσει καὶ γνώμῃ τοῦ οἰκείου δεσπότου γένηται μοναχὸς, μένει ἐν οἷς ἐτάχθη· εἰ δὲ ἐξέλθῃ ἐκ τοῦ μοναστηρίου, τῇ ἰδίᾳ τύχῃ ἀποδίδοται[57]. νεαρὰ ρκγ'[58].

μϛ'. Περὶ πρεσβυτέρων[59]. — Πρεσβύτερος ἢ διάκονος γυναικὶ διαγόμενος μετὰ τὴν χειροτονίαν καθαιρείσθω, καὶ μήτε ἡ γυνὴ αὐτοῦ μήτε τὰ ἐξ αὐτῆς κερδανέτωσάν τι τῶν ὑπ' αὐτοῦ καταλελειμμένων· ἀλλὰ τῇ ἐκκλησίᾳ αὐτοῦ ἁρμόζει[60].

μζ'. Ἀναγνώστης δευτερογαμῶν μὴ προκοπτέτω· πειρώμενος δὲ ἰδιώτης ἔστω. μηδέποτε δὲ τριτογαμείτω[61].

μη'. Διακόνισσα ἢ πορνεύσασα ἢ νομίμως γαμουμένη ἢ ἄλλον βίον μετερχομένη καὶ αὐτὴ ἅμα τῷ φθείραντι ἢ τῷ γήμαντι θανάτῳ ὑπόκειται· ἡ δὲ οὐσία τοῦ γήμαντος ἢ τοῦ φθείραντος τῷ δημοσίῳ ἔσται, ἡ αὐτῆς δὲ τῷ μοναστηρίῳ ἢ τῇ ἐκκλησίᾳ προσκυρούσθω[62].

μθ'. Δύναται ἐν συμβόλῳ[63] ὁ κληρικὸς τῇ τοῦ φόρου αὐτοῦ παραγραφῇ ἀποτάξασθαι· ἑκάστῳ γὰρ ἀνθρώπῳ ἔξεστι τῶν οἰκείων δικαίων καταφρονεῖν[64], εἰ μὴ ἄρα παρανόμως καταφρονεῖ τὴν οἴκησιν. βι. ν' τί. κε' διατ. ε' τοῦ κώδ.[65]

ν'. Κληρικὸς μὴ ταυλιζέτω μήτε κοινωνείτω ταυλιστῇ μήτε θεωρείτω τοὺς ταυλίζοντας μήτε μὴν ἄλλην θέαν· ἐπεὶ βάλλεται ἐπὶ τριετίαν εἰς μοναστήριον[66].

ΤΙΤΛΟΣ Θ'[1].

Περὶ τῶν διοικούντων ἀλλότρια πράγματα, καὶ περὶ τῶν προστησάντων δούλους καὶ περὶ ὑπεξουσίων καὶ πεκουλίων αὐτῶν, καὶ περὶ τῶν ἐπὶ προστασίᾳ διδομένων.

α'. Ὁ χειρίζων τινὸς χρήματα καὶ τόκους δίδωσι καὶ τὸν κίνδυνον ὑπομένει ὧν ἐδάνεισεν, εἰ μὴ οἱ δανεισάμενοι τυχηρῶς ἠπόρησαν πρὸ τῆς προκατάρξεως[2].

β'. Ὁ διοικῶν τὰ τοῦ μὴ θέλοντος, ἀλλὰ κωλύοντος αὐτὸν πράγματα οὐκ ἔχει τὴν νεγοτιόρουμ, ἀφ' οὗ μάθῃ δηλονότι [ὡς] ὁ πρωτότυπος ἀπαρέσκεται. ὡς βι. β' τοῦ κώδ. τί. ιη'

---

[57] Cod. I, 3, 37 (38). [58] Cf. Nov. 123 c. 17. [59] A inscribit: *περὶ κληρικῶν*. [60] Cod. I, 3, 44 (45). [61] Nov. 6 c. 5. [62] Cf. Nov. 6 c. 6. Cod. I, 3, 53 (54). [63] Lege *συμβολαίῳ*. [64] Cod. I, 3, 51. [65] Haec ultima corrupta sunt. [66] Theod. Nov. 123 §. 23.

[1] C tituli numerum non habet. [2] Dig. III, 5, 37 §. 1.

διατ. κδ'[3]. σημ. ἔξεστιν ἡμῖν κρείττονα τὴν αἵρεσιν ποιεῖν τοῦ ἀπόντος, οὐ μὴν δὲ χείρονα.

γ'. Ὁ τὰ τοῦ ἀπόντος ἀγνοοῦντος πράγματα διοικῶν, δόλον καὶ ἀμέλειαν χρεωστεῖ[4]. καὶ ὁ πλεῖον τοῦ δέοντος δαπανῶν, τὸ δεδοκιμασμένον λαμβάνει[5].

δ'. Μήτηρ τροφὰς καὶ ἀναλώματα παρὰ τῶν παίδων οὐ δύναται ἀπαιτεῖν, κἂν ἐπ' εὐσεβείᾳ τοῦτο ἐποίησε· μάμμη δὲ δύναται. καὶ μήτηρ ἐὰν πένεται, σώζεται αὐτῆς ἡ ἀπαίτησις[6].

ε'. Ὁ ἐξεπίτηδες ἐπιτροπεύων ἀνήβῳ κόρῃ οὐκ ἔχει τὴν περὶ διοικήσεως ἀγωγήν[7].

ς'. Οὐ δύναται ὁ ἀπελεύθερος τὰ ἀναλώματα λαβεῖν ἐπὶ τοῖς ἀνήβοις τοῦ πατρώνου ὡς αἰτήσας αὐτοῖς ἐπίτροπον[8]. σημ. ἐπειδὴ ἔργον ἀπελευθέρου ζητοῦμεν οὐ μὴν [ἀλλὰ καὶ] ὑπηρεσίας λειτουργιῶν.

ζ'. Κουράτωρα ὁ πατὴρ οὐ δύναται καταλιπεῖν τοῖς αὐτοῦ παισίν. εἰ δὲ θεσμῷ φιλίας τοῦ πατρὸς δοθῇ καὶ διοικήσει τὰ πράγματα, ἁρμόζει κατὰ τοῦ περιόντος καὶ κατὰ τῶν κληρονόμων αὐτοῦ ἡ ἀπουσίᾳ τοῦ κουράτωρος κινουμένη ἀγωγή, ἡ περὶ τοῦ διοικοῦντος ἀλλότρια πράγματα[9].

η'. Ἐὰν υἱὸς ὑπὲρ ἰδίου πατρὸς χρέος καταβάλῃ, οὐδεμίαν ἀγωγὴν δι' αὐτὴν[10] ἔχει, κἄν τε ὑπεξούσιος ᾖ κἄν τε αὐτεξούσιος, ὅτι ψυχῇ δωρουμένου τὰ χρήματα δέδωκεν ὑπὲρ τοῦ πατρός. εἰ δὲ δι' ἐντολῆς τοῦ πατρὸς γέγονεν, ἀπαιτεῖ αὐτὰ ἀπὸ τῶν συγκληρονόμων αὐτοῦ[11].

θ'. Ὁ ποιῶν νεκεσάρια δαπανήματα, τουτέστιν ἀναγκαῖα, περὶ τὸ χρησθὲν αὐτῷ πρᾶγμα, παρακρατεῖν αὐτὸ δύναται ὡς ἐνέχυρον, ἕως ὅτε λάβῃ τὰ δαπανήματα. ὁμοίως καὶ διὰ τῆς μανδάτη, τουτέστι τῆς ἐντολῆς, ἀπαιτεῖ ὁ προκουράτωρ μετὰ τῶν τόκων ὅσα ἐδαπάνησε, εἴπερ[12] καλῇ πίστει δεδαπάνηκεν εἰς τὴν δίκην, κἂν εἰργολάβησεν αὐτὴν εἰς τὰ πράγματα τοῦ προβαλλομένου αὐτόν. ὡς βι. [δ'] τοῦ κώδ. [τί.] λε' διατ. δ'. σημ. καὶ δι' ἐπιστολῆς μανδατίων συνίσταται. ἀνάγν. βι. δ' τί. λε' τοῦ κώδ.[13] περὶ τοῦ ἀναλώσαντος οἴκοθεν εἰς[14] ἀλλότρια πράγματα[15] ὁ κανὼν λέγει, τῶν γενομένων ἀναλωμάτων ἐπὶ διοικήσει πραγμάτων ἀλλοτρίων τόκον παρέχεσθαι, εἰ καλῇ πίστει συνεβούλευσεν.

---

[3] C κη', A κα'. [4] Dig. III, 5, 11. [5] Dig. III, 5, 25. [6] Dig. III, 5, 34. Cod. II, 18, 1. 11. [7] Cod. II, 18, 4? [8] Cod. II, 18, 5. [9] Cod. II, 18, 6. [10] F δύναται. Lege διὰ ταύτην τὴν καταβολήν. [11] Cod. II, 18, 12. [12] C ἅπερ. [13] Const. 7 [14] In C deest. [15] Haec verba περὶ κτλ. in F rubricae loco scripta sunt.

ι΄. Οὐ λαμβάνει ὁ ἀνὴρ, εἴ τι ἀνάλωσεν εἰς τὴν νόσον τῆς γυναικὸς αὐτοῦ. εἰς δὲ τὴν ταφὴν, ἀναλαμβάνει ἐκ τῆς ἀπαιτηθείσης αὐτῆς προικός[16].

ια΄. Ἀπὸ τῆς συνημμένης διοικήσεως οἱ δοῦλοι καὶ μετὰ ἐλευθερίαν ἐνάγονται, ἐὰν ἐπέμειναν ἐν ταῖς αὐταῖς διοικήσεσι[17].

ιβ΄. Πᾶσαι γὰρ ἀπὸ τῆς διοικήσεως τικτόμεναι ἀγωγαὶ τέσσαρες μὲν εἰσὶν αἱ κατὰ τάξιν· ἡ περὶ ἐντολῆς, ἡ κατὰ ἐπιτρόπων, ἡ περὶ διοικήσεως πραγμάτων ἀλλοτρίων, καὶ ἡ περὶ πραγμάτων διοικηθέντων πρὸ τῆς ἐπιτροπῆς. πᾶσαι δὲ αὗται προσωπικαί εἰσι, καὶ οὐδεμία αὐτῶν ὑπὸ τὴν ἐκδικοῦσαν ἴδια πράγματα ἀναφέρεται[18]. σημ. πᾶσα προσωπικὴ ἀγωγὴ τῇ πενταετίᾳ[19] κλείεσθαι δοκεῖ.

ιγ΄. Προεστὼς γάρ ἐστιν ὁ ἐμπορίας χάριν προεστὼς εἴτε ἐργαστηρίῳ, εἴτε οἱᾳδήποτε πραγματείᾳ. καὶ ὁ δοῦλον προστήσας τραπέζῃ ἐνέχεται[20]. καὶ ὁ δεδωκὼς ἐνέχυρον ἐπὶ τιμήματι καὶ ὁ τὸν προεστῶτα ἐγγυησάμενος ἔχει κατὰ τοῦ προστήσαντος ἀγωγήν[21]. καὶ ὁ προβληθείς μου δοῦλος, ἐὰν ἐλευθερωθεὶς ἐπιμείνῃ τῇ πραγματείᾳ, ἐνέχομαι[22].

ιδ΄. Προεστὼς ἔγραφεν οὕτως· ὁ δεῖνα πράττων πρᾶγμα τόδε ἔχεις ἐν τῇ τραπέζῃ τοῦ πατρώνου μου νομίσματα ρ΄, ἅτινα ὀφείλω τῇδε τῇ προθεσμίᾳ σοι ἀποδοῦναι. τελευτήσαντος ἀδιαδόχου τοῦ προστήσαντος οὔτε πολιτικῶς οὔτε παρακλητικῶς ἐνέχεται ὁ προεστώς. τοῦτο γὰρ δι᾿ ἀπόδειξιν μόνην ἐποίησεν[23]. σημ. ὑπεξούσιοι δοῦλοι καὶ ἐλεύθεροι ἐν τῷ συναλλάγματι[24] τῇ περὶ πεκουλίου ἀγωγῇ ἐνέχονται.

ιε΄. Ὁ προκουράτωρ παρελθὼν τὸ μανδάτον μου οὐ νοεῖταί τι ποιεῖν. ὡς βι. ς΄ τοῦ κώδ. τί. β΄ διατ. ιθ΄[25].

ις΄. Δαπανήματος γενομένου εἰς τὰ πράγματα τοῦ δεσπότου κατέχεται ὁ δεσπότης, κἂν μὴ κατὰ κέλευσιν αὐτοῦ τὸ δάνειον ἐγένετο, μηδὲ ὑπέγραψεν ἐν τῇ χειρογραφίᾳ[26]. σημ. βέρσον ἦν τὸ δάνειον, τουτέστιν ἀναγκαῖον.

ιζ΄. Ὁ ὑπεξούσιος μείζων ὢν τῶν κε΄ ἐνιαυτῶν τινὰς ἐγγυησάμενος καλῶς ἐνάγεται, καὶ ποιεῖ κατὰ τοῦ ἰδίου πατρὸς τὴν περὶ πεκουλίου ἀγωγήν[27].

ιη΄. Ὁ δανείζων οἰκέτῃ ἀλλοτρίῳ, ζῶντος μὲν τοῦ οἰκέτου,

---

[16] Cod. II, 18, 13. [17] Cod. II, 18, 21. [18] Cod. II, 18, 23. [19] Lege *τριακονταετίᾳ*. [20] Dig. XIV, 3, 3. 5 §. 2. 3. [21] Dig. XIV, 3, 5 §. 15. 16. [22] Dig. XIV, 3, 19 §. 1. [23] Dig. XIV, 3, 20. [24] F *τοῖς συναλλάγμασι.* [25] C *θ΄*. [26] Cod. IV, 26, 3. — Malim *τῷ χειρογράφῳ.* [27] Cod. IV, 26, 5.

ἔχει τὴν ἀγωγὴν διηνεκῶς· μετὰ δὲ τὴν ἐκείνου τελευτὴν ἐντὸς ἐνιαυτοῦ ἔχει τὴν περὶ πεκουλίου ἀγωγήν[28].

ιϑ΄. Ὁ ὑπεξούσιος ϑεμιτῶς δανεισάμενος, ἢ τὸν πατέρα ἐγγυησάμενος, κατέχεται εἰς ὁλόκληρον, καὶ μετὰ ϑάνατον τοῦ πατρὸς εἰς ὅσον εὐπορεῖ[29].

κ΄. Ὁ οἰκέτης ἔχων ἐλευϑέραν πεκουλίου διοίκησιν δύναται πωλῆσαι πράγματα τοῦ πεκουλίου αὐτοῦ, οὐκ ἔτι δὲ ὁ μὴ ἔχων[30].

κα΄. Ὁ δεσπότης οἰκείῳ ὀνόματι ἔνοχος [οὐ] γίνεται τοῦ οἰκέτου συναλλάξαντος, κατέχεται δὲ τῇ περὶ πεκουλίου ἀγωγῇ καὶ τῇ περὶ ἀναλωϑέντων εἰς τὰ πράγματα αὐτοῦ[31].

κβ΄. Ὁ προϊστῶν τινα τῆς κατὰ γῆν ἢ ϑάλασσαν ἐμπορίας χάριν, δοκεῖ πᾶσιν παραγγέλλειν, ὥστε ἀδεῶς συναλλάττειν τῷ προστάντι. ὡς βι. δ΄ ἰνστιτ. τί. ζ΄[32].

κγ΄. Τότε κατέχεται ὁ δεσπότης τῇ ἐπὶ τῷ συναλλάγματι τοῦ οἰκέτου ἀγωγῇ, ὅτε ἰδικῶς ὁρίσει τὴν ποσότητα τὴν ὀφείλουσαν δανεισϑῆναι ἢ τῷ δούλῳ ἢ τῷ μισϑωτῷ ἢ τῷ διοικητῇ τοῦ ἀγροῦ. ἐπείτοιγε οὐκ ἐστὶ κατ᾽ αὐτοῦ ἡ ἀγωγὴ, κἂν δι᾽ ἐπιστολῆς παρέϑετο[33].

κδ΄. Ὁ δανείζων ὑπεξουσίῳ χρήματα οὔτε μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ ἔχει ἀπαίτησιν. σημ. δανείζεται γὰρ μέχρι τοῦ ποσοῦ τοῦ ἰδιοκτήτου αὐτοῦ πεκουλίου[34]. *ἀνάγν. βι. δ΄ τί. κς΄ τοῦ κώδ.*[35]

κε΄. Ἐὰν λαβὼν δωρεὰν ὁ ὑπεξούσιος καταβάλῃ τῷ δανείσαντι, παντὶ τρόπῳ ἀπαιτεῖ αὐτὸ ὁ πατήρ[36]. *σημ. ἐὰν εἶχεν ἀπὸ πατρὸς αὐτὴν, τότε ἐκδικεῖ αὐτὴν ὁ πατήρ. εἰ δὲ ἀπὸ ἀδελφοῦ ἢ ϑείου, ἐπ᾽ αὐτῶν ὁ πατὴρ χρῆσιν οὐκ ἔχει κατὰ τὴν ρκ΄ νεαράν.*

κς΄. Ἐὰν υἱὸς δανεισάμενος ἐπιδῷ προῖκα ὑπὲρ τῆς αὐτοῦ ἀδελφῆς, ἐνάγεται ὁ πατὴρ, ὅτι αὐτὸς[37] *ἔχει τὴν ἀνάληψιν τῆς προικός*[38]. *ἐπὶ δὲ δανείου μόνου χώρα τῷ δόγματι. ἐὰν δὲ ἐξ ἀγορασίας χρεωστῇ ὁ ὑπεξούσιος, ἀργεῖ τὸ δόγμα τὸ μακεδόνιον*[39].

κζ΄. Ὑπεξούσιος υἱὸς καταβαλὼν ὑπὲρ τοῦ ἰδίου πατρὸς, οὐκ ἔχει κατ᾽ αὐτοῦ ἀγωγήν. εἰ δὲ αὐτεξούσιος καταβάλῃ, ἔχει

---

[28] Cod. IV, 26, 7. [29] Cod. IV, 26, 9. [30] Cod. IV, 26, 10. [31] Cod. IV, 26, 12. [32] Theoph. IV, 7, 8. [33] Cod. IV, 26, 13. [34] Dig. XIV, 6, 1 pr. §. 3. [35] A: *τί. κε΄ τοῦ κώδ. κς΄.* [36] Dig. XIV, 6, 9 §. 1. [37] F *αὐτῆς γάρ.* [38] Dig. XIV, 6, 17. [39] Cod. IV, 28, 3.

τὴν νεγοτιογεστόρουμ, εἰ μὴ ἄρα ὡς δωρούμενος τοῦτο ἐποίησεν. ὡς βι. β΄ τοῦ κώδ. τί. ιη΄ διατ. ιβ΄.

κη΄. Ὁ συναλλάσσων μετὰ δούλου ἢ δούλης ἔχει τὴν περὶ πεκουλίου ἀγωγήν. εἰ δὲ ἄνηβός ἐστιν ὁ συναλλάξας υἱὸς ἢ δοῦλος, τότε ἁρμόζει, ὅτε τὸ πεκούλιον γέγονεν[40] εὐπορώτερον[41].

κθ΄. Οὐ μόνον ὀνόματι τῶν ἰδίων καὶ τῶν κοινῶν δούλων ἐναγόμεθα, ἀλλὰ καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν ἐλευθέρων τε καὶ δούλων ἀλλοτρίων. καὶ ὧν τὴν χρῆσιν μόνην ἔχομεν, ἐξ ὧν ἡμῖν προσπορίζουσιν, ἐναγόμεθα. ἀπὸ γὰρ τῶν λοιπῶν οἱ τὴν δεσποτείαν ἔχοντες ἐνάγονται τῇ ἀγωγῇ[42].

λ΄. Καὶ ὁ συναλλάξας κληρονομιαίῳ δούλῳ πρὸ ὑπεισελεύσεως τῆς κληρονομίας[43] ἔχει τὴν περὶ πεκουλίου ἀγωγήν[44]. ἐπὶ γὰρ τῶν συναλλαγμάτων τοῦ ἀνήβου ζητοῦμεν τὴν αὐθεντίαν τοῦ ἐπιτρόπου. σημ. οὔτε σὺν αὐθεντίᾳ τοῦ ἐπιτρόπου δύναται ὁ ἄνηβος συστήσασθαι τῷ δούλῳ πεκούλιον[45].

λα΄. Ἐὰν ἐλευθεριάζων δοῦλος δικάσηται παρὰ αἱρετῷ δικαστῇ ἢ ἐμπράκτῳ οὔτε περὶ τῶν ψηφισθέντων οὔτε περὶ τῆς ποινῆς δίδοται περὶ τοῦ πεκουλίου ἀγωγή. ἁρμόζει δὲ ἐπὶ τοῖς διαποντίοις χρήμασιν. ἐπὶ δὲ τοῦ ὑπεξουσίου, ἐὰν δικάσηται ἢ ἐγγυήσηται, χώρα τῇ ἀγωγῇ[46]. περιέχεται καὶ τὸ πεκούλιον τοῦ δούλου· ἐν ᾧ γὰρ ὁ δεσπότης συνίστησι τὸ πεκούλιον τοῦ πρώτου δούλου, πιστεύεται καὶ τοῦ δούλου τῷ δούλῳ συνίστασθαι[47].

λβ΄. Ἐὰν ἑαυτὸν ἀνέλῃ ἢ τραυματίσῃ δοῦλος, οὐχ ὑπεξαιρεῖ τὴν ζημίαν ὁ δεσπότης. φυσικῶς γὰρ ἔξεστι τοῖς δούλοις ἁμαρτάνειν εἰς τὸ ἴδιον σῶμα. τὴν δὲ γενομένην δαπάνην εἰς ἐπιμέλειαν τοῦ ἑαυτὸν τραυματίσαντος ὑπεξαιρεῖ. καὶ εἴ τι παρέσχεν ὀνόματι τοῦ δούλου[48]. ἐπὶ δὲ τοῦ πράτου καὶ τοῦ ἀγοραστοῦ καὶ τοῦ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντος καὶ δεσπότου καὶ καλῇ πίστει νομέως καὶ τῶν ἄλλων τῶν μὴ ὄντων κοινωνῶν[49]. εἰς ὁλόκληρον ἐνάγονται, καὶ ὑπεξαιρεῖται τὸ κεχρεωστημένον ἑκατέρῳ[50].

λγ΄. Ἐὰν ὁ χρεωστούμενος παρὰ δούλου ἀγοράσῃ αὐτόν,

---

[40] C εἰ γέγ. [41] Dig. XV, 1, 1 §. 3. 4. [42] Dig. XV, 1, 1 §. 6 et 2. [43] C τοῦ κληρονόμου. [44] Nonnulla omissa sunt. Cf. Basil. XVIII, 5, 3. [45] Dig. XV, 1, 3 pr. — §. 3. [46] Dig. XV, 1, 3 §. 8. 9. — A loco illorum τῇ ἀγ. habet: τὸ δόγμα et inter lineas τῷ δόγματι. — Caeterum hinc possunt suppleri Basil. XVIII, 5, 3. [47] Dig. XV, 1, 6. [48] Dig. XV, 1, 9 §. 7. 8. [49] Dig. XV, 1, 13. Nonnulla omissa sunt. Cf. Basil. XVIII, 5, 13. [50] Dig. XV, 1, 15. Cf. Basil. XVIII, 5, 15.

ὑπεξαιρεῖ παρ᾽ ἑτέρων[51] ἐναγόμενος[52]. οὐκ ἔχουσιν οἱ δανεισταὶ κατὰ τοῦ πεκουλίου τοῦ δούλου, κατὰ δὲ τοῦ πράτου ἔχουσι τὴν περὶ πεκουλίου ἀγωγήν. ἐὰν ἄρα[53] ὁ δοῦλος τοῦ δούλου καὶ τὸ πεκούλιον αὐτοῦ πεκούλιόν ἐστι τοῦ πρώτου δούλου[54]. ὑπεξαιρεῖται ἐκ τοῦ πεκουλίου τοῦ πρώτου δούλου. εἰ δὲ χρεωστεῖται παρὰ τοῦ δούλου τοῦ δούλου, οὐχ ὑπεξαιρεῖ ὁ δεσπότης ἐκ τοῦ πεκουλίου τοῦ πρώτου δούλου, ἀλλὰ ἀπὸ μόνου τοῦ δούλου[55] τοῦ δούλου[56].

λδ'. Καὶ ὁ ἐν ἀγνοίᾳ νεμηθεὶς δούλην οὐσουκαπιτεύει τὸν τοκετὸν αὐτῆς, κἂν, πρὶν τέκῃ, γνῷ, ὅτι ἀλλοτρία ἦν. ὡς βι. μα' τί. γ' διγ. μα'[57].

λε'. Ὁ ἀγοραστὴς οὐκ ἐνέχεται ἀπὸ δόλου τοῦ πράτου· εἴσω ἐνιαυτοῦ ἀριθμουμένου ἀπὸ τῆς πράσεως, ὑπολογιζομένου τοῦ ὄντος παρὰ τῷ ἀγοραστῇ πεκουλίου[58]. σημ. ἐὰν συνεφώνησε λαβεῖν τὸ πεκούλιον καὶ οὐκ ἔλαβεν ὁ ἀγοραστής.

λς'. Ὁ πωλήσας μετὰ πεκουλίου τὸν δοῦλον καὶ παραδοὺς τὸ πεκούλιον [οὔτε] ἐντὸς ἐνιαυτοῦ ἐνάγεται τῇ περὶ πεκουλίου ἀγωγῇ[59]. εἰ δὲ συνεφώνησε λαβεῖν ὑπὲρ τοῦ πεκουλίου τίμημα, αὐτὸς δοκεῖ διὰ τοῦ δοθέντος αὐτῷ τιμήματος ἔχειν τὸ πεκούλιον, οὐ μὴν ὁ ἔχων αὐτό[60].

λζ'. Ἀπὸ τῆς ἐγγύης τοῦ δούλου οὐκ ἐνάγεται ὁ δεσπότης, εἰ μὴ εἰς πράγματα τοῦ δεσπότου ἢ τοῦ πεκουλίου ἐγγυήσατο[61].

λη'. Ἀπὸ τῶν πεκουλίων ὅσα πρὸ τῆς πράσεως ἐκτήσατο ὁ δοῦλος, τῷ πράτῃ ἁρμόζει· τὰ[62] δὲ μετὰ τὴν πρᾶσιν τῷ ἀγοραστῇ, κἂν παρὰ[63] τῷ πράτῃ ἦν ὁ δοῦλος[64].

λθ'. Οὐ μόνον τὸ συγχωρηθὲν παρὰ τοῦ δεσπότου πεκούλιόν ἐστιν, ἀλλὰ καὶ τὸ κτηθὲν ἀγνοοῦντος αὐτοῦ[65]. ἀνάγν. τί. ιζ' κεφ. ξα'.

μ'. Δουλεύων μοι καλῇ πίστει δοῦλος ἀλλότριος ἐδανείσατο καὶ δέδωκέ μοι νομίσματα ἐπὶ τῷ ἐλευθερῶσαι αὐτόν. εἰ καὶ τὰ μάλιστα ἐξουσίαν ἔχει ὁ δανειστὴς καθ' ὅτου βούλεται χωρεῖν, ὅμως ἐπὶ τοῦ παρόντος θέματος μόνος ὁ δεσπότης ἐνάγεται τῇ περὶ πεκουλίου ἀγωγῇ, εἰ καὶ ἔχει κατ' ἐμοῦ τὴν περὶ νομισμάτων ἢ τὴν περὶ ἀποκρυβῆς πραγμάτων ἀγω-

---

[51] A *αὐτοῦ ὁ*. [52] Dig. XV, 1, 11 §. 8. [53] Haec a verbis *οὐκ ἔχουσιν* epitomando corrupta sunt. [54] Desunt nonnulla. Cf. Basil. XVIII, 5, 17. [55] A *μόνον τὸν δοῦλον*. [56] Dig. XV, 1, 17. [57] dig. 44 §. 2. [58] Dig. XV, 1, 21 §. 2 et 27 §. 6. — Faciunt haec ad supplenda Basil. XVIII, 1, 27. [59] A *ἀγοράν*. [60] Dig. XV, 1, 32 §. 2 et 33. 34. [61] Dig. XV, 1, 47 §. 1. [62] A *εἰ*. [63] A *ἐν*. [64] Non invenio hunc locum. [65] Dig. XV, 1, 49 pr.

γήν· αὐτῷ γὰρ προσεπορίσθησαν· καὶ ἀδιάφορον, εἰ[66] ἠλευθέρωσα εἴτε μή[67]. σημ. εἰ μὲν ἔλαβεν αὐτὰ ὁ δεσπότης ἐκ τοῦ πεκουλίου τοῦ δούλου, τὰ ἴδια ἔλαβεν, καὶ οὐ[68] βούλεται ἡ διάτ. λαβεῖν τὴν τιμὴν αὐτοῦ. εἰ δὲ τῶν[69] ἀλλοτρίων, καλῶς αὐτὸν ἠλευθέρωσε μετὰ τῆς ἱκανοδοσίας τοῦ δανειστοῦ[70]. ἀνάγν. τί. ις´ κεφ. ιε´[71].

μα´. Τὰ ἐπαγγελθέντα χάριν τινὸς προστασίας καλῶς μεθοδεύεται, καὶ τὰ δωρηθέντα γὰρ τοῖς εὐεργέταις οὐκ ἀνατρέπεται. τοῦτο δὲ νόει, εἰ μὴ ἄρα πρὸς περιγραφὴν τοῦ δημοσίου ἐδόθη, καὶ ἐὰν ἀδίκως τὰ τοιαῦτα ἐδωρήθησαν. ὡς βι. δ´ τοῦ κώδ. τί. γ´ διατ. α´.

μβ´. Ὁ ἐλπίσας τυχεῖν πράγματος καὶ δεδωκώς τι, κἂν μὴ τῆς ἐλπίδος τύχῃ, οὐ δύναται λέγειν, ὡς φόβον ἢ βίαν ἔπαθον· πλὴν ὅτι ἔχει ἐπὶ τοῖς δοθεῖσιν τὸν causa data κονδικτίκιον, τουτέστι τὴν ἀνάληψιν, ἐὰν δηλονότι ἐπὶ προστασίᾳ ἐδόθησαν, καὶ οὐ δωρεᾶς λόγῳ. σημ. ὅτι ὁ ἀποτυχὼν προσδοκίας ἀναλαμβάνει ὃ δέδωκεν. ὡς βι. δ´[72] τοῦ κώδ. τί. ιθ´ διατ. η´.

μγ´. Ὁ διοικῶν τινος πράγματα ἀναγκάζεται δεφενδεύειν αὐτὰ ἢ ἀφίστασθαι τῆς διοικήσεως. ὡς βι. β´ τοῦ κώδ. τί. ιβ´ διατ. γ´. ὁ μὴ δεφενδεύων ἀπόντα τὸν αὐτῷ ἐντειλάμενον, οὐδὲ κινεῖ κατ᾽[73] αὐτοῦ ἣν ἐνετάλθη ἀγωγήν. ἴσθι δὲ ὅτι δεφενσίων οὐ νοεῖται ἐκτὸς ἀσφαλείας[74].

μδ´. Ἀλλοτρίαν δίκην μηδεὶς ἀγοραζέτω[75]. σημ. ὅτι ὁ ἀγοράζων ἀλλοτρίαν δίκην οὐδὲ τὰ δόξαντα μεθοδεύει, ὡς βι. δ´ τοῦ κώδ. τί. λε´ διατ. ιθ´[76]. σημ. ἰστέον δὲ, ὅτι ἀγωγὴν μήπω προκαταρχθεῖσαν δυνατὸν ἀγοράσαι[77], μὴ δυναμένου πλέον ὧν δέδωκεν ὁ ἐκχωρῶν[78] ἀπαιτεῖν. μὴ δοθέντος δέ τινος οὐ γίνεται ἐκχώρησις. ὡς διάτ. κβ´.

με´. Ὁ εἰς προῖκα γραμματεῖον λαβὼν καὶ χωρὶς delegatίονος ἢ προκατάρξεως κινεῖ τὴν οὐτιλίαν ἀγωγὴν, ὥσπερ καὶ ὁ ἀγοραστής. ὅτι γὰρ καλῶς ἕκαστος πωλεῖ τὸ τοῦ οἰκείου χρεώστου γραμματεῖον, εἰ μὴ ἄρα ὑπὸ ἄλλων δανειστῶν προλαμβάνηται. ἀνάγν. βι. δ´ τοῦ κώδ. τί. ι´[79].

---

[66] A *εἰ καὶ ἀδ. ἠλ.* [67] Dig. XV, 1, 50 §. 3. [68] Negatio delenda esse videtur. [69] Legerim *ἐξ.* [70] Haec corrupta sunt. [71] Infra tit. XVI c. 16. [72] Lege *β´.* [73] Lege *ὑπέρ.* [74] Cod. II, 12, 5. [75] Cod. II, 12, 15. [76] Nobis c. 20. [77] Cf. Basil. XIV, 1, 82 schol. Theodori. [78] Lege *τοῦ ἐκχωρουμένου.* [79] Const. 2. Cf. Basil. XXIV, 3, 5 schol. 1.

ΤΙΤΛΟΣ ι'.

Περὶ συστάσεως κοινωνίας καὶ λύσεως αὐτῆς.

α'. Συνίσταται κοινωνία πράγματι καὶ ῥήματι καὶ δι' ἀγγέλου, καὶ διαλύεται ἀπαγορεύσει, θανάτῳ[1] καὶ ἀπορίᾳ[2].

β'. Ἐν τῇ συστάσει τῆς κοινωνίας οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν. κατὰ φύσιν γὰρ τῆς κοινωνίας ὁ παρὰ καιρὸν ἀπαγορεύσας ἐνέχεται[3].

γ'. Κοινωνία συνίσταται ἐφ' ὅσον καὶ ἕως ὅτε θέλει ἑκάτερος τῶν κοινωνῶν[4].

δ'. Ἐὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία, καὶ κληρονομίαι καὶ λεγάτα καὶ δωρεαὶ καὶ πᾶν κέρδος τῇ κοινότητι προσπορίζεται[5].

ε'. Ἐὰν συμφωνήσωμεν κοινὴν εἶναι τὴν ὡς εἰκὸς ἐρχομένην εἰς ἕνα ἡμῶν δικαίαν κληρονομίαν, οὐ περὶ τῆς [ἐκ] διαθήκης δοκοῦμεν λέγειν, ἀλλὰ περὶ τῆς νομίμου[6].

ϛ'. Ἐὰν ἁπλῶς γένηται κοινωνία, καὶ μὴ δειχθῇ, ἐπὶ τίνι, δοκεῖ συνίστασθαι ἐπὶ τῷ γενομένῳ πόρῳ καὶ κέρδει ἀπὸ πράσεως καὶ ἀγοράσεως, μισθώσεως καὶ ἐκλήψεως. πόρος γάρ ἐστιν ὁ ἀπὸ καμάτου τινὶ περιγενόμενος[7]. ζήτει κεφ. ι'.

ζ'. Καὶ μεταξὺ τῶν ἄνισον οὐσίαν ἐχόντων κοινωνία συνίσταται, καὶ ἐπὶ τέλει, καὶ ἐφ' ἑνὶ πράγματι, καὶ ἐπὶ πραγματείᾳ. ὁ γὰρ πενέστερος ὡς ἐπίπαν τὸ λεῖπον ἐν χρήμασι διὰ τῆς σπουδῆς ἀντεισάγει[8]. σημ. οὕτω τιμιωτάτην εἶναι τὴν σπουδὴν περὶ τὴν κοινωνίαν τοῦ ἑτέρου ἡ[9] τοῦ σερβίου[10] γνώμη ἐκράτησεν, ὥστε ἶσα δύνασθαι τῇ τῶν χρημάτων συνεισφορᾷ, ὡς ἐπὶ πλείονι καὶ μείζονι κέρδει[11].

η'. Συνίσταται κοινωνία τοῦ μὲν ἑνὸς τῶν κοινωνῶν εἰσάγοντος χρήματα, τοῦ ἄλλου δὲ σπουδὴν καὶ μόνην ἐπιδεικνύοντος. ὡς βι. δ' τοῦ κώδ. τί. λζ' διατ. α'.

θ'. Ἐὰν δύο συμφωνήσωσιν, ἵνα τὶς ἐξ αὐτῶν κέρδους μὲν μέρος ἀποφέρηται, μὴ ὑποβάλληται δὲ ζημίᾳ. ἔν τινι δὲ ζημία προσενεχθῇ[12]. οἷον ἐμπορεύονται καὶ ἀνδράποδα καὶ ἐσθῆτας, καὶ ἐν τῇ ἐμπορίᾳ τῆς ἐσθῆτος ζημία γέγονεν ἑκατὸν

---

[1] A *θανάτου*. [2] Dig. XVII, 2, 4. — Proch. XIX, 5. [3] Dig. XVII, 2, 17. — Proch. XIX, 2. [4] Cod. IV, 37, 5. [5] Dig. XVII, 2, 3 §. 1. — Proch. XIX, 3. [6] Dig. XVII, 2, 3 §. 2. — Proch. XIX, 4. [7] Dig. XVII, 2, 7. 8. — Proch. XIX, 7. [8] Dig. XVII, 2, 5. — Proch. XIX, 6. [9] A *εἰ*. [10] A *σερέβου*. [11] Theoph. III, 25, 2. [12] Nonnulla omissa sunt.

νομισμάτων, ἐν δὲ τῇ πραγματείᾳ τῶν οἰκετῶν κέρδος περιεποιήθη νομισμάτων τριακοσίων· ἐξαιρεῖται πρότερον τὰ ρ' νομίσματα τῆς ζημίας, ὥστε ἐκείνην θεραπευθῆναι ἐκ τοῦ κέρδους τῶν τριακοσίων νομισμάτων, καὶ τὰ διακόσια μερισθήσεται μεταξὺ τῶν κοινωνῶν[13] κατὰ τὸ γενόμενον σύμφωνον. ἡνίκα δὲ ζημία συμβῇ, τότε [τὸ] ὄφελος τὸ ἐκ τοῦ συμφώνου δείκνυται. ἰδοὺ γὰρ εἰ συνήγαγον ἀνὰ χιλίων νομισμάτων, συνέβη δὲ ζημίαν μόνην γενέσθαι ἐν τῇ ἐμπορίᾳ διακοσίων νομισμάτων, εἶτα διαλυθῇ ἡ κοινωνία, ὁ μὲν λήψεται ἃ συνήγαγε χίλια, ὁ δὲ ὀκτακόσια. εἰ δὲ συνεφωνήθη, ὥστε κέρδους συμβαίνοντος τὸν μὲν τὸ δίμοιρον, τὸν δὲ τὸ τρίτον λαμβάνειν, περὶ δὲ ζημίας οὐδὲν ἐλέχθη, κανὼν[14] γίνεται τοῦ σιγηθέντος εἰς τὸ ἐξισωθῆναι τὸ μὴ λεχθὲν εἰς τὸ εἰρημένον σύμφωνον. ὡς βι. γ' ἰνστιτ. κε'[15].

ι'. Κληρονομίαι δὲ καὶ λεγάτα καὶ δωρεαὶ οὐ περιέχονται. αἱ γὰρ δωρεαὶ ὡς μισθός τινος ἡγησαμένου περιγίνονται ἡμῖν[16].

ια'. Εἰ καὶ συνεφωνήθη εἴσω δήλου καιροῦ μὴ λυθῆναι τὴν κοινωνίαν, ἐξ εὐλόγου αἰτίας λύεται· τί γὰρ ὅτι ἡ αἵρεσις, ἐφ' ᾗ συνέστη, οὐκ ἐγένετο, ἢ ὑβριστὴς καὶ ἐπιζήμιός ἐστι κοινωνὸς, ἢ οὐκ ἔστι καρπίζεσθαι τὸ πρᾶγμα, δι' ὃ συνέστη ἡ κοινωνία[17];

ιβ'. Ἐὰν ἀπαγορεύσω τῷ ἀπολιμπανομένῳ μου κοινωνῷ, ὅσα ἂν κτήσωμαι ἕως οὗ μάθῃ κοινὰ γίνεται, ἡ δὲ ζημία μόνον ἐμὲ ὁρᾷ. τὸ δὲ κέρδος τοῦ κοινωνοῦ αὐτοῦ μόνου ἐστὶν, ὃ ἐπορίσατο, καὶ ἡ ζημία κοινή[18].

ιγ'. Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκεται ὁ κοινωνὸς, κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησεν[19].

ιδ'. Τὰ συστάντα χρέη τῷ καιρῷ τῆς κοινωνίας ἐκ τοῦ κοινοῦ[20] δίδονται. καὶ ἐὰν πρὸ τῆς καταβολῆς τοῦ χρέους, ἴσως γὰρ αἱρετικόν ἐστι, ἡ[21] κοινωνία λυθῇ, περὶ καταβολῆς ἀλλήλους ἀσφαλίζονται[22].

ιε'. Ἐὰν χρήματα συνεισαγάγωμεν ἐπὶ κοινῇ πραγματείᾳ, καὶ ἀπόλωνται τὰ ἐμὰ, τῇ κοινότητι ἀπώλοντο. εἰ δὲ μετὰ τὸ ἀφορίσαι με καὶ μήπω συναγαγεῖν ἀπόλωνται, μόνος ζημιοῦμαι[23].

---

[13] A τοῦ κοινωνοῦ. [14] A κοινόν. [15] Theoph. III, 25, 2. 3. [16] Dig. XVII, 2, 9. — Proch. XIX, 7. [17] Dig. XVII, 2, 14. 15. — Proch. XIX, 8. [18] Dig. XVII, 2, 17 §. 1. — Proch. XIX, 9. [19] Dig. XVII, 2, 26. — Proch. XIX, 10. [20] C οἴκου μου. [21] C καὶ ἐὰν ἡ. [22] Dig. XVII, 2, 27. — Proch. XIX, 11. [23] Dig. XVII, 2, 58 §. 1. — Proch. XIX, 12.

ιϛ'. Ὁ κοινωνός μου ἐπὶ τῷ κοινῷ πράγματι καὶ τῇ τῆς [κλοπῆς ἀγωγῇ καὶ τῇ τῆς] κοινωνίας ἀγωγῇ ἐνέχεταί μοι, καὶ οὐκ ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα[24]. σημ. [ἐὰν] ἀπὸ χρυσοῦ ἐμοῦ καὶ ἀργύρου σοῦ εἶδος γένηται, οὐκ ἔσται κοινόν. βι. μα' [τί. α'] διγ. ιβ'. σημ. διὰ τὸν χρυσόν.

ιζ'. Τὰ τυχηρὰ ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει. ὅθεν τὰ δοθέντα διατετιμημένα θρέμματα, εἰ μὲν ὑπὸ ληστῶν ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία. εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται. χρεωστεῖ γὰρ ἀκριβεστάτην ἀσφάλειαν ὡς δεξάμενος διατετιμημένα. καὶ ἁρμόζει ἡ ἐπὶ κοινωνίας ἀγωγή[25].

ιη'. Ἐὰν ὁ κοινωνὸς ἐν κοινῇ ἀποδημήσας ἐμπορίᾳ περιέπεσε λησταῖς καὶ ἀπώλεσεν ἴδια χρήματα, ἅτινα εἰ μὴ διὰ τὴν ἐμπορίαν οὐκ ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώσκει ὁ κοινωνὸς [κανὼν ἐστὶν ὁ λέγων· τὰ τυχηρὰ τῇ κοινότητι μᾶλλον ἢ τῇ ἰδιότητι][26] καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. [σημ. ταῦτα ἐὰν ἐπὶ κοινωνίαν ἐδόθησαν βόσκεσθαι, καὶ τὰ μάλιστα διατετιμημένα[27].] τὸ αὐτό ἐστι κἂν πλέων μετὰ τῆς πραγματείας ἐναυάγησε καὶ ἐζημιώθη, ὅτε χωρὶς θαλάσσης πραγματεία οὐκ εἰώθει φέρεσθαι[28].

ιθ'. Ὁ εἷς τῶν κοινωνῶν ἀργυροπρατῶν οὐ κοινοποιεῖ τὰ ἔξωθεν τῆς τραπέζης αὐτῷ περιποιηθέντα[29].

κ'. Εἰ δὲ καὶ ἀδελφοὶ ἐπὶ κοινωνίᾳ τὰς τῶν γονέων οὐ διείλοντο κληρονομίας, οὐ κοινοποιοῦσιν τὰ ἔξωθεν αὐτοῖς κτηθέντα[30].

κα'. Ὁ κοινωνὸς ὑπερτιθεμένων τῶν ἄλλων ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον, ἐπιλογὴν ἔχει, ἢ τὰ δαπανηθέντα λαβεῖν εἴσω τεσσάρων μηνῶν μετὰ τὴν ἀνανέωσιν, καὶ ἔχει περὶ τὴν ἀπαίτησιν προνόμιον ἤτοι προτίμησιν, ἢ καὶ τὸν οἶκον εἰς δεσποτείαν μετὰ τετράμηνον, ἢ μᾶλλον [διὰ τῆς] περὶ τῆς κοινωνίας ἀγωγῆς λαβεῖν τὸ διαφέρον. ἴσως γὰρ οὐ βούλεται ἔχειν τὸν οἶκον[31]. ὡς βι. η' τί.[32]

κβ'. Ὁ ἀποδημήσας διὰ κοινὴν ἐμπορίαν μόνας τὰς εἰς αὐτὴν γενομένας δαπάνας λογίζεται τῇ κοινότητι[33].

---

[24] Dig. XVII, 2, 45. — Proch. XIX, 13. [25] Dig. XVII, 2, 52 §. 3. — Proch. XIX, 14. [26] Haec verba ex margine injuria irrepsisse videntur. Cf. tit. III c. 21. [27] Haec verba σημ. ταῦτα — διατετιμ. a fine c. 17 temere huc aberraverunt, forte ex margine perperam intrusa. [28] Dig. XVII, 2, 52 §. 4. — Proch. XIX, 15. [29] Dig. XVII, 2, 52 §. 5. — Proch. XIX, 16. [30] Dig. XVII, 2, 52 §. 6. — Proch. XIX, 17. [31] Dig. XVII, 2, 52 §. 10. — Proch. XIX, 18. [32] Forte βι. κ' τί. β' διγ. α'. [33] Dig. XVII, 2, 52 §. 14. — Proch. XIX, 19.

κγ'. Περὶ λύσεως κοινωνίας. — Λύεται ἡ κοινωνία φθειρομένων τῶν προσώπων ἢ τοῦ πράγματος ἢ τῆς γνώμης ἢ τῆς ἀγωγῆς· προσώπων μὲν, ἡνίκα[34] καταδικασθῇ θανάτῳ ἢ ἐξορίᾳ καὶ δημεύσει ὁ εἷς τῶν κοινωνῶν, ἢ καὶ τελευτήσει κοινῷ θανάτῳ. τοῦ πράγματος δὲ, ὅταν ἢ παντελῶς οὐχ ὕπεστιν ἢ τὴν κατάστασιν ἐνήλλαξεν ἀνιερωθὲν ἢ δημευθέν. τῆς γνώμης δὲ, ὅταν ἀπαγορεύσωσιν [ἢ] ἰδιαζόντως ἑαυτῷ ἕκαστος ἄρξηται πραγματεύεσθαι. ἀγωγῆς, ὅταν ἢ δι' ἐπερωτήσεως ἢ διὰ δικαστηρίου ἐναλλαγῇ ἡ αἰτία τῆς κοινωνίας. ὁ γὰρ ἐπὶ διαλύσει τῆς κοινωνίας ἐνάγων, ἀπαγορεύει αὐτήν[35].

κδ'. Ἐὰν ἐπὶ πράσει ἢ μισθώσει συστῇ κοινωνία, καὶ ἡ μετὰ θάνατον τοῦ ἑνὸς γενομένη ζημία καὶ τὸ κέρδος κοινόν ἐστι[36].

κε'. Παρὰ γνώμην τοῦ κοινωνοῦ ὁ ἕτερός τι ποιεῖν οὐ δύναται[37].

κϛ'. Ἐὰν δύο κοινωνοὶ ἠγόρασαν ἀγρὸν καὶ ὁ εἷς τὸ τίμημα ἢ τὰ δημόσια μόνος κατέβαλεν, οἱ δύο μένουσι δεσπόζοντες τοῦ ἀγροῦ. πλὴν ὁ καταβαλὼν ἓν τῶν εἰρημένων ἔχει τὴν πρὸ σοκίω, τουτέστι τὴν περὶ κοινωνίας, κατὰ τοῦ κοινωνοῦ αὐτοῦ εἰς τὸ ἀναλογοῦν αὐτῷ μέρος[38].

κζ'. Ὁ εἷς τῶν κοινωνῶν λαβὼν μόνος τοὺς καρποὺς τοῦ ἐπικοίνου[39] πράγματος, κατέχεται τῇ περὶ κοινωνίας ἀγωγῇ τοῖς κοινωνοῖς αὐτοῦ καὶ τοῖς κληρονόμοις αὐτῶν[40].

Τ Ι Τ Λ Ο Σ ια'.

Περὶ πάκτου ἤτοι συμφώνου καὶ περὶ διαλύσεως.

α'. Τὰ παράνομα ἢ παρὰ τὰς διατάξεις ἢ παρὰ τὰ καλὰ ἔθη γινόμενα σύμφωνα οὐδεμίαν ἰσχὺν ἔχουσι. καὶ τοῦτο ἀναμφισβήτητον ἔχουσιν[1].

β'. Ὁ δοῦλος καλλίονα μὲν τὴν αἵρεσιν τοῦ δεσπότου ποιεῖν δύναται, χείρονα δὲ οὐ συγχωρεῖται. ὅτι ὁ δεσπότης ὠφελεῖται ἐκ τοῦ πάκτου τοῦ ἰδίου δούλου, οὐδέποτε δὲ βλάπτεται[2]. κἂν ἐξωτικοῖς[3] οἱ δοῦλοι ἔνοχοι γίνονται καὶ ἐνόχους

---

[34] C addit τίς. [35] Dig. XVII, 2, 63 §. 10 et 64. 65 pr. — Proch. XX, 1. [6] Dig. XVII, 2, 65 §. 2. — Proch. XX, 2. [37] Dig. X, 3, 28. [38] Cod. IV, 37, 2. [39] C ἰδίου. [40] Cod. IV, 37, 3.

[1] Cod. II, 3, 6. [2] Cod. II, 3, 3. [3] C ἐξωτικοί.

ποιοῦσι. σημ. προσπορίζει τῷ δεσπότῃ ἀγωγὴν ἐξ ὧν οἰκέτης συναλλάσσει.

γʹ. Ἐὰν διδούς τις προῖκα σύμφωνον πεποίηκεν, ἔῤῥωται τοῦτο, οὐδὲ γὰρ νοῦδόν ἐστι πάκτον, τουτέστι ψιλὸν, ἔνθα χρήματα ἐδόθη καὶ ἀνάδοσις[4] συνεφωνήθη. διάτ. ιʹ[5].

δʹ. Ἐὰν ἀγρὸν εἰς προῖκα δεδωκυῖα γυνὴ συνεφώνησε τῷ ἀνδρὶ, τοὺς τόκους παρέχειν τοῖς δανεισταῖς, οἷς ὑπέκειτο ὁ ἀγρὸς, καὶ ἐπερωτηθῇ, οὐκ ἔῤῥωται, εἰ μὴ ἄρα διατετιμημένος ῇ. τότε ἕξει τὴν ἐξ βένδιτο ἀγωγήν. ἀνάγν. τί. κηʹ κεφ. ιγʹ[6]. διάτ. ιαʹ[7].

εʹ. Τὰ μεταγενέστερα πάκτα ἤτοι σύμφωνα ἰσχυρότερα τῶν προγενεστέρων εἰσίν[8].

ϛʹ. Κἂν ἀγράφως γίνεται πάκτον ἤτοι σύμφωνον, [εἰ] δύναται δειχθῆναι τοῦτο, ἔῤῥωται. ὡς βι. βʹ τοῦ κώδ. τί. γʹ διατ. λʹ[9].

ζʹ. Παρανόμως ποιοῦσιν οἱ συμφωνοῦντες ἀλλήλοις ἰδιᾶται κληρονομεῖν, οὐδὲ εἰς μόρτις καῦσα δωρεὰν δυνάμενον ἀναφέρεσθαι. εἰ δὲ στρατιῶται τοῦτο συμφωνήσειεν, ἔῤῥωται τὸ πάκτον[10].

ηʹ. Αἱ δεσποτεῖαι τῶν πραγμάτων οὐ διὰ ψιλῶν πάκτων, ἀλλὰ διὰ παραδόσεων καὶ χρήσεως μεταφέρονται[11].

θʹ. Ἐπὶ τῶν διαιρουμένων πραγμάτων οὐ μόνον συμφώνου ἢ ἐπερωτήσεως, ἀλλὰ καὶ παραδόσεως χρεία· ἐπεὶ οὐκ ἔχει τὸ ἀσφαλὲς ὁ λαμβάνων αὐτά[12].

ιʹ. Ὁ ἐπὶ διαιρέσει πραγμάτων διαλυσάμενος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, εἰ μὲν νέμεται, ἔχει τὸ ἀσφαλὲς ἐπὶ τῷ λαχόντι αὐτῷ μέρει ἀπὸ τοῦ πάκτου. εἰ δὲ οὐ νέμεται, οὐκ ἔχει ἀγωγὴν, εἰ μὴ ἄρα καὶ ἐπερωτήσει. ὁμοίως οὐδὲ [ὁ] ἀντίδικος αὐτοῦ χρήσεται τῇ διαλύσει, μὴ ἀκολουθῶν αὐτῇ μηδὲ τὰ συνδεδογμένα διαπράξασθαι βουλόμενος[13].

ιαʹ. Τὸ τοῦ κουράτορος σύμφωνον οὐ βλάπτει τὸν νέον, ἀλλ' οὐδὲ ἐπίτροποι συγχωροῦντες χρέη ἐλευθεροῦσι τοὺς χρεώστας τῶν νέων[14], κατὰ τὸν κανόνα τὸν λέγοντα· τὰ μεταξὺ τῶν δεβιτόρων ἤτοι τῶν χρεωστῶν γενόμενα σύμφωνα οὐκ ἀναιροῦσι τὰς ἁρμοζούσας ἀγωγὰς τοῖς δανεισταῖς κατ' αὐτῶν[15].

ιβʹ. Ὁ κατὰ ψιλὸν πάκτον ἐπαγγειλάμενος, εἶτα ἐπί τινας

---

[4] C ἀνάλωσις. [5] Cod. II, 3, 10. [6] sc. hujus compendii. Sed videtur legendum τί. κζʹ. [7] Cod. II, 3, 11. [8] Cod. II, 3, 12. [9] Lege ιζʹ. [10] Cod. II, 3, 19. [11] Cod. II, 3, 20. [12] Cod. II, 3, 21. [13] Cod. ibid. [14] Cod. II, 3, 22. [15] Cod. II, 3, 25.

ἐνιαυτοὺς καταβαλών, οὐ δύναται λοιπὸν ἐνάγεσθαι, ἐν ᾧ μὴ ἐπηρωτήθη τὸ[16] πάλιν καταβάλλειν. διάτ. κη΄[17].

ιγ΄. Τὰ ψιλῶς ἐπαγγελθέντα καὶ καταβληθέντα ἀπαιτεῖται μέν, ἀλλ' ἕως ὅτε θέλει ὁ καταβαλών, ἄκων γὰρ οὐκ ἀπαιτεῖται αὐτά, εἰ μὴ ἄρα ἐπερωτηθῇ, ἢ ἀνήρ ἐστι καὶ κατὰ χάριν ἐπερωτηθῇ αὐτὰ τῇ ἰδίᾳ γυναικί. ὡς βι. [β΄ τί.] γ΄ διατ. κη΄.

ιδ΄. Υἱὸς πακτεύων ἢ δεχόμενος καταβολὴν οὐ προκριματίζει τὸν ἴδιον πατέρα[18].

ιε΄. Ἐὰν διὰ πάκτου παραχωρήσῃ τὶς ἄλλῳ τὴν[19] ἁρμόζουσαν αὐτῷ ἀγωγήν, οὐδὲν ἧττον κινεῖ κατὰ τοῦ χρεωστοῦντος αὐτῷ, καὶ οὐκ ἀντίκειται αὐτῷ πάκτου παραγραφή, ἐπειδὴ μετάθεσις δελεγατίων[20] οὐκ ἐγένετο. οὐκ ἔῤῥωται ἡ δωρεὰ τῆς ἀγωγῆς, ἀλλὰ κινεῖ αὐτὴν καὶ μεταμελούμενος, ὅτε ψιλὴ γέγονεν ἡ δωρεά, καὶ οὐχὶ διὰ πάκτου παραγραφῆς[21]. ὡς βι. ζ΄ τί. οε΄ διατ. ϛ΄, καὶ γινώσκεις τὸ μέγα, ὅτι κἂν παραχωρήσῃ ὁ δανειστὴς τῷ χρεώστῃ τὴν κατ' αὐτοῦ ἀγωγήν, κινεῖ κατ' αὐτοῦ ἐντὸς ἐνιαυτοῦ. διάτ. ιβ΄[22].

ιϛ΄. Τὸ πρός τινα γενόμενον σύμφωνον ἕτερον οὐκ ὠφελεῖ, κἂν διαθέσει ἐκείνου γέγονεν. διάτ. κϛ΄[23].

ιζ΄. Δύναταί τις ἐν συμβολαίῳ συμφωνεῖν, καὶ φόρου παραγραφῇ καὶ προνομίῳ [μὴ] χρήσασθαι. καὶ ἐλάττου τιμήματος[24]. τοῦτο καὶ ἐπὶ κληρικῶν ἔγνως. ὡς βι. α΄ τοῦ κώδ. τί. γ΄ διατ. η΄. ἑκάστῳ γὰρ ἀνθρώπῳ ἔξεστι τῶν ἰδίων δικαίων καταφρονεῖν[25].

ιη΄. Ἐὰν ἐν τῷ προικῴῳ συμβολαίῳ συνεφωνήθη, ὥστε τελευτῶντος τοῦ πατρὸς ἐξίσης κληρονομῆσαι τοὺς παῖδας, ἀνίσχυρον τὸ πάκτον, ἀναιροῦν τὴν τεσταμέντι φακτίονα τῷ πατρὶ τουτέστι τὴν διατύπωσιν. σημ. τί γάρ; ὅτι συμφωνήσας τὶς ἐν τῷ προικῴῳ χάρτῃ, γράψαι κληρονόμον τὴν θυγατέρα αὐτοῦ ἐξίσου τῷ αὐτῆς ἀδελφῷ, εἰς ἧττον μέρος αὐτὴν ἐνεστήσατο; οὐ κατέχεταί τις μὴ γράψας, ὃν ὑπέσχετο [ἐν]στήσασθαι κληρονόμον, κἂν ἐπηρωτήθη. ὡς βι. β΄ τοῦ κώδ. τί. δ΄ διατ. κε΄ καὶ λδ΄[26].

ιθ΄. Ἴσθι δέ, ὥσπερ οὐκ ἀναγκάζεται τὸ εἰρημένον ποιεῖν ὁ πατήρ, οὕτως οὐδὲ δύναται συμφωνεῖν ἐν τῷ προικῴῳ, ἵνα

---

[16] C ἤ. [17] Cod. II, 3, 28. [18] Cod. II, 3, 23. [19] C εἰς τήν. [20] C λεγατ. Istud μετάθεσις glossema est. [21] Deest aliquid. [22] Cod. II, 3, 24. [23] Cod. ibid. [24] Haec verba καὶ ἐλ. τιμ. quid sibi velint, equidem non intelligo. [25] Cod. II, 3, 29. [26] Cod. II, 3, 15.

ἀρκεσθῇ [τῇ προικὶ] αὐτῆς ἡ ἰδία θυγάτηρ καὶ μὴ κληρονομήσῃ αὐτόν[27].

κ'. Πᾶς ἀνιὼν οὐκ ὀφείλει τοὺς κατιόντας αὐτοῦ ἐξερεδάτους ἢ πραετερίτους ποιῆσαι, κἂν ἐν λεγάτῳ ἢ ἐν προικὶ ἢ δωρεᾷ ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ δέδωκεν αὐτοῖς, ὅτι ἀναγκάζεται ἐνιστᾶν αὐτοὺς εἰς τὸ νόμιμον μέρος, εἰ μὴ ἄρα ἀχάριστοι ὀφθῶσιν[28].

κα'. Περὶ διαλύσεως. — Ἡ ἐπὶ τῆς δὲ ἰνοφφικιόσο διάλυσις οὐ σαλεύει τὴν διαθήκην, ἀλλὰ καὶ τὰ ἐν αὐτῇ λεγάτα ἔῤῥωνται. σημ. οὐ ποιεῖ πρόκριμα τοῖς λεγάτοις ἢ ταῖς ἐλευθερίαις. βι. ε' τί. β' διγ. κθ'[29].

κβ'. Ἐάν τις ἐπὶ κληρονομίᾳ διαλυσάμενος ὡμολόγησε δοῦναί τι, εἰ μὲν κατέβαλεν, οὐ ῥεπετιτεύεται. εἰ δὲ μὴ κατέβαλεν, ἀπαιτεῖται, εἰ καὶ ψευδῶς διελύσατο[30].

κγ'. Ὁ νέος διαλυσάμενος ἀκουϊλίαν ὡς τέλειος ὢν οὐ δύναται λοιπὸν κινεῖν, εἰ μὴ ἐντὸς τοῦ χρόνου τὴν δὲ δόλο. εἰ δὲ καὶ περὶ αὐτῆς διελύσατο, οὐδὲ ταύτην κινήσει[31].

κδ'. Ἐάν τις πρὸς ἕνα τῶν κηδεμόνων αὐτοῦ διελύσατο περὶ ἥττονος ποσότητος, δύναται καὶ περὶ τῆς λοιπῆς ποσότητος κινῆσαι, κἂν ἀκουϊλίαν ἤγαγεν[32] ἡ διάλυσις[33]. ὡς βι. ζ' τοῦ κώδ. τί. ξ'[34] διατ. β', ὅτι ἡ μεταξὺ ἄλλων γενομένη διάλυσις οὐ προκριματίζει ἄλλους.

κε'. Εἰ καὶ ἀγράφως τὶς διελύσατο, ὅμως ἐν τελείᾳ ἡλικίᾳ, οὐ δύναται ἀναπαλαίειν λοιπόν[35].

κς'. Περὶ μὲν τῶν παρελθόντων ἀλιμέντων δύναταί τις διαλύεσθαι, περὶ δὲ τῶν μελλόντων ἄνευ ψηφίσματος τοῦ πραίτωρος οὐκ ὀρθῶς διαλύεται[36].

κζ'. Ἡ ἐπὶ τομῇ δίκης μετὰ καλῆς πίστεως γενομένη διάλυσις οὐκ ἀνατρέπεται[37].

κη'. Ἡ κατὰ φόβον γενομένη διάλυσις, ἐν ᾧ τυχὸν σωτηρίας ἀπήρτηται κίνδυνος ἢ σώματος αἰκισμὸς, ἢ κολακεία ἢ προδοσία γένηται, οὐκ ἔῤῥωται. εἰ δὲ μηδὲν τοιοῦτον, ἔῤῥωται τὰ δόξαντα[38].

κθ'. Ἐὰν γὰρ νομίσω συγκληρονόμον μου εἶναι τὸν μὴ ὄντα συγκληρονόμον καὶ χωρὶς δικαστηρίου διέλωμαι πρὸς αὐτὸν τὴν κληρονομίαν, ἀπαιτῶ διὰ τοῦ κονδικτικίου τὰ ἐπιλαγ-

[27] Cf. Schol. Basil. ad Cod. II, 3, 15. [28] Ex Nov. 115. [29] §. 2. [30] Cod. II, 4, 2. [31] Cod. II, 4, 4. [32] An εἰσήγαγεν, vel εἶχεν? [33] Cod. II, 4, 3 et 1. [34] Verba τί. ξ' in A desunt. [35] Cod. II, 4, 5. [36] Cod. II, 4, 8. [37] Cod. II, 4, 10. [38] Cod. II, 4, 13.

χάνοντα αὐτῷ. οὐ δοκεῖ γὰρ ὡς ἐκ διαλύσεως εἰληφέναι αὐτὰ, ἀλλ᾽ ἐκ τῆς ἐμῆς πλάνης[39].

λ΄. Δεσπότης πρὸς ἴδιον δοῦλον οὐ διαλύεται, εἰ μὴ ἄρα περὶ μόνης δουλικῆς καταστάσεως[40]. δοῦλος[41] ἐπὶ τὰ ἴδια πεκούλια ἰσχυρῶς διαλύεται ἐπὶ τοῦ κλέψαντος αὐτά[42].

λα΄. Ἡ γενομένη διάλυσις ἰδικὴ[43] πληρωθεῖσα ὑπόθεσις οὐδὲ διὰ βασιλέως ἀνατρέπεται[44]. καλῶς δέ τις ἀναλαμβάνει, ἃ δέδωκεν ἐπὶ διαλύσει δίκης, καὶ οὕτως τὰς κατ᾽ αὐτοῦ ἀγωγὰς ὑποδέχεται[45].

λβ΄. Ὁ μείζων θέλων παραβῆναι τὴν διάλυσιν ἀναδίδωσι πρόστιμον, εἰ συνεφωνήθη, καὶ μένει ἐῤῥωμένη ἡ διάλυσις[46], εἰ καὶ διεμαρτύρατο καὶ εἶπεν κατὰ δόλον γίνεσθαι[47].

λγ΄. Οὐκ ἀνατρέπει τὶς, ἣν ἐποίησε διάλυσιν, διὰ τὸ μὴ ἔχειν αὐτὸν τὰ ἴδια δικαιώματα ἐν τῷ καιρῷ τῆς ποιήσεως αὐτῆς, εἰ μὴ ἄρα ὁ ἀντίδικος αὐτοῦ ἢ ἄλλος δι᾽ ἐκείνου αὐτὰ παρεκράτησεν[48].

λδ΄. Ἰσοδυναμεῖ τῇ ἀποφάσει ἡ διάλυσις. ὥστε οὖν δεῖ ἐμμένειν αὐτῇ. οὐδὲ γὰρ ἡ ἐν νυκτὶ γεγονυῖα[49] ἄκυρός ἐστιν, ἐν ᾧ ὑγιής τις καὶ τέλειος ὢν ταύτην ἐποίησεν[50]. ὡς βι. ιβ΄ τί. β΄ διγ. β΄· εἶδος διαλύσεώς ἐστιν ὁ[51] ὅρκος.

λε΄. Καὶ ὁ ὑπὲρ τῆς μὴ οὔσης καὶ ματαίας ἀγωγῆς ἢ αἰτίας καταβαλὼν οὐ ῥεπετιτεύει, κἂν ἐπὶ διαλύσει ἐδόθησαν. καὶ σημ. τὰ ἐπὶ διαλύσει ἰνδέβιτα τουτέστιν ἀχρεώστητα καταβληθέντα οὐ ῥεπετιτεύεται[52].

λϛ΄. Ἡ διὰ δωρεὰν γενομένη διάλυσις ἔῤῥωται καὶ μὴ παρακολουθησάσης [τῆς] δωρεᾶς. τοῦτο δέξαι ἰδικῶς, ὅτι ἡ διάλυσις μὴ δοθέντος τινὸς ἢ ὑποσχεθέντος ἢ παρακρατηθέντος οὐ προβαίνει[53].

λζ΄. Οὐκ ἀνατρέπει τὶς τὴν ἔμπροσθεν φίλων γενομένην διάλυσιν διὰ τοῦ λέγειν, αὐτὸν κατὰ βίαν ταύτην ποιῆσαι. σημ. ὅπου φιλία ἐστὶν, ἡ βία οὐ[54] τρακταΐζεται[55].

λη΄. Ἐὰν τέλειος ὢν ὑπέσχετο πρός τινα προφάσει τοῦ κληρονομῆσαι αὐτὸν, οὐ δύναται ἀποτυχὼν ἀνατρέπειν τὴν καλῶς γενομένην ὑφ᾽ ἑαυτοῦ διάλυσιν[56].

---

[39] Dig. X, 2, 36. [40] Cod. II, 4, 13. [41] F σημ. ὁ δοῦλ. [42] Haec et corrupta sunt, et unde hausta sint nescio. [43] Fortasse ἢ ἰδικῶς. Theodorus tamen: Ἡ νομίμῳ διαλύσει ἰδικῇ. [44] Cod. II, 4, 16. [45] Cod. II, 4, 14. [46] Cod. II, 4, 17. [47] Cod. II, 4, 22. [48] Cod. II, 4, 19. [49] F γενομένη. [50] Cod. II, 4, 20. [51] In A deest. [52] Cod. II, 4, 23. [53] Cod. II, 4, 34. [54] A οὐ βία. [55] Cod. II, 4, 35. [56] Cod. II, 4, 25.

λθ'. Ἐκ τῆς διαλύσεως τῆς μητρὸς οὐ δύνανται οἱ παῖδες δουλικῆς εἶναι τύχης· ἐπειγούσης[57] μὲν ἑαυτῇ ἐλευθερίαν, τὰ δὲ τέκνα αὐτῆς δουλείᾳ[58]. διάτ. η'[59].

μ'. Ὁ τὴν ἔγγραφον ἀκουϊλιανὴν παραβαίνων διάλυσιν καὶ τὸ πρόστιμον, καὶ ὅσα ἔλαβε χάριν αὐτῆς, δίδωσιν[60]. ὡς φησιν ἡ λζ' διάτ. τοῦ αὐτοῦ τί. ὁ παραβαίνων διάλυσιν, ἐν ᾗ πρόστιμον ὡμολόγησε, δίδωσι καὶ μένει ἐῤῥωμένη ἡ διάλυσις.

μα'. Ὁ θέλων παραβῆναι τὰς ἐχούσας ὅρκον διαλύσεις ζημιοῦται πάντα τὰ χάριν αὐτῶν κερδανθέντα αὐτῷ, καὶ τῆς ἰδίας ἀγωγῆς ἐκπίπτει, καὶ τὴν ποινὴν δίδωσιν, ἐὰν μείζων ἐστὶ τῶν κε' ἐνιαυτῶν· ἐὰν ὅλως ὤμοσε κατὰ τοῦ θεοῦ ἢ κατὰ τοῦ βασιλέως[61].

μβ'. Διαλύσεως γενομένης εἰ καὶ παραχρῆμα μεταμεληθῇ τις, οὐ δύναται ἀνατρέπειν αὐτήν. οὐδὲ γὰρ ἔχει χρόνον, οὗ ἐντὸς δύναταί τις αναπαλαίειν διάλυσιν[62].

μγ'. Ἀνατρέπεται καὶ ἡ ἐνώμοτος διάλυσις, ἐὰν ὑπὸ[63] πλαστῶν συμβολαίων γέγονεν ὅλη ἢ μέρος αὐτῆς. τὸ γὰρ γενόμενον πλαστῶς ἀναλύεται. καὶ σημ. ὅτι διάλυσις ἀνατρέπεται ἀνὰ μέρος καὶ ἀνὰ μέρος ἰσχύει. νόμος[64]· εἰ[65] μέντοι καὶ περὶ αὐτοῦ κίνησις γέγονε τοῦ πλαστοῦ, ἡ γοῦν διάλυσις ἡσυχαζέτω[66].

μδ'. Ὁ περὶ μιᾶς αἰτίας διαλυσάμενος, εἰ καὶ εἴπῃ, μηδένα λόγον [ἔχειν] πρὸς τὸν διάδικον αὐτοῦ, μήτε προσθέμενος, ὅτι περὶ αὐτῆς τῆς αἰτίας, οὐδὲν ἧττον[67] ἐνάγει περὶ τῶν λοιπῶν πραγμάτων, ὧν ἔχει πρὸς αὐτόν[68]. εἰ μὴ μόνον ἡ ἀκουϊλιανὴ [παρηκολούθησεν][69], οὐ γίνεται μετὰ ψήφου διάλυσις. εἰ μὴ ἄρα ἔκκλητος ἢ ἀποκατάστασις παρηκολούθησε ἢ αναιρεθείσης[70] τῆς ἰουδικάτι τουτέστι τῆς ψήφου[71]. καὶ σημ. ἡ μετὰ ἀπόφασιν γενομένη διάλυσις οὐκ ἔῤῥωται· τὰ δὲ ὑπ' αὐτοῦ δεδομένα καταλογίζονται εἰς τὰ ἀπὸ τῆς ἀποφάσεως χρεωστούμενα. βι. ιβ' τί. ϛ' διγ. κγ'.

με'. Οὐδεὶς δύναται περὶ τῶν ἐν διαθήκῃ ἠρτημένων διαλύεσθαι κεκλεισμένης ἔτι τῆς διαθήκης. βι. κθ' τί. γ' διγ. α'.

μϛ'. Ἐπὶ τῶν κεφαλικῶν ἐγκλημάτων ἔξεστι τῷ πεπονθότι διαλύεσθαι, πλὴν [ἐπὶ] τῶν περὶ μοιχείας ἐγκλημάτων

---

[57] A ἐπείγουσα. [58] Cod. II, 4, 26. [59] Forte μ', ut ad sequens caput pertineat, quod c. 40 C. h. t. continet. [60] Cod. II, 4, 40. [61] Cod. II, 4, 41. [62] Cod. II, 4, 39. [63] Malim ἀπό. [64] Verba τοῦ κατὰ πόδας. [65] A ἡ. [66] Cod. II, 4, 42. [67] A ἥτησεν. [68] Cod. II, 4, 31. [69] In A lacuna est. [70] Legerim ἀνήρτηται τό. [71] Cod. II, 4, 32.

οὐκ ἔξεστιν. βι. θ' τί. θ' διατ. ι', ἔνθα φησὶν, ὅτι οὐδεὶς πακτεύει περὶ μοιχείας[72].

μζ'. Ἐπὶ τῶν μὴ[73] δι' αἵματος ἐγκλημάτων διαλυόμεθα, πλὴν τοῦ περὶ πλαστογραφίας[74]. σημ. πᾶσαι αἱ προαναφερόμεναι διαλύσεις οὐκ ἀνατρέπονται· οὐδὲ γὰρ λέγουσι, πέρας ἔσχεν ἡ δίκη, καὶ τότε γέγονεν ἡ διάλυσις[75].

ΤΙΤΛΟΣ ιβ'.

Περὶ ἐνάγοντος καὶ ἐναγομένου καὶ ποῖος βαρεῖται τῇ ἀποδείξει καὶ περὶ ὅρκου.

α'. Πᾶς ἄνθρωπος περὶ τῶν ἰδίων ὀφείλει ἐνάγειν μὴ διαβάλλων τὰ ἀλλότρια. ἀλλὰ καὶ ἕκαστος ἐνάγων ὀφείλει περιποιεῖν ἑαυτῷ τὴν νίκην ἐκ τῶν προσόντων αὐτῷ δικαίων[1]. σημ. ὁ ἐναγόμενος ἀποδείξεσιν οὐ βαρεῖται· ἀεὶ γὰρ ὁ ἐνάγων βαρεῖται ταῖς ἀποδείξεσιν[2].

β'. Ὥσπερ ὁ δανειστὴς ὁ τὰ χρήματα ἀπαιτῶν ἀποδείκνυσιν, ὅτι ἠρίθμησεν, οὕτως καὶ ὁ χρεώστης ὁ λέγων καταβεβληκέναι τὴν τῆς καταβολῆς ἀπόδειξιν παρέχειν ὀφείλει[3].

γ'. Ἔσθ' ὅτε ὁ ἐναγόμενος δείκνυσιν, ὡς ἐπὶ τοῦ συνομολογοῦντος μὲν δανείσασθαι, λέγοντος δὲ καταβεβληκέναι, αὐτὸς ὀφείλει δεῖξαι ὃ διαβεβαιοῦται[4].

δ'. Τὴν κατενεχθεῖσαν ἀγωγὴν εἰς δικαστήριον ἤγουν τὰ πράγματα οὐ δύναται ὁ ἐνάγων ἢ δωρεῖσθαι ἢ πιπράσκειν ἢ ἄλλῳ προσώπῳ ἐκποιεῖν, ἀλλ' ὡς μηδενὸς γενομένου ἡ δίκη οὐδὲν ἧττον κινείσθω[5].

ε'. Ὁ ἅπαξ ἀποταξάμενος προκαταρχθείσης τῆς ἰδίας δίκης οὐ δύναται αὐτὴν ἀνανεῶσαι. βι. β' τί. γ' διατ. δ' τοῦ κώδ.

ς'. Ὁ τὸν κληρονόμον λέγων μὴ δύνασθαι κληρονομεῖν αὐτὸς βαρεῖται τῇ τούτου ἀποδείξει[6]. ὁμοίως καὶ ὁ λεγατάριος δεικνύει, τὸν διαθέμενον γινώσκειν[7] ἀλλότριον ἢ ὑποκείμενον εἶναι τὸ ληγατευθὲν αὐτῷ. σημ. ἀεὶ γὰρ ὁ ἐνάγων βαρεῖται ταῖς ἀποδείξεσιν[8].

ζ'. Ἐάν τις ἐναγόμενος λέγῃ· ἐπειδὴ ἐδεήθην βασιλέα καὶ

---

[72] Cod. II, 4, 18. [73] A non habet. [74] Cod. II, 4, 18. [75] Cf. Theodorum ad Cod. II, 4, 32 in schol. Basil.

[1] Theoph. IV, 6, 2. [2] Cod. IV, 19, 8. [3] Cod. IV, 19, 1. [4] Ibidem. [5] Cod. VIII, 36, 2. [6] Cod. IV, 19, 11. [7] A μὴ γιν. [8] Dig. XXII, 3, 21.

περιμένω θείαν ἀντιγραφὴν, παρακαλῶ σε δοθῆναί μοι προθεσμίαν, οὐ χρὴ τὸν ἄρχοντα πειθαρχεῖσθαι αὐτῷ. βι. .. τί. .. διατ. δ' τοῦ κώδ.[9]

η'. Οἱ τὰς ἐγγύας τῶν ἐπιτρόπων λαμβάνοντες δεικνύουσιν, αὐτοὺς εὐπόρους εἶναι κατὰ τὸν καιρὸν, ὃν ἐδίδοντο[10].

θ'. Ἐὰν ὁ περὶ τοῦ πράγματος κινῶν μὴ ἀποδείξῃ ἑαυτὸν δεσπότην εἶναι, πάντως ὁ ἐναγόμενος νικᾷ[11], διὰ τὸν κανόνα τὸν λέγοντα· ἐν ἴσῳ ἡ αἵρεσις[12] τοῦ ἐνάγοντος καὶ τοῦ ἐναγομένου κρεῖσσον ἡ αἵρεσις τοῦ νεμομένου.

ι'. Οἱ ἀλλότρια συμβόλαια κλέπτοντες τούτοις οὐ δύνανται κεχρῆσθαι εἰς ἀπόδειξιν δεσποτείας. ἡ γὰρ τούτων ἀνάγνωσις οὐ τῷ ἀναγινώσκοντι συμβάλλεται, ἀλλ' ἐκείνῳ, ὃν περιέχει ἡ ὑφὴ τῆς γραφῆς[13].

ια'. Ὁ ἐν ὑπομνήμασιν ὁμολογήσας μὴ κεχρῆσθαι συμβολαίῳ, οὐκέτι αὐτῷ κέχρηται[14].

ιβ'. Οὐκ ἀπαιτεῖται ὁ ἐναγόμενος φέρειν καθ' ἑαυτοῦ δικαίωμα. πρὸς ἀπόδειξιν γὰρ ὁ ἐνάγων ὀφείλει δεῖξαι καὶ εἰ μὴ δείξῃ, νικᾷ ὁ ἐναγόμενος, κἂν ἀλλότριον νέμεται[15].

ιγ'. Τὰ ἐπίκοινα δικαιώματα ἐκδίδονται καὶ ἀντιγράφονται[16]. καὶ ἐάν τις ἀπαιτούμενος ἐν δικαστηρίῳ παραγαγεῖν δικαιώματα οὐ καθ' ἑαυτοῦ ἀλλὰ καθ' ἑτέρου τινὸς συμβαλλομένου, λέγει ἡ διάτ. τὸν ἔχοντα τὸ δικαίωμα προσφέρειν αὐτὸ, εἰ μὴ ἐκ τῆς προκομιδῆς αὐτοῦ μέλλει καταβλάπτεσθαι[17].

ιδ'. Ὁ ἐνάγων ἀκολουθεῖ τῷ φόρῳ τοῦ ἐναγομένου. φόρος δέ ἐστιν, ἔνθα ἔχει τὴν κατοίκησιν ἢ ὅπου εἶχεν ἐν καιρῷ τοῦ συναλλάγματος[18].

ιε'. Ὁ μὴ ἀκολουθῶν τῷ φόρῳ τοῦ ῥέου, ἀλλὰ καλέσας αὐτὸν ἀλλαχοῦ διὰ θείας ἀντιγραφῆς, ἐκπίπτει τῆς δίκης. εἰ δὲ ὁ ῥέος μὴ ἀνάσχηται ἐν τῷ ἰδίῳ φόρῳ δικάζεσθαι, ἀντὶ κατακριθέντος παραλαμβάνεται[19]. βι. ιβ' τί. ς' διγ. κα'[20].

ις'. Ὁ ὑπονοθεύων τὸν ἐνάγοντα ἀντὶ ἐλέγχοντος νοεῖται[21].

ιζ'. Ὁσάκις τὶς τὸ παρ' αὐτοῦ [πραχθὲν] γράψει ὡς παρὰ ἄλλου γεγονέναι, τῇ ἀληθείᾳ προσέχομεν, καὶ οὐ τοῖς

---

[9] Cf. Cod. III, 11, 2. [10] Dig. XXII, 3, 11. [11] Cod. IV, 19, 2. [12] An ἴσῃ αἱρέσει? [13] Cod. IV, 19, 21. [14] Cod. IV, 21, 3. [15] Cod. II, 1, 1. 4. III, 32, 28. [16] Cod. II, 1, 7. [17] Cod. IV, 21, 22. [18] Cod. III, 13, 2. [19] Cod. III, 13, 5. [20] Non quadrat. [21] Cf. Cod. IX, 2, 5. — Caeterum F addit: Ὁ διοικήσας ἀλλότριον πρᾶγμα ὁπωσδήποτε ἐκεῖ ἐνάγεται, ὅπου καὶ διῴκησεν. ὡς βι. κθ' τί. λζ' διγ. θ'. Est Cod. III, 21, 1.

πλαστῶς γεγραμμένοις[22]. ἀνάγν. τὸ σχόλ. τοῦ α' τί. τοῦ ις' κεφ.[23]

ιη'. Οὐ δύναταί τις κεχρῆσθαι ἀλλοτρίοις δικαιώμασιν πρὸς ἀπόδειξιν δεσποτείας υἱουδήποτε πράγματος[24].

ιθ'.. Ὁ μάτην καλῶν εἰς δικαστήριον καὶ τὰ τῆς ὁδοῦ καὶ τὰ τῆς δίκης ἀναλώματα ἀπαιτεῖται. βι. ε' τί. α' διγ. πα'[25].

κ'. Ἐπὶ τῶν ἐγκλημάτων ἀσφάλειαν παρεχέσθω τῷ φεύγοντι[26] μέχρι λς' νομισμάτων, ὡς εἰ μὴ ἐντὸς δύο μηνῶν προκατάρξηται, διπλάσιον δίδωσι τῷ ἐναγομένῳ τὴν ζημίαν.

κα'. Ὁ νέος ἀναγκάζεται δεῖξαι ὅτι ἥττων ὑπάρχων τῶν κε' ἐνιαυτῶν συνήλλαξε. ὡς βι. δ' τί. ιθ' διατ. ε'[27]. ὅτι ὁ λέγων αὐτὸν ἀφήλικα ὀφείλει δεῖξαι, ὃ διαβεβαιοῦται. καὶ πάλιν· ὁ λέγων ὅτι παρῆλθεν ὁ τῆς ἀποκαταστάσεως χρόνος ὅτε ὁ νέος συνήλλαξεν, αὐτὸς βαρεῖται τῇ ἀποδείξει ὅτι παρῆλθεν ὁ ἀποκαταστατικὸς καιρὸς, καὶ εἰ μὴ δείξῃ βοηθεῖται ὁ νέος. ἀνάγν. βι. .. τοῦ κώδ. τί. κα' διατ. γ'[28].

κβ'. Ἐὰν ἀφῆλιξ ὢν κατὰ ἀπάτην μείζονα ἑαυτὸν εἴπῃ, οὐ βοηθεῖται. πλανωμένοις γὰρ βοηθοῦμεν τοῖς νέοις, οὐκ ἀπατῶσιν[29]. καὶ εἰ μὲν περιεγράφη ἐκ τοῦ ἰδίου διαδίκου, βοηθοῦμεν[30], κἂν[31] ἔδειξεν ἑαυτὸν μείζονα ἀπὸ τῆς ἰδίας θέας[32].

κγ'. Ὁ ἐξομνύμενος ἐν συμβολαίῳ μείζων εἶναι, οὐ βοηθεῖται, εἰ μὴ ἄρα δειχθῇ μετὰ ταῦτα διὰ ἰνστρουμέντου παραγωγῆς καὶ οὐ διὰ μαρτύρων φωνῆς, ὅτι ἥττων ἐστίν. τότε γαρ ἀποκαθίσταται[33].

κδ'. Ἔξεστι δὲ τὸν λέγοντα ἑαυτὸν εὐγενῆ ὑφαρπάζειν τὰς ἀποδείξεις[34]. ὁμοίως καὶ ὁ λεγατάριος.

κε'. Δοῦλος οὐκ ἐνάγει οὐδὲ ἐνάγεται. ὅθεν εἰ καὶ ἐξενεχθῇ ψῆφος κατ' αὐτοῦ, οὐκ ἰσχύει, κἂν ἔχῃ τὰ πράγματα τοῦ ἰδίου δεσπότου χρεωστοῦντος[35]. ὑπέξελε δὲ τὴν πρώτην διάτ. τοῦ ε' τί. τοῦ η' βι. λέγουσαν, ὅτι ἐνάγει δοῦλος περὶ νομῆς τοῦ δεσπότου ἀπολιμπανομένου.

κς'. Οὐδεὶς ἐναγόμενος περὶ τύχης δύναται ἀπαιτεῖν ἃ

---

[22] Cod. IV, 22, 4. [23] Cf. tit. I schol. 11. [24] Cod. IV, 19, 21. [25] Nobis dig. 79 pr. [26] A τὸ φεῦγον. [27] Lege θ'. [28] Cod. II, 21, 4. [29] Cod. II, 42, 2. [30] F βοηθεῖται. [31] A addit ἐξ εἰδέας. [32] Cod. II, 42, 3. — F addit: ὡς βι. δ' τί. ιθ' τοῦ κώδ. διατ. β'. ὁ πατὴρ ὑπὲρ μὲν αὐτεξουσίου υἱοῦ οὐκ ἐνάγεται, ὑπὲρ δὲ ὑπεξουσίου υἱοῦ κατέχεται τῷ [δὲ] πεκουλίο, εἰ μήτιγε παρὰ τὸ μακεδόνειον ἐδανείσατο· ἀλλὰ εἰ καὶ καταβάλλει τὶ ὑπὲρ τοῦ αὐτεξουσίου υἱοῦ, δηλονότι ῥεπετιτεύει. [33] Cod. II, 42, 3. [34] Dig. XXII, 3, 14. [35] Cod. III, 1, 6. 7.

χρεωστεῖται, εἰ καὶ μὴ πρῶτον τμηθῇ τὰ περὶ τῆς ἑαυτοῦ καταστάσεως[36].

κζ΄. Δι' ἐπιστολῆς ἡ συγγένεια οὐκ ἀποδείκνυται. οὐ γὰρ συνίστησι τὴν συγγένειαν ψιλὴ βεβαίωσις, οὐδὲ ἐψευσμένη ἀπογραφή[37].

κη΄. Ἐάν τις κατὰ βίαν καταστῇ ἐν νομῇ δουλείας, οὐκ ἀναγκάζεται ἀποδεῖξαι, ὅτι ἐλεύθερός ἐστιν[38]. ἀνάγν. βι. ις΄ καὶ τὸ σχόλ. τοῦ ιθ΄ κεφ.

κθ΄. Ἐὰν μὴ δείκνυται, εἰ παρὰ τῷ πράτῃ[39] φυγὰς ἦν ὁ δοῦλος, τῇ ἐμβασάνῳ αὐτοῦ ζητήσει[40] πιστεύομεν. καθ' ἑαυτοῦ γὰρ ἐρωτᾶσθαι δοκεῖ[41]. τουτέστιν εἰ ἐφόνευσεν ἢ ἔφυγε, καὶ ἐρωτώμενος περὶ τοῦ ἰδίου φάκτου καὶ[42] τοῦ δεσπότου μνημονεῦσαι, ἐὰν ὅλως ἐκελεύσθη παρ' αὐτοῦ[43].

λ΄. Τὰς παραγραφὰς δεῖ μὲν ἀντιτείνεσθαι ἐν προοιμίῳ τῆς δίκης, ἐξετάζεσθαι [δὲ] μετὰ τοῦ ἐνάγοντος τὰς[44] ἀποδείξεις[45].

λα΄. Ὅτε ὁ ἐνάγων περὶ ἄλλου ἐννοεῖται οἰκέτου καὶ ὁ ἐναγόμενος περὶ ἄλλου, τῇ τοῦ ἐναγομένου μᾶλλον ἀκολουθοῦμεν ἐννοίᾳ. ὅτε περὶ ζημίας ζητεῖται καὶ ἴση ἐστὶν ἡ ἑκατέρων τύχη, τῷ ἀπαιτουμένῳ μᾶλλον βοηθοῦμεν ἤπερ τῷ ἀπαιτοῦντι. σημ. ἐν ἴσῳ ἁμαρτήματι τοῦ ἐνάγοντος καὶ τοῦ ἐναγομένου χείρων ἐστὶν ἡ τοῦ ἐνάγοντος τύχη. σημ. οὐκ ἀπαιτεῖται ὁ ἐναγόμενος δεῖξαι πόθεν νέμεται.

λβ΄. Ἐὰν ὁ τὴν χρῆσιν ἔχων πωλήσῃ τὸν ἀγρὸν, καθ' οὗ τὴν χρῆσιν ἔχει, καὶ ἀπώλεσεν ὁ τὴν δεσποτείαν ἔχων τὰ ἴδια δικαιώματα, ὅμως ἀποδεικνύων ἀλλαχόθεν τὴν ἀλήθειαν, οὐδὲν ἐκ τῆς περιγραφῆς ὑφίσταται πρόκριμα[46]. καὶ σημ. ἡ τῶν συμβολαίων ἀπώλεια οὐκ ἀναιρεῖ τὰς ἀγωγὰς ἐν ᾧ δύναται ἑτέρως ἀποδειχθῆναι τὸ ἀληθές[47].

λγ΄. Ὁ ἐλαττῶσαι τὰ πράγματα [τῆς] οὐσίας κωλυόμενος[48] πολὺ μᾶλλον τὰς ἐξ αὐτῆς ἀγωγὰς κινῆσαι κωλύεται.

λδ΄. Εἴ τις διάφορα ὑπὲρ αὐτοῦ προσφέρει δικαιώματα, ταῦτα[49] ἀνίσχυρα αὐτῷ ἔσται καὶ ἀνωφελῆ[50]. σημ. ἐάν τις ἐν

---

[36] Cod. VII, 19, 5. [37] Cod. IV, 19, 13. 14. [38] Cod. IV, 19, 15. [39] A ἢ παρὰ τῷ πράτῃ ἢ παρὰ τῷ ἀγοραστῇ ὅτι. Forte ἢ παρὰ τοῦ πράτου κ. τ. λ. [40] A τὴν ἐμβάσανον αὐτοῦ δίκην. [41] Dig. XXII, 3, 7. — F καλῶς pro δοκεῖ. [42] F κατὰ. [43] Cf. Thalel. ad Cod. IV, 20, 8 in Basil. ed. Heimb. II p. 404. [44] In A deest. [45] Cod. IV, 19, 19. [46] Cod. IV, 21, 8. [47] Cod. IV, 21, 1. [48] A κωλυομένης. [49] Lege: μάχωνται δὲ ἀλλήλοις ταῦτα. [50] Cod. IV, 21, 14.

τινι συμβολαίῳ [ἑτέρου συμβολαίου μνησθῇ, μηδεμία ἐκ ταύτης τῆς μνήμης ἀπαίτησις γινέσθω, πλὴν εἰ μὴ καὶ τὸ ἕτερον συμβόλαιον οὗτινος μνήμη κατὰ τὸ δεύτερον γέγονε προκομισθείη ἢ ἑτέρα[51] παρασχεθῇ κατὰ τοὺς νόμους ἀπόδειξις.][52]

λε΄. Ἐάν τις διαμαρτύρεταί τινας ὡς ἀπολέσας συμβόλαια, ἀγνοοῦσι δὲ ἐκεῖνοι τὴν περὶ τῶν συμβολαίων ἀλήθειαν, οὐ δύναταί τις αὐτῷ τούτῳ[53] χρήσασθαι εἰς μαρτυρίαν[54].

λϛ΄. Ἐὰν ἐναγόμενός τις ἀρνήσηται χεῖρα ἰδίαν προσφερομένην ἐν γραμματείῳ ἢ ἐν προικὶ[55] ἢ ἐν ἑτέρῳ χάρτῃ, εἰ μὲν ἀπὸ συγκρίσεως ἐλεγχθείη, διδότω πρὸς τὴν ἐν γραμματείῳ κειμένην ποσότητα λόγῳ προστίμου τῷ ἐνάγοντι ὑπὲρ αὐτοῦ τοῦ ψεύδους[56]· κατὰ τὴν νεαρὰν τὴν λέγουσαν τὸν ἀρνούμενον τὴν οἰκείαν χεῖρα διπλοῦν τὸ ποσὸν τὸ ἐν τῷ συμβολαίῳ ἐγκείμενον ἀπαιτεῖσθαι. εἴρηται δὲ βι. ζ΄ τί. να΄ διατ. δ΄[57] ὅτι ὁ ἐνάγων εἰ ἀπολειφθῇ καὶ τρίτον ἐπιζητηθῇ[58], τῆς ἑκάστης κλήσεως γενομένης τριάκοντα καὶ τριάκοντα καὶ τριάκοντα, καὶ μὴ ὑπακούσῃ[59], ἀπολύεται ὁ ῥέος[60].

λζ΄. Εἴσω δύο ἐτῶν περαιοῦσθαι τὰς ἐγκληματικὰς δίκας, ὅτε οἱ ἐναγόμενοι ἐγγυῶν οὐκ ἀποροῦσι ἢ ἐξωμοσίᾳ καταπιστεύονται. εἰ δὲ ἐγγύας οὐκ ἔχουσιν οὐδὲ καταθαῤῥοῦνται ἐξωμοσίᾳ, βάλλονται ἐν τῇ εἱρκτῇ καὶ ἐντὸς ἓξ μηνῶν τὰ κατ᾽ αὐτῶν τέμνεται, εἰ μὴ ἄρα φονεῖς εἰσιν[61].

λη΄. Αἱ δὲ χρηματικαὶ δίκαι εἴσω τριῶν ἐτῶν τὸ πέρας λαμβάνουσιν, ὅτε προκατήρχθησαν καὶ οὐκ ἐσιωπήθησαν. εἰ γὰρ μετὰ προκάταρξιν ἀναβολὴν δέξονται, τότε ἐπεκτείνονται καὶ εἰς ἄλλους τριάκοντα χρόνους. ὡς βι. ζ΄ τί. μ΄ διατάξει πρώτῃ. εἰ δὲ εἷς τῶν δικαζομένων ἀπολειφθῇ, ζητεῖται μονομερῶς ἡ ὑπόθεσις, καὶ ὅτε παρέλθῃ ὁ ἐνιαυτὸς μετὰ τὴν καταδίκην, καὶ μὴ καταλάβῃ τὸ δικαστήριον ὁ ἀπολειφθεὶς, εἰ μὲν ἄκτωρ ἐστὶν, ἐκπίπτει τῆς δίκης, εἰ δὲ ῥέος ᾖ, καταδικάζεται.

---

[51] F *καὶ ἕτερον.* [52] Quae uncis inclusa sunt, A non habet: addo ex F. Sunt ex Nov. 119 c. 3. [53] F *αὐτῶν* pro *αὐτ. τούτ.* A *τοιούτῳ.* [54] Cod. IV, 21, 13. [55] Basil. *πυκτῇ.* [56] Cod. IV, 21, 16. [57] Non invenio, nisi forte adnotationem Thalelaei sive Theodori ad illum locum auctor laudaverit. [58] A *ἐπιζητηθέντος.* [59] A *ὑπακούοντος.* [60] Cf. Nov. 112 c. 3. [61] Forte ex aliquo commentario ad Cod. III, 1, 13 auctor haec hausit. Cf. Cod. IX, 44, 3 et 4, 6. — F inter hoc et sequens caput haec habet: *βι. γ΄ τί. λα΄ τοῦ κώδ. ὁ μάλα φίδε νομεὺς οὓς μετέχει καρποὺς ἀπαιτεῖται διὰ τῆς ἲν ῥὲμ, οὓς δὲ ἐδαπάνησε μεθοδεύεται διὰ κονδικτικίου. ὁ δὲ βόνα φίδε νομεὺς τοὺς φαινομένους καρποὺς ἕως προκατάρξεως, μετὰ δὲ προκάταρξιν οὓς ἔλαβεν ὅλους δίδωσι, καὶ εἴτι ἐδέξατο μὴ δυνάμενος λαβεῖν.*

ὡς βι. γ΄ τοῦ κώδ. τί. α΄ διατ. ιγ΄. παρέχονται δὲ ὁμοῦ τὰ τῆς πρώτης δίκης δαπανήματα. ἀνάγν. τί. ιδ΄ κεφ. νδ΄.

λθ΄. Ἐν στρατιωτικῷ δικαστηρίῳ οὐκ ἐνάγει οὐδὲ ἐνάγεται ἰδιώτης, κἂν βουλευτής ἐστιν. ὡς βι. α΄ τοῦ κώδ. τί. μς΄ διατ. β΄.

μ΄. Τοῖς στρατιώταις ἀλλήλοις ἢ παγανοῖς δικαζομένοις δικάζει ὁ στρατηλάτης· ἀλλαχοῦ γὰρ δικαζόμενοι τῆς στρατείας ἢ τῆς ἀξίας ἐκπίπτουσιν. ὡς βι. γ΄ τί. ιγ΄ διατ. ς΄. σημ. δὲ ἰστέον, ὅτι δύο φόρους ἔχουσιν οἱ τοιοῦτοι, τὸν τῆς ἰδίας ἀξίας ἢ τῆς στρατείας φημὶ καὶ τὸν τῆς πραγματείας. σημ. ὅτι[62] δύνανται οἱ ἀξιωματικοὶ ἐμπορεύεσθαι· κεῖται γὰρ βι. δ΄ τί. ξγ΄ διατ. γ΄ μήτε ἀξιωματικὸς μήτε εὐγενὴς γινέσθω ἔμπορος, ἐπεὶ ἀτιμοῦται.

μα΄. Περὶ ὅρκου. — Ὁ ἐπιφέρων τινὶ ὅρκον πρὸ τοῦ δέξασθαι τὸν ὅρκον δύναται μετατραπῆναι εἰς ἀπόδειξιν. ἐὰν δὲ παραλείψας τὸν ὅρκον μὴ ἀποδείξει, ὃ διαβεβαιοῦται, οὐ δύναται ἐπὶ τὸν ὅρκον ἐπανελθεῖν. ὡς βι. δ΄ τοῦ κώδ. τί. α΄ διατ. ια΄.

μβ΄. Ὁ κατὰ τοῦ θείου ὀμνύων οὐ τιμωρεῖται ἀνθρωπίνως. τοῦτο νόει, [εἰ μὴ βλασφήμως] ὀμόσει. ἡ δὲ μα΄[63] διάτ. τοῦ δ΄ τί. τοῦ β΄ βι. τοῦ κώδ. λέγει, ὁ ἐν διαλύσει ἐπιορκῶν κατὰ τοῦ θείου ἀτιμοῦται. ὁμοίως καὶ ὁ ἐν διαλύσει ἐπιορκῶν κατὰ τοῦ βασιλέως τὸ πρόστιμον δίδωσι καὶ ἐκπίπτει τῆς ἰδίας ἀγωγῆς καὶ ἀτιμοῦται[64].

μγ΄. Ἐπὶ πασῶν τῶν ἀγωγῶν ἐπιφέρει ὅρκον ὁ δικαστὴς ᾧ δ᾽ ἂν θέλει τῶν δικαζομένων ἐπὶ ἀπορίᾳ τῶν ἀποδείξεων[65]. ὁμοίως καὶ ὁ ἐν τοῖς ἀμφιβόλοις[66].

μδ΄. Ὁ ἐξ ἐπιφορᾶς τοῦ δανειστοῦ ὀμόσας μὴ χρεωστεῖν ἔοικε τῷ ἐξ ἀποφάσεως ἀπολυομένῳ τοῦ χρέους.

με΄. Ὅρκος ἐπιφερόμενος ἢ παρὰ τοῦ ἀντιδίκου ἢ παρὰ τοῦ δικαστοῦ τέμνει τὴν ἀμφισβητίαν. ἔοικε τῷ διαλύειν καὶ μείζων ἐστὶ ψήφου[67].

μς΄. Ὁ μηδενὸς ἐπάγοντος ὀμνὺς οὐκ ὠφελεῖται. γυνὴ ὀμνύουσα ἐγκυμονεῖν πέμπεται εἰς νομὴν, καὶ οὐκ ἐνάγεται μετὰ τὸν ὅρκον, ὡς κατὰ συκοφαντίαν εἰς νομὴν πεμφθεῖσα· καὶ οὐχ ὑπομένει βίαν ἐπὶ τῇ νομῇ. εἰ δὲ ὁ ἀντίδικος ὀμόσει μὴ ἐγκυμονεῖν αὐτὴν, οὐ πέμπεται εἰς νομὴν ἡ γυνή[68].

---

[62] Lege οὐ. [63] C α΄. [64] Cod. IV, 1, 2. [65] Cod. IV, 1, 3. [66] Nonnulla exciderunt. Cf. Basil. XXII, 5, 31. [67] Dig. XII, 2, 1. 2. [68] Dig. XII, 2, 3.

μζ΄. Καλῶς ἐπιφέρω σε κατὰ τῆς σωτηρίας σου ὀμόσαι. πᾶς γὰρ θεμιτὸς ὅρκος ἐξ ἐπαγωγῆς ὀμοθεὶς ἔῤῥωται[69].

μη΄. Ὁ ὀμόσας ἴδιον εἶναι τὸ πρᾶγμα ἀπαιτεῖ καρποὺς καὶ τοκετὸν [καὶ] γονὰς θρεμμάτων[70].

μθ΄. Ὁ περὶ τοῦ χρεωστεῖν ἢ μὴ χρεωστεῖν ἢ ἀντιφωνῆσαι ὅρκος οὐ συγχωρεῖται πατράσιν ἢ πάτρωσιν[71].

ν΄. Ἐὰν ἡ ἀπελευθέρα ἐπάγει ὅρκον κατὰ τοῦ πάτρωνος περὶ τοῦ αὐτῆς πράγματος ἀφαιρεθέντος, οὔτε περὶ συκοφαντίας ὄμνυσιν αὐτή[72].

να΄. Ἄνηβος ἐὰν χωρὶς τοῦ ἐπιτρόπου ἐπάγει ὅρκον, ἁρμόζει κατὰ [τῆς][73] τοῦ ὅρκου παραγραφῆς [ἀντιπαραγραφή]. αὐθετοῦντος γὰρ αὐτοῦ ἐπιφέρει. ὁ δὲ ἐπίτροπος καὶ ὁ κουράτωρ τοῦ μαινομένου καὶ τοῦ ἀσώτου καλῶς ἐπιφέρουσιν ὅρκον, ἐπειδὴ ἐκποιοῦσι καὶ ὑποδέχονται χρέος[74].

νβ΄. Τοὺς[75] ὑπὸ αἵρεσιν ὅρκου γεγραμμένους κληρονόμους συγχωρεῖ τὴν αἵρεσιν ὁ πραίτωρ[76].

νγ΄. Ὁ ὅρκος καὶ ἡ ἐπαγωγὴ τοῦ δούλου ἔῤῥωται, ἐὰν ἔχει περὶ[77] πεκουλίου διοίκησιν[78].

νδ΄. Οἱασδήποτε ἡλικίας ἢ φύσεως[79], ἔῤῥωται. σημ. δοκεῖ δὲ μὴ ἐπιορκεῖν ὁ ἄνηβος, ἐπειδὴ ἐν εἰδήσει οὐ δοκεῖ ἀπατᾶν[80].

νε΄. Ὁ μεταγενέστερος ὅρκος ἰσχυρότερός ἐστιν εἰς παραγραφὴν ἀγωγῆς[81].

νς΄. Ἐὰν ὀμόσω χρεωστεῖσθαι ἐξ ἐπαγωγῆς διπλασιαζόμενον[82] τῇ ἀρνήσει, τὸ ἁπλοῦν μόνον λαμβάνω[83].

νζ΄. Ἐὰν ὀμόσῃ τὶς μὴ εἶναί μου ἀπελεύθερος, οὔτε ὑπηρεσίαν οὔτε κατὰ τῆς διαθήκης[84] αὐτοῦ ἀγωγὴν ἔχω[85].

νη΄. Ὁ ἄσωτος καὶ οἱ ἐοικότες αὐτῷ οὐκ ἐπάγουσιν ὅρκον. μόνοι γὰρ ἐπάγουσιν οἱ δυνάμενοι συμφωνεῖν ἢ δικάζεσθαι[86].

νθ΄. Ἀντὶ ὁμολογοῦντός ἐστιν ὁ μὴ ὀμνὺς μήτε ἐπάγων[87]. σημ. ὁ τὸν ἀπὸ νόμου τυπωθέντα ὅρκον μὴ ὀμνὺς ὡς κοντούμαξ καταδικάζεται.

ξ΄. Ὁ ὅρκος δύναμιν ἀποφάσεως ἔχει. ὁ γὰρ ἐπιφέρων ὅρκον τῷ ἀντιδίκῳ αὐτοῦ δοκεῖ δικαστὴν αὐτὸν ποιεῖν[88].

---

[69] Dig. XII, 2, 5 pr. [70] Dig. XII, 2, 11 §. 1. [71] Dig. XII, 2, 14. [72] Haec corrupta esse videntur ex Dig. XII, 2, 16. [73] C καὶ κατὰ. [74] Dig. VII, 2, 17 §. 1. 2. [75] Malim Τοῖς — κληρονόμοις. [76] Dig. XXVIII, 7, 8 pr. [77] An λιβέραν? [78] Dig. XII, 2, 20. [79] Adde εἴη ὁ ὀμόσας. [80] Dig. XII, 2, 26 pr. [81] Dig. XII, 2, 28 §. 10. [82] Lege ἐξ ἀγωγῆς διπλασιαζομένης. [83] Dig. XII, 2, 30 pr. [84] C δίκης. [85] C ἐχέτω. — Dig. XII, 2, 30 §. 4. [86] Dig. XII, 2, 35 §. 1. [87] Dig. XII, 2, 38. [88] Dig. XLIV, 5, 1 pr.

ξα΄. Οὐδεὶς ὑπὲρ ἄλλου δικαζόμενος ἢ συμφωνῶν ἢ ὅρκον ἐπιφέρων παρὰ γνώμην τοῦ δεσπότου τῶν πραγμάτων πρόκριμα αὐτῷ ποιεῖ[89]. χρὴ γὰρ πρότερον τὸν ἐπιφέροντα τὸν ὅρκον αὐτὸν ὀμόσαι τὸν περὶ συκοφαντίας ὅρκον, ὅτι ὡς οὐ συκοφαντῶν σε βούλομαι λαμβάνειν παρά σου τὸν ὅρκον[90].

ξβ΄. Μόνος ἰδίῳ ὀνόματι ὁ ἐνάγων ὄμνυσι τὸν ἔνδικον ὅρκον[91]. σημ. τίς ἐστιν ὁ ἔνδικος ὅρκος; ὅτι διαφέρει αὐτῷ προκομισθῆναι. καὶ εἰς τοσοῦτον ὁ ἐναγόμενος καταδικάζεται[92].

ξγ΄. Ὁ ἐπίτροπος ἔχων τὸ πρᾶγμα τοῦ νέου καὶ μὴ ἀποκαθιστῶν αὐτὸ, οὐ τῷ διαφέροντι μόνον, ἀλλὰ καὶ τῷ ἐνδίκῳ ὅρκῳ ὑπόκειται[93]. ὅπερ καλεῖται ἰν λίτεμ.

ξδ΄. Καὶ ὁ περὶ δικαιωμάτων ἐνάγων ὄμνυσι τὸν ἔνδικον ὅρκον[94].

ξε΄. Οὐκ εὐχερῶς ζητεῖται περὶ τῆς ἐπιορκίας τοῦ [τὸν] ἔνδικον ὅρκον ὀμόσαντος[95].

ξς΄. Ὁ ὀμόσας μὴ χρεωστεῖν καὶ φύσει καὶ νόμῳ ἐλευθεροῦται τοῦ χρέους.

ξζ΄. Ὁ ἐξ ἐπιφορᾶς ἐμῆς ὀμνυόμενος ὅρκος οὐκ ἀναψηλαφᾶται, κἂν προφανὴς ἐπιορκία δείκνυται[96]. ὅτι ὁ ὅρκος λύει φυσικὴν ἐνοχὴν καὶ διάλυσιν μιμεῖται. ὡς βι. ιβ΄ τί. ς΄ διατ. α΄[97].

ξη΄. Ἐπὶ τῆς περὶ κλοπῆς ἀγωγῆς δεῖ ὀμνύειν, [ὅτι] τοσοῦδε ἦν ἄξιον τὸ πρᾶγμα, ὅτε ἐκλάπη, οὐ μὴν ὅτι καὶ πλείονος[98].

ξθ΄. Καὶ ἐπὶ τῆς δὲ δόλῳ καὶ ἐπὶ τῆς μέτους καῦσα, τουτέστι καὶ ἐπὶ τῆς βίας καὶ ἐπὶ παντὸς φόβου καὶ δόλου, τὰ[99] ἀφαιρεθέντα, καρποὺς καὶ ἀγῶνας καὶ δουλείας καὶ ἐργασίας δούλων καὶ ὅσα οὐκ ἠδύνατο προσπορισθῆναι, τῷ παθόντι τὸν δόλον ἢ τὴν βίαν ἢ τὸν φόβον ὅρκον ἐπιφέρει ὁ δικαστὴς, ὁρίζων καὶ τὴν ποσότητα ὀμόσαι τὸν ἄκτορα τουτέστι τὸν ἐνάγοντα, ἥτις πρὸ ἐνιαυτοῦ εἰς τὸ διπλάσιον ἀπαιτεῖται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν.

ο΄. Καὶ ὁ νεμόμενος πρᾶγμα καὶ ὁ δόλῳ παυσάμενος νέμεσθαι ὅρκῳ καταδικάζεται τοῦ ἄκτορος. σημ. ὁ ἄκτωρ ὅτε θέλει ἐνάγει, ῥέος οὐχ ὅτε θέλει ἐνάγεται.

οα΄. Καὶ ἐπὶ ἁμαρτήματος καλῶς ἐπιφέρεται ὅρκος. καὶ

---

[89] Cod. IV, 1, 7. [90] Cod. IV, 1, 9. [91] Dig. XII, 3, 7. [92] Haec verba ὅτι διαφ. temere huc translata sunt. Pertinent ad c. 64 infra. [93] Dig. XII, 3, 8. [94] Dig. XII, 3, 10. — Cf. c. 62. [95] Dig. XII, 3, 11. [96] Dig. IV, 3, 21. — Cod. IV, 1, 1. [97] Cf. Dig. XII, 2, 40. 6, 43. [98] Dig. XII, 3, 9. [99] An διὰ τὰ? — Dig. IV, 3, 18 pr.

ἐπὶ τῶν δουλειῶν ὅρκῳ τοῦ ἄκτορος ὁ ῥέος καταδικάζεται. καὶ ἐπὶ πασῶν τῶν βόνα φίδε ἀγωγῶν ὅρκῳ τοῦ ἄκτορος ἡ καταδίκη τυποῦται. ὡς βι. η' τί. ε' διγ. ζ'[100].

οβ'. Ἐπὶ τῶν ἐγκλημάτων τρεῖς ἡμέρας καλοῦνται οἱ ἀπολειφθέντες, καὶ καθ' ἑκάστην ἡμέραν τρίτον ἐρωτῶνται, καὶ ἐπάγεται ἡ καταδίκη, εἴτε ῥέος εἴτε ἄκτωρ ἀπολειφθῇ.

ογ'. Λαμβάνουσι δὲ παρὰ τοῦ ἄρχοντος δηλατίονα[101], εἰ μὲν μείζων ἐστὶν ἡ ποσότης, μῆνας τρεῖς· εἰ δὲ μικρὰ, μῆνας δύο. μείζονα δὲ δηλατίονα μόνος ὁ βασιλεὺς δίδωσιν[102].

οδ'. Εἴρηται δὲ ἐν τῷ ἐγχειριδίῳ εἰς τὰ περὶ ποινῶν[103] τὰ περὶ ὅρκου, ὅτι „ὁ ἐκ δικαστικῆς ψήφου ἢ ἐξ αἰτήσεως τοῦ ἀντιδίκου ὅρκον ὑπέχων ἐπ' ἐκκλησίας, τῶν ἀρχόντων ὑφαπτόμενος εὐαγγελίων, ἐπιορκεῖν δὲ μετὰ ταῦτα ἐλεγχθεὶς, γλωσσοκοπείσθω. τὸ αὐτὸ καὶ περὶ μαρτύρων“.

ΤΙΤΛΟΣ ιγ'.

Περὶ μαρτύρων εὐπροσδέκτων καὶ κεκωλυμένων.

α'. Ἀξιόπιστοι ἔστωσαν οἱ μάρτυρες, μή τινες ἐπιδίφριοι μηδὲ χαμερπεῖς μηδὲ παντοίως ἄσημοι ἀλλ' εὐυπολήπτους εἶναι διὰ τὴν ἀξίαν ἢ στρατείαν ἢ ἐπιτήδευσιν· τοὺς γὰρ ἀγνώστους καὶ ἀφανεῖς βούλεται ἡ διάταξις παρὰ τῶν ἀρχόντων ὑφ' ὧν μαρτυροῦσι βασάνοις ὑποβάλλεσθαι[1].

β'. Οἱ μαρτυροῦντες περὶ χρεῶν ἐγγράφων ἢ ἀγράφων εἰπάτωσαν, ὡς τῇ καταβολῇ παρῆσαν, ἢ ἐπ' αὐτοῖς νομίμως κατέθεντο, ἐπὶ τούτῳ μόνῳ προσκληθέντες, ἐὰν ὦσι ε' τὸν ἀριθμόν[2].

γ'. Ὅτε οἱ μάρτυρες ἑαυτοῖς ἐναντιοῦνται ἢ ἄλλοις μάρτυσι, τότε δεχέσθω ὁ δικαστὴς τοὺς ἐξ αὐτῶν ἀξιοπιστοτέρους, καὶ κολαζέτω ὑπόπτους εἴπερ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες[3].

δ'. Τετάρτην δὲ καὶ μόνην μαρτύρων ποιείτω τὶς παρα-

---

[100] C γ'. [101] In ACF superscriptum: ὑπέρθεσιν. [102] F addit: βι. δ' τί. α' διατ. ι'. καλῶς ὀμνύει τὶς καὶ ἐπὶ ἀγράφου παραθήκης ὥσπερ καὶ ἐπὶ τῶν λοιπῶν βόνα φίδε ἀγωγῶν. ἀνάγν. τὴν πη' νεα. συμβουλεύουσαν πάντως τὰς παραθήκας ἐγγράφως ἢ ἐπὶ μαρτύρων δίδοσθαι. (Cf. Basil. ed. Heimb. II p. 570.) [103] Proch. XXXIX, 46.

[1] Nov. 90 c. 1. — Cf. Proch. XXVII, 1. [2] Theod. Nov. 90 §. 3. — Proch. XXVII, 3. [3] Theod. Nov. 90 §. 7. — Proch. XXVII, 4.

γωγὴν, ὀμνύων ὡς τὰς προτέρας τρεῖς μαρτυρίας ἢ τὰς τούτων ἐκ τοῦ ἀντιδίκου παραγραφὰς οὐκ ἐξέλαβεν, οὔτε ὁ συνήγορος αὐτοῦ, οὔτε ἄλλος ὑπὲρ αὐτοῦ, καὶ ὡς οὐ μετὰ δόλου τὴν τετάρτην αἰτεῖ παραγωγήν[4]. ἀνάγν. κεφ. η'.

ε'. Κατ' ἐγγράφου μαρτυρίας ἄγραφος μαρτυρία οὐ φέρεται[5].

ς'. Δυνατὸν καὶ ἀπὸ πόλεως εἰς πόλιν ἐκ διαλαλιᾶς ἀρχοντικῆς στεῖλαι τὰς μαρτυρίας, πραττομένων μέντοιγε κατὰ νόμους, ἐν μὲν ταῖς ἐπαρχίαις παρὰ τῷ ἄρχοντι, ἐν δὲ τῇ κωνσταντινουπόλει παρὰ τοῖς δικασταῖς[6].

ζ'. Ἐπὶ τῶν ἐγκλημάτων ἀνάγκη πάντας παραστῆναι τοὺς μάρτυρας καὶ μὴ τὰς φωνὰς αὐτῶν[7].

η'. Ὁ τρίτον παραγαγὼν μάρτυρας οὐκ ἔτι προσφέρει μετὰ τὴν ἔκδοσιν τῶν παραγραφῶν. τότε γὰρ δύναται πρὸ ἐκδόσεως καὶ τετάρτην μαρτυρίαν παραγαγεῖν, ὀμνύων περὶ δόλου, ὅτι οὐ κατὰ δόλον ζητεῖ τὴν τῶν μαρτύρων παραγωγήν[8]. ἀνάγν. κεφ. δ'.

ϑ'. Ὁ κατήγορος οἰκειακοὺς αὐτοῦ μάρτυρας οὐ δύναται παραγαγεῖν[9], ὅτι αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκιμάζονται[10].

ι'. Ἐπὶ ἑκάστου μάρτυρος ὀφείλει ζητεῖσθαι, πότερον τίμιος καὶ ἄμεμπτός ἐστιν, ἢ ἄτιμος καὶ ἐπίψογος· εὔπορος ἢ ἐνδεὴς, ὥστε διὰ κέρδος τὶ πλημμελῆσαι· φίλος τοῦ παράγοντος ἢ ἐχθρὸς τοῦ καθ' οὗ παρέρχεται. ὅταν γὰρ ὑποψίας ἐστέρηται, μαρτυρεῖ. τὰ δὲ περὶ τούτου διακρίνει ὁ δικαστὴς, εἰ μίαν μεμελετημένην ὁμιλίαν προσφέρουσι, καὶ εἰ πρὸς τὰς πεύσεις προφανῶς ἀποκρίνονται, καὶ ποῖα τεκμήρια ὀφείλει προσδέχεσθαι[11].

ια'. Τοῖς μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον. αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν

---

[4] Nov. 90 c. 4. [5] Theod. Nov. 90 §. 3. – Cod. IV, 20, 1. [6] Theod. Nov. 90 §. 10. — Proch. XXVII, 5. [7] Theod. Nov. 90 §. 11. — Proch. XXVII, 6. [8] Theod. Nov. 90 §. 8. — Proch. XXVII, 16. [9] Dig. XXII, 5, 24. [10] Cod. IV, 20, 3. – F hic addit capita haec: *Εἰς ἐμβάσανον ζήτησιν οὐ προσδέχονται οἱ μάρτυρες· καὶ ὅτι οἱ μὴ ἀναγκαζόμενοι μαρτυρῆσαι κατά τινος οὐδὲ βασανίζονται.* Cf. Dig. XLVIII, 18, 1 §. 10. — *Ἐὰν σχῇ τριῶν μαρτύρων καταθέσεις καὶ ὑπογραφὰς τὸ ἐκμαρτύριον ἔῤῥωται.* Cf. Cod. IV, 20, 4 Theod. — *Ἐὰν οὐ πάρεισιν οἱ μαρτυρῆσαι ὀφείλοντες, μαρτυρείτωσαν κατὰ χώραν, παρόντων τῶν δύο μερῶν ἢ τῶν ἐντολέων αὐτῶν, καὶ εἴ τι εἴπωσι, μένει ἐῤῥωμένον. βι. δ' τοῦ κώδ. τί. ις' κεφ. ς'.* Cf. Cod. IV, 20, 16. [11] Dig. XXII, 5, 3 pr. — Proch. XXVII, 8.

ἐγκλημάτων, καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν ἐξορίζεται[12].

ιβ'. Ἄλλη ἐστὶν ἡ αὐθεντία τῶν παρόντων μαρτύρων καὶ ἄλλη τῶν ἀναγινωσκομένων ἐκμαρτυρίων. ὁ οὖν θέλων ἐπισχεῖν τοὺς μάρτυρας δαπάνας αὐτοῖς διδότω[13].

ιγ'. Οἱ μαρτυροῦντες ἐπὶ χρηματικῇ αἰτίᾳ οὐκ ἀναγκάζονται προσπαραμεῖναι τῷ δικαστηρίῳ περαιτέρω τῶν ιε' ἡμερῶν. ὡς βι. ζ' τί. ξβ' διατ. ϛ' τοῦ κώδ., ὅτι λαμβάνουσιν καθ' ἃς διατρίβουσιν ἡμέρας δαπανήματα παρὰ τῶν προσαγόντων αὐτοὺς κρίσει τοῦ δικαστοῦ. ὡς βι. δ' τοῦ κώδ. [τί. κ'] διατ. ιθ'.

ιδ'. Τὰς δὲ ματαίας καὶ ἐκ τοῦ παρήκοντος γινομένας μαρτυρίας μηδενὶ παντάπασι λόγῳ κρατεῖν βουλόμεθα, καὶ τοιαύτας τινὰς πλάττειν μαρτυρίας, ὡς δι' ἄλλην τινὰ χρείαν παρατυχὼν ἀκούσοι τοῦδε λέγοντος εἰληφέναι παρὰ τοῦδε χρυσίον ἢ καταβεβληκέναι. αὗται γὰρ σαφῶς ὕποπτοι καθεστήκασι καὶ οὐδενὸς ἄξιαι λόγου[14].

ιε'. Ὁ προαγαγὼν μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατὰ αὐτοῦ προσφέροιντο, μὴ ἐχέτω ἐξουσίαν παραιτεῖσθαι αὐτοὺς τυχὸν ὡς εὐτελεῖς ἤ τι τοιοῦτο[15].

ιϛ'. Εἰ μέντοιγε δείκνυσιν ἐν τῷ μεταξὺ ἢ ἔχθραν γενομένην αὐτῷ δεκτὴν τοῖς νόμοις καὶ ποιοῦσαν ὑπόπτους μάρτυρας, ἢ πολλάκις ἐλεγχθῇ φανερῶς ἐπὶ ἐγκλήματι γενομένην τὴν μαρτυρίαν, ἐξέστω αὐτῷ παραιτεῖσθαι τοὺς μάρτυρας. εἰ δὲ δύναται ψευδῆ τὰ παρ' αὐτῶν λεγόμενα δεῖξαι, καὶ τοῦτο ποιείτω[16].

ιζ'. Εἴκοσι μίλια καθ' ἡμέραν λογίζεται τῷ ὀφείλοντι παραστῆναι, ὑπεξῃρημένης τῆς ἡμέρας, καθ' ἣν ὡμολόγησεν καὶ καθ' ἣν δεῖ παραστῆναι αὐτόν[17].

ιη'. Ὁ ἅπαξ ἢ δὶς ἢ τρὶς παραγαγὼν μάρτυρας, ἐὰν ἀποτάξηται καὶ διασκέψηται διὰ τῆς ἐκδόσεως τῶν παραγραφῶν, καὶ μάθῃ τὰς μαρτυρίας, οὐ δύναται οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἄλλους παράγειν μάρτυρας[18].

---

12 Dig. XXII, 5, 3 §. 3. — Proch. XXVII, 9. 13 Dig. XXII, 5, 3 §. 4. — Proch. XXVII, 10. 14 Nov. 90 c. 2. — Proch. XXVII, 18. 15 Cod. IV, 20, 17. — Proch. XXVII, 15. 16 Cod. et Proch. ibid. 17 Dig. II, 11, 1. — Proch. XXVII, 17. 18 Theod. Nov. 90 §. 9. — Proch. XXVII, 19. — F hoc loco haec habet: Ἀρτίφηκες λέγονται οἱ ἐπὶ τῶν τερπνῶν πραγμάτων ἐπιστήμονες, οἷον ὀρχησταὶ καὶ ὅσοι τοιοῦτοι, παμμαχεραῖοι τυχὸν καὶ πυκταὶ καὶ τραγῳδοὶ καὶ ὅσοι τοιοῦτοι. — Ἡνίοχοι καὶ οἱ τὰ ἐνθύρια λέγοντες ὀλυμπιακοὶ ἢ καὶ θυμελικοί, οὗτοι οὐκ εἰσὶν ἐπὶ ἀτιμοποιῷ ἀγωγῇ, ἀλλ' ὅσοι

ιθ΄. Ὁ μεσάσας τισὶν ἐν πράγματι οὐ μαρτυρεῖ αὐτὸς ἐν τῇ αὐτῇ ὑποθέσει, δηλονότι παρ᾽ ἄλλῳ δικαστῇ, εἰ μὴ ἄρα συναινέσωσι τὰ δύο μέρη τῇ μαρτυρίᾳ αὐτοῦ[19].

κ΄. Οὐ πένητες μαρτυροῦσι. πένης δέ ἐστιν ὁ μὴ ἔχων ν΄ νομισμάτων περιουσίαν[20].

κα΄. Οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ τοῦ πάτρωνος ἢ παιδὸς αὐτοῦ. ἀλλὰ καὶ ἐπὶ τῶν ἐγκληματικῶν οὐδὲ μετὰ βασάνων θέλοντες προσδεχθήσονται[21].

κβ΄. Οὐ μαρτυρεῖ ὁ ἥττων τῶν κ΄ ἐτῶν, οὐδὲ ὁ ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς καὶ μὴ ἀποκαταστὰς, ἢ ἐν δεσμοῖς ἢ ἐν δημοσίᾳ φρουρᾷ βληθεὶς, οὔτε ὁ ἐλεγχθεὶς λαβεῖν χρήματα ἐπὶ τῷ μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι[22].

κγ΄. Ὁ κατά τινος ἤδη μαρτυρήσας οὐ μαρτυρεῖ πάλιν κατ᾽ αὐτοῦ[23].

κδ΄. Πατὴρ καὶ υἱὸς ὑπεξούσιος καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι δύνανται μαρτυρεῖν ἐν πράγματι. οὐδὲ γὰρ βλάπτει ἐξ ἑνὸς[24] πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν[25].

κε΄. Υἱὸς πατρὶ ἢ πατὴρ υἱῷ οὐ μαρτυρεῖ, οὔτε οἱοσδήποτε ἐν ἰδίῳ πράγματι[26].

κς΄. Ἐὰν τοιοῦτόν ἐστι πρᾶγμα, ὥστε δέξασθαι μαρτυροῦντας ἢ κυνηγὸν ἢ τοὺς τοιούτους, χωρὶς βασάνων οὐ πιστεύεται[27]. σημ. καὶ τοὺς ἀγνώστους.

κζ΄. Οὐδεὶς ἀπαιτεῖται καθ᾽ ἑαυτοῦ μάρτυρας παραγαγεῖν, ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας[28]. σημ. οὐ δύναταί τις τῷ οἰκείῳ φάκτῳ μαρτυρῆσαι.

κη΄. Ὁ συνηγορήσας ἢ ἐκβιβάσας ἐν ὑποθέσει οὐ μαρτυρεῖ ἐν αὐτῇ[29].

κθ΄. Δοῦλος οὔτε ὑπὲρ δεσπότου οὔτε κατὰ δεσπότου μαρτυρεῖ. ὑφέξελε τὸ εἰρημένον ἐν τῷ θ΄ βι. τί. μα΄ διατ. β΄. ὅτι καλῶς μαρτυρεῖ ὁ δοῦλος ὑπὲρ τοῦ οἰκείου δεσπότου περὶ τῆς τουτέλαε. καὶ ταῦτα μὲν περὶ χρηματικῶν νόει. καὶ πάλιν διάτ. α΄, καλῶς μαρτυρεῖ καὶ βασανίζεται δοῦλος κατὰ δεσπό-

---

τέχνης ἕνεκα παιγνικῆς κατέρχονται. οἱ δὲ βραβευταὶ οἱ ἐν τοῖς ὀλυμπίοις ἢ ἐν ἱερῷ ἢ ἐν δημοσίῳ ἀγῶνι ἐπιδείκνυσθαι οὐ συγκεχώρηνται. Cf. Dig. III, 2, 4. [19] Theod. Nov. 90 §. 14. — Proch. XXVII, 21. [20] Dig. XLVIII, 2, 10. — Proch. XXVII, 22. [21] Dig. XXII, 5, 4. — Proch. XXVII, 23. [22] Dig. XXII, 5, 3 §. 5. — Proch. XXVII, 24. [23] Dig. XXII, 5, 23. — Proch. XXVII, 29. [24] Adde οἴκου. [25] Dig. XXII, 5, 17. — Proch. XXVII, 11. [26] Dig. XXII, 5, 9. 10. — Proch. XXVII, 27. [27] Dig. XXII, 5, 21 §. 2. — Proch. XXVII, 12. [28] Cod. IV, 20, 7. — Proch. XXVII, 31. [29] Dig. XXII, 5, 25. — Proch. XXVII, 30.

του[30] ἐπὶ τῆς μοιχείας καὶ ἐπὶ τῆς βλάβης τῶν censων[31], οὐ μὴν ἀλλὰ καὶ ἐπὶ καθοσιώσεως. ὑπὲρ οἰκείου φάκτου ἕκαστος δοῦλος καλῶς ἐπερωτᾶται, οὐ μέντοιγε δὲ καὶ μαρτυρεῖ[32].

λ΄. Εἷς μόνος μάρτυς οὐ πιστεύεται κἂν ἀξιωματικός ἐστι. πλὴν σημ. ὅτι φάκιλε ἔχει τὸ πρῶτον σκέλος τῆς προκειμένης διατ. ὅτι ἀρκεῖ μόνος ὁ ταβελλίων ὁ γράψας τὸ συμβόλαιον πρὸς μαρτυρίαν ἐν τῇ συγκρίσει τῶν προσφερομένων συμβολαίων. ὁμοίως καὶ ἐπὶ τῶν τραπεζιτικῶν λόγων ἀρκεῖ ὁ καταγράψας· καίτοιγε εἷς νοεῖται. ἀλλὰ καὶ ἐπὶ τῶν ἐμφυτεύσεων καὶ εἷς μόνος μάρτυς δεκτός ἐστιν. οὕτως οὖν νόει τὸ φάκιλε ἐνταῦθα. ἀνάγν. βι. [η΄ τί. νγ΄] διατ. λα΄ τοῦ κώδ. ἔνθα εἴρηται, ὅτι ἐπὶ τῶν ἀγράφων δωρεῶν δεκτός ἐστιν εἷς μόνος μάρτυς. καὶ ἐπὶ τῶν εὐπροσδέκτων συμβολαίων οὐδὲ μαρτύρων χρεία ἐστίν[33].

λα΄. Ὁ ὑπογράψας ἐν οἰῳδήποτε συμβολαίῳ ἀναγκάζεται ἃ οἶδε περὶ τῆς ἰδίας ὑπογραφῆς λέγειν. καὶ εἰ φαίη, ὅτι αὐτοῦ ἐστιν ἡ ὑπογραφὴ, δεχόμεθα αὐτήν. εἰ δὲ εἴπῃ, μὴ εἶναι αὐτοῦ, τιμωρούμεθα τὸν ταύτην ὑπ᾽[34] αὐτοῦ προφέροντα, ἀπειλοῦντες αὐτοῖς[35] καὶ ἔκπτωσιν τῆς δίκης[36].

λβ΄. Κολαζέτωσαν οἱ δικασταὶ τοὺς ψευδομάρτυρας. ὅτι ὁ ψευδομαρτυρῶν τιμωρεῖται εἰς σῶμα[37].

λγ΄. Ὁ ψευδομαρτυρῶν ὡς πλαστογράφος εὐθύνεται, καὶ οὐκ ἔχει φόρου παραγραφήν[38].

λδ΄. Ἐὰν καταδικασθῇ τις διὰ τὸ ἄλλον καταψευδομαρτυρεῖν αὐτοῦ, καλῶς ἀπαιτεῖ τὸν τὰ ψευδῆ κατ᾽ αὐτοῦ μαρτυρήσαντα τὴν τῆς δίκης διατίμησιν[39].

λε΄. Ὁ κληθεὶς εἰς μαρτυρίαν καὶ τὰ ψευδῆ μαρτυρήσας καὶ μέλλων διὰ τοῦτο κολάζεσθαι παρὰ τοῦ δικαστοῦ οὐδένα φόρον ἐπικαλεῖσθαι δύναται. σημ. ἡ τοῦ φόρου παραγραφὴ ἐν προοιμίοις τῆς δίκης ἀντιτίθεται. ἐὰν δὲ ἅπαξ εἰσέλθῃ τὶς εἰς τὸ δικαστήριον, μὴ χρησάμενος τῇ παραγραφῇ ταύτῃ, οὐκέτι δύναται αὐτὴν ἀντιτιθέναι. φόρου δὲ παραγραφή ἐστι τυχὸν τὸ εἰπεῖν, ὅτι στρατεύομαι ἢ ἄλλην οἱανδήποτε στρατείαν ἢ ἀξίαν[40] ἀπόδειξιν[41].

---

30 C addit δοῦλος. 31 B et C τὸ censon. 32 Cod. IV, 20, 8. 33 Cod. IV, 20, 9. 34 Lege ὑπέρ. 35 Malim αὐτῷ. 36 Cod. IV, 20, 15 §. 2. 37 Cod. IV, 20, 15 pr. — Caeterum F hic §. addit: Ἀνὴρ ἐλεύθερος ἐπὶ μαρτυρίᾳ μὴ σκευαζούσῃ (l. σκαζ.) οὐ βασανίζεται. Cf. Dig. XLVIII, 18, 15 pr. 38 Cod. IV, 20, 13. 39 Cod. ibid. 40 F ἀξίας. Corrupta sunt. 41 Cod. IV, 20, 14.

λϛʹ. Ἔνθα ἐστὶ χρεία μαρτύρων, ἀρκοῦσι πέντε πρὸς ἀπόδειξιν. εἰ δὲ εἰσὶν ἔγγραφα ἤτοι συμβόλαια, τρεῖς μόνοι ἀρκοῦσι μάρτυρες[42].

λζʹ. Ἐάν τις ἑνὸς ἀνθρώπου κατάθεσιν ἐν ἐκσφραγίσματι προσφέρει, οὐκ ἐστὶ δεκτὴ ἡ τοιαύτη μαρτυρία[43].

ληʹ. Κωλύεται ἐν διαθήκῃ μαρτυρεῖν ὁ ἐν διαθήκῃ τινὸς ὑπογράψας καὶ μὴ ἀνασχόμενος [μαρτυρῆσαι], ὃς οὐδὲ ἀναγκάζεται παρὰ τοῦ νόμου μαρτυρῆσαι[44]. ὡς βι. δʹ τί. κδʹ [45] διατ. ιεʹ [46].

λθʹ. Ὅτι οὐκ ἀναγκάζεταί τις μαρτυρεῖν ἐν διαθήκῃ, ἀλλα καὶ παρακαλεῖται τοῦτο ποιῆσαι[47].

μʹ. Κωλύεται δὲ καὶ ἐν ἑτέρᾳ διαθήκῃ μαρτυρῆσαι, ἀλλὰ καὶ διαθ΄σθαι, καὶ ἐξ ἑτέρας διαθήκης κερδᾶναι[48].

μαʹ. Κωλύεται μαρτυρεῖν ἄνηβος, οἰκέτης, κωφὸς, ἄλαλος, μαινόμενος, ἄσωτος, υἱὸς ὑπεξούσιος, ὅτε ὁ πατὴρ αὐτοῦ παρὰ ἄλλου γραφῇ κληρονόμος. καὶ ὁ συνυπεξούσιος ὑπὸ τοῦ γραφέντος ἐν διαθήκῃ κληρονόμου[49].

μβʹ. Καὶ ὁ συνυπεξούσιος διατιθεμένου τοῦ ὑπεξουσίου εἰς τὰ ἰδιόκτητα αὐτοῦ πράγματα[50].

μγʹ. Ὁ μὴ ἀποδεικνύων ἃ προσφέρει ἔγγραφα, τῷ περὶ πλαστογραφίας ἐγκλήματι ὑπόκειται[51].

μδʹ. Τὰ ἐγκλήματα ὀφείλει ἀποδειχθῆναι ἢ δι' ἀξιοπίστων μαρτύρων ἢ δι' ἐναργῶν συμβολαίων λαμπροτέρων τοῦ φωτός. ὁ ἄκτωρ βαρεῖται[52] τῇ ἀποδείξει[53]. ἀνάγν. τί. ιβʹ κεφ. οϛʹ [54].

---

[42] Cod. IV, 20, 15 §. 1. [43] Cod. IV, 20, 4. — Proch. XXVII, 36. [44] Proch. XXVII, 32. [45] Legerim κʹ. Videntur enim capp. 38 — 40 desumta esse ex aliquo commentario ad Cod. IV, 20, 15 §. 2. Nisi forte indicetur constitutio deperdita in tit. 21 lib. IV Cod., ut legendum sit καʹ. [46] F hic addit §.: Ὁ ἑρμαφρόδιτος, εἰ τὰ ἀῤῥένων ἐπικρατεῖ ἐν αὐτῷ, μαρτυρεῖ ἐπὶ διαθήκῃ· τουτέστιν ὁ ἔχων ἀνδρὸς καὶ γυναικὸς φύσιν. Cf. Dig. XXII, 5, 15 §. 1. [47] Theod. ad Cod. IV, 20, 16. Cf. Bas. XXI, 1, 40 schol. [48] Proch. XXVII, 32. [49] Proch. XXVII, 33. 34. [50] Proch. XXVII, 35. [51] Cod. IV, 19, 24. [52] F βαρούμενος. [53] Cod. IV, 19, 25. [54] An οδʹ?

ΤΙΤΛΟΣ ιδʹ.

Περὶ ἀρχόντων καὶ περὶ δικαστῶν καὶ ψήφου αὐτῶν καὶ περὶ συνηγόρων καὶ περὶ προστίμων.

αʹ. Πάντας τοὺς ἐν βασιλίδι ἄρχοντας ὑπερβέβηκεν ὁ τῆς πόλεως ἔπαρχος τοσοῦτον ἐξ ἑκατέρας ἀρχῆς εἰληφώς, ὅσον ἐκείνας οὐκ ἀπεμείωσεν[1].

βʹ. Δεῖ τὸν ἄρχοντα εἶναι προηγουμένως συμπαθῆ, ἀμνησίκακον, ἀόργητον, ἀπροσωπόληπτον καὶ μὴ εὐχερῶς[2] μηδὲ ἀνεξετάστως διαβολαῖς καὶ λοιδορίαις πείθεσθαι[3].

γʹ. Οἱ ἄρχοντες ὀμνυέτωσαν ὡς οὐδενὶ παρέσχον, καὶ ὅτι οὐκ ἀπηγγείλαντο, οὐ μὴν ἀλλὰ ὅτι καὶ αὐτοὶ οὐ λαμβάνουσί τι παρά τινος ἐφ' οἷς ἄρχουσι. νεαρὰ ρξαʹ[4].

δʹ. Ὁ πλέον τῶν διηγορευμένων λαμβάνων τὸ τετραπλοῦν ἀποδίδωσι καὶ ἐκπίπτει ἀρχῆς καὶ στρατείας καὶ ζώνης[5].

εʹ. Οἱ ἄρχοντες μὴ συγχωρείτωσαν τοὺς ἐκβιβαστὰς λαβεῖν πλείονα τῶν διηγορευμένων σπορτούλων, ἐπεὶ οἴκοθεν ἀπολογοῦνται τοῖς ζημιωθεῖσιν[6].

ϛʹ. Ἅμα τῷ ἐπιστῆναι τῆς ἐπαρχίας ἐμφανιζέτωσαν οἱ ἄρχοντες τοῖς λογάσι τὰ βασιλικὰ γράμματα ἤτοι παραγγέλματα, καὶ προτιθέμενα αὐτὰ ἐκπέμψωσιν εἰς τὰς λοιπὰς πόλεις[7].

ζʹ. Οἱ ἐπίσκοποι καὶ οἱ πρῶτοι τῶν πόλεων μηνυέτωσαν τῷ βασιλεῖ τὰς τῶν ἀρχόντων ἀδικίας[8].

ηʹ. Μηδεὶς ἄρχων παρὰ κέλευσιν βασιλέως εἰς τὴν βασιλεύουσαν πόλιν ἀναβαινέτω. ὁ δὲ τοῦτο ποιῶν ἁρμοδίως τιμωρεῖται[9].

θʹ. Μηδεὶς λαμβάνει[10] τοῦ πρὸ αὐτοῦ στρατευθέντος, εἰ καὶ θεῖον ἔχει περὶ τοῦτο ῥέσκριπτον[11]. ὁ δὲ πορισάμενος[12]

---

[1] Cod. I, 28, 3. — F addit: Ἡ τῶν ἐπάρχων ψῆφος ἐγκλήτῳ οὐχ ὑπόκειται. ἀναψηλαφᾶται δὲ καὶ δικαστὴς δίδοται ἐπὶ τὸ διασκοπῆσαι τοὺς λόγους. ὡς νεα. ριθʹ. (Cf. Theod. Nov. 82.) [2] F δυσχερῶς. [3] F addit: Πᾶς ἰδιώτης παντοίως ὑποκείσθω τοῖς ἄρχουσιν. (Theod. Nov. 8 c. 6.) εὐχερὴς ἔστω καὶ τοῖς προσιοῦσιν ἀκαταφρόνητος καὶ ἀνεξίκακος. μετὰ φρονήσεως ἔστω περὶ τοὺς συνηγόρους καὶ μὴ δεχέσθω τοὺς κεκωλυμένους. (Dig. I, 18, 19 et 16, 9 §. 2.) [4] Theod. Nov. 8 c. 10. [5] Theod. Nov. 8 c. 11. [6] Theod. Nov. 8 c. 8. [7] Theod. Nov. 17 c. 26. [8] Theod. Nov. 8 c. 17. [9] Cod. I, 40, 9. [10] Adde τὸν βαθμὸν sive τὴν τάξιν. [11] A et C superscriptum habent: ἔγγραφον. [12] C ὁρισ.

τοιαύτας ἀντιγραφὰς πρὸς τὸν οἰκεῖον ἐπαναστρεφέτω τόπον. ἐκεῖνον[13] γὰρ χρὴ προτιμᾶσθαι οὐ οἱ κάματοι καὶ οἱ χρόνοι[14].

ι'. Τὸν οἱανδήποτε ἀρχὴν παραλαμβάνοντα παντὸς ἀπέχεσθαι κέρδους, τοῖς ἐκ τοῦ δημοσίου σιτήσεσιν ἀρκούμενον, διὰ τὸ καὶ τὴν ἀρχὴν αὐτοῦ προῖκα λαμβάνειν[15].

ια'. Ὁ κλέπτων ἢ διδοὺς ὑπὲρ τοῦ ἄρξαι, δημεύεται καὶ βασανισθεὶς ἐξορίζεται[16].

ιβ'. Οἱ κλέπται ἄρχοντες ἐκβαλλόμενοι τῆς τιμῆς ἧς εἶχον μὴ ἐλπιζέτωσαν ἔχειν προφάσει αὐτῆς οἱονδήποτε ἀξίωμα[17].

ιγ'. Ὁ ἄρχων γυναῖκα λαμβάνων ἐν τῇ ἐπαρχίᾳ ἧς ἄρχει ἐνάγεται ὑπὸ[18] ὧν ἐν ἐκείνῃ ἁμαρτάνει[19].

ιδ'. Ὥσπερ τῶν ἀδίκων καὶ κακοποιῶν ἀρχόντων ἔξεστι καταβοᾶν, οὕτως καὶ τοὺς δικαίους καὶ ἀγρύπνους ἄρχοντας ἔξεστι τῷ δημοσίῳ εὐφημεῖν[20].

ιε'. Σκοπείτωσαν οἱ ἄρχοντες τὰ περὶ τῶν θείων αἱρέσεων καὶ τὰ κανονικὰ σὺν τῷ ἐπισκόπῳ κρινέτωσαν[21].

ις'. Ὁ ἄρχων μὴ ἐξιέτω τῆς πόλεως εἰ μὴ δι' εὐχὴν καὶ οὕτω μὴ διανυκτερευέτω[22].

ιζ'. Ὁ ἄρχων κατὰ μόνων τῶν τῆς ἐπαρχίας ὁρμωμένων ἔχει τὸ ἰμπέριον τουτέστι τὸν ὅρον, καὶ τοῦτο ἐφ' ὅσον ἐστὶν ἐν αὐτῇ τῇ ἐπαρχίᾳ. ταύτης γὰρ ἐξελθὼν ἰδιώτης εἶναι δοκεῖ. βι. α' τί. ιζ' διατ. β'[23].

ιη'. Ὁ τῆς πόλεως ἔπαρχος ἐξελθὼν τῶν τῆς πόλεως ὅρων οὐ δύναται τὴν ἐξουσίαν ἔχειν τῆς ἐπαρχότητος. ἔτι μέντοι ὢν ἐν τῇ πόλει δύναται κελεύειν τινὶ δικάζειν εἰ καὶ ἔξω τῆς πόλεως ἦν[24].

ιθ'. Τοὺς διὰ ζώνην ἢ ἀξίαν ἀδικοῦντας ἀποζωννύτωσαν βασιλέως τάξιν ἐν ταῖς ἐπαρχίαις ἐπέχοντες[25]. ὁμοίως καὶ ὁ ἀνεχόμενος ἵνα προχωρήσηταί τις τὸ ὄνομα αὐτοῦ ἐπὶ προστα-

---

[13] F: ἐκείνων γὰρ αἱ τιμαὶ καὶ ἀξίαι, ὧν οἱ κ. κ. ὁ χρόνος. ὁ δὲ ἐπὶ δόσει γενόμενος ἀτιμοῦται καὶ ζωῆς ἐκπίπτει καὶ ἐξορίαν ὑφίσταται. Cf. Basil. ed. Heimb. I p. 140 not. nn. [14] Cod. I, 31, 2. [15] Cf. Athanas. tit. IV c. 3 initio. [16] C. 10 et 11 fortasse sunt ex l. 13 C. I, 40, ibique restituenda. Cf. Theod. Nov. 17 §. 2 et Nov. 8 §. 16. [17] Cod. XII, 1, 12. [18] An ὑπὲρ? [19] Cf. Cod. V, 7. [20] Cod. I, 40, 3. [21] Theod. Nov. 17 c. 20. [22] Dig. I, 18, 15. [23] Imo Dig. I, 18, 3. [24] Dig. I, 12, 3. F haec adjicit: Ὁ ἐπιτιθῶν τίτλους ἐξ ὀνόματος δυνατοῦ προσώπου πλουματίζεται. (Cod. II, 14.) σημ. διατ. θ'. ὅτι καὶ ἀναγκάζεται παριστᾶν αὐτοὺς ὁ ἄρχων ἐὰν ζητῶνται βλάψαντές τινας. — Ὁ βίᾳ ἀφαιρούμενος τὸν βληθέντα εἰς δεσμωτήριον ἀπαιτεῖται τὰ παρ' αὐτοῦ χρεωστούμενα, ὡς βι. ιε' τί. α' διγ. μγ'. — Quem locum non invenio. [25] Cf. Nov. 8 c. 6.

σίαν μάλιστα ἀδικίας ἀτιμοῦται καὶ τιμωρεῖται [καὶ] τῆς ζώνης καὶ ἀξίας ἐκπίπτει[26].

κ'. Τὸν δεχόμενον εἰς προστασίαν τινὰ κἂν συγκλητικός ἐστι πλέον τοῦ διατεταγμένου τιμωρεῖσθαι κελεύομεν[27]. ὁμοίως καὶ τὸν ἀνεχόμενον[28] τὴν οἰκείαν προσηγορίαν ἐν ἀλλοτρίαις ἐκτίθεσθαι δίκαις ὡς ἐργολάβον τῆς συκοφαντίας καὶ τῆς οἰκείας μὴ φειδόμενον τιμῆς τιμωρεῖσθαι νομοθετεῖ ἡ διάταξις[29].

κα'. Ὁ δυνατὸν πρόσωπον ἐν δικαστηρίῳ προβαλλόμενος ἢ παραχωρῶν τὴν αὐτοῦ ἀγωγὴν τῆς ἰδίας ἐκπίπτει δίκης, ὡς βι. β' τί. ιε'[30] διατ. α' τοῦ κώδ. σημ. ὅτι οὐκ ὀφείλει τὶς ἕτερον προΐστασθαι, κἂν ὑπ' αὐτοῦ ὀφείλεται[31] κἂν ἐκεῖνος ἀδικεῖται παρὰ ἄλλου.

κβ'. Οἱ ἄρχοντες ὅσας ἀγωγὰς οἱ περὶ αὐτοὺς ὄντες ἀπολέσωσιν, ὡς μὴ δυνηθέντες ἐν τῷ καιρῷ τῆς ἀρχῆς ἐνάγειν, ἀνανεοῦται[32] αὐτοῖς[33].

κγ'. Οἱ ἄρχοντες καὶ οἱ περὶ αὐτοὺς ὄντες[34] οὔτε ἐμπορεύονται ἐν τῇ αὐτῶν ἐπαρχίᾳ οὔτε δανείζειν[35] οὔτε ἀγοράζειν τὶ δι' αὐτῶν ἢ διὰ μέσου προσώπου[36]· καλῶς δὲ δανείζονται· μήτε δωρεὰν λάβωσιν, εἰ μὴ ἄρα μετὰ τῆς ἀρχῆς βεβαιώσει αὐτὴν ὁ δωρησάμενος[37], εἰ[38] μὴ ἄρα πενταετία παρέλθῃ[39].

κδ'. Οἱ στρατιῶται τοῖς ἄρχουσιν ὑπουργείτωσαν, καὶ πλημμελοῦντες σωφρονιζέσθωσαν, ἐκ τῶν σιτήσεων αὐτῶν τὸ ἱκανὸν τοῖς ἀδικουμένοις γινόμενον[40].

κε'. Τοὺς ἐπ' ἀτόποις ληφθέντας πράγμασι τιμωρείσθω ὁ ἄρχων, κἂν φροντισταί εἰσι μεγάλων προσώπων. βι. α' τί. μα' τοῦ κώδ.[41]

κϛ'. Χρὴ τοὺς ἄρχοντας ἀναζητεῖν τοὺς λῃστὰς καὶ τοὺς ἀνδραποδιστὰς καὶ πρὸς τὸ ἁμάρτημα κολάζειν αὐτούς. σημ. ὅτι οἱ πάσας τὰς ἐπαρχίας διοικοῦντες δίκαιον ξίφους ἔχουσιν. βι. μη' τί. ιγ' διγ. δ'[42].

κζ'. Φυλαττέτω ὁ ἄρχων τοὺς ὑπηκόους ἀνεπηρεάστους. ὁμοίως φροντίζονται[43] καὶ τῆς ἀπ. ιτήσεως τῶν δημοσίων[44].

---

[26] Cod. II, 14. [27] Cod. II, 13, 1. [28] C ὁ ἀνεχόμενος. [29] Cod. II, 14. [30] Imo tit. 13. [31] Legerim ὠφελεῖται. [32] Aut ἀνανεοῦσι legendum, aut totus hic locus ἀνακόλουθος est. [33] Dig. I, 18, 16. [34] Deest in F. [35] Cf. Cod. IV, 2, 3. [36] sc. δύνανται. [37] A et C δανεισ. [38] Legerim ἤ. [39] Cod. I, 53. — F addit: ἀλλ' οὐδὲ πλοῖα κτᾶσθαι ἢ κατασκευάζειν. Cf. Dig. XLIX, 14, 46 §. 2. [40] Nov. 17. Cf. Theod. Nov. cit. §. 8. [41] Imo tit. 40 c. 17. [42] Et Dig. I, 18, 6 §. 8. [43] F φροντίζοντες. Lege φροντιζέτω. [44] Theod. Nov. 8 c. 12. 13.

κη'. Δεκρετὸν ἐξ ἐπιπέδου οὐ πράττεται, ἀλλὰ πάντως ἐν βήματι. βι. ιζ' τί. α' διγ. η'[45].

κθ'. Φροντιζέτωσαν οἱ ἄρχοντες ἵνα μὴ τῶν δυνατῶν προσώπων οἱ πρόκουράτωρες προπετῶς καὶ ἀθεμίτως τινὰ διαπράττωνται[46].

λ'. Τὰς ἀθεμίτους εἰσπράξεις τὰς κατὰ βίαν γινομένας καὶ τὰς κατὰ φόβον ἐκβιβασθείσας πράσεις καὶ ἀσφαλείας ἢ καὶ δίχα τῆς τοῦ τιμήματος καταβολῆς κωλυέτω ὁ τῆς ἐπαρχίας ἡγούμενος, καὶ φροντιζέτω, ἵνα μή τις ἄδικον κέρδος ἢ ζημίαν ὑπομένῃ[47].

λα'. Οὐδεὶς ἔχει φόρου παραγραφὴν ἐπὶ ἐγκλήματι οὐδὲ ἐπὶ τῶν δημοσίων εἰσφορῶν, ἀλλὰ καὶ εὐθυνέσθω εἷς ἕκαστος ἐπὶ τούτοις παρ' ἑκάστῳ ἄρχοντι, ὑπουργούντων αὐτῷ κατὰ χώραν τῶν στρατιωτῶν[48].

λβ'. Οἱ πατέρες ὀφφικίῳ τοῦ ἄρχοντος ἀπαιτοῦνται κατεγγυᾶν τὰς θυγατέρας αὐτῶν καὶ προικίζειν αὐτάς. βι. κγ' τί. β' διγ. ιβ'[49].

λγ'. Ἀναγκαζέτωσαν οἱ ἄρχοντες ἀποκαθιστᾶν τοὺς ἔχοντας ἀλλοτρίους γεωργοὺς, καὶ [εἰ] ἀπειθήσουσιν ἐπιβαλλέτωσαν αὐτοῖς τὰ τῆς ἐπαρχίας ἄπορα· εἰ δὲ ἐν ξένῃ εἰσὶ, κεχρήσθωσαν δημοσίοις γράμμασι. σημ. ὅτι ὁ μὴ ἀποκαθιστῶν τὸν ἀλλότριον γεωργὸν δίδωσιν ὑπὲρ αὐτοῦ καπιτάτιον καὶ ἄλλον γεωργὸν καὶ τῷ φίσκῳ λίτρας λβ'[50] ἀργυρίου[51].

λδ'. Μέχρι μὲν τῶν συγκλητικῶν ἀνάγκη ἔστω τοὺς δικαζομένους περὶ τῶν χρηματικῶν ὑποθέσεων καὶ τῆς ἰνιουριάρουμ τουτέστι ὕβρεως κινουμένης ἐγκληματικῶς ἐντολεῖς προβάλλεσθαι[52]. οἱ ἀξιωματικοὶ ἐν ταῖς ὥραις ἐν αἷς[53] δικάζονται, μὴ[54] καθεζέσθωσαν μετὰ τοῦ δικαστοῦ μήτε εὐχέρειάν τινα τοιούτου ἐχέτωσαν πράγματος[55].

λε'. Ὀφείλει ὁ ἄρχων τέμνειν συντόμως καὶ ἀκλινῶς[56] πᾶσαν δίκην.

λϛ'. Ἡ τοῦ συγκλητικοῦ θυγάτηρ ἀτίμως ζήσασα ἐκπίπτει τῆς ἀξίας. σημ. γυνὴ τὴν τοῦ ἀνδρὸς δόξαν ἐπιδιώκει, οὐ μὴν τοῦ πατρὸς αὐτῆς[57].

---

[45] Videtur allegari Dig. XXXVII, 1, 3 §. 8. [46] Cod. I, 40, 11. [47] Dig. I, 18, 6 pr. [48] Theod. Nov. 8 c. 21. — F hic intercalat: *Βῆμά ἐστιν ὅπου ἂν ὁ ἄρχων ὁρίσῃ δικαιοδοτῆσαι φυλάττων τὴν ἀξίαν τῆς ἀρχῆς καὶ τὴν τῶν προγόνων τῆς πολιτείας συνήθειαν.* Pertinent haec ad c. 28. [49] Imo dig. 19. [50] Lege *ιβ'*. [51] Theod. Nov. 17 c. 23. [52] Nov. 71. [53] A *οἷς*. [54] A *καὶ μή*. [55] Cod. I, 45, 1. [56] An *πρωτοκλινῶς*? Theod. Nov. 17 §. 4. [57] Dig. I, 9, 8.

λζ'. Ἔνθα ἡ προκάταρξις ἐκεῖ καὶ τὸ πέρας[58]. ὁ προκαταρξάμενος παρὰ[59] ἄρχοντος δίκην μηκέτι ἐχέτω ἐξουσίαν παραιτεῖσθαι τὸν δικαστὴν ὡς ἀπρόσφορον. ἀλλὰ μετὰ τὴν καταδίκην εἰ βούλοιτο, ἔκκλητον ποιείτω[60]. σημ. ἔχει δὲ διάσκεψιν πρὸ τῆς κατάρξεως δικαστὴν αἰτῆσαι ἡμέρας κ' καὶ μετὰ προτελείας τῆς καταδίκης.

λη'. Οὐδεὶς δύναται διδόναι δικαστὴν ἐπὶ τῷ μὴ ὑποκεῖσθαι ἔκκλητον, εἰ μὴ μόνος ὁ βασιλεύς[61]. σημ. ὅτι ὁ ἀποκινηθεὶς συγκλητικὸς καὶ μὴ ἀποκαταστὰς οὐ δύναται δικάζειν[62].

λθ'. Ἐπὶ πασῶν τῶν ἀγωγῶν χρὴ τὸν δικαστὴν ἐγγράφως[63] προνοεῖσθαι τῶν δικαζομένων τῇ[64] μελλούσῃ ζημίᾳ καὶ τῷ ἐλπιζομένῳ κέρδει. βι. ιζ' τί. β' διγ. [λη'][65].

μ'. Ἐὰν ὁ δικάζων θέλῃ βασιλεῖ ἀναφέρειν τὰ περὶ τῆς ὑποθέσεως ἧς ἀκροᾶται, οὐκ ὀφείλει ψηφίσασθαι ἀλλὰ δι' αὐτοῦ πρῶτον ἀγαγεῖν.

μα'. Ὁ ἄλλους δικάζων δίκαια ἄλλους καταβλάπτειν οὐ δύναται. βι. λγ' τί. β'[66].

μβ'. Ἔξεστι τὸν δικαστὴν τὰς ἄγαν λεπτοτάτας ἀντιθέσεις τῶν δικαζομένων μὴ ἀκροᾶσθαι.

μγ'. Ὁ πρὸ τῆς ἀρχῆς ἑνὶ τῶν μερῶν ἔν τινι συνηγορήσας ὑποθέσει οὐκ ὀφείλει δικάζειν αὐτῷ[67] ἀλλ' ἕτερον παρέχειν δικαστήν[68]. ὡς βι. β' τί. ς'[69] διατ. ς' τοῦ κώδ.[70] ὅτι μὴ συνηγορείτω τις ᾧ δικάζει πράγματι· τοῦτο γὰρ ποιῶν εἴργεται καθόλου συνηγορεῖν καὶ ι' λίτρας χρυσοῦ προστιμᾶται[71].

μδ'. Δύναται ὁ ὑπεξούσιος ἄρχων εἶναι καὶ δικαιοδότης, καὶ κατὰ τοῦ ἰδίου πατρός[72]. βι. δ' τί. ζ'[73] διατ. ς'.

με'. Ὁ παρὰ ἄρχοντος δοθεὶς δικαστὴς ἕτερον δικαστὴν

---

[58] Dig. V, 1, 30. [59] A ποιεῖν. [60] Cod. III, 13, 4. — F addit haec: Ἀπὸ πατρικίων ἕως τῶν ἰλλουστρίων εἰσὶν οἱ συγκλητικοὶ καὶ οὗτοι μόνοι βουλὴν ἐν τῇ συγκλήτῳ δύναται λέγειν. (Dig. I, 9, 12 §. 1.) — Οὐ δύναται ὁ ἔπαρχος τῶν πραιτωρίων ἐμβάσανον ζήτησιν ποιῆσαι ἐπὶ τοῖς συγκλητικοῖς. (Cod. XII, 1, 10.) [61] Dig. XLIX, 2, 1 §. 4. [62] Dig. I, 9, 2. [63] Malim ἔγγραφα. F ἐγγράφου. [64] F ἐπὶ τῇ. Recte. [65] F addit haec: Ὁ ἐγκαλεσάμενος δικαστὴν οὐ δύναται ἐφ' ἑτέραις δίκαις αὐτὸν ὡς ἐχθρὸν παραιτεῖσθαι· πάλιν γὰρ αὐτὸν ἐγκαλεῖσθαι δύναται. (Dig. XLIX, 12.) [66] sc. dig. 31. [67] A αὐτὸ, F αὐτὸν. [68] Dig. II, 1, 17. [69] F νη'. [70] F hic addit: Ἡ τοῦ δικαστοῦ ἀπειλὴ οὐ νοεῖται ψῆφος οὐδὲ λυμαίνεται τῷ καταδικασθέντι· ὅτι τὸ πρᾶγμα ἀπειλή ἐστι καὶ οὐ ψῆφος νοεῖται τὸ ἐν ἐπιστολῇ ἀποφανθέν. ἀλλὰ καὶ εἴ τι προσθήσει ὁ δικαστὴς ἰδίᾳ ψήφῳ οὐκ ἰσχύει. (Cod. VII, 57, 1. 2.) [71] Cf. Cod. I, 51, 14. [72] sc. αἱρετὸς δικαστής. [73] Imo tit. 8.

οὐ δίδωσιν. ὁ δὲ παρὰ βασιλέως ὀφθεὶς δικαστὴς ἐφ' οἱασδήποτε δίκης δύναται δοῦναι ἕτερον δικαστὴν[74], καὶ ἐπ' αὐτῷ[75] ἀνατρέχει ἡ κατὰ τοῦ προβληθέντος ἔκκλητος. ὡς βι. β' τί. δ' διατ. α'. ε'[76].

μς'. Ἐὰν ἐκ τριῶν δικαστῶν ἀπόντος τοῦ ἑνὸς οἱ δύο συναινέσαντες ἀποφήνωνται, οὐκ ἔῤῥωται ἡ ψῆφος αὐτῶν· τότε γὰρ ἡ τῶν πλειόνων δικαστῶν γνώμη κρατεῖ, ὅτε πάντες πάρεισι καὶ δικάζουσιν[77].

μζ'. Προκάταρξίς ἐστιν ἡ διήγησις τῆς ὑποθέσεως, καὶ οὐχ ἡ ἔκδοσις τῆς ἀγωγῆς οὔτε ἡ ὑπόνοια[78] οὔτε ἡ μονομερὶς ἐντυχία[79]. πλέον γὰρ τούτων ὅλων ἰσχύει ἡ ψιλὴ διαμαρτυρία, ὅτι ἰντερουμπεύει χρόνον, ἡ ἐπερώτησις ὁμοίως καὶ ἡ διάγνωσις.

μη'. Πρὸ τῆς κατάρξεως τῶν δικῶν ὁ ἄκτωρ καὶ ὁ ῥέος τὸν νενομισμένον ὅρκον καταβαλλέτωσαν χωρὶς κληρικῶν. κατὰ τὴν ρκδ' νεαρὰν ὀφείλουσιν ὀμόσαι, ὅτι οὐδὲν δέδωκεν οὐδὲ ὑπέσχετο ἐπὶ διαφθορᾷ τῆς δίκης. καὶ σημ. ὅτι τοῦτον τὸν ὅρκον οἱ ἐντολεῖς ὀμνύναι ὀφείλουσιν, κἂν[80] οἱ πρωτότυποι διατελοῦσι τὸν νενομισμένον ὅρκον παρόντες ἢ ἀπόντες. ὁ μὲν ἄκτωρ μὴ ὀμνύων τὸν ἐπὶ τῇ δίκῃ ὅρκον ἐκπίπτει τῆς δίκης, ὁ δὲ ῥέος καταδικάζεται[81].

μθ'. Κατὰ τοὺς νόμους οἱ διοικηταὶ τὰς ὑποθέσεις τεμνέτωσαν πρὸς τὸ φαινόμενον αὐτοῖς δίκαιον, καὶ μὴ φοβείσθωσαν βασιλικὴν ἀντιγραφὴν παράνομόν τι ποιῆσαι αὐτοῖς κελεύουσαν ὡς ἀνίσχυρον[82]. βι. ζ' τί. ε' διατ. ιβ' τοῦ κώδ.[83] ἔνθα φησὶν τοὺς δικάζοντας ὀφείλειν κρῖναι κατὰ τοὺς νόμους καὶ μὴ ἀκολουθεῖν ταῖς ἀδίκοις ἑτέρων ψήφοις. βι. κς' τί. β' διγ. κς'[84].

ν'. Ὁ κατὰ θείαν κέλευσιν ὑποθέσεως ἀκροώμενος [οὐ] κωλύεται δικάζειν, εἰ καὶ ἀτελῶς ἀπεδόθησαν αἱ περὶ αὐτοῦ δεήσεις τῷ βασιλεῖ[85].

να'. Χρὴ τὸν δικαστὴν μὴ ἐν ἑνὶ μόνον μέρει προσέχειν ἀλλὰ πάντα τὸν νόμον περισκοπεῖν[86].

νβ'. Ὁ ὑπονοθεύων τὸν δικαστὴν ἐκπίπτει τῆς δίκης[87]. καὶ ὁ ἐπὶ τῷ νομίμως ἀποφήνασθαι διδοὺς δικαστῇ ὡς πλαστογράφος τιμωρεῖται καὶ τῆς δίκης ἐκπίπτει. καὶ ὁ λαβὼν

---

[74] Cod. III, 1, 5. [75] Lege αὐτόν. [76] An τί. α' διγ. α'. ε'? vel βι. γ' τί. δ' διατ. α'? [77] Dig. IV, 8, 18. [78] Lege ὑπόμνησις. [79] Basil. ed. Heimb. I p. 242. [80] F καὶ. [81] Cod. II, 58, 2. [82] Cod. III, 1, 11. [83] Videtur allegari tit. 45 c. 13. [84] Pr. [85] Cod. I, 22, 1. [86] Dig. I, 3, 24. [87] Cod. VII, 49, 1.

χρήματα καὶ καταδικάσας τινὰ ἀναγκάζεται ἀποκαταστῆσαι αὐτῷ τὴν τῆς δίκης διατίμησιν[88].

νγ'. Οὐκ αἰτιᾶταί τις ἐν αὐτῷ[89] τινα εἰς πολλὰ δικαστήρια, ἐπεὶ καὶ δίδωσιν αὐτῷ τὸ διπλοῦν ὧν ἀνήλωσε καὶ τῆς δίκης ἐκπίπτει[90].

νδ'. Ὁ ἐξ ἀδικίας τοῦ δικαστοῦ δεσπότης ἀποφανθεὶς οὐκ ἔχει τὸ πρᾶγμα εἰς ἐκδίκησιν ἀλλ' ἢ μόνον παρακατάσχεσιν. βι. κ'[91].

νε'. Οὐκ ἀναγκάζεται περὶ ὅλων τῶν κεφαλαίων ὁ δικαστὴς ψηφίσασθαι, ἀλλὰ περὶ μόνων ὧν θέλει κρίνει, καὶ περὶ τῶν λοιπῶν ἀναφέρει μείζονι δικαστῇ τὸ .... φυλάττων τοῖς μέρεσιν. σημ. ὅτι πολλῶν ὄντων κεφαλαίων περὶ ὧν βούλεται ἀποφαίνεται ὁ δικαστής[92]. σημ.[93] πᾶς δικαστὴς τέμνει[94] τὰς δίκας χωρὶς ὑπερθέσεως· ἐπεὶ παραιτοῦνται αὐτὸν οἱ δικαζόμενοι καὶ περὶ τούτου βασιλεῖ διδάσκουσιν. βι. γ' τί. α' διατ. ιβ'[95].

νς'. Δεύτερόν τις οὐ δεῖται βασιλέα κατὰ τῆς ψήφου τῶν ἐπάρχων ἀλλὰ ἅπαξ μόνον[96].

νζ'. Ἡ πλάνη τῶν τὰς δεήσεις ὑπαγορευόντων οὐ βλάπτει τὴν ἀλήθειαν[97]. μετὰ[98] τῶν εἰρημένων ἐν τῷ κα' καὶ κβ' τί. τοῦ α' βι. τοῦ κώδ.

νη'. Ὅτι ὁ ψευδῆ βασιλέα δεηθεὶς οὐκ ὠφελεῖται οὐδὲ ἀπὸ φάκτου οὐδὲ ἀπὸ νόμου. ὅθεν μὴ δεχόμενος αὐτὸν ὡς ψευδόμενον ὁ δικαστὴς ὀφείλει κρῖναι κατὰ τὴν ἀλήθειαν, καὶ μὴ μετὰ[99] τὴν ψευδῆ αὐτοῦ δέησιν[100].

νθ'. Ὁ ψευδῆ δεηθεὶς κἂν τύχῃ νομίμου ἀντιγραφῆς, ἐκπίπτει αὐτῆς[101]. ἡ δὲ κβ' διάτ. τοῦ δ' τί. τοῦ α' βι. τοῦ κώδ.[102] λέγει, ὅτι ἡ κατὰ συναρπαγὴν γενομένη θεία κέλευσις οὐκ ἰσχύει, ἀλλὰ καὶ παράνομος αἴτησις τιμωρεῖται[103].

ξ'. Οὐδὲ βασιλέως ῥέσκριπτον ἀνατρέπει τὴν ψήφῳ τμη-

---

[88] Cod. VII, 49, 2. [89] Lege εἰς αὐτὸ. [90] Cod. II, 2, 4. [91] Non invenio. Cf. tit. 2 §. 10. [92] Cod. VII, 45, 15. [93] A νς', eundem numerum mox repetens. [94] F τεμνέτω. [95] A β'. F hoc loco haec intercalat: Χρηματικῆς καὶ ἐγκληματικῆς οὔσης δίκης πρῶτον τέμνεται τὸ περὶ τῆς χρημάτων αἰτίας. — Τὰ ἐν δικαστηρίῳ πεπραγμένα καὶ ἀνενεχθέντα εἰς ὑπομνήματα ἰσχυρὰ διαμένουσι καὶ τελευτῶντος τοῦ δικαστοῦ. σημ. ὁ καταδικασθεὶς καὶ αἰτήσας ὑπέρθεσιν καταβολῆς δοκεῖ χρεωστεῖν, καὶ οὐ δύναται μετὰ ταῦτα ἀνατρέψαι τὴν ψῆφον, ἐὰν οὐκ ἐξεκαλέσατο πρὸ τοῦ αἰτῆσαι ὑπέρθεσιν. [96] Cod. I, 19, 5. [97] Cod. II, 9, 2. [98] Lege μέμνησο. [99] Lege κατὰ. [100] Cod. I, 22, 2. [101] Cf. Basil. ed. Heimb. I p. 86 schol. [102] Non invenio. [103] Cod. I, 22, 5.

θεῖσαν δίκην, ἐκκλήτου μὴ παρακολουθησάσης. φησὶ δὲ καὶ ἡ [η′] διάτ. τοῦ ξβ′ τί. τοῦ ζ′ βι. τοῦ κώδ. ὡς ὁ μὴ ἐγκαλεσάμενος ἀναγκάζεται ποιεῖν τὰ ἀπὸ καταδίκης δηλονότι, εἰ μείζων ἐστὶ τῶν κε′ ἐτῶν κατὰ τὴν ἐκεῖσε ἐπιτήρησιν καὶ ἔῤῥωται ἡ ψῆφος[104]. σημ. ταῦτα δὲ νόει, ἐὰν ἔννομος ἡ ψῆφός ἐστιν. εἰ γὰρ παράνομος ἐξενεχθῇ, οὐδὲ ἐκκλήτου δέεται πρὸς ἀνατροπήν. ὡς βι. α′ τί. κα′ διατ. α′ τοῦ κώδ.

ξα′. Ἠρτημένης τῆς δίκης οὐ δύναταί τις τῶν δικαζομένων βασιλέως δεηθῆναι, εἰ μὴ ἄρα τὸ ἶσον τῶν κεκριμένων ἢ τῶν διαλαλιῶν οὐκ ἐξεδόθη αὐτῷ παρὰ τοῦ δικαστοῦ. διάτ. β′[105]. σημ. οὐδεὶς πρὸ ἀποφάσεως ἐγκαλεῖν δύναται.

ξβ′. Ὁ μὴ ἐμπροθέσμως καὶ νομίμως ἐκκαλεσάμενος οὐδὲ βασιλικῇ ἀντιγραφῇ βοηθεῖται οὐδὲ ἀνατρέπεται τὰ κριθέντα· ἀλλὰ καὶ εἰ κινήσει αὖθις, ἀτιμοῦται[106]. βι. ζ′ τί. ξβ′[107] διάτ. ι′[108].

ξγ′. Οὐ δύναταί τις ἄλλῳ παραπέμπειν δίκην, ἧς οὐχ ἁρμόζει αὐτῷ ἡ δικαιοδοσία. ὅθεν καὶ ψῆφος τοῦ προκαταβαλλομένου ὑπ᾽ αὐτοῦ οὐκ ἔῤῥωται[109]. φησὶ γὰρ ἡ [δ′] διάτ. τοῦ μη′ τί. τοῦ ζ′ βι. ὅτι οὐκ ἰσχύει ἡ παρὰ ἀναρμοδίου δικαστοῦ ἐξενεχθεῖσα ψῆφος. ἡ δὲ τῶν λιτιγατόρων συναίνεσις ποιεῖ πρόσφορον τὸν ἀπρόσφορον δικαστὴν, εἰ μὴ ἄρα ἰδιώτης ἐστίν.

ξδ′. Καὶ μετὰ τὸ πληρωθῆναι τοὺς ἀγῶνας ἐρωτᾷ ὁ δικάζων τὰ μέρη, εἰ ἄρα τὶ αὐτοῖς πρὸς δικαιολογίαν παρέλειπε· καὶ τὰ παραλελειμμένα τοῖς μέρεσι νόμιμα δηλονότι καὶ πάκτα ἤτοι σύμφωνα ἀναπληρούτω ὁ δικάζων πράγματος[110] μὴ ἀποφαίνεσθαι ὑπὲρ αὐτοῦ, ἀλλὰ ἀναφέρειν ἐπὶ μείζονα δικαστὴν τὸ ζητούμενον[111].

ξε′. Ἐν[112] πάσῃ δὲ ἐκκλήτῳ φυλαττέσθωσαν αἱ ταύτης ἡμέραι παρὰ τῶν μερῶν. εἰ δὲ ὁ ἐκκαλεσάμενος μὲν παραγένηται, ὁ δὲ νικήσας ἀπολειφθῇ, ἀναμενέτωσαν αὐτὸν μέχρι τῆς τελευταίας κυρίας τουτέστι τῆς διετίας οἱ δικασταὶ, καὶ ἀναζητοῦντες εἰ μὴ εὕρωσι τὸν ἀπολειφθέντα, ἐξεταζέσθωσαν κατὰ

---

[104] Theod. Cod. II, 9, 3. [105] sc. Cod. I, 21. [106] Cod. I, 21, 3.
[107] F ξε′. [108] Non invenio. F hic intercalat haec: *Τιμωρεῖται ὁ χαμαιδικαστὴς χρήμασι διαφθειρόμενος. πᾶς δικαστὴς δεχέσθω κατ᾽ αὐτοῦ ἔγκλητον, καὶ διδότω εἴσω λ′ ἡμερῶν ἀριθμουμένων ἀπὸ τῆς ἀποφάσεως ἑκάστῳ τῶν δικαζομένων τὰ παρ᾽ αὐτοῦ πεπραγμένα· ἐπεὶ ἀτιμοῦται οὐ μὴν ἀλλὰ καὶ λ′ λίτρας δίδωσι πρόστιμον. τὸ μέντοιγε ποιῆσαι τὸ ἱκανὸν τῷ ἡττηθέντι ἐπειδὴ τὴν παραδρομὴν τῆς δευτεροετίας βεβαιοῖ τὴν ψῆφον αὐτοῦ* (?). *κεκριμένον λέγεται τὸ ψήφῳ τμηθὲν, δι᾽ ἧς καταδικάζεταί τις ἢ ἀπολύεται.*
[109] Cod. III, 4. [110] Excidisse quaedam videntur. [111] Cod. III, 1, 9.
[112] F *Ἐπὶ.*

μίαν μοῖραν τὰ πεπραγμένα καὶ νόμιμον αὐτοῖς παρεχέτωσαν ψῆφον. νεα. ρκς΄ [113].

ξς΄. Ἡ τῶν συνηγόρων πλάνη οὐ βλάπτει τοὺς ὑπ᾽ αὐτῶν συνηγορουμένους. οὐδὲ [114] κατὰ προδοσίαν λεγόμενα ὑπὸ τῶν συνηγόρων βλάπτει τοὺς πρόσφυγας αὐτῶν [115].

ξζ΄. Ἐὰν συνηγορήσω τινὶ κατὰ ἄγνοιαν ἐκδικοῦντι τὸ ἐμὸν πρᾶγμα ὡς προσῆκον αὐτῷ, οὐ βλάπτομαι [116] περὶ τὴν δεσποτείαν διὰ τὸ ἐν ἀγνοίᾳ συνηγορῆσαι αὐτῷ. εἰ δὲ ἐν συνειδήσει συνηγόρησα, βλάπτομαι [116] περὶ τὴν δεσποτείαν. βι. ς΄ τί. α΄ διγ. νδ΄ [117].

ξη΄. Καὶ γυναιξὶ καὶ ἄφροσι καὶ τοῖς διὰ τὴν δυναστείαν τοῦ ἀντιδίκου μὴ εὐποροῦσι συνηγόρους δεῖ παρέχεσθαι. βι. α΄ τί. ς΄ διγ. θ΄ [118].

ξθ΄. Οὐκ ἔξεστι τῷ συνηγοροῦντι ἐπερωτᾶν ἢ συμφωνεῖν ἑαυτῷ χρήματα ἠρτημένης ἔτι τῆς δίκης ἢ κοινωνεῖν τῷ πρόσφυγι αὐτοῦ ἐπὶ τὸ ἀποτέλεσμα τῆς δίκης. βι. ν΄ τί. ιθ΄ διγ. α΄ [119].

ο΄. Ἀπρεπὲς καὶ σχεδὸν ἀθέμιτόν ἐστι τὸ δίχα τινὸς προηγήσεως γυμνὸν τὸ πρᾶγμα παρατίθεσθαι [120] τὸν δικαστήν. βι. α΄ τί. β΄ διγ. ξβ΄ [121].

οα΄. Ὁ συνήγορος κωλυόμενος οὐ κωλύεται τῶν τοῦ φόρου πραγμάτων, οἷον τοῦ τρακταΐζειν ἢ συμβόλαια ὑπαγορεύειν. ὁ δὲ τοῦ φόρου κωλυθεὶς ταῦτα ποιεῖν οὐ δύναται [122]. σημ. ὅτι τοῦ φόρου νομίζονται εἶναι ἀντικένσορες, δικολόγοι, ταβελλίονες, πραγματικάριοι.

οβ΄. Ἐκεῖνοι μόνοι δύνανται συνηγορεῖν, οἷς τὸ ἔδικτον ἐπιτρέπει. οἷον ὁ ἐλάττων τῶν ιη΄ ἐτῶν οὐ δύναται συνηγορεῖν ἢ ἐλευθεροῦν. ὁμοίως καὶ ὁ κωλυθεὶς συνηγορεῖν δύναται μετα πενταετίαν συνηγορεῖν κἂν ἐξόριστος γέγονεν [123].

ογ΄. Δύναται ὁ ἄρχων κωλῦσαι τινὶ συνηγορίαν, καὶ ἐκεῖ-

---

[113] F addit: ὡς βι. ζ΄ τί. ξ[γ]΄ τοῦ κώδ. διατ. ε. — Ὁ καταδικασθεὶς οὐκ ἀπαιτεῖται μὲν πρὸ δ΄ μηνῶν· αὐτοῦ γάρ ἐστιν ὁ χρόνος· εἰ δὲ βούλεται, καὶ πρὸ ταύτης ἐλευθεροῦται. ὡς βι. μβ΄ τί. α΄ διγ. ζ΄. [114] F ὡς οὐδὲ. [115] Theod. Cod. I', 9, 1. [116] A βλάπτει με. [117] F addit: Ὁ συνηγορῶν δίκῃ τινὶ ἀναγκάζεται ἐπὶ προστίμῳ τριῶν χρυσίου πληρῶσαι αὐτήν. ἀναδίδωσιν ὁ δικολόγος ὅσα ἔλαβε λογάρια, ἐὰν παρ᾽ αὐτοῦ γέγονε τὸ μὴ πληρῶσαι τὴν δίκην ἢ συνηγόρησεν. βι. ν΄ τί. β΄ διγ. α΄. (Dig. L, 13, 1 §. 13.?) [118] Imo tit. 16 dig. 9 §. 5. [119] Potius tit. 13 dig. 1 §. 12. [120] F προτίθ. Mox lege τῷ δικαστῇ. [121] Imo dig. 1. — F addit haec: σημ. ὁ συνήγορος χρηματικῶς ἢ ἐγκληματικῶς δίκην προδιδοὺς ἐξστραορδίνως τιμωρεῖται. τὸ αὐτὸ καὶ ὁ ἄπιστος συνήγορος τουτέστιν ὁ προδότης κολάζεται. [122] Dig. XLVIII, 19, 9 §. 4. [123] Cf. Dig. I, 16, 9 et III, 1, 8.

νοι μόνοι δύνανται συνηγορεῖν, οἷς τὸ ἔδικτον ἐπιτρέπει. καὶ ὅτι οὐ χρὴ τοὺς ἐπισήμους ἢ ἀναισχύντους προτιμᾶσθαι τῶν ἐπιεικῶν, καὶ ὅτι ἀνεξίκακον δεῖ εἶναι πρὸς τοὺς συνηγόρους τὸν δικαστήν. βι. ιζ΄ τί. α΄[124].

οδ΄. Καὶ οἱοσδήποτε ἀπελεύθερος καλῶς συνηγορεῖ, ὡς βι. β΄ τί. ς΄ διατ. β΄ τοῦ κώδ. κἂν ἐν ἀπουσίᾳ τις τοῦ ἰδίου συνηγόρου ἡττηθῇ, οὐ δύναται ἀνατρέψαι τὴν κατ᾽ αὐτοῦ ἐξενεχθεῖσαν ψῆφον, διάτ. γ΄[125]. οὐ συμφωνεῖ τις λαβεῖν μέρος ἐκείνης τῆς ὑποθέσεως, ἥτινι συνηγορεῖ[126]. ὁμοίως καὶ ἀξιωματικὸς συνηγορῶν, εἰ λάβῃ μισθὸν, ὡς ἰδιώτης νοεῖται· ὅθεν καὶ ἱστάμενος συνηγορεῖ. καὶ σημ. ὅτι ὁ συγκλητικὸς καθήμενος συνηγορεῖ, κἂν ἐπ᾽ ἐγκλήματι διαγινώσκεται[127].

οε΄. Ὁ ἡττώμενος κατὰ προδοσίαν τοῦ ἰδίου συνηγόρου ἀνατρέπει τὴν κατ᾽ αὐτοῦ ἐξενεχθεῖσαν ψῆφον, μετὰ τὰς ἀποδείξεις ἐκκλήτου μὴ χρήζων[128]. σημ. ὡς ἡ τοῦ συνηγόρου πλάνη οὐ βλάπτει τοὺς ὑπ᾽ αὐτῶν συνηγορουμένους, ἀλλ᾽ οὐδὲ τὰ κατὰ προδοσίαν λεγόμενα ἀπὸ τῶν συνηγόρων βλάπτει τοὺς πρόσφυγας αὐτῶν[129].

ος΄. Ὁ ἑλόμενος κομπρομισσάριον δικαστὴν τουτέστιν αἱρετὸν ἀνάγκην ἔχει τοῖς παρ᾽ αὐτοῦ κρινομένοις ἐμμένειν, εἰ καὶ ἀδίκως ἀποφαίνεται[130]. σημ. εἴ τι μαρτυρεῖ ἢ ἀποδειχθῇ ἢ ὁμολογηθῇ καὶ παρὰ κομπρομισσαρίῳ, τοῦτο δεκτόν ἐστι παρὰ τοῖς δικασταῖς[131].

οζ΄. Οὐ δύναται ὁ ἄρχων ἐξ οἰκείας ἀποφάσεως κομπρομισσάριος γενέσθαι δικαστὴς[132], εἰ μὴ ἐγγράφως ἢ ἀγράφως συμφωνήσωσιν ἐμμεῖναι αὐτοῦ τῇ ψήφῳ ἀρεσκόμενοι τοῖς παρ᾽ αὐτοῦ κριθησομένοις. ὡς νε. πα΄[133], μηδένα δύνασθαι αἱρετὸν χωρὶς ποινῆς .....[134].

οη΄. Ὁ ἄρχων τῆς ἐπαρχίας περαιτέρω δύο οὐγκιῶν μὴ προτιμᾶσθαι· ὁ δὲ ἀνθύπατος καὶ ὁ κόμης τῆς ἀνατολῆς ἕως καὶ [ς΄] οὐγκιῶν προστιμάτωσαν· οἱ δὲ λοιποὶ ἄρχοντες καὶ οἱ ἐν τόπῳ τῶν ὑπάρχων διοίκησιν πεπιστευμένοι ὑπὲρ γ΄ οὐγκίας μὴ προστιμάτωσαν. ὁ δὲ παραβὰς τῶν ὡρισμένων[135] τῇ διατάξει εἰς τὸ διπλάσιον ἀναδιδότω τῷ φίσκῳ[136].

οθ΄. Οὐ δύναται ὁ δοῦλος ἰσχυρῶς ἐπερωτᾶσθαι κομπρό-

---

[124] Non invenio. Cf. Dig. I, 16, 9. [125] Imo c. 4 eod. [126] Ib. c. 5. [127] Ib. c. 6. [128] Cod. II, 7, 1. [129] Cf. supra c. 66. [130] Cod. II, 55, 1. [131] Ib. c. 5 §. 2. [132] Cf. Dig. IV, 8, 9 §. 2. [133] Imo πβ΄. [134] Nempe aliquid excidit. [135] An τὸ ὡρισμένον? [136] Cod. I, 54, 6.

μισα τουτέστι πρόστιμον, εἰ καὶ νομίζεται ἐλεύθερος εἶναι. οἱ δὲ ὑπεξούσιοι ἰσχυρῶς ἐπερωτῶνται κομπρόμισα[137].

π'. Τοὺς βαρύτερόν τι ἡμαρτηκότας δύνανται οἱ ἔπαρχοι καὶ ἕως ν' λιτρῶν ἀργυρίου προστιμᾶν[138].

πα'. Τὰ ἐπιφερόμενά τισι προστίματα τῷ ταμείῳ παραχρῆμα εἰσφέρεσθαι, εἰ μὴ αὐτὸς ὁ προστιμήσας ἄρχων εἰς δημόσια ἔργα ἢ εἰς τὸν δημόσιον δρόμον ἢ εἰς ἄλλας ἀναγκαίας χρείας ἀφορίσει[139].

πβ'. Ὁ αἰτῶν[140] *δηλατίωνα ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ ἐχέτω μῆνας τρεῖς, εἰ δὲ ἀπὸ ἐγγιζούσης ἐπαρχίας θέλει παραγαγεῖν μάρτυρας ἢ συμβόλαια, ϛ' μῆνας λαμβανέτω ὡς πρὸς ὑπέρθεσιν. ἐὰν γὰρ διαπόντιον*[141] *θέλει πορεύεσθαι, θ' μηνῶν ἐχέτω διάστημα*[142].

Τ Ι Τ Λ Ο Σ ιε'.

Περὶ δημοσίων πραγμάτων καὶ περὶ ὑποτελῶν καὶ ἐξισωτῶν.

α'. Τῶν πραγμάτων τὰ μέν εἰσι θείου δικαίου, τὰ δὲ ἀνθρωπίνου. τὰ θείου δικαίου οὐδενός εἰσι, τὰ δὲ ἀνθρωπίνου ἐν οὐσίᾳ τινός εἰσιν. τὰ μὲν σωματικὰ ὅσα ἁφῇ ὑποπίπτει, τὰ δὲ ἀσώματα ὡς κληρονομίαι, χρήσεις, ἐνοχαὶ καὶ δουλεῖαι. καί τινα μὲν φυσικῷ δικαίῳ πάντων ἐστὶν, τινὰ δὲ τῆς ὁμάδος, τινὰ δὲ οὐδενὸς, καί τινα τῶν καθ' ἕκαστον. φυσικῶς πάντων ἐστὶν ὁ ἀὴρ, τὸ ἀένναον ὕδωρ, ἡ θάλασσα καὶ ὁ αἰγιαλός. οἱ γὰρ ποταμοὶ καὶ αἱ λίμναι πουβλίκου εἰσὶ δικαίου[1].

β'. Τῆς ὁμάδος εἰσὶ τὰ στάδια, τὰ θέατρα καὶ τὰ ὅμοια. σημ. σάγκτα εἰσὶ τὰ τείχη τουτέστιν ἅγια, ἐν οἷς κεκώλυταί τινα πλημμελεῖν. σάκρον ἐστὶ τὸ τῷ δημοσίῳ ἀφαιρεθὲν, εἴτε ἐν πόλει εἴτε ἐν ἀγρῷ[2].

γ' Τὰ κατ' οἰκείαν φύσιν τῇ ἡμετέρᾳ δεσποτείᾳ μὴ ὑποπίπτοντα, εἰς ἐπερώτησιν ἐῤῥωμένως οὐ κατάγεται[3].

δ'. Ὁ μισθωσάμενος ἀπὸ δημοσίου θηρᾶν τόπον ἢ ἀπὸ πόλεως, οὐ δύναται ὑπό τινος κωλύεσθαι μὴ χρῆσθαι τῷ τόπῳ[4].

---

137 Dig. XV, 1, 3 §. 8. 10. 138 Cod. I, 54, 4. 139 Cod. I, 54, 5.
140 A *τὸν*. 141 F *πόντιον*. 142 Cod. III, 11, 1.
1 Dig. I, 8, 1. 2. 4 §. 1. 2 Dig. I, 8, 6. 8. 9. 3 Cf. Inst. III, 19 pr.
4 Cf. Dig. XLIII, 9.

ε΄. Οἱ τῶν δημοσίων ἐπιμελούμενοι μετὰ τοῦ μηδένα καταβλάπτεσθαι ὀφείλουσι τοῦτο ποιεῖν.

ς΄. Τὰ ἐπὶ βλάβῃ τοῦ δημοσίου κατὰ κέλευσιν γινόμενα ἀντὶ μὴ γεγονότος εἰσίν.

ζ΄. Οἱ[5] *τῶν περὶ πολιτικοὺς τόπους ἀλόγως διακρατοῦντες ὁ ἄρχων διακρινέτω, εἴτε ἀφαιρεθῆναι αὐτὰ χρὴ παρ᾽ αὐτῶν ἢ τέλος ἐπιθεῖναι, καὶ μᾶλλον τὸ συμφέρον τῇ πολιτείᾳ τοῦτο ποιείτω*[6]*. εἰ*[7] *δὲ τῷ ἑνὶ πλησιάσει, αὐτοῦ ἐστιν· εἰ δὲ πολλῶν, κατὰ διάμετρον τῶν ἰδίων γηδίων δεσπόσουσιν*[8]*.*

η΄. Τὰ κακῶς ἐπικρατήσαντα ἢ ἐπινοηθέντα οὐδὲ ὑπὸ μακρᾶς συνηθείας βεβαιοῦνται[9]*.*

θ΄. Οὐ δεῖ καταλύειν τοὺς οἴκους, ἵνα μὴ δημοσία εὐπρέπεια καταβλάπτηται[10]*.*

ι΄. Ὁ ἐν δημοσίῳ τόπῳ τῆς πόλεως κτισθεὶς οἶκος καταστρέφεται, μηδενὸς χρόνου βοηθοῦντος τῷ κτίσαντι[11] *ἢ βασιλικῆς ἀντιγραφῆς*[12]*.*

ια΄. Τὸ κοινὸν δημόσιον δίκαιον ἀναιρεθῆναι διὰ πάκτου ἰδιωτικοῦ οὐ δύναται[13]*.*

ιβ΄. Ὁ περικλείων στενὸν τόπον ἢ στοὰν ἢ στράταν ι΄ λίτρας χρυσίου προστιμᾶται[14]*.*

ιγ΄. Οὐδεὶς δύναται ἄνευ βασιλικῆς κελεύσεως πολιτικὸν τόπον ἢ λαμβάνειν ἢ καινοτομεῖν[15]*.*

ιδ΄. Ὁ δημόσιος καὶ ἐπὶ ρ΄ ἔτεσιν ἐκδικεῖται[16]*.*

ιε΄. Ὁ εἰς περιγραφὴν τῶν δημοσίων βασιλέως ἀντιγραφὴν λαβὼν μὴ ὠφελείσθω. χρὴ γὰρ πάντας συντελεῖν τὰ δημόσια[17]*.*

ις΄. Μηδεὶς προνόμιον ἀξίας προβαλλόμενος μὴ συντελείτω, ἀλλὰ πάντες πρὸς ἀναλογίαν ὧν ἔχουσι κτημάτων συντελείτωσαν[18]*.*

ιζ΄. Ἐάν τινες ὑπερτίθενται τὰ δημόσια καταβάλλειν, πιπράσκονται τὰ πράγματα αὐτῶν, ἐφ᾽ ᾧ τοὺς ἀγοραστὰς ἀσφαλῶς κεκτῆσθαι αὐτά[19]*. ὡς βι. νς΄ τί. η΄*[20] *περὶ ἀννόνων καὶ τελεσμάτων. Ἐπειδὴ πολλάκις εὑρίσκομεν τοὺς ταβουλαρίους τῶν πόλεων κουφίζοντας μὲν τοὺς δυνάστας κατὰ συμπαιγνίαν,*

---

[5] Legerim *Ὅτι περὶ τῶν — διακρατούντων.* [6] Cf. Dig. L, 10, 5 §. 1. [7] Quae sequuntur hoc loco, perperam irrepserunt. Videntur autem pertinere ad Dig. XLIII, 12, 1 §. 6. [8] F *σπουδάζουσιν*. Male. [9] Nov. 134 c. 1. [10] Cf. Cod. VIII, 10, 2. [11] A *κτήσαντι.* [12] Cod. VIII, 11, 6. [13] Dig. II, 14, 38. [14] Cf. Cod. VIII, 10, 12 §. 5. [15] Cod. X, 30 (de discussorib.), 4 §. 8. [16] F: *καὶ ρ΄ ἔτεσι βοηθεῖται καὶ ἐκδ.* [17] Cod. X, 16, 7. [18] Cod. X, 16, 10. [19] Cod. X, 21, 1. [20] sc Basilicorum.

βαρύνοντας δὲ τοὺς πενεστέρους, καὶ φαμὲν[21], ὅτι ἐὰν δείξει τοῦτό τις, μηδὲν πλέον τῆς ἀρχαίας συντελείας παρεχέτω[22].

ιη'. Ὁ λέγων βεβαρῆσθαι ἐκ τοῦ ἐξισωτοῦ ἄδειαν ἐχέτω προσιέναι τῷ ἄρχοντι καὶ δεικνύειν, ὅτι διὰ χάριν ἄλλου αὐτὸς ἐβαρήθη. τοῦτο δὲ μετὰ τὴν ἐξίσωσιν ἐντὸς ἐνιαυτοῦ ποιείτω· ἐπεὶ οὐκέτι δυνήσεται, εἰ μὴ ἄρα ἀφῆλιξ εἴη ἀδιφέντευτος ἢ διὰ δημόσιον πρᾶγμα ἀποδημῶν τις[23].

ιθ'. Ὁ νεμόμενος σάκρον ἤτοι δημόσιον τῶν ἀδεσπότων[24] ἐστίν. σημ. καὶ δεσπότης τοῦ σάκρου, μένει ὁ τόπος ῥελεγίοσος, τουτέστιν οὐ γίνεται ὁ τόπος βέβηλος οὐδὲ πωλεῖται.

κ'. Οἱ κατὰ τῶν ὀχυρῶν ἁμαρτάνοντες, τουτέστι τῶν τειχῶν, κεφαλικῶς τιμωροῦνται[25].

κα'. Οἱ κίνδυνοι τῶν ἔργων τῶν πολιτικῶν καὶ εἰς κληρονόμους τῶν ἐπιμελησαμένων καταφέρονται[26].

κβ'. Τῇ ὁδοστρωσίᾳ καὶ τῇ ἐπιμελείᾳ τῶν γεφύρων ὁ θεῖος οἶκος ὑπόκειται καὶ πᾶσαι αἱ ἁγιώταται ἐκκλησίαι. σημ. οὐδὲ γὰρ ταῦτα τῶν ῥυπαρῶν[27].

κγ'. Ὁ στρατιώτην ἔχων ἐπὶ ἰδιωτικαῖς χρείαις δήμευσιν καὶ ἔκπτωσιν[28] στρατείας καὶ ἀξίας ὑπόκειται, ὁ δὲ στρατιώτης ἢ φοιδεράτος μὴ ἀναχωρῶν ζώνης ἀφαιρέσει καὶ ταῖς ἐσχάταις τιμωρίαις καθυποβληθήσεται, καὶ οἱ ἄρχοντες οἱ μὴ ἐκπέμψαντες τούτους ι' λίτρας χρυσίου προστιμάσθωσαν καὶ ἐξορίᾳ πείσονται[29].

κδ'. Σχεδὸν τὰ τῆς μέσης ἐργαστήρια ἡ βασιλεύουσα πόλις[30] καὶ πάντα τὰ κατὰ τῶν μεσοστύλων τὰ τοιαῦτα οἰκήματα κρύπται καλοῦνται.

κε'. Ὁ μονοπωλεῖον τολμήσας ἔχειν, τῶν ἰδίων πραγμάτων γυμνούμενος διηνεκῶς ἐξορίζεται[31].

κς'. Οὐδεὶς ἔχει παραγραφὴν ἐπὶ ἐγκλήματι οὐδὲ ἐπὶ τῶν δημοσίων εἰσφορῶν, ἀλλὰ καὶ εὐθυνέσθω εἷς ἕκαστος ἐπὶ τούτοις παρ' ἑκάστῳ ἄρχοντι[32].

κζ'. Οἱ ὑπογραφέντες πολιτικοὶ λογισμοὶ κατὰ μὲν τοῦ διοικήσαντος [μετὰ] κ' ἔτη, κατὰ δὲ τοῦ κληρονόμου μετὰ ι' ἔτη οὐκ ἀναψηλαφᾶται[33].

---

[21] Legerim κελεύομεν. [22] Cod. XI, 57. [23] Cod. XI, 58, 5. [24] F δεσποτῶν. Totus hic locus corruptus est. [25] Inst. II, 1 §. 10. Dig. I, 8, 11. [26] Cf. Cod. VIII, 11, 8. [27] F addit: βι. ια' τί. μη' τοῦ κώδ. διατ. δ'. — Est autem Cod. I, 2, 7 et XI, 75, 4. [28] Legerim δημεύσει καὶ ἐκπτώσει. [29] Lege ὑποκείσ. — Nov. 116. [30] Non intelligo quid haec sibi velint. [31] Cod. IV, 59, 2. [32] Theod. Nov. 8 §. 21. [33] Lege ἀναψηλαφῶνται. — Dig. XLIV, 3, 13 §. 1.

κη΄. Ὁ κίνσος καὶ τὰ δημόσια ὑπομνήματα ἰσχυρότερα τῶν μαρτύρων εἰσίν[34].

κθ΄. Τὰ δημόσια τέλη οὐκ εἰσι τῶν προσώπων ἀλλὰ τῶν πραγμάτων, καὶ οἱ φόροι οὐ τῶν ἀπογεγραμμένων ἀλλὰ τῶν νεμομένων[35].

λ΄. Ὁ μὴ νεμόμενος ὑπὲρ τῶν νεμομένων οὐ δεῖ καταβάλλειν τῶν δημοσίων εἰσφορῶν τὸ βάρος, κἂν μὴ μετενεχθῇ ἡ τοῦ τέλους ἀπογραφὴ, ἀλλ᾽ οἱ νεμόμενοι τὰ δημόσια τελέσματα ἐπιγινωσκέτωσαν καὶ μὴ συμφώνοις ἐναντίοις ὠφελείσθωσαν[36].

λα΄. Ὁ κατὰ φιλοτιμίαν ἀγροὺς ἀλλοτρίους λαβὼν τὰς συντελείας τῶν χωρίων αὐτῶν ἐπιγινώσκειν ἀναγκάζεται.

λβ΄. Ὁ τελώνης ἀνδράποδα κατεσχηκὼς καὶ τὸ ὀφειλόμενον αὐτῷ τέλος μὴ ἀπαιτήσας, εἰς τὸ διπλοῦν ἔχει τὴν ἀπαίτησιν. βι. δ΄ τί. ξβ΄[37].

λγ΄. Ὁ τὰς ἰδίας ἀποδείξεις ἀρνούμενος καταδικάζεται εἰς τὸ διπλοῦν τῶν ἐγκειμένων ταῖς ἀποδείξεσιν· πλὴν ἴσθι, ὅτι καὶ ἐνταῦθα φυλάττεται ἡ περὶ ὅρκου δόσις. σημ. ὅτι ἐξάκτορες ἀρνούμενοι ταῖς ἰδίαις ἀποδείξεσι χειρὸς ἀποκοπὴν ὑπομένουσιν[38]. βι. α΄ τί. ε΄[39].

λδ΄. Ὁ παρὰ τοῦ ἰδίου χρεώστου δημόσια χρήματα λαβὼν, κἂν ἠγνόει κἂν ἐδαπάνησεν αὐτὰ, ὑπόκειται ἀποδοῦναι αὐτά[40]. σημ. ὅτι παντὸς δανειστοῦ προτιμᾶται τὸ δημόσιον, καὶ ὅτι σιωπηρὰν ὑποθήκην [ἔχει].

λε΄. [Ἀντὶ] τῶν ἀπόρων καὶ ἀποδήμων[41] οἱ παρόντες εὔποροι ἀπαιτείσθωσαν.

λϛ΄. Πᾶς νεμόμενος συντελείτω ὑπὲρ ὧν μόνον νέμεται. ἔνθα φησὶν, ὅτι οὐδὲ ὑπὲρ τὴν θείαν δελεγατίονα ἀπαιτεῖ τις[42].

λζ΄. Ὅτι δεῖ καὶ τὸ ὄνομα τοῦ καταβάλλοντος καὶ τῶν ὑπ᾽ αὐτὸν καὶ τὸν χρόνον καὶ τὸ ποσὸν τῆς διαγραφῆς καὶ τὰ καταβαλλόμενα εἴδη ὀφείλει σημειοῦσθαι ἐν ταῖς ἀποχαῖς τῆς διαγραφῆς[43].

λη΄. Αἱ τῶν χωρίων μεταθέσεις εἰς εὐπόρους ἀδιαστρόφως μετατιθέσθωσαν, ὁμολογοῦντος καὶ τοῦ μετατιθέντος κινδύνῳ αὐτοῦ γίνεσθαι τὴν μετάθεσιν[44].

---

[34] Dig. XXII, 3, 10. — F hic intrudit: Ὁ νεμόμενος πρᾶγμα ὁπωσδήποτε ἀπαιτεῖται τὰ δημόσια αὐτῶν, κἂν συνεφώνησε μὴ δοῦναι. Cf. c. 30 infra. [35] Dig. XXXIX, 4, 7 et Cod. X, 16, 3. [36] Cod. IV, 47, 3. [37] Non invenio in Codice. Fortasse constitutio deperdita indicatur. [38] Theod. Nov. 18 §. 12. [39] Fortasse βι. δ΄ τί. κα΄ laudare voluit. [40] Dig. XLIX, 14, 18 §. 10. [41] Lege ἀποδημούντων. [42] Theod. Nov. 17 §. 15. [43] Theod. Nov. 17 §. 13. [44] Theod. Nov. 17 §. 14.

λθ΄. Ἐάν τις ἀπὸ ἐξισωτοῦ παραλάβῃ ἀγρὸν, ἀσφαλῶς μὲν αὐτὸν κατέχει, τὰς δὲ[45] λοιπάδας τῶν πρώην ἢ τοῦ πρώην κτησαμένου οὐκ ἀναγκάζεται καταβαλεῖν[46].

μ΄. Δύναται ὁ ἐξισωτὴς ἐντὸς ἐνιαυτοῦ μέμψασθαι τὴν γενομένην παρ᾽ αὐτοῦ ἐξίσωσιν[47].

μα΄. Ἐάν τις λέγῃ ἑαυτὸν δεσπότην εἶναι ἢ ὑποκεῖσθαι αὐτῷ τὸ πρᾶγμα ἀναγκαζέσθω[48] τὰ δαπανήματα δοῦναι, ἃ ἐποίησεν ἐκεῖνος εἰς ἐπιβελτίωσιν τοῦ ἀγροῦ. εἴσω δὲ ϛ΄ μηνῶν ὀφείλει τὶς ἐνάγειν, μετὰ δὲ τοὺς ἓξ μῆνας οὐδεὶς δύναται ἐνάγειν. ὡς βι. ια΄ τί. νη΄ διατ. ζ΄ τοῦ κώδ.

μβ΄. Ὁ μὴ νεμόμενος πρᾶγμα ἀπὸ δικαίου τίτλου, κἂν καταβάλῃ ὑπὲρ αὐτοῦ τὰ δημόσια, οὐ δεσπόζει αὐτοῦ. καὶ σημ. ὅτι[49] τὸ καταβαλεῖν δημόσια οὐ περιποιεῖ οὐδὲ ἀφαιρεῖται δεσποτείαν, ὡς βι. γ΄ τί. λβ΄ διατ. κε΄ τοῦ κώδ. κἂν ἀλλότριόν τις νέμεται ἀδίκως, πάντως νικᾷ, τοῦ ἐνάγοντος μὴ ἀποδεικνύοντος εἶναι ἴδιον αὐτοῦ τὸ ἀμφισβητούμενον[50].

μγ΄. Ἐάν τις ἔχων οὐσίαν ἐκποιήσῃ καθ᾽ οἱονδήποτε τρόπον τινὶ ἀγρὸν μὴ ἐπιβαλὼν αὐτῷ τὰ ἀνήκοντα τελέσματα, καὶ ἀπορήσῃ ἡ λοιπὴ κτῆσις, χρὴ τὸν δοθέντα ἀγρὸν ἐπαναδραμεῖν εἰς τὰ ὁμόδουλα, κἂν διὰ μέσου πολλοὶ οἱ διάδοχοι ὤφθησαν τοῦ τὸ ἴδιον χωρίον χωρὶς δημοσίου ἐκποιήσαντος. νεαρὰ ξ΄[51].

μδ΄. Κἂν τὴν προῖκα κερδάνῃ ὁ ἀνὴρ, οὐκ ἀπαιτεῖται τῆς γυναικὸς δημόσια· οἱ γὰρ κληρονόμοι[52] αὐτῆς συντελοῦσι τὰ τῶν ἄλλων πραγμάτων δημόσια. βι. ε΄ τί. ιβ΄ διατ. κζ΄[53].

με΄. Οὐ δίδωσί τις τέλος ὑπὲρ ὧν εἰς ἰδίαν χρείαν ἢ γεωργίαν ἀποφέρει, οὐδὲ ὑπὲρ ὧν τῷ φίσκῳ εἰσκομίζει[54].

μϛ΄. Οὐχ ἕλκεταί τις τοῦ ἰδίου οἴκου δημόσιον χρεωστῶν, οὐδὲ διεκδικεῖ[55] αὐτὰ, ἀλλὰ ὑπομένει διάπρασιν τῶν ἰδίων πραγμάτων[56].

μζ΄. Ἀπαιτῶν ὁ ἄρχων τὰ τοῦ μέλλοντος ἐνιαυτοῦ δημόσια[57] ἀτιμοῦται καὶ ἐκπίπτει τῆς αὐτοῦ ἀξίας. καὶ ὁ ἄρχων

---

45 F *καὶ τάς*. 46 Cod. XI, 58, 7. 47 Haec corrupta esse videntur. Cf. Cod. IX, 58, 5 et Theod. Nov. 128 §. 8. 48 A *ἀποκείσθω — ἢ ἀναγκαζέσθω*. 49 A addit *γάρ*. 50 Cod. III, 32, 28. 51 Non invenio. 52 A *συγκληρ*. 53 F hic addit: *Ὁ μὴ δεδωκὼς ἐπὶ μ΄ ἔτη δημόσιον οὐκ ἀπαιτεῖται τὰ τοῦ παρελθόντος χρόνου. σημ. ὅτι ὁ ἀνὴρ παρέχει τὰ δημόσια τῶν ἐπιδοθέντων αὐτῷ ἐν προικί*. (Cod. IV, 47, 1.) 54 F addit: *βι. δ΄ τί. ξα΄ διατ. ϛ΄ τοῦ κώδ.* Recte, nisi quod nobis est c. 5. 55 An *ἀδικεῖται αὐτός*? 56 Cod. X, 19, 2. — F addit: *σημ. τὸ κοινὸν χρέος εἰς ἴδιόν τινος οὐ γίνεται βάρος*. 57 A *δημόσιον*.

τὸν ἐγκαλοῦντα περὶ δημόσια[58] μὴ ἀκούων λ' λίτρας χρυσίου προστιμᾶται.

μη'. Ποταμοῦ μετάγοντος πράγματα ἐμὰ εἰς τόπον, ἐὰν κωλύωμαι ταῦτα προαγαγεῖν, ἁρμόζει μοι τὸ περὶ βίας ἰντέρδικτον.

μθ'. Τὰ ἀπὸ ἀλλουβίωνος τουτέστι τὰ ἀπὸ ὕλης προστιθέμενα αὐτῷ ἔοικε τῷ ἀγρῷ ᾧτινι προσετέθη[59].

ν'. Ἐὰν [ἐν] ποταμῷ πλησιάζοντι τῷ ἐμῷ ἀγρῷ ἀναφυῇ νῆσος, οὐ δεσπόζω αὐτῆς. τὰ δὲ ἀνεπαισθήτως τῷ ἀγρῷ προστιθέμενα, προσθήκη καὶ παρακολουθήματα τοῦ ἀγροῦ εἰσι. τὸ αὐτὸ, εἰ καὶ δένδρα μετενεχθέντα ῥιζώσει, ἐμὰ γίνεται[60].

να'. Ἀπὸ ναυσιπόρου ποταμοῦ οὐκ ἔξεστι ὕδωρ ἀποσπᾶν τοσοῦτον, ὅσον οὐ[61] ποιεῖ αὐτὸν ναυσιπόρον μὴ εἶναι. ἀλλ' οὐδὲ ἀπὸ τοῦ ῥείθρου τοῦ ποιοῦντος αὐτὸν ναυσιπόρον[62].

νβ'. Οἱ ποταμοὶ κίνσῳ ἐοίκασι, καὶ τοὺς ἰδιωτικοὺς τόπους πολλάκις δημοσίους ποιοῦσι ῥέοντες δι' αὐτῶν, καὶ τοὺς δημοσίους ἰδιωτικοὺς ποιοῦσιν ἀναχωροῦντες τῆς ἰδίας κοίτης[63]. σημ. ὁποίως καὶ τὰ ἀπὸ προσκλύσεως δημόσια γενόμενα ἐπιγινώσκουσιν[64].

νγ'. Ὁ ποιῶν ἔργον εἰς ποταμοῦ ὄχθην, ἐγγύας παρεχέσθω, ὅτι εἴσω ι' ἐτῶν οὐ βλάπτει τοὺς γείτονας[65].

νδ'. Ὅτε ὑπὸ θαλάσσης ἢ ποταμοῦ ἐπικλύζεται ἀγρὸς, ἀπόλλυται ἐπ' αὐτῷ ἡ δεσποτεία, ἀναχωροῦντος δὲ τοῦ ὕδατος ὑποστρέφει πρὸς τὸν πάλαι δεσπότην. ἐὰν δὲ οὕτως ἐγχρονίσῃ τὸ ὕδωρ, ὥστε καὶ κοίτην τοῦ ποταμοῦ γενέσθαι, τότε οὐδὲ ἀναχωροῦντος τοῦ ὕδατος ὑποστρέφει πρὸς τὸν δεσπότην[66].

νε'. Οἱ ποταμοὶ καὶ αἱ ὄχθαι αὐτῶν[67] δημόσια εἰσίν. ὄχθη δὲ ἐστὶν[68] ἡ ὅλον περιέχουσα τὸν ποταμὸν, οὐχ οἱ περὶ τὰς ὄχθας τόποι καὶ ἀφ' οὗ ἐκ τοῦ ὁμαλοῦ ἄρχεται[69] ἐπὶ τὸ ὕδωρ ἐπικλίνειν[70].

---

[58] F *δημόσιον*. An *δημοσίων*? [59] Cf. Dig. XLI, 1, 7. [60] Ibidem. [61] Dele, aut *οὖν* lege. [62] Dig. XXXIX, 3, 10 §. 2. [63] Dig. XLI, 1, 30 §. 3. [64] Non intelligo. [65] Dig. XXXIX, 2, 7 pr. [66] Cf. Dig. XLI, 1, 7. [67] A *τῶν*. [68] Verba *ὅ. δὲ ἐστὶν* A non habet. [69] F *ἄρξηται*. [70] Dig. XLIII, 12, 3. — F haec intercalat: *Σουρφίκιον καλεῖται, ὅτε λαβὼν παρ' ἄλλου τινὸς τόπον ἵνα κτίσω ἐπ' αὐτὸν καὶ δίδωμι τοῦ ἐδάφους μισθὸν ἐτήσιον, ἔχω δὲ ἐπ' αὐτοῖς τὸ σουρφίκιον. ὡς βι. ϛ' τί. α' διατ. δ'. τοὺς ἐν οἱῳδήποτε τρόπῳ νεμηθέντας ἀνενοχλήτους ἢ πάτριον μοναλίκιον καὶ μηδεμίαν ὄχλησιν ὑπομένειν χωρὶς καὶ λαβόντες ἔμειναν μὴ παρέχοντες τὸν κανόνα ἐπὶ μ' ετίας ἐπιβαίνειν αὐτοῖς ψηφιζόμενον καὶ τὸν χρόνον τοῦ προτέκτωρος ἀγωνοθετικῶς ἀγρὸν ἢ ῥελεγάτον, ἀλλὰ μόνον τὸν ὑπὲρ αὐτοῦ κανόνα παρέχειν.* Quae quidem corruptissima Cod. XI, 62, 14 sapiunt.

νς΄. Ἐὰν ἐκλείπῃ τὸ μέτρον τοῦ πραθέντος ἀγροῦ, ἀναλαμβάνει μέτρον τοῦ τιμήματος ὁ ἀγοραστὴς, καὶ ὁ πράτης μὴ κατὰ καιρὸν παραδιδοὺς τὸ πρᾶγμα κατέχεται εἰς τὸ διαφέρον[71]. σημ. ὁ ἀγρὸς καὶ οἱ καρποὶ αὐτοῦ ἓν πρᾶγμά εἰσιν.

νζ΄. Ἐὰν ὁ τῶν δημοσίων ἀπαιτητὴς κατὰ λαλιὰν τοῦ ἄρχοντος πωλήσῃ τὸν ἀγρὸν τοῦ ἀγνωμονοῦντος ἐν τοῖς δημοσίοις, οὐκ ἀνατρέπεται ἡ πρᾶσις.

νη΄. Ἐὰν δὲ χωρὶς κελεύσεως ἀρχικῆς γένηται, ἡ πρᾶσις ἀνυπόστατός ἐστι. καὶ σημ. τρία δὲ ζητεῖ ἡ διάταξις, ἵνα καὶ καθαρὰ γένηται ἡ πρᾶσις τουτέστι μὴ κατὰ δόλον τινὰ αὐτῶν τῶν ἀπαιτηθέντων συμβῇ ἀπολειφθῆναι τὸν χρεωστοῦντα, καὶ ἵνα δικαίου τιμήματος πωλήσῃ, καὶ κατὰ λαλιὰν τοῦ ἄρχοντος πωλήσῃ[72].

νθ΄. Ἐὰν ὁ δημόσιος διὰ δημόσια χρέη πωλήσῃ πράγματα τοῦ χρεώστου, οὐδὲ αὐτὸς ὁ χρεώστης οὐδὲ ὁ δανειστὴς δύναται προσαγαγεῖν τὸ χρέος καὶ ἐκδικῆσαι τὰ πράγματα. πάντων γὰρ προτιμώτερός ἐστιν ὁ δημόσιος[73]. καὶ σημ. κατὰ διάτ. Ζήνωνος μέχρι τετραετίας ἀγωγὴν ἔχει ὁ τοῦ πράγματος κύριος κατὰ τοῦ φίσκου.

ξ΄. Τοῦ δημοσίου διαπιπράσκοντος ἢ ἄργυρον ἢ ἐσθῆτα ἤ τινα ἕτερα, μὴ ἐξέστω τοὺς παλατίνους ἀγοράζειν· εἰ δὲ ἀγοράσωσι, τὸ τίμημα ζημιούσθωσαν[74].

ξα΄[75]. Ἐάν τις ἐκφυγὼν δημοσίας λειτουργίας ἐπώλησεν ἴδια πράγματα, ἵνα ὡς πένης ἧττονα λειτουργήσῃ, καὶ τὸ συνάλλαγμα ἄχρηστον, καὶ ὁ ἀγοράσας ὅσον ἐπηγγείλατο καταβαλεῖν, τῷ δημοσίῳ ἔστω[76].

ξβ΄. Μηδεὶς ἀπὸ τῶν θείων λαργητιόνων δανειζέσθω. εἰ δέ τις ἐκ τοῦ θείου ταμείου λαθραίως ἢ φανερῶς ἢ ἐγγράφως ἢ ἀγράφως ἢ μετὰ ἐγγυητῶν δανείσηται χωρὶς βασιλικῆς κελεύσεως, δημεύεται καὶ δεπορτατεύεται[77].

---

[71] Dig. XIX, 1, 4 §. 1 et 1 pr. [72] Cod. IV, 46, 2. [73] Cod. IV, 46, 1. [74] Cod. IV, 44, 18. [75] F hic demum inscribit: *τίτλος ιε΄. περὶ δημοσίων πραγμάτων.* [76] Cod. IV, 44, 17. [77] Cod. X, 6, 2.

Τ Ι Τ Λ Ο Σ ιϛ'.

Περὶ πράσεως καὶ ἀγορασίας.

α'. Πρᾶσις καὶ ἀγορασία συνίσταται, ἡνίκα περὶ τοῦ τιμήματος ἑκάτερον συναινέσαν μέρος ὁ μὲν τὴν καταβολὴν ποιήσηται τοῦ τιμήματος, ὁ δὲ παραδοίη τὸ πιπρασκόμενον[1].

β'. Οὐ συνίσταται πρᾶσις χωρὶς τοῦ πιπρασκομένου πράγματος. καρποὶ μέντοι καὶ τοκετοὶ μέλλοντες πωλοῦνται. εἴδη δὲ καὶ πράγματα παραδόσει[2]. ταῦτα δὲ περὶ πράσεως καὶ ἀγορασίας λέγομεν[3] περὶ τῆς ἀγράφως γινομένης. ἐπὶ δὲ τῆς ἐγγράφου οὐχ ἑτέρως[4] τὸ τέλειον προσγενήσεσθαι λέγομεν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ, εἰ μὴ καὶ τὰ συμβόλαια τῆς πράσεως συγγραφῇ οἰκείᾳ χειρὶ τοῦ πιπράσκοντος, ἢ ὑπὸ ἑτέρου μὲν γραφῇ, ὑπογράφῃ δὲ ὁ πιπράσκων· εἰ δὲ διὰ ταβελλίονος γένηται, καὶ κόμπλα παρακολουθήσει[5].

γ'. Τὸ δὲ δι' ἀῤῥαβῶνος γινόμενον ἐν ὑστεροβουλίᾳ διαλυομένης τῆς πράσεως, εἰ μὲν ὁ ἀγοραστὴς ᾖ ὁ διαλύων, ἀπόλλυσι τὸν ἀῤῥαβῶνα· εἰ δὲ ὁ πράτης, διπλοῦν παρασχεῖν ἀναγκάζεται, τουτέστι αὐτὸ τὸ δοθὲν καὶ ἕτερον τοσοῦτον. σημ. τὸ δὲ ἀῤῥαβῶνος χάριν παρεχόμενον ἔλεγχός ἐστι πράσεως καὶ ἀγορασίας[6].

δ'. Οὐδεὶς μετὰ τὸ πραθῆναι καὶ ἀγορασθῆναί τι κατὰ τοὺς ὡρισμένους χαρακτῆρας τῆς τε ἀγράφου καὶ τῆς ἐγγράφου πράσεως καὶ ἀγορασίας ἀνατρέπειν δύναται, ἀλλὰ καὶ τοῦ πεπραμένου πράγματος ὁ κίνδυνος τὸν ἀγοραστὴν ὁρᾷ, κἂν τὰ μάλιστα μήπω τὸ πρᾶγμα παραδέδοται[7].

ε'. Οὐ μόνον μετὰ τὴν παράδοσιν τοῦ ἀγορασθέντος ἀλλὰ καὶ πρὸ τῆς παραδόσεως κινδυνεύεται ἐπὶ αὐτῷ, ὁ ἀγοραστὴς δηλονότι, εἰ μὴ ὑπερέθετο τραδιτεύειν αὐτὸ ὁ πράτης, ἢ αἱρετικὴ ἡ πρᾶσις ἦν καὶ ἀπώλετο τὸ ἀγορασθὲν πρὸ τοῦ ἐκβῆναι τὴν αἵρεσιν. τότε γὰρ ὁ πράτης ζημιοῦται[8].

ϛ'. Ὁ ἀγοράζων ῥητοὺς κεράμους οἴνου ἐπὶ μέτρῳ δήλῳ, εἰ μὴ μόραν ποιήσῃ τουτέστιν ὑπέρθεσιν λαβεῖν[9] τὴν μέτρησιν, οὐ ζημιοῦται κἂν ἀπολεσθῇ ὁ οἶνος. εἰ δὲ ὑφ' ἓν οἶνόν τις

---

[1] Theoph. Inst. III, 23 pr. — Proch. XIV, 1. [2] Dig. XVIII, 1, 8 pr. [3] C τοῦτο λέγ. [4] C ἀλλὰ adjicit. [5] Theoph. l. l. — Proch. XIV, 1. [6] Theoph. III, 23 pr. — Proch. XIV, 1. [7] Theoph. III, 23, 3. — Proch. XIV, 3. [8] Videtur hoc scholium esse ad Theophili locum, qui praecessit. [9] Forte ἐν τῷ λαβεῖν.

ἀγοράσει μη συμφωνῶν μέτρησιν, αὐτὸς κινδυνεύει ἐπὶ αὐτῷ ἅμα τῷ λαβεῖν αὐτὸν τὰς κλεῖς τοῦ τόπου, ἔνθα ἀπόκειται. καὶ σημ. τὰ αὐτὰ δὲ κρατεῖ καὶ ἐπὶ ἐλαίου καὶ σίτου καὶ τῶν τοιούτων[10]. ὅτι τὸ κέρδος τοῦ πραθέντος οἴνου καὶ ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ. τοῦτο δὲ γενικῶς ἔγνως ἐκ τῆς α΄ διατ. τοῦ μη΄ τί. τοῦ δ΄ βι. τοῦ κώδ. ἐπὶ ὅλων τῶν πωλουμένων. ὅτι οἱ μετὰ τὴν πρᾶσιν καρποὶ τῷ ἀγοραστῇ ἁρμόζουσιν[11].

ζ΄. Ὥσπερ ἡ ἐκ τύχης[12] ἐλάττωσις ἢ ἀπώλεια τοῦ πεπραμένου πράγματος εἰς τὸν ἀγοραστὴν ἀνατρέχει, οὕτως καὶ εἴ τι προσγέγονε κέρδος τῷ πεπραμένῳ πράγματι, τὸν ἀγοραστὴν ὠφελεῖ, κἄν τε ἀπὸ προσκλύσεως ἢ προσχώσεως ποταμοῦ μείζων γέγονεν ὁ ἀγρὸς μετὰ τὸ τὴν πρᾶσιν συστῆναι[13].

η΄. Τοιγαροῦν ἡ ἐκτύχησις, κἂν οἰκέτης ἐστὶν ὁ πεπραμένος καὶ τελευτήσει ἢ μέρος τὶ βλαβῇ τοῦ σώματος, πόδα ἢ χεῖρα ἢ ὀφθαλμὸν, ἢ οἰκία ἦν ἡ πεπραμένη καὶ ἢ ἡ πᾶσα ἢ ἐκ μέρους πυρὶ δαπανηθῇ, καὶ εἰ τῇ βίᾳ τοῦ ποταμοῦ ὁ ἀγρὸς ὅλος ἢ τὸ μέρος ἀπωλεῖται τῇ πλημμύρᾳ τοῦ ὕδατος, ἢ δένδρων ἐξ ἀνέμων καταπεσόντων πολλῶν ἥττων καὶ χείρων γένηται ὁ ἀγρὸς, ἐπὶ τούτων ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ. καὶ σημ. καὶ ἴσθι ὅτι δίχα δόλου καὶ ῥᾳθυμίας τοῦ πράτου εἰ συμβῇ τῷ πράγματι τοιοῦτον, ἕξει τὸ ἀμέριμνον ὁ πράτης[14].

θ΄. Οὐδεὶς ἐκ τοῦ παρ᾽ αὐτοῦ ἐγχειριζομένου ὀφφικίου ἀγοράζειν τὶ δύναται κινητὸν ἢ ἀκίνητον δι᾽ ἑτέρου ἢ δι᾽ ἑαυτοῦ. καὶ γὰρ τοῦ πράγματος ἐκπίπτει, καὶ τὸ δοθὲν τίμημα οὐκ ἀναλαμβάνει. ὅπερ κρατεῖ καὶ ἐπὶ τοῦ κουράτορος τοῦ βασίλεως, εἰ μὴ πατρῷον αὐτοῦ δημόσιον ἦν[15].

ι΄. Ὁ βλέπων τὶ πιπρασκόμενον ὑφ᾽ ἑτέρου ἴδιον αὐτοῦ πρᾶγμα καὶ μὴ ἀντιλέγων, δοκεῖ αὐτὸς πωλεῖν[16].

ια΄. Ὁ ἐπίτροπος οὐ δύναται ὀρφανικὸν πρᾶγμα ἀγοράσαι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων κουρατόρων καὶ προκουρατόρων[17]. ἀλλ᾽ οὐδὲ πωλοῦντες μεταφέρουσι δεσποτείαν[18].

---

[10] Cod. IV, 48, 2. [11] F hoc loco haec intercalat: Ὁ ἀγοράσας τὶ παρά τινος ὃν ἴδῃ δαπανηρὸν, οὐκ ἔστι μάλα φίδε ὁ ἀγοραστὴς τουτέστι κακὸς, καὶ ὁ παρὰ τρυφητοῦ γὰρ ἀγοράσας οὐσουκαπιτεύει, τουτέστι διὰ τῆς χρήσεως δεσπόζει. (Dig. XLI, 4, 8.) — Ἐὰν παρὰ τὸν νόμον δωρηθῇ τι ἄρχοντι ἢ πραθῇ πλείονος ἢ ἥττονος, οὔτε ἡ πρᾶσις ἔρρωται οὔτε τὸ δοθὲν εἰς χρῆσιν ἐστὶν ἕως ἂν ὑποστρέψῃ πρὸς τὸν δόντα ἢ τὸν κληρονόμον αὐτοῦ. (Dig. XLVIII, 11, 8.) [12] C ἔκχυσις ἤ. [13] Theoph. III, 23, 3. — Proch. XIV, 4. [14] Theoph. l. l. — Proch. XIV, 3. [15] Lege παρὰ τοῦ δημοσίου. — Dig. XVIII, 1, 46. 62. — Proch. XIV, 2. [16] Dig. XXI, 2, 12. — Proch. XIV, 10. [17] Verba καὶ πρ. in C desunt. [18] Dig. XVIII, 1, 34 §. 7. — Proch. XIV, 8. — F hic

ιβʹ. Ἐὰν κελευσθεὶς δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθέντος ἀγροῦ πλέον ὑποδείξει, ἢ κατὰ δόλον ἢ κατὰ ἄγνοιαν, οὐ καταδικάζει μέ. ὡς βι. ιηʹ τί. αʹ διγ. ιηʹ [19].

ιγʹ. Ἐὰν [ἐν] τῷ πραθέντι οἴκῳ τὸ ἀποτιθέμενον ὑπό τινος χρυσίον κατὰ πλάνην ἀπομεῖναν ἐν αὐτῷ εὑρεθῇ, μένει ὑπὸ τοῦ πάλαι δεσπόζοντος [20].

ιδʹ. Ἐκείνῳ δὲ ἔτι προσθεῖναι τῷ νόμῳ δίκαιον ᾠήθημεν, ἵνα ὁ πιπράσκων δοῦλον καὶ γινώσκων αὐτὸν ἢ κλέπτην ἢ μαινόμενον ἢ δαιμονοῦντα, προσφωνείτω περὶ τούτου τῷ ἀγοραστῇ. εἰ γὰρ τοῦτο μὴ ποιήσῃ, αὐτὸς μὲν λήψεται τὸν δοῦλον, τὸ δὲ τίμημα διπλοῦν ἀποστρέψῃ τῷ ἀγοραστῇ, ἀπαιτούμενος καὶ εἴ τινα ζημίαν εἰργάσατο [21].

ιεʹ. Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν ὁ δοῦλος κλέψῃ τὶ τοῦ πεκουλίου καὶ περιέλθῃ τὶ εἰς τὸν ἀγοραστὴν, τυχὸν τοκετοὶ καὶ τὰ ἀπὸ τῶν ἔργων τῶν πεκουλίων [22] προσκτισθέντα [23] καὶ ὅσα μετὰ τὴν πρᾶσιν προστίθεται, τῷ πράτῃ ἀποδίδωσιν [24].

ιϛʹ. Ἐντεῦθεν εἴπωμεν· ὁ πωλήσας δοῦλον καὶ λαβὼν τίμημα ἐκ τοῦ πεκουλίου αὐτοῦ, οὐκ ἔδοξε τίμημα λαμβάνειν ὡς τὰ ἴδια δεξάμενος, καὶ ἔχει ἀκέραιον τὴν περὶ τοῦ τιμήματος ἀγωγὴν, εἴτε θέλει τὸν δοῦλον ἀναλαμβάνειν, εἴτε θέλει ἀπαιτῆσαι ἄλλο τίμημα καὶ ἐλευθερῶσαι αὐτόν. ὡς βι. δʹ τί. λϛʹ διατ. αʹ τοῦ κώδ. [25].

ιζʹ. Εἰ δέ τις ἀγοράσει παρανόμως δοῦλον, οὐ πρότερον ὁ ἀγορασθεὶς δοῦλος βασανίζεται κατὰ τοῦ ἀγοράσαντος, εἰ μὴ δειχθῇ ἄκυρος ἡ ἀγορασία [26].

ιηʹ. Καὶ εἰς ἐπίκοινον δὲ πάλιν πρᾶγμα καλῶς ὁ εἷς τῶν κοινωνῶν βασανίζει τὸν ἐπίκοινον δοῦλον κατὰ τοῦ κοινωνοῦ.

ιθʹ. Οἱ δοῦλοι συνηγοροῦντες ἢ συνιστοροῦντες ἐρωτώμενοι κατὰ τῶν δεσποτῶν πιστεύονται, ἐὰν μέντοιγε καὶ ἐπὶ ἑκατέρου θέματος ὕπεστιν ἄλλα τεκμήρια. οὐδὲ γάρ ἐστιν αὕτη ἐρώτησις, ἀλλ᾽ ὁμολογία [27].

---

addit: Ὁ ἐν εἰδήσει πωλῶν βίτιον τουτέστιν ἐπίψογον, οὐ μόνον εἰς τὸ τίμημα ἀλλὰ καὶ εἰς τὴν πᾶσαν ἐκ τούτου ζημίαν κατέχεται. V, qui itidem hunc locum habet, laudat βι. δʹ τί. μθʹ διατ. ιβʹ. [19] Proch. XIV, 6. [20] Dig. VI, 1, 67. — Proch. XIV, 9. [21] Proch. XIV, 11. [22] Lege ἐκ τοῦ πεκουλίου δούλων. [23] Lege προσκτηθ. [24] Dig. XVIII, 1, 29. 31. — Proch. XIV, 7. [25] Cf. etiam Cod. IV, 49, 7. [26] Dig. XLVIII, 18, 1 §. 15. [27] Cf. Dig. XLVIII, 18, 1 §. 1. 19.

κ'. Ὁ ἐν εἰδήσει τὸν φυγάδα δοῦλον ἀγοράσας οὐκ ἔχει τὴν ἐκδίκησιν. βι. μδ' τί. δ' διγ. δ'[28].

κα'. Ὁ δοῦλον κατὰ συκοφαντίαν ποιήσας βασανισθῆναι ὡς ἐπὶ μοιχείᾳ, οὐκ ἄλλως[29] βασανίζεται εἰ μὴ πρῶτον διατιμηθῇ, ἵνα ὁ κατήγορος τὴν τούτου τιμὴν διπλασιάσῃ τῷ δεσπότῃ. εἰ δὲ αὐτὸς ὁ δεσπότης κατηγορεῖ καὶ ἐλεύθερος τοῦ ἐγκλήματος εὑρεθῇ, φισκοῦται[30].

κβ'. Ὁ δοῦλος ὑπὲρ δεσπότου ἢ κατὰ δεσπότου βασανίζεσθαι[31], ἀλλ' ὑπὲρ ἰδίου φάκτου. καὶ γὰρ ἐρωτώμενος ὑπὸ τοῦ ἠγορακότος, εἴ ποτε ἔφυγε παρὰ τῷ δεσπότῃ, δοκεῖ ὑπὲρ ἰδίου φάκτου ἐρωτᾶσθαι, οὐ μὴν κατὰ τοῦ πρότερον δεσπότου. ὅθεν πιστεύεται μόνον, ἐὰν ὕπεστι καὶ ἄλλα τεκμήρια φυγῆς[32].

κγ'. Ὁ τὸν αἰχμάλωτον ἀλλότριον ὄντα δοῦλον ἀγοράζων παρὰ τῶν πολεμίων καλῶς αὐτὸν ἐλευθεροῖ, καὶ οὐχ ὑποστρέφει πρὸς τὸν πάλαι δεσπότην[33].

κδ'. Ἐὰν ὁ πράτης δόλον παθὼν παρὰ τοῦ ἀγοραστοῦ εὐτελοῦς τινος τιμήματος πωλήσῃ τὴν κληρονομίαν, οὐκ ἀναγκάζεται πληρῶσαι αὐτὴν ἤγουν τὸ συνάλλαγμα, ἀλλ' ὡς ἂν μὴ γενομένης τῆς πράξεως καὶ τὰ πράγματα διακατέχει καὶ τὰ χρέη δύναται ἀπαιτῆσαι[34]. σημ. ἐπειδὴ ὡς μὴ γνοὺς τὴν ποσότητα τῆς κληρονομίας καὶ ὡς κατὰ δόλον γενομένης τῆς πράσεως ἀνυπόστατός ἐστι· εἰ γὰρ ᾔδει τὴν κληρονομίαν, οὐκ ἔτι πιστεύεται δόλον ὑπομένειν. καὶ γὰρ τῷ εἰδότι δόλος οὐ δοκεῖ γενέσθαι ἐν αὐτῷ.

κε'. Ὅτε ὁ ἐλεύθερος παρὰ τὸ μανδάτον μου ἢ ὁ δοῦλος παρὰ τὴν κέλευσίν μου πωλήσῃ τὸ ἐμὸν, ἀκωλύτως ἐγὼ[35] ἐκδικῶ, εἰ μὴ προσενεχθῇ μοι τὸ λεῖπον[36] τοῦ τιμήματος[37].

κς'. Καλῶς ὁ ἀγοραστὴς συμφωνεῖ εἴσω προθεσμίας ἢ καὶ διηνεκῶς ἀποδιδόναι τὸ ἀγορασθὲν ἀπαρέσκον αὐτῷ. εἰ δὲ μὴ λεχθῇ χρόνος, ἔχει ἀγωγὴν εἰς τὸ ἀποδοῦναι ἐντὸς ξ' ἡμερῶν, καὶ μετὰ τὰς ξ' ἡμέρας ἐξ εὐλόγου αἰτίας. εἰκὸς γὰρ ὑπέρθεσιν ὁ πράτης ἐποίησεν[38].

---

[28] sc. §. 5. [29] F *οὐ καλῶς.* [30] Cf. Dig. XLVIII, 5, 27. [31] Adde *οὐ δύναται.* [32] Dig. XXI, 1, 58 §. 2. XXII, 3, 7. [33] Dig. XLIX, 15, 12 §. 7—9. — F subdit haec: *Τὰ κατὰ ἄγνοιαν πιπρασκόμενα παρὰ τῶν συγκληρονόμων καὶ δεκτὴν ἡγήσεται τὴν πρᾶσιν ὡς κατὰ δόλον γενομένην ἀνατρέπεται. — Τὸν δόλον τοῦ ἀγοραστοῦ ἡ τοῦ πράγματος ποιότης δείκνυσιν, οὐχ ἡ τοῦ τιμήματος ποσότης· καὶ διὰ τοῦτο δίδοται [κατὰ] τοῦ κατὰ δόλον ποιήσαντος ἡ ἀποκατάστασις.* (Cod. IV, 44, 10.) [34] Cod. IV, 39, 4. [35] F *αὐτὸ.* [36] F *λοιπὸν.* [37] Dig. XVII, 1, 5 §. 3. XVIII, 1, 63 pr. [38] Dig. XXI, 1, 31 §. 22. 23.

κζ΄. Ἡ ἀναστρέφουσα τὸν φυγάδα δοῦλον ἑξαμηνιαῖός[39] *ἐστιν. εἰ δὲ τὴν ἐλαττοῦσαν τὸ τίμημα ἐνιαυτῷ συγκέκλεισται, φανερόν ἐστιν· ὁ γὰρ ἐπιστάμενος τῶν ἐλαττωμάτων τοῦ δούλου οὐ δύναται ἐνάγειν τὸ σύνολον περὶ τῶν δύο αὐτοῦ ἀγωγῶν*[40]. *ἀνάγν. βι. δ΄ τί. νη΄ διατ. β΄ τοῦ κώδ.*[41].

κη΄. Ἐὰν εἰδὼς ὁ πράτης μὴ εἴπῃ περὶ τῶν δημοσίων, ἐνέχεται τῇ ἀγωγῇ, οὐ μὴν εἰ ἠγνόησεν. τί γάρ; ὅτι κληρονομιαῖον ἐπώλησεν[42].

κθ΄. Ἐὰν κατὰ βίαν γένηται ἡ πρᾶσις, οὐκ ἔῤῥωται. ὅθεν καὶ ἀναδίδωσιν ὁ πράτης τῷ ἀγοραστῇ ὃ ἔλαβε τίμημα. σημ. ὅτι οὐδὲ ἡ κατὰ δόλον γενομένη πρᾶσις ἰσχύει. ὡς βι. δ΄ τί. μδ΄ διατ. α΄ τοῦ κώδ. σημ. ὅτι εἰδὼς τὸν δόλον τοῦ ἀγοραστοῦ καὶ ἀνασχόμενος, οὐ δύναται ἀνατρέψαι τὴν πρᾶσιν, κἂν πλέον τοῦ τιμήματος δοῦναι ὡμολόγησε.

λ΄. Ἐὰν τὸ μείζονος ἄξιον πρᾶγμα πραθῇ ἥττονος τιμήματος, ἔῤῥωται ἡ πρᾶσις. τοῦτο δὲ νόει, εἰ μὴ ἄρα ἐπράθη ἥττονος τοῦ ἡμίσεως τοῦ δικαίου τιμήματος. τότε γὰρ οὐκ ἰσχύει ἡ πρᾶσις, ἀλλ᾽ ἐν τῷ ἀγοραστῇ ἐστὶ κἂν θέλει ἀναδοῦναι τὸ πραθὲν, κἂν θέλει ἀναπληρῶσαι τὸ τίμημα. πλὴν ἴσθι ὅτι φησὶ ἡ ς΄ διάτ. τοῦ νδ΄ τί. τοῦ δ΄ βι. τοῦ κώδ. δύνασθαι ἐπὶ συμφώνοις τισὶ πωλεῖν ἕκαστον καὶ ἥττονος τοῦ δικαίου τιμήματος[43].

λα΄. Εἴ τις μείζων τῶν κε΄ ἐνιαυτῶν τὴν ἡλικίαν, εἰς τὸ διοικῆσαι τὰς φροντίδας τῆς ἰδίας φαμιλίας ἐπιτήδειος δοκιμασθεὶς, κτήματα, εἰ καὶ μακρὰν παρακείμενα, πωλήσῃ, εὐτελεστέρου τιμήματος ὀνόματι ἀναλήψεως τοῦ πραθέντος πράγματος εὐπορίαν μηδαμῶς κτάσθω, μηδὲ ματαίαις ἐνδιατρίβων[44] *ἀντιθέσεσι συγχωρείσθω, ἵνα αἰτιᾶται ἀγνώστους ἑαυτοῦ τὰς τῶν τόπων*[45] *δυνάμεις, ὡς τῆς οὐσίας αὐτοῦ τὴν δύναμιν εἰδέναι καὶ τὰ ἀξιώματα καὶ τὰ κέρδη ὀφείλει*[46].

λβ΄. Ἐὰν υἱὸς κατὰ γνώμην τοῦ πατρὸς πωλήσῃ, εἰ μὴ δείκνυσιν ὁ πατὴρ κατὰ φόβον θανάτου ἢ βασάνων τοῦ σώματος γεγονέναι τὸ συνάλλαγμα, οὐ δύναται αὐτὸ ἀνατρέψαι. οὐκ ἀρκεῖ δὲ εἰς ἀπόδειξιν δόλου τὸ λέγειν· πλείονος ἄξιον ὂν

---

[39] F addit *χρόνος*. Lege *Τὴν ἀναστρέφουσαν — ἑξαμηνιαίοις χρόνοις, τὴν δὲ — συγκλείεσθαι.* [40] An *τῶν αὐτῶν αἰτίων*? vel *δι᾽ αὐτοῦ*? [41] F intercalat: *Ἐὰν ὁ φυγὼν συλληφθεὶς καὶ παρουσίᾳ τινῶν ἀξιοπίστων ἐρωτηθεὶς εἴπῃ καὶ παρὰ τῷ πράτῃ τοῦτο πεποιηκέναι, πιστεύεται συντρεχόντων καὶ ἑτέρων τεκμηρίων.* (Dig. XXI, 1, 58 §. 2.) [42] Dig. XIX, 1, 21 §. 1. [43] Cod. IV, 44, 2. [44] V *ἐντρίβειν*. [45] Sic V; C *ποδῶν*. [46] Cod. IV, 44, 15.

τὸ πρᾶγμα ἐλάττονος ἐπώλησεν. ἔξεστι γὰρ ἐν τῇ πράσει καὶ ἀγοράσει περιγράφειν, εἰ μὴ ἄρα ἔλαττον τοῦ ἡμίσεος μέρους τοῦ δικαίου τιμήματος ἔδωκεν ὁ πράτης, τῆς ἐπιλογῆς τῆς ἤδη παρασχεθείσης τῷ ἀγοραστῇ φυλαττομένης[47].

λγ΄. Ἡ κατὰ δωρεὰν γενομένη πρᾶσις οὐκ ἔῤῥωται, ἀλλ᾽ ἡ δωρεὰ μένει ἐῤῥωμένη[48]. *σημ. οὐδὲ*[49] *τὴν καλῶς προβᾶσαν πρᾶσιν, κἂν διπλοῦν τίμημα ἀναδίδωσιν ὁ πράτης*[50].

λδ΄. Δεσπότης τὸ ἴδιον ἐν ἀγνοίᾳ ἀγοράζων, καταβαλὼν τὸ τίμημα ἀναλαμβάνει αὐτό[51]. *ὁμοίως καὶ ὁ ἐν ἀγνοίᾳ τὸ ἀλλότριον ἀγοράζων δεσπόζει αὐτοῦ. εἰ γὰρ εἰδήσει ἠγόρασεν, ὑπόκειται διεκδικήσει καὶ οὐ κινεῖ κατὰ τοῦ πράτου περὶ ἐκνικήσεως. ὡς βι. η΄ τί. μδ΄ διατ. κζ΄.*

λε΄. Ἐὰν πλανηθεὶς ὑπὸ τοῦ γεωμέτρου, εἰπόντος πλείονα τὰ πραθέντα μοι[52] *γήδια, πλέον τῆς ἀληθείας δώσω τίμημα, ἀναλαμβάνω αὐτό*[53].

λϛ΄. Εἰ ὁ κλέψας ἀγοράσει παρὰ τοῦ δεσπότου, ἀρκεῖ νέμεσθαι[54]. *ἐπειδὴ πρὸς τῇ κακῇ πίστει καὶ πλάνῃ νόμου καλῶς ἐμποδίζεται*[55].

λζ΄. Δύναται τὸν ἀπόντα δοῦλον πωλεῖν ὁ δεσπότης, οὐ μὴν τὸν φυγάδα· οἱ γὰρ τὴν φυγὴν τοῦ ἰδίου δούλου πωλοῦντες ὑπόκεινται τῷ νόμῳ[56].

λη΄. Ὁ πωλήσας ἢ ἀγοράσας οἶκον ἐπὶ καταλύσει καὶ πραγματείᾳ, τὸ τίμημα ζημιούσθω· οὐ μὴν ὁ μεταφέρων ὕλας εἰς δημόσιον ἔργον[57].

λθ΄[58]. *Τοῦ διαδίκου τὸ πρᾶγμα, ὃ ἐξεδίκησας, ἑτέρῳ πωλήσαντος, ἄδειαν ἕξεις τὸν πράτην ἢ τὸν ἀγοραστὴν ἐπιλέξασθαι. ὡς βι. β΄ τί. νδ΄ διατ. α΄.*

μ΄. Καὶ ἄλλου τὸ τίμημα καταβάλλοντος[59] *δύναται ἑτέρῳ τὸ ἀγορασθὲν παραδοθῆναι. ἐὰν δὲ μὴ παραδοθῇ, αὐτοῦ γίνεται τοῦ ἀγοράσαντος, κἂν ἐπὶ ὀνόματι ἐκείνου ἠγοράσθη,*

---

[47] Cod. IV, 44, 8. [48] Cod. IV, 38, 3. 9. [49] Forte *οὐ δύναται ἀνατρέπειν.* [50] Cod. IV, 44, 6. — Subdit F: *Ὁ ἐν εἰδήσει ἰνδέβιτον λαβὼν τουτέστιν ἃ οὐ χρεωστεῖται κλοπὴν ἁμαρτάνει. σημ. ὁ ἀγοράζων ὡς ἀλλότριον τὸ ὂν τοῦ πράτου διάθεσιν ἀγοραστοῦ ἔχει.* [51] Dig. XVIII, 1, 16 pr. [52] F *ἐξωνηθέντα μου.* [53] Cf. Dig. XI, 6, 3 §. 2. [54] Forte *ἄρχεται νέμ.* Post quae lacuna statuenda est. [55] Dig. XLI, 3, 32. [56] Dig. XLVIII, 15, 2. [57] Dig. XXXIX, 2, 48. [58] F praemittit haec: *Ὁ πράτης μὴ κατὰ καιρὸν διδοὺς τὸ πρᾶγμα κατέχεται εἰς τὸ διαφέρον. ὁμοίως καὶ ὁ μὴ καταβαλὼν τὸ λεῖπον τοῦ τιμήματος δίδωσι τόκους.* (Cod. IV, 49, 4. 5.) [59] V *μὴ καταβάλλοντος.*

κατὰ τὴν ϛ΄ διάτ. τοῦ ν΄ τί. τοῦ δ΄ βι. τοῦ κώδ. κρείττων ἀεί ἐστιν ἐκεῖνος περὶ τὴν δεσποτείαν, ᾧτινι ἡ νομὴ παρεδόθη.

μα΄. Καὶ ἐπὶ τῶν ἀδιαδόχων ἐάν τις πωλήσῃ πράγματα πρὶν ἢ μηνυθῇ ἡ οὐσία τῷ φίσκῳ, καλῇ πίστει ἀγοράζει αὐτά.

μβ΄. Ἐὰν ἀγοράσω ἀνδράποδον καὶ μὴ[60] κατὰ κέλευσιν ἐμὴν ἀδικήσει τινὰ, καὶ ῥεπουδιατεύσω τὸ ἀνδράποδον ὡς ἄχρηστον, οὐκ ἐγὼ ἀλλ᾽ ὁ πωλήσας μοι ἐνάγεται ὑπὲρ τοῦ οἰκέτου[61].

μγ΄. Ἐὰν μὴ ὅπου εἰσὶ τὰ πράγματα πραθῶσι, ὅμως ἡ ἐπ᾽ αὐτοῖς γενομένη πρᾶσις ἔῤῥωται. ὡς βι. δ΄ τί. λη΄ διατ. α΄ τοῦ κώδ.

μδ΄. Ὁ μαινόμενος καλῶς πωλεῖ ὅτε νήφει, ἐὰν μέντοιγε μείζων ἐστὶ τῶν κε΄ ἐτῶν. βι. δ΄ τί. λη΄ διατ. β΄ τοῦ κώδ. σημ. συναινέσει συνίσταται ἡ πρᾶσις καὶ ἡ ἀγορασία. ὅτι οὐδεὶς ἀγοράζει οὐδὲ πωλεῖ μὴ θέλων, καὶ περὶ τούτου καλῶς αἰτεῖ βασιλέα[62].

με΄. Συνίσταται[63] πρᾶσις ἠρτημένη γνώμῃ ἑνὸς τῶν συναλλασσόντων, κἂν ἐξωτικοῦ τινος ἤρτηται γνώμῃ[64].

μϛ΄. Δύναται γάρ τις πωλῆσαι πρᾶγμα ἐφ᾽ ᾧ ὁρίσει τίτιος τιμήματι. καὶ εἰ μὲν ὁρίσει ὁ τίτιος, ἔῤῥωται ἡ πρᾶσις[65]. σημ. εἰ μὴ ὁρισθῇ τίμημα, πρᾶσις οὐ συνίσταται. εἰ δὲ ὁρισθῇ καὶ μὴ καταβληθῇ, συνίσταται παραδιδομένου τοῦ πράγματος. διάτ. θ΄[66].

μζ΄. Καλῶς πωλεῖ ἕκαστος τὸ γραμματεῖον τοῦ ἰδίου δεβίτορος καὶ μὴ θέλοντος. ὡς βι. δ΄ τί. λθ΄ διατ. γ΄ τοῦ κώδ.[67]

μη΄. Ἡ πρᾶσις καὶ ἡ ἀγορασία βόνα φίδε ἐστὶ συνάλλαγμα. καὶ δεῖ φυλαχθῆναι τὴν ἀγαθὴν πίστιν ἐν παντὶ συναλλάγματι.

μθ΄. Ὁ σῖτον δημόσιον πωλῶν κεφαλικῶς τιμωρεῖται. ἀλλὰ καὶ ὁ ἐμπορευόμενος τούτῳ. ὁμοίως καὶ ὁ πωλῶν σίδηρον ἢ οἶνον ἢ ἐργάσιμά τινα βαρβάροις, ἢ χρυσὸν αὐτοῖς διδοὺς ὑπὲρ πραγματείας. βι. δ΄ τί. ιθ΄[68] τοῦ κώδ.

ν΄. Μηδεὶς βαπτέτω ἢ πιπρασκέτω πορφύραν ἢ ἐν μετάξει ἢ ἐν ἐρίῳ. ὁ δὲ πωλήσας δημεύεται καὶ κεφαλικῶς τιμωρεῖται ὡς τυράννου προαίρεσιν ἐσχηκώς. ἀνάγν. τί. ν΄ τοῦ κώδ.[69]

να΄. Οὐδεὶς πωλεῖ οὔτε δωρεῖται οὔτε ὑποτίθεται τὸν υἱὸν αὐτοῦ, εἰ μὴ ἄρα πένης ἐστὶ, καὶ τοῦτο ἐπὶ ὅρῳ ἐλευθερίας. ὡς βι. δ΄ τί. μγ΄ τοῦ κώδ.

---

[60] Deest in C. [61] V addit: εἴρηται ἐν βι. α΄ τί. λϛ΄ διατ. η΄ τοῦ κώδ. Non invenio. [62] Cod. IV, 38, 11. [63] Legendum Οὐ συνίστ. [64] Cod. IV, 38, 13. [65] Cod. IV, 38, 15. [66] Cod. IV, 38, 9. [67] V ὡς βι. η΄ τί. μα΄ διατ. α΄ τοῦ κώδ. [68] A νθ΄. Cf. Cod. IV, 40. 41. 63. [69] Imo Cod. IV, 40, 1.

νβ'. Οὐ μόνον ἀργύρια ἀλλὰ καὶ οἱονδήποτε εἶδος δύναται δέχεσθαι θέλων ὁ πράτης ἀντὶ τοῦ τιμήματος, καὶ οὐκ ἀνατρέπει τὴν πρᾶσιν[70].

νγ'. Ὁ διὰ χρείαν τινὰ ἢ διὰ χρέος πωλῶν, οὐκ ἀνατρέπει τὴν πρᾶσιν[71].

νδ'. Ὁ ἀγοραστὴς μὴ πληρῶν τὰ δόξαντα κατέχεται εἰς τὸ διαφέρον. ὁμοίως καὶ ὁ πράτης παραβαίνων τὰ συμφωνηθέντα εἰς τὸ διαφέρον ἐνάγεται. βι. δ' τί. μθ' τοῦ κώδ.

νε'. Οὐ δεσπόζει ὃν ἀγοράζει τὶς ἀγρὸν, εἰ μὴ ἐπὶ νομῇ αὐτοῦ γένηται, κἂν δημόσιον ὑπὲρ αὐτοῦ τις καταβάλλῃ[72].

νς'. Ἐὰν ἐλάττων τῶν κε' ἐνιαυτῶν, μείζων ὢν τῶν κ' χρόνων, πέπρακεν οἰκέτην ἐπὶ ὅρῳ ἐλευθερίας, εἰ μετὰ ἐνιαυτὸν μὴ ἠλευθερώθη παρὰ τοῦ ἀγοραστοῦ, γίνεσθαι αὐτὸν[73] αὐτομάτως ἐλεύθερον.

νζ'. Ἡ[74] μάλα φίδε νομὴ τουτέστιν ἡ κακὴ τὸν κληρονόμον οὐκ ὠφελεῖ. διὰ δὲ[75] τῆς ι'ετίας ἢ κ'ετίας δεσπόζει τῶν πραγμάτων, εἴτε ἀγοραστής ἐστιν εἴτε κληρονόμος, εἰ[76] καὶ οἶδεν αὐτὸς ἀλλότριον εἶναι τὸ πρᾶγμα. καὶ ἐκ τοῦ ἐναντίου κακῶς ἀρξαμένου[77] νέμεσθαι τὸν τελευτήσαντα εἰς τὸν διαπράσαντα εἰ[78] καὶ ἐνεμήθη παρὰ τοῦ ἀγοραστοῦ ὁ ἀγοράσας[79] συνεζευγμένος ἑκατέρου προσώπου, ὁ χρόνος τῆς νομῆς σκοπεῖται τῷ δευτέρῳ ἀγοραστῇ. εἰ[80] τὴν τοῦ πράγματος περιεποίει[81] δεσποτείαν, κατὰ τὸν κανόνα τὸν λέγοντα μηδενὸς ἀφαιρεθῆναι τὴν μακρὰν παρὰ τοῦ χρόνου ἀμφίβολον[82] νομήν. σημ. τὸ αὐτὸ καὶ ἐὰν ὑποκείμενον πρᾶγμα πωλήσῃς, εἶτα ὁ ἀγοραστὴς ἐκτήσατο μακροῦ χρόνου παραγραφὴν, οὐδένα φόβον ἕξεις[83] διὰ τὸν κανόνα τὸν λέγοντα· μηδενός.

νη'. Ἐὰν πολλοὶ κληρονομοῦσι τὸν πράτην, μία ἐστὶν η περὶ τῆς ἐκνικήσεως ἀγωγὴ, καὶ πάντες παραγγέλλεσθαι καὶ πάντες διεκδικεῖν ὀφείλουσιν. εἰ δὲ καὶ τῶν λοιπῶν κατὰ ῥᾳ-

---

[70] Cod. IV, 44, 9. [71] F addit: *ἐὰν ἔλαβε τὸ ἄξιον τίμημα βι. δ' τί. με' τοῦ κώδ.* — Est Cod. IV, 44, 12. [72] Cod. IV, 49, 8. [73] V *γενέσθω — ἐλεύθερος.* [74] Totus hic locus ita male habet, ut sanari vix possit. Interim Codicum lectiones adnotavi. [75] V particulam *δὲ* non habet. [76] Deest in C. [77] V *ἀρξάμενον.* [78] Deest in C. [79] C videbatur habere *ἡ ἀγορασία.* [80] FV *καί.* [81] F *περιεποιεῖτο.* V *οὗπερ ἐποίει.* [82] V *καὶ ἀμφ.* F *παρὰ τοῦ ἀναμφίβ.* [83] Cod. VIII, 44, 19. — F haec subjicit: *Ὁ ἀγοράζων κληρονομιαῖα πράγματα μάλα φίδε νομεύς ἐστι τουτέστι κακὸς νομεὺς νοεῖται καὶ αὐτὸς καὶ οἱ κληρονόμοι αὐτοῦ πρὸ κατάρξεως καὶ καρποὺς καὶ γονὰς ἀπαιτεῖται. ὁ δὲ βόνα φίδε καλὸς νομεύς ἐστι καὶ τοὺς φαινομένους μόνον καρποὺς ἀπὸ τῆς προκατάρξεως.*

θυμίαν μὴ ἐρχομένων εἷς δικάσηται, τοῖς πᾶσι [νικᾷ] καὶ ἡττᾶται, καὶ καλῶς αὐτοῖς ὁ ἀγοραστὴς ἡττηθεῖσιν ἐνάγει[84].

νθ'. Ἐάν τις τὸ ἀλλότριον πωλήσῃ καὶ τελευτῶν τὸν τοῦ πράγματος δεσπότην γράφει[85] κληρονόμον, οὐ δύναται ἐκεῖνος ἀνατρέψαι τὸ συνάλλαγμα, δηλονότι καταδεξάμενος τὴν κληρονομίαν[86].

ξ'. Ἐὰν δὲ πρᾶγμα ἀντὶ πράγματος δοθῇ, ἀντάλλαγμά ἐστιν· εἰ δὲ ἐξ ἀρχῆς μὲν φανερὸν τίμημα ὡρίσθη, ἓν δέ τι κατὰ ἑτέρου[87] ἀντὶ τιμήματος παρασχεθῇ, πάλαι[88] ἔῤῥωται ἡ πρᾶσις. οὐδὲ γὰρ ζητοῦμεν φανερὸν καταβληθῆναι τίμημα, ἀλλὰ συμφωνηθῆναι. βι. δ' τί. ξδ' τοῦ κώδ.[89]

ξα'. Οὐ δύναται ὁ πράτης ἀνατρέπειν τὴν πρᾶσιν ἐκ τοῦ λέγειν· χρεῶν ἢ λειτουργιῶν ἐπικειμένων πέπρακα, ἢ ὅτι ὁ πενθερὸς τοῦ πράτου παρήγγειλεν[90].

ξβ'. Ἐὰν παραγγελθέντος καὶ παρόντος τοῦ πράτου ἐξενικήθη ὁ ἀγρὸς κατὰ δεσποτείαν ἢ ὑποθήκην, ἐνέχεται εἰς τὸ διπλοῦν, κἂν ὁ ἀγοραστὴς οὐκ ἐξεκαλέσατο[91].

ξγ'. Ὁ πράτης μετὰ χρόνον τοῦ ἐκνικηθῆναι τὸ πρᾶγμα προσφέρων αὐτὸ τῷ ἀγοραστῇ, οὐκ ἐκκλίνει τὴν εἰς τὸ διαφέρον καταδίκην[92].

ξδ'. Ἐκνικωμένου τοῦ πράγματος οὐ μόνον εἰς ἀνάληψιν τῆς τιμῆς ἁρμόττειν ἐπιτρέπει[93] ἡ ἀγωγὴ, ἀλλὰ καὶ εἰς τὸ διαφέρον[94].

ξε'. Ὁ πράτης γινομένης[95] τῆς ἐκνικήσεως δύναται συμπαρεῖναι. περαιωθείσης δὲ αὐτῆς οὐ δύναται ἀναπαλαίειν, εἰ μὴ ἐξεκαλέσατο. οὐκ ἄλλως δὲ εὐθύνεται ὑπὸ τοῦ ἀγοραστοῦ, εἰ μὴ ἀπηγγέλθη αὐτῷ παρ' αὐτοῦ[96].

ξϛ'. Τὸν πεπραμένον ἀγρὸν ὑπὸ τοῦ πατρὸς οὐ δύναται ἐκνικᾶν ὁ κληρονόμος εἴτε τοῦ πατρὸς εἴη[97] εἴτε αὐτοῦ, ἐπεὶ δικαίῳ κληρονομίας κρατεῖ[98].

ξζ'. Οἱ ὑπεξούσιοι ἡμῶν κατὰ γνώμην ἡμῶν πρᾶγμα ἡμῶν πιπράσκοντες ἢ τραδιτεύοντες τουτέστι παραδιδοῦντες δεσποτείαν μεταφέρουσιν. ὡς βι. με' τί. δ'[99]. πλὴν οὐ μεταφέρει δεσποτείαν πωλῶν ὁ προκουράτωρ ἰδικὸν μὴ ἔχων μανδάτον. ὡς βι. β' τί. ιβ' τοῦ κώδ. τῆς ιϛ' διατ.

---

[84] Dig. XXI, 2, 62 §. 1. [85] FV γράψῃ. [86] Cf. Dig. XXI, 3. [87] V ἓν δέ τι ἕτερον. [88] V πάλιν. [89] sc. const. 1. [90] Cod. IV, 44, 12. 13. [91] Dig. XXI, 2, 63 §. 1. [92] Dig. XXI, 2, 67. [93] Lege ἁρμόττει ἡ ἐξ ἔμπτο ἀγ. [94] Dig. XXI, 2, 70. [95] CV μὴ γιν. [96] Cod. VIII, 44, 21. [97] F ἦν. [98] Cod. VIII, 44, 14. [99] Non invenio.

ξη'. Εἰ μὲν τῆς γυναικὸς ἀγοραζούσης καὶ αὐτῇ παραδιδομένου τοῦ πράγματος ὁ ἀνὴρ μόνον τὸ τίμημα δέδωκε, δέσποινα μέν ἐστι, καὶ οὐ[100] δύναται κινῆσαι κατ᾽ αὐτῆς ἀπαιτῶν τὸ τίμημα, ὅπερ δέδωκεν εἰς τὸ διαφέρον ἐκείνῃ συνάλλαγμα. εἰ δὲ ὁ ἀνὴρ ἠγόρασε καὶ αὐτῷ τὸ πρᾶγμα παρεδόθη, καὶ αὐτὸς τὸ τίμημα δέδωκεν, εἰκονικῶς δὲ μόνον τὸ τῆς γυναικὸς ὄνομα ἐτέθη, δεῖ προσέχειν ἡμᾶς τῇ ἀληθείᾳ, ὅτι αὐτός ἐστιν ὁ δεσπότης[101].

ξθ'. Ὁ κατὰ αὐθεντίαν τὰ πράγματα τοῦ κατακριθέντος πιπράσκων καὶ κλέπτης καὶ ἅρπαξ ἐστίν. ὡς βι. μβ' τί. α' διγ. ζ'. ὅτι ὁ κατακριθεὶς οὐκ ἀπαιτεῖται μὲν πρὸ τῶν δ' μηνῶν, εἰ δὲ βούλεται καὶ πρὸ ταύτης ἐλευθεροῦται. ὑπὲρ αὐτοῦ γάρ ἐστιν ὁ χρόνος[102].

ο'. Τὸ πεκούλιον τοῦ δούλου κἂν συνεφωνήθη[103] ἐν τῇ πράσει δοθῆναι τῷ πράτῃ, οὐδὲν λαμβάνει. ὡς βι. ιε' τί. γ'[104]. καὶ ὁ ἐπὶ βλάβῃ τοῦ δεσπότου καταβάλλων τῷ δούλῳ τὸ πεκουλιάριον χρέος οὐκ ἐλευθεροῦται.

οα'. Ἐὰν δύο τισὶν τὸ αὐτὸ πρᾶγμα πωλήσω ἐν διαφόρῳ χρόνῳ, τῷ πρώτῳ ἀγοραστῇ συμβάλλεται, ᾧτινι καὶ ἐτραδιτεύθη τουτέστι παρεδόθη. ὡς βι. μ' τί. α' διγ. γ'[105].

οβ'. Τὰ τοῦ αἰχμαλώτου πράγματα ἕως ἂν ἐπιστρέψει οὐ πιπράσκονται[106].

ογ'. Ὁ παραγγελθεὶς[107] παρὰ τοῦ δεσπότου τοῦ πράγμα-

---

[100] Legerim αὐτὸς δὲ. V καὶ δύν. [101] Cod. IV, 50, 6. — F hoc loco intercalat haec: βι. δ' τί. ν' τοῦ κώδ. ἐὰν πατὴρ ἀγοράσῃ τὶ εἰς ὄνομα τοῦ ὑπεξουσίου αὐτοῦ υἱοῦ καὶ παραδῷ αὐτῷ αὐτεξουσίου γινομένου αὐτοῦ τὸ ἀγορασθὲν, ἐκείνου γίνεται. τὸ αὐτὸ καὶ ἐπὶ ὑπεξουσίου υἱοῦ, κἂν μὴ παραδοθῇ αὐτῷ, ἀλλ᾽ ἐπ᾽ ὀνόματι αὐτοῦ ἀγορασθῇ, ὡς ἴδιον λαμβάνει αὐτό. (Cod. IV, 50, 2.) — βι. γ' τοῦ κώδ. τί. λβ'. ὁ λαβὼν χρήματα παρά τινος εἰ ἀγοράσει τὶ ἐξ αὐτῶν, διεκδικεῖται, καὶ ὑπόκειται τὸ ἀγορασθὲν τῷ δεσπότῃ τῶν νομισμάτων. θεμάτισον ὅτι κατὰ τὸ μανδάτον τοῦ κυρίου τῶν νομισμάτων ἠγόρασε τὸ πρᾶγμα ὁ τὸ χρῆμα ἐσχηκώς. (Cod. III, 32, 8.) — ἡ προσποίησις οὐκ ἀδικεῖ τὴν ἀλήθειαν κἂν ἐγγράφως προέβη. τοσοῦτον ἡ ἀγαθὴ πίστις οὐ συμβάλλεται ὅσον ἡ ἀλήθεια. οὐ πιστεύομεν τῷ ἐγγράφῳ ἀλλὰ τῇ ἀληθείᾳ. ὅτι τὰ ἀληθῆ σκοποῦμεν καὶ οὐ τὰ γράμματα. (Cf. Cod. IV, 22.) [102] Dig. XLII, 1, 6 (§. 2) et 7. — F subjicit haec: σημ. δύναται ὁ δικαστὴς καὶ στενοῦν τὴν τετράμηνον καὶ ἐπεκτείνειν πρὸς τὴν ποιότητα τοῦ πράγματος καὶ τῶν προσώπων. σπανίως δὲ πρὸ τοῦ τεταγμένου χρόνου ἐκβιβάζονται αἱ ψῆφοι, οἷον εἰ τροφεῖα ὀρφανοῖς ὁρισθῶσιν, εἰ βοηθοῦμεν ἀφήλικα. σημ. βι. μβ' τί. α' διγ. β'. [103] V συνεφώνησεν. [104] Non invenio. Cf. Dig. XVIII, 1, 29. [105] Imo Dig. XLIV, 3, 6 pr. [106] Dig. XLII, 5, 39 §. 1. [107] C προαγγ.

τος μὴ ἀγοράσαι αὐτὸ, ἐὰν ἀγοράσῃ, ἀναδίδωσιν αὐτὸ μετα καρπῶν[108].

οδ'. Ἐὰν ἐκλείπῃ τὸ μέτρον τοῦ πραθέντος ἀγροῦ, ἀναλαμβάνει μέρος τοῦ τιμήματος ὁ ἀγοραστής[109].

οε'. Πέπρακέ μοί τις τὸν ἐμὸν οἰκέτην. ἄχρηστον τὸ συνάλλαγμα. παρὰ τὸ[110] *ἐμὸν πλεῖον ἐμὸν γενέσθαι οὐ δύναται.*

ος'. Τὰ ὀρφανικὰ πράγματα οὐ πωλοῦνται οὔτε εἰς διάλυσιν δίδονται, οὔτε ἀντικαταλλάσσονται, οὔτε δωροῦνται, δηλονότι χωρὶς δεκρέτου[111].

οζ'. Δοῦλος διοικῶν πράγματα τοῦ δεσπότου καὶ ἔχων ἐλεύθερα πεκούλια εἰς ὑπηρεσίαν καὶ πωλεῖ καὶ δανείζει.

οη'. Ὁ πραθεὶς οἰκέτης ἐφ' ᾧ μὴ ἐπιβῆναι τῆς ἰδίας πόλεως, οὐδὲ τῆς ῥώμης δύναται ἐπιβῆναι[112]. *εἰ δὲ ἐλευθερωθῇ ἐν ἐκείνῳ τῷ τόπῳ οὗ ἀπηγόρευται αὐτῷ ἐπιβῆναι, οὐκ ἔῤῥωται ἡ ἐπ' αὐτῷ προελθοῦσα ἐλευθερία*[113]. *πλὴν ἴσθι ὅτι ἀλλαχοῦ δύναται ἐλευθεροῦσθαι.*

οθ'. Καὶ ἐὰν μετὰ τὴν ἐλευθερίαν ἐπιβῇ τοῦ ὡρισμένου τόπου, πωλεῖται διηνεκῶς ὑπὸ τοῦ φίσκου. ὡς βι. δ' τί. νε' διατ. α' τοῦ κώδ.

π'. Ὁ πωλῶν τὸν δεσπότην αὐτοῦ κεφαλικῶς τιμωρεῖται[114].

πα'. Ἡ πραθεῖσα ἐπὶ τῷ μὴ ποιῆσαι πόρον ἐκ τοῦ ἰδίου σώματος, οὐδὲ ἐν καπηλείῳ οὐδὲ ἐν ἄλλῳ τόπῳ καλῶς προΐσταται. ὡς βι. δ' τί. νε' διατ. α' τοῦ κώδ.[115]

πβ'. Ὁ πραθεὶς ἐπὶ τῷ μὴ ἐλευθερωθῆναι, κἂν τύχῃ ἐλευθερίας, οὐ γίνεται ἐλεύθερος. βι. κθ' τί. ε'[116].

πγ'. Ἐὰν καλῇ πίστει δοῦλόν σου ἀπὸ κλέπτου ἀγοράσω, καὶ ὁ δοῦλός σου ἀγοράσει δοῦλον ἕτερον, τὸ τίμημα διδοὺς ἐκ τοῦ ἁρμόζοντός σοι πεκουλίου, καὶ παραδοθῇ μοι ὃ ἠγόρασεν, ἀπαιτεῖς με αὐτὸ, διδούς μοι εἴ τι περὶ τὸ πρᾶγμα ἐδαπάνησα[117].

---

[108] Cod. III, 32, 17. [109] Dig. XXI, 2, 69 §. 6. [110] Legerim *τὸ γὰρ* vel *ἐπείπερ τὸ.* [111] Cod. V, 71, 4. — F addit: *Καὶ χωρὶς δεκρέτου καλῶς πωλεῖται τὸ τοῦ ἀφήλικος πρᾶγμα κελευσθεὶς ὑπὸ τεστάτωρος.* (Cod. V, 72, 2.) [112] Cod. IV, 55, 5. [113] Cod. IV, 55, 3. [114] Cod. IV, 55, 4. [115] Imo Cod. IV, 56, 3. [116] Cod. IV, 57, 5. Laudari autem videtur Basil. XIX, 7, 21. [117] Dig. XII, 1, 31 §. 1 et XIX, 1, 24 §. 1.

ΤΙΤΛΟΣ ιζ΄.

Περὶ δανείου καὶ ἐνεχύρου καὶ τόκου.

α΄. Ὅρος δανείου ἐστὶ, τὸ τὸν λαβόντα γίνεσθαι δεσπότην, εἶναι δὲ ἡμῖν ἔνοχον οὐκ εἰς τὰ αὐτὰ ἀλλ᾽ εἰς ἕτερα τῆς αὐτῆς ὑποστάσεως καὶ ποσότητος. διὰ τοῦτο εἶπον τὸν λαβόντα γίνεσθαι δεσπότην, ἵνα φύγω χρῆσιν καὶ παρακαταθήκην. ἐπὶ τούτων γὰρ ὁ δανεισάμενος οὐ γίνεται δεσπότης[1]. σημ. δάνειον οὐ συνίσταται, εἰ μὴ δεσπότης γένηται τῶν νομισμάτων ὁ δανεισάμενος. βι. β΄[2], ιη΄ καὶ ν΄.

β΄. Ἀπὸ πάσης αἰτίας καὶ ἐνοχῆς δήλου τε καὶ ἀδήλου φανερὰ ἀπαίτησις ἁρμόζει, φανεροῦ ὄντος τοῦ ἀπαιτουμένου. ἔξεστι γὰρ ἀπὸ παντὸς συναλλάγματος ἀπαιτεῖν φανερῶς, χωρὶς αἱρέσεως οὔσης τῆς ἐνοχῆς. τὰ γὰρ ὑπὸ ἡμέραν ἢ ὑπὸ αἵρεσιν οὐ δύνανται[3].

γ΄. Ὅτε ληγάτον ἢ γραμματεῖον ἢ ἐπερώτησις οὐ μέμνηται πρὸς καταβολὴν ῥητοῦ τόπου, ἐν παντὶ τόπῳ καλῶς ἀπαιτεῖται τὸ τοιοῦτον χρέος, ὡς βι. λγ΄ τί. α΄ διγ. α΄. ἐνοχὴ ἡ μὴ ἔχουσα χρόνον εὐθὺς ποιεῖ τὸ χρέος ὀφείλεσθαι[4].

δ΄. Ἔχων δοῦλος ἐλευθέραν πεκουλίου διοίκησιν δανείζει. ὁ δὲ φυγὰς καὶ οἱ λοιποὶ παρὰ γνώμην τοῦ δεσπότου δανείζοντες οὐ ποιοῦσιν αὐτὰ τῶν λαμβανόντων. ἐκδικοῦσιν γὰρ αὐτὰ οἱ δεσπόται φαινόμενα[5]. ὡς βι. ιδ΄ τί. γ΄ διγ. ιθ΄· δοῦλος ἐπιτραπεὶς δανεῖσαι ἰσχυρῶς δελεγατεύει τῷ ἑτέρῳ, τουτέστι τῷ μέλλοντι δανείζεσθαι παρὰ αὐτοῦ. σημ. ὑπεξούσιος ἀλλότριον χρέος ἐπερωτώμενος νοβατεύει τὴν ἐνοχὴν καθ᾽ ἑαυτόν. τί. ϛ΄[6] διγ. γ΄.

ε΄. Ὁ προσποιησάμενος ἑαυτὸν αὐτεξούσιον καὶ δανεισάμενος, γενόμενος δὲ ἀπὸ κληρονόμων ἢ αὐτεξούσιος, κἂν μὴ εὐπορῇ, ἀπαιτεῖται. βι. μβ΄ τί. α΄ διάτ. α΄[7].

ϛ΄. Μεταξὺ τῶν ἐξ ὁμοίας αἰτίας ἐποφειλομένων καλλίων ἐστὶν ὁ προλαβὼν, καὶ οὐδὲ ἀφαιρεῖται[8].

---

[1] Theoph. Inst. III, 14 pr. [2] Lege *βι. ιβ΄ τί. α΄ διγ. ιη΄.* [3] Dig. XII, 1, 9. [4] F addit: *ὅτε χωρὶς [ἡμέρας] ἐπερωτᾶταί τις, παραχρῆμα ἐνέχεται, εἰ μὴ τόπος πρόσκειται· τότε γὰρ περιμένομεν τὴν ἡμέραν, ἐν ᾗ δύναται εἰς τὸν τόπον ἀπελθεῖν. ἡ δὲ τῆς ἡμέρας προσθήκη ὑπὲρ τοῦ ῥέου ἐστὶν, ἵνα [μὴ] παραχρῆμα ἐνέχῃ.* (Dig. XLV, 1, 41 §. 1.) — *ὁμολογῶν ἐν βήματι χρεωστεῖν μεθοδεύεται ὥσπερ ὁ καταδικασθεὶς, καὶ οὐκοῦν ἔχει δῆλον τὴν τετράμηνον εἰς ὑπέρθεσιν καταβολῆς.* (Cod. VII, 59, 1.) [5] Dig. XII, 1, 11 §. 2. [6] C *ιϛ΄*. Sed est Dig. XIV, 6, 3 §. 3. [7] V *ια΄*. Imo dig. 10. [8] Dig. XLII, 1, 19 §. 1.

ζ'. Ὁ ὑπὸ ἡμέραν ἢ αἵρεσιν χρεωστῶν κἂν λανθάνῃ, οὐ πάσχει διάπρασιν πρὸ τῆς ἡμέρας ἢ τῆς αἱρέσεως. διγ. ζ'[9].

η'. Εἴ τις διὰ περιγραφὴν κρύπτεται, τουτέστι λανθάνει τὸν δικαστὴν, καὶ μὴ δεφεντεύεται, καὶ νομὴν καὶ διάπρασιν ἐπὶ τοῖς οἰκείοις ὑφίσταται[10].

θ'. Ὁ ἐκστὰς οὐ στερεῖται τῶν οἰκείων πρὸ τοῦ πραθῆναι αὐτά. εἰ οὖν θέλει δεφεντεῦσαι αὐτὰ, οὐ πιπράσκονται. τί. γ' διάτ. α'[11]. τὸ δὲ καταλειφθὲν αὐτῷ δαπάνημα παρά τινος, εἴτε μηναῖον εἴη εἴτε ἐτήσιον, ἢ διὰ οἶκτον, κἂν οὐσούφρουκτός ἐστιν οὐ πιπράσκεται· ἀλλ' οὐδὲ ὑπὸ ἄλλου τινὸς ἐνοχλεῖται[12].

ι'. Τὸν μὴ κατὰ δικαίαν αἰτίαν λανθάνοντα ἀλλὰ κατὰ ἀπάτην ἄπεστι[13], κἂν ἐπὶ κληρονομίας κἂν ἐπὶ λεγάτου κἂν ἐπὶ ἀγορασίας[14] ἐνάγηται, εἰς νομὴν ἐκείνων πέμπομεν[15]. ἀνάγν. κεφ. ιε'.

ια'. Τὰ εἰς περιγραφὴν τῶν δανειστῶν ἐλάττονος πωλούμενα ἢ λεγατευόμενα ἢ δωρούμενα ἢ εἰς προῖκα διδόμενα καὶ ἁπλῶς ἐκποιούμενα[16], εἴσω ἐνιαυτοῦ ἕξει τὴν ἀγωγὴν, ἐν ᾗ δύναται κινεῖν καὶ ἀνατρέπειν κατὰ τοῦ περιγράψαντος. σημ. τῇ δὲ δόλῳ διετίαν ἐχούσῃ τὴν ἀγωγήν[17].

ιβ'. Οὐ πιπράσκονται τοῖς τοῦ χρεώστου πράγμασι, παλλακὴ [καὶ] παῖδες φυσικοί[18]. κἂν ἀφῆλιξ πεμφθῇ [εἰς] νομὴν ἀνήβου πράγματος, χρὴ τὸν ἄνηβον ἐκ τῶν οἰκείων τρέφεσθαι μέχρι τῆς ἥβης[19].

ιγ'. Ὁ εἰς τὸ καταρτηθῆναι πλοῖον ἢ κατασκευασθῆναι ἢ ἀγορασθῆναι δανείσας προνόμιον παρὰ τοὺς μὴ τοιούτους προδανείσαντας [ἔχει]. τὸ αὐτὸ καὶ ὁ ἐπὶ στρατείαν δανείσας ἢ καὶ ἐπανόρθωσιν οἴκου. διγ. κθ'[20].

ιδ'. Ἐν ταῖς περσοναλίαις οἱ δανείσαντες ἐφ' ᾧ τοῖς πρώτοις δοθῆναι δανεισταῖς, εἰς τὸν τόπον αὐτῶν ὑπεισέρχονται. βι. μβ' τί. γ' διατ. β'.

---

[9] Dig. XLII, 4, 7 §. 14. [10] Dig. XLII, 4, 7 §. 1. — F subjicit: *Τοῖς χρεώσταις αἰτοῦσι δίδοσθαι προθεσμίαν ... μὴ διδούντων ἐνέχυρα λαμβάνεται καὶ εἰ ἐντὸς δύο μηνῶν μὴ δώσωσι πιπράσκονται καὶ εἴ τι περιττεύσει ἐκ τῆς τιμῆς ἀναλαμβάνουσιν.* (Dig. XLII, 1, 31.) [11] Dig. XLII, 3, 3. [12] Ibid. dig. 6. [13] Forte *ἀπόντα*. V *εἰ καὶ ἄπεστι*. [14] C *ἀγροῦ*. V *ἀγορᾶς*. Reliqua *ἀνακόλουθα* sunt. Cf. Dig. XLII, 4. [15] A *πεμπόμενος*. [16] Etiam haec *ἀνακόλουθα* sunt. Cf. Dig. XLII, 8. [17] Lege *τῇ ἀγωγῇ*. [18] Dig. XLII, 5, 38 pr. [19] Ibid. dig. 39 pr. [20] Dig. XLII, 5, 26.

ιε΄. Ὁ πεμφθεὶς εἰς νομὴν πράγματος μὴ τρεφέσθω ἐξ αὐτοῦ. βι. μβ΄ τί. γ΄ διγ. ζ΄[21].

ις΄. Λέγει ὁ πραέτωρ· ὅσα τὶς διὰ βλάβην δανειστῶν εἰδότος σοῦ μετὰ σοῦ [ἔπραξεν], εἰ μὴ παρῆλθεν ἐνιαυτὸς οὐτίλιος, ἀποκατάστησον. ἔσθ᾽ ὅτε κἂν μὴ ἔγνω, ὑπόκειται τῇ ἰμφάκτουμ ἀγωγῇ[22].

ιζ΄. Ἐὰν γυνὴ ἐπὶ περιγραφῇ δανειστῶν χρεωστοῦντι τῷ ἀνδρὶ ποιήσῃ ἀκεπτιλατίονα τουτέστιν ἔγγραφον ὀνόματι προικὸς, ὅλον τὸ χρέος ἀπαιτεῖται ὁ ἀνὴρ καὶ σβέννυται ἡ προῖξ. οὐδὲ γὰρ συνίσταται προῖξ ἐπὶ περιγραφῇ δανειστῶν. διά τε τῆς ἀγωγῆς ταύτης... ὡς βι. μβ΄[23].

ιη΄. Ἐὰν μέλλοντά σε δωρήσασθαι ὑπέρμετρον δωρεὰν δελεγατεύσω τῷ δανειστῇ μου, οὐκ ἔχεις κατ᾽ αὐτοῦ παραγραφήν· αὐτὸς γὰρ τὸ ἴδιον ἀπολαμβάνει[24]. τὸ αὐτὸ καὶ ὑπὲρ γυναικὸς ληγατευούσης ὑπὲρ προικὸς τὸν μέλλοντα αὐτῇ δωρεῖσθαι[25].

ιθ΄. Ἐπὶ ἑκατέρου θέματος ὁ δελεγατευθεὶς ἔχει κατὰ τοῦ δελεγατεύσαντος τὸ ἰνδέβιτον τουτέστι τὸ ἀχρεώστητον, ἵνα ἢ τὴν ὁμολογίαν ἀναλάβῃ, ἢ τὰ χρήματα, ἐὰν ἤδη κατέβαλεν[26].

κ΄. Φιλαγάθως ἀναγκάζεται ὁ ἐνάγων ὑποδέχεσθαι μέρος τοῦ δανειστοῦ[27]. ὁ δανείζων πραγματευτῇ δούλῳ τὸν προστήσαντα δεσπότην ἀπαιτεῖ[28].

κα΄. Τὰ ἐν ἀγνοίᾳ τοῦ δανειστοῦ μεταξὺ τῶν ἐγγυητῶν γινόμενα σύμφωνα τὸν δανειστὴν οὐ βλάπτει[29].

κβ΄. Δανείζων τῷ προκουράτωρί μου τῇ πρὸς ἐμὲ ἐννοίᾳ οὐδεμίαν ἔχεις κατ᾽ αὐτοῦ ἀγωγήν.

κγ΄. Εἰ καὶ κωλύοντός σου δανείσω τῷ κοινωνῷ σου, ἔρρωται τὸ δάνειον, καὶ δύναμαι αὐτὸ ἀπαιτεῖν.

κδ΄. Οὐκ ἀναγκάζεται ὁ δανειστὴς μέρος ἐλευθερῶσαι τοῦ ἐνεχύρου, εἰ μὴ ὅλον ἀπολάβῃ τὸ χρέος. βι. ιβ΄[30] τί. ιβ΄ διγ. ιβ΄[31].

κε΄. Καλῶς ἀπαιτεῖται τοὺς οἰκείους λόγους προσφέρειν ὁ δανειστὴς εἰς τὴν τῆς ἀληθείας ἀπόδειξιν, ὅτε ἀγράφως κατέβαλεν ὁ χρεώστης καὶ ὁ δανειστὴς ἐσημειώσατο ἐν τοῖς βρεβίοις αὐτοῦ. ἔξεστιν αἰτεῖν αὐτὸν καὶ ὅρκον[32]. σημ. ὅτι ἐν ταῖς παραγραφαῖς ὁ ἐναγόμενος βαρεῖται ταῖς ἀποδείξεσι. κα-

[21] Dig. XLII, 4, 7 pr. [22] Dig. XLII, 8, 10 pr. [23] Dig. XLII, 8, 10 §. 14. [24] Dig. XLIV, 4, 5 §. 5. [25] F hic adjicit: *Οὐ καταβλάπτει τὸν κληρονόμον ὁ λεγατάριος διδοὺς εἰς ἐνέχυρον τὸ λεγατευθὲν αὐτῷ πρᾶγμα.* [26] Dig. l. l. [27] Lege *τοῦ δανείου.* Dig. XII, 1, 21. [28] Dig. XII, 1, 29. [29] F addit: *σημ. τὰ μεταξὺ ἄλλων συμφωνούμενα ἢ κρινόμενα ἄλλους οὐ καταβλάπτει.* [30] F ι΄. [31] Imo Dig. XX, 1, 19. [32] Cod. II, 1, 5.

λῶς δὲ καὶ ἐπὶ τοὺς δόλῳ παραγραφὴν ποιοῦντας. Κἂν προφάσει τῶν δημοσίων ἐνάγεταί τις, οἱ δημόσιοι προσφερέσθωσαν λόγοι, κἂν ἰδιωτικῶς κἂν πολιτικῶς ἐνάγεται[33].

κϛ'. Καλῶς ἐπιζητεῖ καὶ τοῦ ἰδιώτου δανειστοῦ τοὺς λόγους προσενεχθῆναι, καὶ τοὺς πολιτικοὺς ἢ δημοσίους λόγους, ἵνα ἐκ τούτων ἀποδειχθῇ πόσον καταβέβληται[34].

κζ'. Τὰ κληρονομιαῖα βάρη πρὸς τοὺς γεγραμμένους κληρονόμους καταβάλλεται τὸ χρέος[35], κἂν οἱ μὲν μείζονα ἐκληρονόμησαν, οἱ δὲ ἐλάττονα[36].

κη'. Ὁ τὰ ἀλλότρια πράγματα οἰκείῳ προσώπῳ δανείζων καὶ ἐπερωτῶν αὐτὰ ἐπ' αὐτὸν ἀποδοθῆναι, αὐτὸς κτᾶται τὴν ἐνοχὴν, οὐ μὴν ὁ κύριος τῶν χρημάτων, εἰ μὴ ἄρα [ὁ] ταῦτα δανείζων ἐκχωρήσει αὐτῷ[37] τὰς ἐπὶ χρέει ἀγωγάς[38].

κθ'. Ἐπὶ τῆς μεταθέσεως τοῦ χρέους ἐὰν ἐπερώτησις οὐ γέγονεν, ἐγράφη δὲ μόνον ἐν τῷ συμβολαίῳ τῶν δανεισμάτων[39], κἂν συνεφωνήθη τόκος, οὐκ ἐνήλλακται ἡ ἀρχαία ἀγωγὴ, ἀλλὰ μένει[40]. σημ. τὰ ἀπὸ συμφώνου ἐπὶ τῶν βεβιασμένων ἐπερωτώμενα[41] οὐ συνίσταται τόκος.

λ'. Ὁ δελεγατεύων μοι χρεώστην τοιοῦτον, ὅστις δύναται ἀπὸ νόμου βοηθῆναι, οὐ δοκεῖ πεποιηκέναι δελεγατίονα. βι. ιϛ' τί. α'[42].

λα'. Ὁ περισσότερα ἀπαιτῶν ὧν ἐποφείλεται, καὶ τοῦ χρεωστουμένου ποσοῦ ἐκπίπτει καὶ ἄλλο διπλοῦν δίδωσιν, εἰ μὴ ἄρα μετεμελήθη πρὸ κατάρξεως, ὡς βι. δ' τί. ι'[43].

λβ'. Ὁ κινῶν πρὸ τῆς προθεσμίας ἄλλον τοσοῦτον χρόνον μεινάτω, μηδὲ τόκους ἐν τῷ μεταξὺ λαμβάνων[44].

λγ'. Περαιτέρω τῶν ν' λιτρῶν χειρόγραφον οὐκ ἔῤῥωται ἰδιόγραφον μὴ ἔχον τριῶν μαρτύρων ὑπογραφήν. σὺ δὲ γνῶθι ὡς φησὶν ἡ νεαρὰ, μὴ ἐῤῥῶσθαι ἀμάρτυρον ἴδιον χειρόγραφον

---

[33] Cod. II, 1, 6. — F hoc loco haec habet: Ὁ ἐνταλθεὶς δανεῖσαί τινα μετὰ ἐνεχύρων, ἐὰν χωρὶς ἐνεχύρων δανείσῃ, οὐκ ἔχει ἀγωγὴν κατὰ τοῦ ἐντειλαμένου. βι. η' τί. μ' διατ. ζ' τοῦ κώδ. ἀνάγν. κεφ. κε'. — Ὁ εἷς τῶν κληρονόμων ἀξιωθεὶς πληρῶσαι τοὺς δανειστὰς μόνος ὑφεξαίρει τὰ χρέη. βι. λε' (tit. 2. dig. 8) λέγον ὅτι οὐδὲν πλέον τῶν προσόδων ἀπαιτεῖται τοῦ δοῦναι ὁ κληρονόμος τῷ δανειστῇ. — Καὶ πάλιν ἕκαστον πρᾶγμα τῆς κληρονομίας δεσποτείαν περιποιεῖ. βι. λβ' τί. ζ' (?) ὅτι τὰ εἰκονικῶς γινόμενα οὐκ ἰσχύει. [34] Thalel. ad Cod. II, 1, 6. Basil. ed. Heimb. II p. 630. [35] Corruptela. [36] Cod. IV, 2, 1. [37] C ἐπ' αὐτῷ. V ἐπ' αὐτὸν. [38] Cod. IV, 2, 2. [39] Basil. τὸ δάνειον. [40] Cod. IV, 2, 6. [41] Lege: ὅτι ἀπὸ —, et dele glossema, quod in verbo ἐπερωτ. latere videtur. [42] sc. dig. 8 §. 8. [43] V δ'. Sed est Cod. III, 10, 2. [44] Cod. III, 10, 1.

περαιτέρω τῆς μιᾶς λίτρας, εἴπερ ὁ ἐναγόμενος οὐ προσίεται τὴν αὐτοῦ πίστιν δηλονότι ἔχων τριῶν μαρτύρων ὑπογραφήν[45]. ὡς βι. δ' τί. β' διατ. ιε' τοῦ κώδ.[46]

λδ'. Ὁ δανεισάμενος εἰς ἐπίκοινον πρᾶγμα μετὰ τοῦ ἰδίου κοινωνοῦ, ἐὰν μόνος καταβάλλῃ τὸ χρέος, ἔχει κατὰ τοῦ κοινωνοῦ ἀγωγὴν, κἂν μή εἰσι ῥέοι προμιτένδοι ποστουλάνδοι. καὶ οἱ τοιοῦτοι γὰρ χρεῶσται καταβαλόντες ἔχουσι κατὰ ἀλλήλους ἀγωγήν. ὡς βι. η' τί. λθ' διατ. β' τοῦ κώδ.[47]

λε'. Ὁ ἀπαιτούμενος χρέος καὶ ἐρωτώμενος[48], οὐκ ἀναγκάζεται ἐν μέσῃ χειρωθῆναι[49] αὐτὸ πρὸ τοῦ δειχθῆναι ὅτι χρεωστεῖ. βι. δ' τί. δ' διατ. α' τοῦ κώδ.

λϛ'. Τὰ ἐξ ἀρνήσεως διπλασιαζόμενα, εἰ καταβληθῇ, οὐ ῥεπετιτεύονται. ὡς βι. δ' τί. ε' διατ. δ' τοῦ κώδ.

λζ'. Οἱ χειρογραφήσαντες ὑπέρ τινος μέλλοντος δανείσασθαι, ἐὰν αὐτοῖς ἤ τισιν ἐξ αὐτῶν μὴ καταβληθῶσι τὰ δανειζόμενα, ἢ μήτε ἐγγυήσωνται τὸν δανειζόμενον, οὐ κατέχονται. ἔχουσι γὰρ τὴν τῆς ἀναργυρίας παραγραφὴν ἐντὸς τοῦ ὡρισμένου χρόνου, τουτέστι τῆς διετίας. ὅτι κἂν ὑπὲρ ἑαυτοῦ τις καὶ μὴ ὑπὲρ ἄλλου χειρογραφήσῃ, καὶ μὴ ἀπαριθμηθῇ αὐτῷ τὰ νομίσματα, οὐκ ἐνέχεται, εἰ μὴ ἄρα μέρος καταβάλῃ. ὡς βι. δ' τί. λ' τοῦ κώδ.[50].

λη'. Ἐάν τις ἀπαριθμήσῃ νομίσματα καὶ ἄλλος ὑπὲρ αὐτοῦ ἐπερωτηθῇ, κατέχεται ὁ ἐπερωτηθεὶς, καὶ οὐ δύναται λέγειν, ὅτι ἐμοὶ οὐκ ἀπηριθμήθη τὰ νομίσματα. εἰ δὲ μὴ ἐπερωτηθῇ ὁ ὑπογράψας, ἀλλὰ ψιλῶς μόνον ὑπέγραψεν ὑπὲρ ἄλλου, οὐ κατέχεται, ὡς προείπομεν. ὡς βι. δ' τί. β' διατ. δ' τοῦ κώδ.[51]

λθ'. Ἐν τῇ παραγραφῇ τῆς ἀναργυρίας ὁ δανειστὴς βαρεῖται τῇ ἀποδείξει. οὐ μόνον εἴσω τῶν δύο ἐτῶν τοῦτο δύναται δεῖξαι, ἀλλὰ καὶ διὰ παντὸς, τουτέστι διὰ τῆς τριακονταετίας, οὐ κωλύεται δεικνύειν, ὡς ἀπηρίθμησεν ὁ δανειστὴς τῷ χρεώστῃ τὰ νομίσματα. ὡς βι. δ' τί. β' διατ. δ' τοῦ κώδ.[52]

---

[45] Haec verba *ἔχων κ. τ. λ.* abundare videntur. [46] Imo c. 17. Cf. Bas. ed. Heimb. II p. 652. [47] Cod. IV, 2, 12. Cf. Basil. Heimb. II p. 650. [48] Lege *ἀρνούμενος*. [49] Forte *χειρὶ θεῖναι*. [50] Cod. IV, 2, 5 ex versione Theodori. Basil. Heimb. II p. 646. — F addit: *ὁ ἔχων ἀναργυρίας παραγραφὴν καὶ μὴ δυνάμενος ἀντιτεθῆναι αὐτὴν διὰ τὸν φόβον τοῦ ἰδίου διαδίκου, ποιείσθω διαμαρτυρίαν παρὰ τῷ ἄρχοντι ἢ τῷ ἐπισκόπῳ, καὶ διακόπτει τὸν τῆς διετίας καιρόν. βι. β' τί. δ' διατ. κ'.* (Imo Cod. IV, 30, 14 §. 4.) [51] Theod. ad Cod. IV, 2, 5. [52] V *τί. β' διατ. ζ'.* — Vide Theod. ad Cod. IV, 30, 10 in Bas. Heimb. II p. 660.

μ'. Ὁ χειρογραφῶν καὶ μηδὲν λαβὼν, ἐὰν καταβάλῃ μέρος τοῦ κεφαλαίου ἢ τοῦ τόκου, δοκεῖ τὸ πᾶν χρέος ἐπιγνῶναι, καὶ οὐδὲ ἔχει τὴν τῆς ἀναργυρίας παραγραφήν. διάτ. δ'[53].

μα'. Ἐὰν καταβάλῃ τὶς ὑπέρ τινος μὴ χρεωστοῦντος ὡς[54] χρεωστοῦντος, αὐτὸς μὲν οὐκ ἔχει repetitίονα, ἐκεῖνος δὲ, ὑπὲρ οὗ κατέβαλε, κινεῖ τὸ ἰνδέβιτον, τουτέστι τὸ ἀχρεώστητον. σημ. βι. δ' τί. ε' διατ. α'[55]. ἰνδέβιτον δεδωκὼς λεγάτον ἢ φειδικόμισσον repetiτεύει αὐτὸ, τουτέστι ἀναλαμβάνει αὐτὸ, οὐ μὴν καὶ τὸν τόκον αὐτῶν[56]. εἰ δὲ εἰδήσει κατέβαλεν, οὐ ῥεπετιτεύει αὐτό. διάτ. θ'[57].

μβ'. Ὁ καταβάλλων χρεώστης πλαστῷ προκουράτωρι οὐκ ἐλευθεροῦται τῆς κατ' αὐτοῦ ἐνοχῆς· ὅθεν ἔχει ῥεπετιτίονα ἐφ' οἷς δέδωκεν[58]. ἀνάγν. τί. ι' κεφ. μδ' καὶ τὸ σχόλιον[59].

μγ'. Ἐὰν ἁρπαγῶσι τὰ δανεισθέντα τοῖς πραγματευταῖς, κινείτω ὁ δανειστὴς κατὰ τῶν πραγματευτῶν καὶ μὴ κατὰ τῶν ἁρπασάντων. ἔγνως γὰρ πολλαχοῦ, ὡς ὁ κίνδυνος τῶν πραγμάτων τῶν δανεισθέντων τοῖς δανειζομένοις ἀνήκει.

μδ'. Ὁ ἀπό τινος χρεωστούμενος, εἰ γραφῇ ὑπ' αὐτοῦ εἰς μέρος κληρονόμος, κινεῖ κατὰ τῶν συγκληρονόμων κατὰ ἀναλογίαν ὑπὲρ ὧν ἐποφείλεται. εἰ δὲ μόνος κληρονόμος γένηται τοῦ χρεώστου, τῷ λόγῳ τῆς συγχύσεως καὶ ὁ ἐγγυητὴς ἐλευθεροῦται. δεσπότης γὰρ γενόμενος τοῦ δανειστοῦ[60] οὐκέτι σώζεται ἡ περὶ τοῦ χρέους ἀγωγὴ, ἀλλὰ σβέννυται διὰ τῆς συγχύσεως τῇ ἑνώσει τῶν δύο ὑποστάσεων τοῦ χρεώστου καὶ τοῦ δανειστοῦ.

με'. Ὁ ἐμπρησμὸς οὐκ ἀπαλλάσσει τὸν χρεώστην τοῦ δανείου. σημ. ὅτι πᾶσι τοῖς τυχηροῖς τοῖς ἐπὶ δανεισθείσῃ ποσότητι ὁ δανεισάμενος ὑπόκειται[61].

μϛ'. Ἐάν τις ἄλλου δανεισαμένου αὐτὸς ὑπογράψῃ μὴ ἐπερωτηθεὶς, οὐ κατέχεται. σημ. εἰ δὲ ψυχικῇ προαιρέσει ἔγραψεν, ὁμολογουμένως ἔῤῥωται[62].

μζ'. Ὁ δανείσας ἄρχοντι ἐπαρχίας, ἐὰν ἐν τῇ ἐπαρχίᾳ, ᾗ ἄρχει, παραγένηται ὀφείλων λαβεῖν παρ' αὐτοῦ τὸ κεχρεωστημένον, ἐπειδὴ πρόξενος αὐτῷ γίνεται κλοπῆς, ὡς ἀγοραστὴς τῶν νούμμων ἐξοριζέσθω. εἰ δὲ μέλλοντι αὐτῷ ἄρχειν δανείσῃ τὴν δόσιν τῆς ἀρχῆς, αὐτὸς καὶ ὁ ἄρχων ἐξοριζέσθω[63].

μη'. Ὁ κατὰ βίαν οἰκέτην λαβὼν, ἐντὸς μὲν τοῦ τετραμή-

---

[53] Cod. IV, 30, 4. [54] Verba μὴ χρ. ὡς in CV desunt. [55] Imo const. 6. [56] Cod. IV, 5, 7. [57] sc. Cod. IV, 5. [58] Cod. IV, 5, 8. [59] sc. supra? Nec tamen reperire potui. [60] V δεσπότου. [61] Cod. IV, 2, 11. [62] Cod. IV, 2, 14. [63] V ὡς βι. ιβ' τί. ϛ'. Sed est Cod. IV, 2, 16.

νου το τριπλοῦν ἀπαιτεῖται, μετὰ δὲ τὸ τετράμηνον καὶ τὴν τιμὴν τοῦ οἰκέτου, κἂν ἐτελεύτησεν ὁ οἰκέτης[64].

μθ΄. Τοῦ χρεώστου κατὰ βίαν ἀφελομένου τὸ ἐνέχυρον, δίδοται τῷ δανειστῇ κατ᾽ αὐτοῦ ἡ μέτους καῦσα[65]. καὶ οὐδὲ λογίζεται τῷ χρεώστῃ εἰς χρέος, ὅτι ἀπὸ τῆς μέτους καῦσα ἀπητήθη[66].

ν΄. Ἡ κεχρεωστημένη προῖξ προτιμᾶται ὅλων τῶν δανειστῶν τοῦ ἀνδρός. ὅμως ἐάν τις δανείσῃ ἐπὶ τὸ τὸν ἄνδρα ἢ τοὺς παῖδας αὐτῆς στρατευθῆναι, καὶ συνεφώνησεν ἐγγράφως ὥστε κυριώτερον αὐτὸν εἶναι τῆς προικὸς κάσου τινὸς συμβάντος τουτέστιν ἀτυχήματος προτιμᾶται ὁ τοιοῦτος τῆς προικὸς, ἐὰν ὅλως πρόκειται καὶ ἡ στρατεία εἰς τὸν οἶκον[67] κατὰ τὴν κζ΄ νεαράν[68].

να΄. Ὁ κατὰ βίαν ἢ φόβον ποιῶν τὸν δανειστὴν[69] παρασκευάσαι ἀκεπτιλατίονα πρὸς τὸ καὶ τοὺς ἐγγυητὰς ἐλευθερῶσαι, δίδοται καὶ κατὰ τῶν ἐγγυητῶν ἡ μέτους καῦσα εἰς τὸ[70] πάλιν ἐνόχους ἐγκαταστῆσαι τῷ δανειστῇ κατὰ τὸ πρότερον σχῆμα. ὡς βι. δ΄ τί. β΄[71].

νβ΄. Ἐὰν προσενέγκω τῷ δανειστῇ μου τὸ χρέος, ὁ δὲ μὴ δέξηται, ἀλλ᾽ ἐπαγγέλληται μετὰ ι΄ ἢ κ΄ ἡμέρας δέχεσθαι, ἐν τῷ μέσῳ δὲ ἐναλλαγῇ τῶν νούμων ἡ πολιτεία, οὐ ζημιοῦται ὁ δανειστὴς, ἀλλὰ πρὸς τὴν νέαν πολιτείαν ἀπαιτεῖ. εἰ δὲ καὶ ἐπίτροπος ἐπὶ τῷ εὐπίστως δανεῖσαι τὰ τοῦ πουπίλου χρήματα φυλάξει αὐτὰ, οὐ ζημιοῦται ἐκ τῆς τῶν νούμων ἐναλλαγῆς[72].

νγ΄. Ἐὰν συμφωνηθῇ μετὰ τοῦ χρεώστου, εὐθὺς μετὰ τὸ ὑπερβῆναι τὸν ὅρον διαπιπράσκεσθαι τὸ ἐνέχυρον, οὐκ ἀναιρεῖ τὴν τοῦ ἐνεχύρου ἀγωγὴν, ὅτ᾽ ἂν ἐλάττονος πωλήσῃ ὁ δανειστής. ὑπόκειται γὰρ ὁ δανειστὴς τῷ συμφώνῳ τῷ ἐν τῷ πλήθει πολιτευομένῳ ἐναχθῆναι, τουτέστι διατιμηθῆναι[73].

---

[64] Cf. Dig. IV, 2, 14 §. 11. [65] F in margine *φόβου χάριν*. [66] Cf. Dig. XIII, 7, 22 §. 1. — V addit: *Καλῶς πωλεῖ ὁ δανειστὴς τὸ πρὸς περιγραφὴν αὐτοῦ ὑποτεθὲν αὐτῷ ἐνέχυρον παρὰ τῆς γυναικός.* [67] Verba *εἰς τὸν οἶκον* temere irrepsisse videntur. [68] Imo *ϛζ΄ νεαράν*. Theod. Nov. 97 §. 6. — F hoc loco haec habet: *ὡς βι. β΄ τί. β΄* (?). *Ὁ κατὰ βίαν ἀφελόμενός τι τῷ χρεώστῃ αὐτοῦ, οὐχ ἕξει ὁ τοιοῦτος δίκαιον δανειστοῦ. βι. δ΄ τί. β΄ διγ. ιβ΄ καὶ ι΄.* [69] Codices: *τῷ δανειστῇ.* [70] Codices *καὶ* pro *εἰς τὸ* habent. [71] sc. dig. 10. [72] V addit: *ὡς βι. ιϛ΄ τί. ιγ΄ διατ. ιβ΄ τοῦ κώδ.* Imo Dig. XLVI, 3, 102 pr. — F subjicit: *Ἐὰν ὁ δανειστὴς προσφερόμενος τὸ χρέος μόραν ποιήσῃ τουτέστιν ὑπέρθεσιν εἰς τὸ λαβεῖν αὐτὸ κινδυνεύεται εἰς τὸ χρέος. βι. με΄ τί. α΄* (dig. 105?) *βι. μβ΄ τί. ε΄* (dig. 9 §. 5). *ὁ δανειστὴς οὐ δόλον μόνον χρεωστεῖ ἐπὶ τῷ ἐνεχύρῳ ἀλλὰ καὶ κούλπαν τουτέστι ψόγον.* [73] Cod. IV, 24, 4.

νδ'. Λέγει ἡ διάταξις· [τὰ] τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ τῷ χρεώστῃ. χρὴ δὲ αὐτὸν ἀποδεῖξαι, ὅτι ἀπώλεσε τὸ ἐνέχυρον καὶ οὕτως ἀπαιτεῖν τὸ κεχρεωστημένον. εἰ δὲ συνεφωνήθη, ἵνα ἡ ἀπώλεια τοῦ ἐνεχύρου ἐλευθερώσει τὸν χρεώστην, τοῦτο ἰσχύει[74].

νε'. Ὁ ἔχων ἐλευθέραν πεκουλίου διοίκησιν, καλῶς δελεγατεύει τὸν ἴδιον χρεώστην[75]. ὁ δὲ μὴ ἔχων οὐδὲ δανείζειν δύναται ἐκ τοῦ πεκουλίου, οὐδὲ νοβατεῦσαι, οὐδὲ δελεγατεῦσαι καὶ ἀπαιτῆσαι τὸ χρέος. ὡς βι. μς' τί. γ' διγ. ιθ'.

νς'. Ὁ δανειστὴς τὰ ἀναγκαῖα δαπανήματα, ἅπερ ἐποίησεν περὶ τὸ ὑποτεθὲν πρᾶγμα, ἀπαιτεῖν οὐ κωλύεται. χεῖρον δὲ τοῦτο ποιῶν, κἄντε ἀγρός ἐστι κἄντε οἶκος, ἀναγκάζεται τοιοῦτον ἀποκαταστῆσαι τὸ πρᾶγμα, ὡς ἦν ἐν καιρῷ τῆς ὑποθήκης[76].

νζ'. Οὐκ ἔστι τῷ δανειστῇ χωρὶς συμφώνου ἢ ἀρχικῆς κελεύσεως ἀφαιρεῖσθαι τὰ πράγματα τοῦ χρεώστου ἢ πωλεῖν[77] τὰ εἰς αἰτίαν ἐνεχύρου κατεχόμενα. ἐπιζητοῦσιν αὐτὰ προσωπικῶς οἱ χρεῶσται[78]. σημ. τὰ ληφθέντα καὶ πραθέντα ἐνέχυρα χωρὶς ψήφου ἐκδικοῦνται.

νη'. Μετὰ τὸ πληρωθῆναι τὸ χρέος οὐκ ἔχει ὁ δανειστὴς ἢ ὁ κληρονόμος αὐτοῦ μακροῦ χρόνου παραγραφὴν εἰς τὸ μὴ ἀποδοῦναι τὸ ἐνέχυρον[79].

νθ'. Ὁ δεσπότης προστησάμενος τὸν δοῦλον αὐτοῦ πραγματείας τινὸς, τότε κατέχεται δανειζομένου αὐτοῦ, ὅτε καὶ ἐπέτρεψεν αὐτῷ δανείζεσθαι. εἰ δὲ μὴ δείκνυται ἐπιτρέψας αὐτῷ, τότε ζητοῦμεν περὶ τοῦ πεκουλίου τοῦ δούλου, καὶ πληρ.υμένου κατὰ πρῶτον λόγον τοῦ δεσπότου, πληροῦται κατὰ δεύτερον λόγον καὶ ὁ δανειστής[80].

ξ'. Ὁ τὴν ἰδίαν συγγραφὴν ἀρνούμενος ἢ τὴν ἐπ' αὐτῷ

---

[74] Cod. IV, 24, 5. 6. — Proch. XVI, 5. [75] Dig. XLVI, 2, 34 pr. [76] Cod. IV, 24, 7. — Proch. XVI, 6. — F hic intercalat haec: Ἀπαλλάττεται τῶν τυχηρῶν ὁ χρεώστης μὴ δεχομένου τοῦ δανειστοῦ τὸ προσφερόμενον αὐτῷ χρέος. βι. δ' τί. να' διατ. ι' (?) ὁ ὑπεξούσιος ἀλλότριον χρέος ἐπερωτώμενος νοβατεύει τουτέστι μετατιθεῖ τὸ χρέος καθ' ἑαυτοῦ. [77] In C πιπράσκειν superscriptum est. [78] Cod. IV, 24, 11. — Proch. XVI, 7. — Mox F subjicit: Δαπάνημα βέρσον ποιοῦντος τοῦ δούλου, κατέχεται ὁ δεσπότης αὐτοῦ, κἂν μὴ ἐκέλευσεν αὐτὸς δανείσασθαι· καὶ τῇ κουδιούσω, ὅταν κελεύσῃ ὁ δεσπότης τινὶ δανεῖσαι τῷ ἰδίῳ δούλῳ ἢ τῷ ἰδίῳ προκουράτωρι ἢ τῷ ἑαυτοῦ διοικητῇ, ὁρίζων μέντοιγε καὶ τὴν τοῦ δανείου ποσότητα. σημ. ὅτι ἐπὶ ἐλευθέρων ἁρμόζει ἡ κοδιούσω. (Cod. IV, 26, 13.) [79] Cod. IV, 24, 12. — Proch. XVI, 8. [80] Cod. IV, 25, 1. — Proch. XVI, 9.

καταβολὴν γενομένην, το διπλάσιον μετ᾽ ἐλέγχους καταθήσει. ο δὲ βραδέως ὁμολογῶν, καταθήσει τὰς δαπάνας ὅρκῳ τοῦ ἀντιδίκου. σημ. ἐπεὶ καὶ τῷ ἀρνουμένῳ χρεώστῃ οὐ λογισθήσονται αἱ μετὰ ταῦτα προσφερόμεναι τῶν καταβολῶν ἀποδείξεις[81], ἀλλὰ τὸ πᾶν ἀπαιτεῖται. νεαρὰ ογ΄.

ξα΄. Οἱ ἐκ τοῦ ἐνεχύρου ληφθέντες καρποὶ ψηφίζονται εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένωνται εἰς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ καὶ ἀποδίδοται τὸ ἐνέχυρον. εἰ δὲ καὶ πλείονές εἰσιν τοῦ χρέους οἱ καρποὶ, ἀποδίδονται οἱ περιττεύοντες[82]. βι. δ΄ τί. κδ΄ διατ. α΄ τοῦ κώδ. εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου.

ξβ΄. Τῆς δούλης οἱ κάματοι καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων εἰς τὸ χρέος λογίζονται. καὶ ἐὰν πολύ ἐστι τὸ συναγόμενον, λύεται ἡ ἀγωγή[83].

ξγ΄. Ὁ κομοδάτον λαβὼν, τουτέστιν ἐνέχυρον, μείζονα ἐπιμέλειαν ἀπαιτεῖται περὶ αὐτὸ ἧς δείκνυται εἰς τὰ ἴδια[84].

ξδ΄. Ὁ δανειστὴς, τοῦ χρεώστου μόνην ἀκίνητον ἔχοντος κτῆσιν καὶ μὴ δυναμένου ταύτην πωλῆσαι, ἀναγκαζέσθω τὰ καλλίονα τῆς κτήσεως λαβεῖν δι᾽[85] ἀκριβοῦς τῶν ἀρχόντων διατιμήσεως. καὶ γὰρ οὐκ ἂν εἴη δίκαιον, τὸν δόντα μὲν χρυσίον, λαμβάνειν δὲ χρυσίον μὴ δυνάμενον, ἀλλ᾽ ἀναγκαζόμενον καταδέξασθαι κτῆσιν ἀκίνητον, μὴ τὰ γοῦν καλλίονα τῶν τοῦ χρεώστου πραγμάτων λαβεῖν καὶ ἣν ἐκεῖνος αἱρεῖται[86].

ξε΄. Ἐὰν[87] ἀντὶ χρημάτων λαβὼν γραμματεῖον τοῦ χρεώστου αὐτοῦ καταδέξεται[88] αὐτὸ ὁ δανειστὴς, ἐλευθεροῦται ὁ χρεώστης, εἰ μὴ ἄρα ἀπὸ νόμου βοηθεῖται. ἀνάγν. κεφ. λα΄[89]

ξϛ΄. Ὁ ἐνεχυριάζων ἢ στρεβλῶν ἢ ὑβρίζων ἄλλον ἀντ᾽ ἄλλου χρηματικῆς ἢ ἐγκληματικῆς ὑποθέσεως χάριν, τὸ τετραπλάσιον, ὧν ἔλαβεν, καταβαλλέτω τῷ βιασθέντι, καὶ τῆς ἀγωγῆς ἐκπιπτέτω ἧς εἶχε κατ᾽ ἐκείνου[90].

---

[81] Hactenus ex Athanas. IX, 2 (Nov. 18). — Proch. XVI, 12, 13. [82] Proch. XVI, 1. [83] Cod. IV, 24, 2. — Proch. XVI, 2. — F intercalat: *Ἐὰν καταδικασθῇ τις καὶ μὴ δυνηθῇ ποιῆσαι τὸ ἱκανὸν, ἀπαιτοῦνται οἱ χρεῶσται αὐτοῦ τὰ ἀπὸ καταδίκης διὰ τοῦ ἄρχοντος.* [84] Cf. Dig. XIII, 7, 13 §. 1. [85] F *μετὰ.* [86] Nov. 4 c. 3. — Proch. XVI, 11. [87] C Ὁ. [88] C *καὶ δέξεται.*

[89] Imo c. 30 supra. V addit: *βι. κα΄ τί. β΄ διγ. ξη΄.* F autem: *βι. μβ΄ τί. δ΄ διγ. ιε΄.* Utrumque locum non invenio. Praeterea F addit: *καὶ ὁ μισθωτὸς καὶ ὁ κολωνὸς κἂν παρουσίᾳ τοῦ δεσπότου αὐτῶν δανείσωνται, οὐ ποιοῦσιν αὐτὸν ἔνοχον. βι. δ΄ τί. ι΄ διατ. ια΄ τοῦ κώδ.* [90] F *νεα. να΄.* Est autem epitome Nov. 52 c. 1. Cf. *Ἀνέκδοτα* mea p. 213.

ξζ΄. Ὁ πρὸ δικαστικῆς ψήφου σήμαντρα ἐπιθεὶς πρὸ τῶν θ΄ ἡμερῶν τοῦ πένθους ἢ ὄχλησιν ἐπάγων τῷ τελευτῶντι ἢ τῇ γαμετῇ ἢ παισὶν αὐτοῦ, τῆς τε δίκης ἐκπιπτέτω καὶ ἕτερον τοσοῦτον προσαπολλύτω. σημ. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ τὸ λείψανον ὑβρίζοντος, τῶν ἐπάρχων καὶ τῶν μαγίστρων μὴ φυλαττόντων ἀνὰ δέκα λιτρῶν πρόστιμον [ὑφορωμένων][91].

ξη΄. Ὁ τὸ προϋποκείμενον ἐνεχυριάζων, ἐὰν ἀρκεῖ τὸ ἐνέχυρον πρὸς ἑκάτερον χρέος, οὐχ ὑπόκειται τῇ δὲ δόλῳ[92].

ξθ΄. Ὁ ἀλλότρια ἐνεχυριάζων ἑαυτὸν μόνον ποιεῖ ἔνοχον· τὸ γὰρ ἐνεχυριασθὲν οὐ ποιεῖ ἔνοχον[93]. [ὁ] ἔχων οἶκον εἰς ἐνέχυρον χρεωστεῖ ἀνορθοῦν καὶ ἀνανεοῦν αὐτόν.

ο΄. Ὅτε δόλῳ τοῦ δανειστοῦ βλάπτεται τὸ ἐνέχυρον, ἐνάγεται περὶ αὐτοῦ τῇ πιγνερατικίᾳ[94].

οα΄. Ὁ ἐνεχυριασθείς μοι δοῦλος παρά σου, ἐὰν κλέψῃ παρ᾽ ἐμοῦ, [ἔχω κατά σου τὴν κοντραρίαν πιγνερατικίαν. καὶ εἰ μὲν ἠγνόεις εἶναι αὐτὸν κλέπτην, δύνασαι εἰς τὴν ζημίαν ἐκδοῦναί μοι τὸν οἰκέτην· εἰ δὲ ἠπίστασο εἶναι αὐτὸν κλέπτην, πάντως τὸ διαφέρον][95] ἀπαιτῶ παρά σου[96].

οβ΄. Ὁ δανειστὴς πλέον τοῦ χρέους λαβὼν τοῦ κλαπέντος[97] ἐνεχύρου, ὡς κλέπτης ἐνάγεται εἰς τὸ διπλοῦν.

ογ΄. Ἐὰν παρὰ τὸ μακεδόνειον χρέος καταβάλῃ ὁ υἱὸς, διὰ τῆς ἰν ῥὲμ ἐκδικεῖ τοὺς νούμους ὁ πατὴρ αὐτοῦ, κἂν[98] εἰς τὰ πράγματα τοῦ οἰκείου πατρὸς προσεπορίσθησαν[99].

οδ΄. Ὁ κατὰ γνώμην πατρὸς δανεισάμενος ὑπεξούσιος καὶ ἀγοράσας ἐκ τῶν δανεισθέντων αὐτῷ πράγματά τινα, καλῶς ὑποτίθεται αὐτά[100]. καὶ σημ. ὅτι ἐπὶ ὑποθήκης οὐ τρακταΐζεται τὸ μακεδόνειον, οὐδὲ ἐπὶ ἀγορασίας, ὡς βι. δ΄ τί. κη΄ διατ. γ΄ τοῦ κώδ.

οε΄. Ὁ ὑπεξούσιος ἀναγινώσκων ἢ πρεσβεύων καλῶς δανείζεται, ὅσα ἤμελλεν αὐτῷ χορηγεῖσθαι ὁ ἴδιος πατήρ. ὁμοίως καὶ στρατιώτης ὑπεξούσιος καλῶς δανείζεται καὶ παρὰ τὸ μακεδόνειον[101].

ος΄. Οὐ μόνον ἐπὶ υἱῷ ἀλλὰ καὶ ἐπὶ ἐκγόνῳ χώραν ἔχει τὸ μακεδόνειον. ὑπεξουσίου δανεισαμένου εἰ ῥατοναβιτεύσει ὁ πατὴρ, ἔῤῥωται τὸ πραττόμενον[102].

---

[91] Epitome Nov. 60 c. 1. Cf. Ἀνέκδ. laud. p. 213. [92] Cf. Dig. XIII, 7, 36 §. 1. [93] Cf. Dig. XIII, 7, 9 pr. et 32. [94] Cf. Dig. XIII, 7, 24 §. 3. [95] Quae uncinis inclusa sunt, C non habet. [96] Dig. XIII, 7, 31. [97] An πραθέντος? Cf. Dig. XIII, 7, 24 §. 2. [98] Forte ἐὰν μὴ. [99] Dig. XII, 1, 14. [100] Cod. IV, 28, 5. [101] Cod. IV, 28, 5. 7. [102] Cod. IV, 28, 6. 7.

οζ΄. Τῷ ἀφήλικι ἐὰν καταβάλλῃ τὸ χρέος, δύναται δαπανήσας αὐτὸ αἰτεῖν ἀποκατάστασιν.

οη΄. Ἕκαστος ὅπου ἔχει τὸ δομικίλιον[103]*, αὐτοῦ ὀφείλει διφενδεύεσθαι, ἢ ὅπου συνήλλαξεν. ἐκεῖ δοκοῦμεν συναλλάττειν, ὅπου καὶ τὴν καταβολὴν τοῦ χρέους ὡμολογήσαμεν*[104]*.*

οθ΄. Γυνὴ προτιμάσθω περὶ τὴν προῖκα τῶν προτέρων δανειστῶν τοῦ ἀνδρός. οὐ προτιμᾶται δὲ ἡ γυνὴ τῶν προτέρων δανειστῶν περὶ τὴν πρὸ γάμου δωρεάν. καὶ σημ. ὅτι οὐκ ἔχει ὑποθήκην περὶ τὴν πρὸ γάμου δωρεὰν ἡ γυνή[105]*.*

π΄. Ἡ γυνὴ προτιμᾶται περὶ τὴν προῖκα τοῦ δημοσίου χρέους, εἰ μὴ προγενέστερον ὑπῆρχε[106] *τὸ δημοσίως παρ' αὐτοῦ κεχρεωστημένον*[107]*. ὅτι τὸ δημόσιον σιωπηρὰν ἔχει ὑποθήκην κατὰ τῶν πραγμάτων τοῦ συντελεστοῦ.*

πα΄. Τῷ δανείσαντι εἰς οἶκον ἢ εἰς στρατείαν προτιμᾶται[108]*. καὶ οἱ δανείσαντες ἐφ' ᾧ τοῖς πρώτοις δοθῆναι δανεισταῖς, εἰς τόπον αὐτῶν ὑπεισέρχονται. ὡς βι. μβ΄ τί. γ΄ διγ. α΄. β΄. δύο χρεῶν ὑπόντων δημοσίων προτιμᾶται τὸ προγενέστερον*[109]*.*

πβ΄. Εἴ τις γυνὴ ἐν δανειακῷ γραμματείῳ συναινέσει τῷ ἀνδρὶ ἢ ὑπογράψει καὶ τὴν οἰκείαν περιουσίαν ἢ καὶ ἑαυτὴν ἐνοχοποιήσῃ, οὐδὲν τοιοῦτον ἰσχύει ἢ κρατεῖ· εἰ καὶ ἅπαξ ἢ καὶ πολλάκις τὶ τοιοῦτον ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται, εἴτε ἰδικὸν εἴτε δημόσιον εἴη τὸ χρέος. ἀλλ' οὕτως εἶναι, ὡς ἂν εἰ μὴ γεγραμμένον, εἰ μὴ φανερῶς ἀποδειχθῇ, ὅτι τὰ χρήματα εἰς ἰδίαν αὐτῆς τῆς γυναικὸς χρείαν ἐδανείσθησαν[110]*.*

πγ΄. Ἐὰν διὰ τὴν τοῦ ἀνδρὸς ἐνοχὴν παρενέβαλεν ἑαυτὴν ἡ γυνὴ ἐν τῷ δεσμῷ τοῦ ἀλλοτρίου συναλλάγματος, καὶ διὰ τῆς ἰδίας ὑποστάσεως τοῦτον ἀπαλλάξαι τῆς ἐνοχῆς ἐμελέτησεν, εἰ μὲν ὑποσχομένη μὴ κατέβαλεν, οὐδὲ καταβάλλειν τὶ ἀπαιτηθήσεται· εἰ δὲ κατέβαλεν, διεκδικεῖν τὸ καταβληθὲν οὐ δύναται, δηλονότι τῶν ἐντελῶν οὖσα[111]*.*

πδ΄. Ἐὰν μάμμη δανείσῃ χρυσίον, καὶ αὐτὴ λαμβάνει τοὺς τόκους, κἂν τὰ γραμματεῖα κρατῇ, ἔνοχός μοι γίνεται ὁ δεβίτωρ.

---

[103] In C superscriptum est: *τὸν οἶκον.* [104] Dig. XLII, 5, 1 – 3. [105] Theod. Nov. 97 §. 2. 5. — Proch. IX, 15. 16. [106] Proch. IX, 17. [107] Cod. VII, 73, 2. [108] Legerim *προνόμιον δίδοται.* [109] F hoc loco haec habet: *Καταβαλοῦσα γυνὴ ὑπὲρ ἄλλου οὐ βοηθεῖται. οὐ γὰρ ἔχει ῥεπετιτίονα, εἰ μὴ ἄρα λήθῃ τῆς τοῦ δόγματος παραγραφῆς κατέβαλεν. καὶ σημ. ὅτι γὰρ εὐδυῒα γυνὴ καταβαλοῦσα οὐκ ἀναλαμβάνει.* (Cod. IV, 29, 9.) [110] Nov. 134 c. 8. — Proch. IX, 20. [111] Cod. IV, 29, 4. — Proch. IX, 19.

πε΄. Εἰ καὶ πολλοῖς τοῖς πρὸ ἡμῶν ἔδοξε δεκτέαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἴσως διὰ τὴν τῶν δανειστῶν δυσκληρίαν τε καὶ ὠμότητα, ἀλλ᾽ οὖν ὡς ἀναξίαν τῆς ἡμῶν τῶν χριστιανῶν πολιτείας ἀπευκταῖαν εἶναι κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην. διὸ κελεύει ἡ ἡμετέρα γαληνότης, μηδενὶ μηδαμῶς ἐξεῖναι ἐν μηδεμιᾷ ὑποθέσει τόκον εἰληφέναι, ἵνα μὴ νόμον φυλάττειν οἰόμενοι νόμον θεοῦ παραβαίνωμεν. ἀλλὰ κἂν εἴ τις ὅσον δήποτε λάβοι, εἰς τὸ χρέος λογισθήσεται[112].

πϛ΄. Πᾶς ἔμπορος καὶ ἐργαστηριακὸς τὸν νόμιμον τόκον ἀπαιτοῦσι τοῖς μεθοδεύουσι. ἀνάγν. τὴν περὶ ἀργυροπρατῶν νεαρὰν κελεύουσαν τοὺς ἀργενταρίους λαβεῖν δίμοιρον ἑκατοστῆς τόκον καὶ χωρὶς ἐπερωτήσεως, κἂν ἀγράφως [συναλλάξωσιν][113].

πζ΄. Ὁ διαπόντια δανείζων αὐτὸς κινδυνεύει εἰς τὸ πλοϊζόμενον. εἰ μὴ ἄρα συνεφώνησε μέχρι τινὸς ῥητοῦ τόπου. βι. δ΄ τί. λβ΄ καὶ λγ΄[114].

πη΄. Ὁ δανείζων εἰς πλοϊζόμενον οὐ λαμβάνει πλέον τοῦ νομίμου τόκου, ἐὰν εἶπε μὴ ἐνέχεσθαι εἰς τὸν κατὰ θάλασσαν κίνδυνον. εἰ γὰρ κινδυνεύει, δύναται λαβεῖν καὶ ὑπὲρ τὸν ἔννομον τόκον. ὡς βι. δ΄ τί. λγ΄ διατ. γ΄[115] τοῦ κώδ.

πθ΄. Τόκος πλέον τῆς ἑκατοστῆς οὐ μεθοδεύεται, κἂν ἐπερωτηθῇ. ἀλλ᾽ οὐδὲ κερατισμὸς δίδοται. εἰ γὰρ καταβληθῇ τι τούτων, καταλογίζεται εἰς τὸ κεφάλαιον, κἂν ἐπερωτηθῇ[116].

ϙ΄. Τόκον τόκου οὐδεὶς ἀπαιτεῖ· ὡς ἐπάγει βι. β΄ τί. ια΄ διατ. κ΄ ὅτι ὁ τόκον τόκου μεθοδεύων, ἀτιμοῦται[117], κἂν κατὰ μικρὸν καταβληθῇ, εἰ μὴ ἄρα πολιτικῶν ἢ χρημάτων κατὰ τὴν ρξ΄ νεαράν· ἀλλ᾽ οὐδὲ ὑπὲρ τὸ διπλάσιον τοῦ χρέους καταβάλλεται[118].

ϙα΄. Εἰδότες οὖν ἅπαντες τὴν τοῦ νόμου δύναμιν μὴ ἄλλως ἢ τὸ πᾶν χρέος καταβαλλέτωσαν [ἢ μέρος αὐτοῦ], εἰ μὴ

---

[112] Proch. XVI, 14. — F hoc loco haec habet: *βι. δ΄ τί. λβ΄ διατ. ιδ΄. Ὁ ἀπὸ συμφώνου τόκος κἂν οὐκ ἀπαιτεῖται, πλὴν ὅμως εἰ καταβληθῇ οὐ ῥεπετιτεύεται. βι. δ΄ τί. λβ΄ τοῦ κώδ. καὶ σχόλ. Ὁ ἰνδεβίτως καταβαλὼν τουτέστιν ἀχρεώστητα, ἔχει ἐπὶ τούτων ῥεπετιτίονα, οὐ μὴν καὶ ἐπὶ τῷ τόκῳ αὐτῶν, ἐὰν ἄρα ἐν εἰδήσει κατέβαλε. βι. δ΄ τί. λβ΄ διατ. γ΄.* [113] Cod. IV, 32, 26. Basil. Heimb. II p. 731. [114] Cod. IV, 33, 4. [115] Imo const. 2. [116] Theod. Cod. IV, 32, 26. Basil. Heimb. II p. 731. [117] Theod. Cod. IV, 32, 28. [118] F hic subjicit: *Ὁ τόκον ὑπὲρ τοῦ μέλλοντος χρόνου λαμβάνων δοκεῖ σιωπηρῶς συμφωνεῖν, μὴ ἀπαιτῆσαι τὸ χρέος, ἕως ὅτε παρέλθῃ ὁ χρόνος ὑπὲρ οὗ τὸν τόκον ἔλαβεν. βι. μδ΄ τί. δ΄ διγ. μβ΄.* (dig. 2 §. 6.)

ἔγγραφος αὐτοῖς ἀπόδειξις γένηται ἢ πέντε μάρτυρες ἀξιόπιστοι καὶ μὴ εὐτελεῖς πάρεισι τῇ καταβολῇ ἢ τῇ καταθέσει. καὶ σημ. ὁ δὲ εὐτελὴς περὶ τὴν προαίρεσιν νοεῖται, οὐχὶ περὶ τὴν οὐσίαν. συμβαίνει γάρ τινα καὶ σύμμετρον ὄντα τὴν οὐσίαν μὴ ἀνέχεσθαι ψεύσασθαι, ὡς εἴρηται. ὅτι ἔνθα μὴ προστίθεται μαρτύρων ἀριθμὸς, ἀρκοῦσι δύο, τουτέστιν ἔνθα μὴ λέγει ὁ νόμος ἀριθμὸν μαρτύρων[119].

ΤΙΤΛΟΣ ιη'.

Περὶ παρακαταθήκης καὶ ὑποθήκης καὶ περὶ πραγμάτων, ὧν ἡ δεσποτεία φιλονεικεῖται.

α'. Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ παραφυλακῇ τινι διδόμενον[1].

β'. Ἐὰν ἄλλου τὸ πρᾶγμα ὑποτιθεμένου ἐγὼ ἀποδέξωμαι, ἐκ τούτου[2] ὑποθήκη ἔῤῥωται. συναίνεσιν δὲ ζητοῦμεν τῶν καὶ ὑποθέσθαι δυναμένων[3].

γ'. Ἐὰν ἀγρὸν ἐνεχυριασθέντα ἠγόρασας παρὰ τοῦ χρεώστου εἰδήσει τοῦ δανειστοῦ, δύνασαι ἐξωθεῖν αὐτὸν νῦν κινοῦντα κατά σου, ἐπειδὴ συναινέσας φαίνεται[4]. καὶ σημ. ἡ ἐν εἰδήσει σιωπὴ τοῦ δανειστοῦ συναίνεσίς ἐστιν.

δ'. Ὑπεξούσιος υἱὸς ἢ δοῦλος ὑπὲρ ἄλλου πρᾶγμα πεκουλιάριον οὐκ ἰσχυρῶς ὑποτίθεται, κἂν ἔχῃ ἐλευθέραν πεκουλίου διοίκησιν· ὥσπερ οὔτε δωρεῖται[5].

ε'. Ὁ δανειστὴς τὸ ὑποκείμενον ὀρθῶς πωλήσας κωλύει τὸν χρεώστην προσφέροντα τὸ χρέος ἢ αὐτῷ ἢ τῷ ἀγοραστῇ ἀναλαβεῖν τὸ πρᾶγμα[6].

ς'. Οὐ δύναται κωλύειν ὁ δεύτερος τὸν προγενέστερον δανειστὴν πωλῆσαι τὸ ἐνέχυρον, εἰ μὴ ἄρα προσφορᾷ κέχρηται πρὸς αὐτὸν τοῦ χρέους[7].

ζ'. Ἐὰν τὸ χρέος ἐνυπόθηκόν ἐστιν. εἰ γὰρ ἀνυπόθηκόν ἐστιν, οὐδὲ ἀναγκάζεται προφέρειν τὸ χρέος τῷ προγενεστέρῳ ὁ μεταγενέστερος δανειστής.

---

[119] Cod. IV, 20, 18. Cf. Basil. Heimb. II p. 413 sq.

[1] Dig. XVI, 3, 1 pr. — Proch. XVIII, 1. [2] Lege: ἔκτοτε ἡ. [3] Dig. XX, 1, 16 §. 1. [4] Cod. VIII, 25, 2. — F addit: *Τὰ ἐγγράφως παρατιθέμενα ἐγγράφως καὶ παραδίδονται.* [5] Dig. XX, 3, 1 §. 1. [6] Cod. VIII, 19, 2. [7] Cod. VIII, 19, 3. — F hic intercalat: *δυνατόν ἐστιν ἀπὸ συμφώνου τὸν προγενέστερον τῷ χρεώστῃ (χρόνῳ?) δανειστὴν γενέσθαι μεταγενέστερον.*

η΄. Εἰ ὑποθέμενος[8] τὸ αὐτὸ πρᾶγμα πρώτῳ καὶ δευτέρῳ δανειστῇ καὶ μηδενὶ αὐτῶν τὸ χρέος καταβαλὼν, εἶτα ἐπώλησα ἄλλο πρᾶγμα τῷ πρώτῳ καὶ τὰς τιμὰς εἰς τὸ χρέος αὐτοῦ ἐλογισάμην, οὕτως εἰμὶ ὡς καταβαλὼν, καὶ διὰ τοῦτο ἐπικρατέστερός ἐστιν ὁ δεύτερος[9].

θ΄. Ὁ πρότερος δανειστὴς γενικὴν ὑποθήκην ἔχων καλλίων ἐστὶ τοῦ ἰδικὴν μετ' αὐτὸν ὑποθήκην λαβόντος. ὥστε οὖν ὁ ἀγοράζων παρὰ τοῦ πρώτου οὐκ ὀχληθήσεται τούτου χάριν παρὰ τοῦ μεταγενεστέρου[10].

ι΄. Ἐὰν τὸ αὐτὸ πρᾶγμα ἐν διαφόροις χρόνοις δύο τισὶν ὑπετέθη, βελτίων ἐστὶν ὁ πρῶτος ἀριθμήσας λαβεῖν[11] τὸ ἐνέχυρον. οὐκ ἄλλως ὁ δεύτερος δανειστὴς πιπράσκειν αὐτὸ δύναται, εἰ μὴ ὁ πρότερος τὸ ἱκανὸν ὑποστῇ[12].

ια΄. Ἐάν τις τῶν δανειστῶν κατάσχῃ τέκνα τῶν ἰδίων χρεωστῶν εἰς ἐνέχυρον ἢ εἰς δουλικὴν ὑπηρεσίαν, ἐκπιπτέτω τοῦ ἡμίσεως καὶ παντὸς τοῦ χρέους, καὶ καταδικαζέσθω ἄλλην ποσότητα τοσαύτην ἐκείνῳ, ὃν κρατεῖ, ἢ τοῖς γονεῦσιν αὐτῶν καὶ σωματικῶς τιμωρείσθω. ὡς νεαρὰ ρλδ΄[13].

ιβ΄. Εἴτε περίεστιν ὁ παραθέμενος[14] δοῦλον εἴτε ἀπέθανεν ἢ ἠλευθερώθη ἢ ἐξεποιήθη, ὁ δεσπότης ἔχει τὴν τῆς παρακαταθήκης ἀγωγὴν, οὐ μὴν αὐτὸς ὁ ἐλευθερωθεὶς οὐδὲ ὁ νέος αὐτοῦ δεσπότης. τῇ γὰρ ἀρχῇ προσέχομεν τοῦ συναλλάγματος[15]. ὁμοίως καὶ ὁ κληρονομιαῖος δοῦλος παραθέμενος, ὁ κληρονόμος ἔχει τὴν τῆς παρακαταθήκης ἀγωγὴν, ὡς βι. δ΄ τί. λδ΄ διατ. θ΄ τοῦ κώδ.

ιγ΄. Ἐὰν ὁ δανειστὴς συναινέσει τὸν χρεώστην αὐτοῦ πωλοῦντα τὸ ἐνέχυρον ἢ ἐναλλάττοντα ἢ δωρούμενον ἢ εἰς προῖκα ἐπιδιδοῦντα, λύεται τὸ ἐνέχυρον, εἰ μὴ τὸ ἴδιον ἐφύλαξε δίκαιον. τὸ αὐτὸ κἂν δεκτὸν ἡγήσεται. εἰ δὲ αὐτὸς ὁ δανειστὴς πωλήσει, ἐφ' ᾧ μὴ ἀποστῆναι τοῦ ἐνεχύρου, ἕως ἂν γὸ ἱκανὸν ὑποστῇ, οὐ βλάπτεται διὰ τῆς παραγραφῆς[16].

ιδ΄. Ὁ διαμαρτυρούμενός τινα μὴ ἀποκαταστῆσαι τὴν οὖσαν παρ' αὐτῷ παρακαταθήκην, πᾶσαν τυχηρὰν τῶν πραγμάτων ἐπιγινώσκει περίστασιν καὶ τόκον, εἰ καὶ χρήματά εἰσιν, ἀπὸ καιροῦ παραγγελίας, καὶ πᾶσαν ζημίαν καὶ βλάβην[17].

---

[8] An ὑπεθέμην? [9] Dig. XX, 4, 4. — F subjicit: Ὁ πρῶτος προσφερόμενος τὸ χρέος παρὰ τοῦ δευτέρου μὴ λάβῃ, ἀνίσχυρος γίνεται ἡ ὑποθήκη τοῦ πρώτου. (Dig. XX, 4, 11 §. 4.) [10] Cod. VIII, 17, 6. [11] Lege καὶ λαβών. [12] Cod. VIII, 17, 8. [13] Theod. Nov. 134 §. 19. [14] C παρατεθεὶς. [15] Dig. XVI, 3, 1 §. 30. — Proch. XVIII, 8. [16] Dig. XX, 6, 4 §. 1. [17] Nov. 88 c. 1

ιε΄. Ἐπὶ τῶν ἀπὸ θορύβου ἢ ἐμπρησμοῦ ἢ συμπτώσεως ἢ ναυαγίου παρατιθεμένων κατὰ μὲν τοῦ λαβόντος εἰς τὸ διπλοῦν ἀγωγὴ ἁρμόζει, κατὰ δὲ τοῦ κληρονόμου ἀπὸ μὲν δόλου τοῦ διατιθεμένου εἰς τὸ διπλοῦν, ἀπὸ δὲ οἰκείου εἰς τὸ ἁπλοῦν[18]. ἐπὶ δὲ λοιπῶν παρακαταθηκῶν ἡ ἀγωγὴ εἰς τὸ ἁπλοῦν δίδοται[19].

ις΄. Εἴτε ὁ τὴν παρακαταθήκην δεξάμενος εἴτε ὁ κληρονόμος αὐτοῦ ἐναχθῇ, καὶ φυσικῶς τὸ πρᾶγμα πρὸ ψήφου φθαρῇ, τυχὸν γὰρ δοῦλος ἦν καὶ ἀπέθανεν, ἐλευθεροῦται, εἴγε καὶ παρὰ τῷ ἐνάγοντι ἀποκαταστὰς ἀπώλλυτο[20].

ιζ΄. Ὁ παραθέμενος δύναται παραχρῆμα κινῆσαι τὴν περὶ καταθήκης ἀγωγὴν, καὶ μὴ ἀποδιδοὺς ὁ δεξάμενος δόλον ποιεῖ, εἰ μὴ ἀλλαχοῦ ἐστιν, ἢ ἀποκέκλεισται ἐν τόπῳ τέως ἀνοιγῆναι μὴ δυναμένῳ, ἢ οὐκ ἐξῆλθεν ἡ αἵρεσις τῆς παρακαταθήκης[21].

ιη΄. Ἐὰν ἐξ ἐπιδρομῆς ληστῶν ὁ τὴν παρακαταθήκην λαβὼν ἀπώλεσε τὰ παρατεθέντα αὐτῷ, οὐ κινδυνεύεται τοῖς κληρονόμοις αὐτοῦ ἡ ἀπώλεια. ὁ γὰρ παρακαταθήκην λαμβάνων δόλον μόνον καὶ ῥαθυμίαν καὶ ἀμέλειαν ἀπαιτεῖται, εἰ μὴ ῥητῶς καὶ ἕτερόν τι συνεφωνήθη. ὡς βι. β΄ τί. λδ΄ διατ. λ΄ τοῦ κώδ.[22]

ιθ΄. Οὐ δύναται ὁ ἀποκεχρημένος τῇ προφάσει τῆς αἰτίας παρακρατεῖν τὰ πράγματα ὡς κληρονόμος. ἢ κατὰ δόλον παυσάμενος ἔχειν αὐτὰ καὶ μὴ ἀποκαθίστησιν[23].

κ΄. Ὁ ἐγγυησάμενος τὸν λαβόντα παρακαταθήκην ἐνέχεται, κἂν δόλον μὲν ὁ λαβὼν οὐκ ἐποίησεν, ἔχει δὲ τὸ πρᾶγμα[24].

κα΄. Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τῷ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν. εἰ μὲν διδοὺς ἐποίησά σε τῶν παρακολουθησάντων ἐν εἰδήσει, οὐκ ἐνέχομαι. εἰ δὲ ὡς ἴδια δέδωκα, ὑπόκειμαι τῇ περὶ παρακαταθήκης ἀγωγῇ[25]. σημ. κἂν ὁ δοῦλός μου κἂν ὁ καλῇ πίστει δουλεύων μοὶ παράθηται τὸ ἀνῆκόν μοι, ἔχω τὴν ἀγωγὴν τὴν περὶ παρακαταθήκης[26].

κβ΄. Ὁ λαβὼν πρᾶγμα μέσῃ χειρὶ ἐπί τινι αἰτίᾳ, ὀφείλει ἀναδοῦναι αὐτὸ τῆς αἰτίας πληρουμένης. τοῦτο γὰρ μὴ ποιῶν κατέχεται τῷ τῆς ἀπὸ μωρᾶς τόκου[27] τουτέστι τῆς ὑπερθέσεως.

---

[18] Cf. Proch. a me editum pag. 111 not. 3. [19] Dig. XVI, 3, 1 §. 1. — Proch. XVIII, 2. [20] Dig. XVI, 3, 14 §. 1. — Proch. XVIII, 3. [21] Dig. XVI, 3, 1 §. 22. — Proch. XVIII, 5. [22] Imo Cod. IV, 34, 1. — Proch. XVIII, 11. [23] Haec emendanda sunt ex Proch. l. l. [24] F addit: *σημ. τί γὰρ ὅτι μαίνεται ἢ ὀρφανὸς ἢ ἄνηβός ἐστιν ἢ ἀδιάδοχος ἐτελεύτησε; καὶ ἀναγκάζεται παρασχεῖν ὁ ἐγγυητής.* — Dig. XVI, 3, 1 §. 14. — Proch. XVIII, 12. [25] Dig. XVI, 3, 1 §. 33. — Proch. XVIII, 9. [26] Dig. XVI, 3, 1 §. 27. — Proch. XVIII, 6. [27] Sic C. Cf. Basil. Heimb. II p. 61.

εἰ καὶ δύναται κεχρῆσθαι τῷ παρατεθέντι αὐτῷ ὁ δεποσιτάριος[28], *οὐκ ἐνέχεται τῇ φούρτῃ, εἰ καὶ καθ' ἕτερον λόγον ἀπὸ συγχρήσεως τόκος μεθοδεύεται. βι. δ' τί. λδ' διατ. ε'. η'*[29].

κγ'. Ἐὰν τοῦ παραθεμένου τινὶ πρᾶγμα τελευτῶντος ἀναφανῶσι δύο κληρονόμοι, καὶ ὁ εἷς αὐτῶν τὸ ἁρμόζον αὐτῷ μέρος λάβῃ, οὐ κινδυνεύει εἰς τὸ μέρος τοῦ ἰδίου συγκληρονόμου, κἂν ἀπολειφθῇ[30] *διὰ τὴν ἐκείνου ῥᾳθυμίαν. ὤφειλε γὰρ καὶ αὐτὸς ἀναλαβεῖν τὴν προσήκουσαν αὐτῷ μοῖραν*[31].

κδ'[32]. *Ἀπαγορεύει ἡ διάταξις ἀνδρὶ ἐκποίησιν καὶ ὑποθήκην τῶν προικιμαίων πραγμάτων, εἰ καὶ τοῖς γινομένοις ἡ γυνὴ συναινέσει, ἵνα μὴ τὸ τῆς γυναικείας φύσεως σαθρὸν ἀπώλειαν τοῖς αὐτῆς πράγμασιν περιποιήσει. εἰ δὲ γυνὴ ὁρῶσα τὸν ἴδιον ἄνδρα τὰ ἴδια ὑποτιθέμενον ἐσιώπησεν ἐπίτηδες ὡς ἀπατῆσαι βουλομένη τὸν συναλλάσσοντα, τότε οὐ βοηθεῖται. ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα, οὐ ταῖς πανούργοις*[33].

κε'. Γυνὴ προῖκα ὑπέρ τινος παρασχοῦσα, οὐ δοκεῖ ἰντερκεδεύειν, εἰ μὴ ἄρα ἧττων ἐστὶ τῶν κε' ἐνιαυτῶν. τὸ αὐτὸ καὶ ἐὰν δώσει τὶ ὑπὲρ ἐλευθερίας[34].

κς'. Ἐὰν ὁ ἀνὴρ ὑπόθηται τὰ πράγματα τῆς γυναικὸς τῷ χρεώστῃ αὐτῆς, συναινούσης αὐτῆς, ἴσχυσεν ἡ ὑποθήκη. ἐὰν ἰντερκεδεύσασα γυνὴ λάβῃ ἐνέχυρα παρ' ἐκείνου, ὑπὲρ οὗ παρενέβαλεν ἑαυτὴν, οὐ βοηθεῖται. ἔγνως γὰρ ἐκ τῆς θ'[35] *διατ. τοῦ κθ' τί. τοῦ δ' βι. τοῦ κώδ.*[36]

---

[28] In C superscriptum: *ὁ ὑποθήκην σχών.* [29] F addit: *δύναταί τις κιχρᾶσθαι πρᾶγμα ἐπὶ τὸ ἐνεχυριάσαι αὐτὸ καὶ καταβαλὼν τὸ χρέος ὀφείλει ἀναλαβεῖν αὐτὸ καὶ ἀποδοῦναι τῷ δεσπότῃ τοῦ πράγματος. βι. δ' τί. κγ' διατ. γ'.* [30] Lege *ἀπολεσθῇ.* [31] Cod. IV, 34, 12. [32] F praemittit *τί. κδ' διατ. γ'.* [33] Cod. IV, 29, 5. [34] Cod. IV, 29, 12. — F hoc loco haec habet: *τί. κγ' διατ. γ'.* (?) *Δοτάλιον πρᾶγμα τουτέστι προικιμαῖον οὐ δύναται πωλεῖν ὁ ἀνὴρ κἂν ἀγνοοῦσα ἡ γυνὴ τὸ ὠνεακὸν αὐτοῦ ἰδίῳ δακτύλῳ ἐσφράγισεν. βι. δ' τί. να' τοῦ κώδ.* (const. 2) *Ὅτι ὁ ὑπογράφων εἰς τὸ ὠνεακὸν κατὰ πλάνην τοῦ οἰκείου πράγματος πωλουμένου παρὰ ἄλλου οὐ προκριματίζεται. Οὐ πωλεῖ τις δικαίως ἀλλότριον πρᾶγμα εἰ μὴ παρ' αὐτῷ προϋπόκειται. βι. δ' τί. να' τοῦ κώδ. διατ. ς'.* [35] V *δ'.* Cf. etiam Cod. IV, 29, 7. 23. [36] V addit: *ὅτι ἀπατῶσα οὐ βοηθεῖται.* Quae tamen ab hoc loco aliena esse crediderim. — Caeterum F hoc loco haec subjicit: *Καταβαλοῦσα γυνὴ ὑπὲρ ἄλλου οὐ βοηθεῖται· οὐ γὰρ ἔχει ῥεπετιτίονα, εἰ μὴ ἄρα λήθῃ τῆς τοῦ δόγματος παραγραφῆς κατέβαλεν. καὶ σημ. ὅτι γὰρ εὐδυῖα γυνὴ καταβαλοῦσα οὐκ ἀναλαμβάνει.* (Cod. IV, 29, 9.) *ἡ δὲ α' διάτ. τοῦ κθ' τί. δ' τοῦ κώδ. λέγει· γυνὴ ὑπεισερχομένη τὴν κατά τινος ἀλλοτρίαν ἐνοχὴν οὐκ εὐθύνεται· κἂν τὴν ἤδη συσταθεῖσαν καὶ τὴν μέλλουσαν συστῆναι κατά τινος*

κζ΄. Ὅτι τοῦ ἀνδρὸς τὰ τῆς πρὸ γάμου δωρεᾶς ἀκίνητα ὑποτιθεμένου ἢ ἐκποιοῦντος ἡ γυνὴ τὰ πράγματα ἐχέτω, πλὴν εἰ μὴ δευτέραν ἐποίησεν συναίνεσιν μετὰ διετῆ χρόνον ὡς ἐπὶ τῶν ἰντερκεσιόνων, τοῦ ἀνδρὸς ἑτέραν ἔχοντος ὑπόστασιν ἱκανὴν εἰς τὸ ἀποπληρῶσαι. εἰ γὰρ ἄπορός ἐστιν, οὐδὲ πολλάκις συναινοῦσα ἡ γυνὴ καταβλάπτεται, ἀλλὰ κἀκεῖνα ἐκδικεῖ καὶ τὴν οὐσίαν ἔχει τοῦ ἀνδρὸς ὑποκειμένην. τὰ αὐτὰ καὶ περὶ προικιμαίων πραγμάτων. κατὰ τὴν ξ΄ νεαράν[37].

κη΄. Ἐὰν ἰντερκεδεύσασα γυνὴ καταδέξηται τὸ αὐτῆς συνάλλαγμα διὰ οἱουδήποτε τρόπου ἐνοχῆς καὶ μετὰ β΄ ἔτη συναινέσῃ ἐπ᾽ αὐτῷ, οὐχ ἕξει τὴν τοῦ νόμου[38] βοήθειαν. πρὸ γὰρ τῶν δύο ἐτῶν κἂν ποιήσῃ δευτέραν συναίνεσιν ἐπὶ τῇ ἰντερκεσίονι, οὐδὲν ἧττον βοηθεῖται. ταῦτα δὲ νόει, εἰ μὴ ἄρα ὑπὲρ τοῦ ἀνδρὸς παρενέβαλεν ἑαυτὴν ἡ γυνή. τότε γὰρ κἂν πολλάκις ἀποτάξηται, τὴν τοῦ δόγματος ἕξει βοήθειαν. σημ. ὅτι δύναται ἡ γυνὴ ἀποτάξασθαι καὶ τῇ τοῦ δόγματος βοηθείᾳ. ὡς βι. δ΄ τί. κθ΄ διατ. κβ΄.

κθ΄. Καὶ θυγάτηρ παρεμβαλοῦσα ἑαυτὴν ὑπὲρ πατρὸς βοηθεῖται[39]. ὁμοίως καὶ μήτηρ ὑπεξουσίου παρεμβαλοῦσα ἑαυτὴν βοηθεῖται, εἰ μὴ ἄρα ἐγγυητὰς ἢ ἐνέχυρα τοῖς ἐπιτρόποις αὐτοῦ δέδωκεν ὡς θέλουσα διοικῆσαι τὰ αὐτοῦ[40]. ὡς βι. ε΄ τί. με΄ διάτ. α΄, ἔνθα φησὶν, ὅτι ἀπαιτεῖται λόγους ἐπιτροπεύουσα γυνή[41].

λ΄. Ἡ γυνὴ τοῦ γάμου συνεστῶτος ἐν ἀπορίᾳ τοῦ ἀνδρὸς τὰ ὑποκείμενα πράγματα ὑπὸ τῆς πρὸ γάμου δωρεᾶς καὶ τῆς προικὸς καὶ τῶν ἐξωπροίκων ἐκδικήσασά τε καὶ κατέχουσα, οὐ δύναται ταῦτα ἐκποιεῖν. ἀλλ᾽ ὀφείλει ἀναγκάζεσθαι ἀποτρέφειν τὸν ἄνδρα καὶ τοὺς αὐτῆς[42].

λα΄. Ὁ ἀλλότρια διακατέχων, ἐὰν τὴν ἀρχὴν ἀρνήσηται, μετὰ δὲ ταῦτα εἴπῃ· ἔχω μὲν τὸ πρᾶγμα, νομίμως δὲ ὑπόκειταί μοι, πρότερον ἀναγκάζεται τὸ πρᾶγμα τέως ἀποκαθιστᾶν

ἐνοχὴν ὑποδέξεται, οὐ κατέχεται. εἰ δὲ ὑπὲρ αὐτῆς καὶ μὴ ὑπὲρ ἄλλου εἰσέλθῃ ἀγωγὴν ἡ γυνὴ, οὐ βοηθεῖται, κατὰ τὴν β΄ διάτ. τοῦ αὐτοῦ τί. ὡς ὅτι ἐὰν δελεγατευθῇ γυνή τινι ἀπὸ ἰδίου δανειστοῦ, οὐκ ἔχει τὴν τοῦ δόγματος παραγραφήν. σημ. οὐδὲ ὁ ἀνὴρ ὑπὲρ τῆς ἰδίας γυναικὸς ἐνάγεται, εἰ μὴ ὑπῆν (l. *πω*) *θέλων παρενέβαλεν αὐτόν. βι. δ΄ τί. ιβ΄ διατ. τοῦ κώδ.* (c. 3.)

[37] Est epitome Nov. LXI incognita hactenus. [38] F *δόγματος*. [39] Cod. IV, 29, 8. [40] Cod. IV, 29, 6. [41] F subdit: *Οὐκ ἐνάγεται μήτηρ ὑπὲρ υἱοῦ, κἂν κατέβαλέ τι ὑπὲρ αὐτοῦ.* (Cod. IV, 12, 4.) *τὰ νόμιμα τεκμήρια καὶ τὰ εἰκότα ὅμοια εἰσὶ τοῖς συμβολαίοις.* [42] Cod. V, 12, 29. — Proch. V, 5.

ὡς ἀρνησάμενος, καὶ τότε εἰ νομίμως αὐτῷ ὑπόκειται, κινήσει οἷς θέλει δικαιώμασιν[43].

λβ'. Ὁ νεμόμενος ἀκίνητον ἀλλότριον πρᾶγμα καὶ ἡττηθεὶς ὀφείλει ἀποκαθιστᾶν αὐτὸ τῷ νενικηκότι. εἰ δὲ πρὸ τῆς καταδίκης ἐξεποίησεν αὐτὸ, εἰ μὲν εὔπορός ἐστι, πεμπέσθω ὁ νενικηκὼς ἐπὶ νομῇ τοῦ πράγματος[44]. καὶ σημ. οὐ καταβλάπτει ἡ πλάνη τὴν οὖσαν παρά τινι δεσποτείαν.

λγ'. Ἐὰν ἠρτημένης τῆς δίκης μετενέγκῃ εἰς ἕτερον ἢ τὰς ἀγωγὰς ἢ τὰ πράγματα οἱῳδήποτε τρόπῳ, εἰ μὲν οἶδεν ὁ λαβὼν ἐπίμαχον εἶναι, οὐ μόνον τὸ πρᾶγμα ἀναδίδωσιν, ἀλλ' οὐδὲ λαμβάνει τὸ τίμημα. οὐ μὴν οὐδὲ ὁ πράτης αὐτὸ λαμβάνει, ἀλλὰ τῷ δημοσίῳ εἰσάγεται[45].

λδ'. Ὁ πράτης μετὰ χρόνον τοῦ ἐκνικηθῆναι τὸ πρᾶγμα προσφέρων αὐτὸ τῷ ἀγοραστῇ, οὐκ ἐκκλίνει τὴν εἰς τὸ διαφέρον καταδίκην[46]. εἰ[47] δὲ ἀγνοεῖ, ἀκύρου γενομένου τοῦ συναλλάγματος οὐ μόνον τὰς τιμὰς ἀναλαμβάνει ὁ ἀγοραστὴς, ἀλλὰ καὶ τρίτον ἄλλο τιμωρούμενος δίδωσιν ὁ πράτης ὡς δολερός· πάντων τῶν ἐπὶ τούτοις συμβόλων ἀνισχύρων ὄντων, ὑπεξηρημένων τῶν εἰς προῖκα διδομένων, ἢ πρὸ γάμου δωρεᾶς ἢ διαλύσεως ἢ διανομῆς ἢ κατεχόνται ἢ λαμβάνονται[48].

ΤΙΤΛΟΣ ιθ'.

Περὶ ἐγγυῶν[1] καὶ μανδατόρων.

α'. Ἑλληνιστὶ οὕτως ἐγγυητὴς λαμβάνεται· τῇ ἐμῇ πίστει λέγω, θέλω, βούλομαι, φημί. προστίθεται δὲ ὁ ἐγγυητὴς πάσῃ ἐνοχῇ, καὶ τῇ περὶ πράγματος καὶ τῇ περὶ ἐπερωτήσεως ἐπὶ τῷ συναλλάγματι ἐνοχοποιήσει, καὶ περὶ τῶν πραιτωρίων καὶ συμφώνου ἀποκρίσεως[2]. ὥς φησιν ἡ ρις'[3] νεαρὰ, ὅτι ἐὰν εἴ-

---

[43] Theod. Nov. 18 §. 14. — F addit: *Ἐκνικωμένου τοῦ πράγματος οὐ μόνον εἰς ἀνάληψιν τῆς τιμῆς ἁρμόττειν ἐπιτρέπει ἡ ἀγωγὴ, ἀλλὰ καὶ εἰς τὸ διαφέρον.* (Cf. tit. XVI c. 64.) [44] Cod. VIII, 36, 3. [45] Cod. VIII, 36, 4. [46] Dig. XXI, 2, 67. — Caeterum haec perperam in hunc locum irrepserunt. Cf. tit. XVI c. 63. [47] Sequitur reliqua pars c. 4 Cod. VIII, 36. [48] Haec ultima emendanda sunt ex Basil. Heimb. III p. 147.

[1] Codd. *ἐγγύων*. [2] Dig. XLVI, 1, 8 pr. §. 1. 2. — Corruptela hujus loci sananda est ex Basil. Heimb. III p. 94 sq. [3] Imo Nov. 115 c. 6. — F addit: *Καὶ ἐν πάσῃ ἐνοχῇ δύναται προστίθεσθαι ἐγγυητής. βι. μς' τί. α' διγ. α'.*

πωσιν οἱ ἐγγυηταί· τὸ ἱκανόν σοι γενήσεται, οὐδὲν πέπρακται. εἰ δὲ εἴπωσι· τὸ ἱκανόν σοι ποιήσωμεν, ἐνέχονται.

β'. Ὁ ἀνασχόμενος ἄπορον ἐγγυητὴν λαβεῖν, τὸν δεδοκιμασμένον δοκεῖ λαμβάνειν[4].

γ'. Ὁ ἐγγυητὴς, εἰ μὴ εἰς πᾶσαν αἰτίαν τῆς πράσεως ἐγγυήσεται, οὐχ ὑπόκειται ῥεδιβιτορίᾳ[5].

δ'. Ὑπεξουσίου δανεισαμένου[6] ἐγγυητὴς ἀπὸ πατρὸς οὐ δύναται δίδοσθαι[7]. σημ. τῇ δὲ περὶ πεκουλίου ἐναγόμενος καλῶς δίδωσιν ἐγγυητήν[8].

ε'. Εἴ τις δανείσειεν καὶ ἐγγυητὴν ἢ μανδάτορα λάβῃ, οὗτος μὴ τὴν πρώτην εὐθὺς κατὰ τοῦ μανδάτορος ἢ τοῦ ἐγγυησαμένου ἢ ἀντιφωνήσαντος χωρείτω, ἀλλὰ κινείτω πρῶτον κατὰ τοῦ πρωτοτύπου, τοῦ τὸ χρυσίον εἰληφότος καὶ τὸ δάνεισμα πράξαντος. καὶ εἰ μὴ πληρωθείη, ἀποροῦντος τυχὸν ἢ ἀπόντος τοῦ πρωτοτύπου, εἶθ' οὕτως κατὰ τῶν ἐγγυητῶν τὴν περσοναλίαν μόνην κινείτω. σημ. ἔχουσι δὲ καιρὸν ἐπὶ τοῦ ἀπόντος, καθόσον δίδωσιν αὐτοῖς ὁ ἄρχων, ἐπὶ τὸ τὸν πρωτότυπον ἐπαναγαγεῖν εἴσω μηνῶν δύο ἢ τριῶν, κἂν ὑπερετέθησαν αἱ συμφωνίαι[9].

ϛ'. Ὁ ἐγγυησάμενος τὸν κατηγορηθέντα χρηματικὴν δίδωσι ποινὴν μὴ παριστῶν αὐτόν· ὁ ἄρχων ὁρίζων τὸ ποσόν. εἰ δὲ κατὰ δόλον οὐ παρίστησι, καὶ ἐξτραορδίνως[10] καταδικάζεται[11].

ζ'. Ὁ καθ' οἱονδήποτε τρόπον χρεωστούμενος κινείτω πρῶτον κατὰ τοῦ πρωτοτύπου ἢ τὴν περσοναλίαν ἢ τὴν ὑποθηκαρίαν ἢ ἀμφοτέρας, καὶ εἰ μὴ πληρωθῇ, ἀποροῦντος τυχὸν

---

[4] Dig. XLVI, 1, 3. [5] V addit: ὡς βι. κα' τί. α' διγ. νϛ'. Recte. — F subjicit: Ὁ ἐγγυητὴς οὐ μόνον αὐτὸς ἔνοχος γίνεται, ἀλλὰ καὶ τελευτήσαντος αὐτοῦ ἔνοχον τὸν οἰκεῖον καταλιμπάνει κληρονόμον. βι. γ' τί. κ' τῶν ἰνστιτ. (Theoph. III, 20, 2.) [6] V παρὰ τὸ δόγμα δανεισ. [7] Dig. XLVI, 1, 11. [8] Dig. XLVI, 1, 12. [9] Cf. Nov. 4 c. 1. 2. — Proch. XVI, 10. [10] V in margine: φραγγελισμῷ. [11] Cod. VIII, 40, 26. — F hoc loco habet: Ἐὰν ὁμολογήσω τινὰ παρεστᾶναι ἐν τόπῳ δήλῳ, εἰ δὲ μὴ παραστῇ [δοθῆναι ρ' νομίσματα,] καὶ μὴ ἔγκειται ἡμέρα ἐν τῇ ἐπερωτήσει, εἰ μὲν κατὰ πλάνην ἐστὶν, ἡ ἐπερώτησις ἀτελής ἐστιν. εἰ δὲ μὴ ἔδοξε, ὅτε δὴ παραστῇ ποτε, εἰ δὲ μὴ παραστῇ δοθῆναι ρ' νομίσματα, τότε κομφιρματεύεται τουτέστι βεβαιοῦται παραστῆναι ὁ ἐπερωτηθείς. (Dig. XLV, 1, 115.) εἰ δὲ ἐν ῥητῇ ἡμέρᾳ ἐπερωτηθῇ παρίστασθαι, οὐ δύναται πρὸ τῆς ἡμέρας ἐνάγεσθαι. ὅτε διὰ χρηματικὴν ὑπόθεσιν γένηταί τις ὑπ' ἐγγύας, οὐ δύναται ἐξ ἄλλης αἰτίας ἕλκεσθαι εἰς δικαστήριον, εἰ μὴ ἄρα μέλλει φθείρεσθαι ἡ κατ' αὐτοῦ ἀγωγὴ τεμποραλία οὖσα, ὡς βι. μη' τί. γ' διγ. ε'. (dig. 2 §. 2.) τεμποραλία ἐστὶν ἡ λ' ἡμέραι (l. ἐνιαυτῶν) καὶ ἑκάστη τεμποραλία τῇ ἐσχάτῃ ἡμέρᾳ τοῦ χρόνου βοηθεῖται. (Dig. XLIV, 7, 6.)

ἢ ἀπόντος τοῦ πρωτοτύπου, καὶ μετ' ἐκείνους τὴν ὑποθηκαρίαν τοῦ ἐγγυητοῦ, καὶ ὕστερον κατὰ τῶν πράγματα τοῦ ἐγγυητοῦ νεμομένων ἢ χρεωστούντων αὐτῷ. τὰ αὐτὰ καὶ ἐπὶ ἀντιφωνητῶν καὶ μανδατόρων καὶ βεβαιωτῶν[12].

η'. Ὁ ἐγγυησάμενός τινα εἰδότα καὶ μὴ ἀντιλέγοντα, ἔχει κατ' αὐτοῦ τὴν μανδάτη[13].

θ'. Ὁ ἔχων ἐγγύας οὐ δεσμεῖται, εἰ μὴ βαρύ ἐστι τὸ παρ' αὐτοῦ ἁμαρτηθὲν, ὡς μήτε ἐγγυηταῖς μήτε στρατιώταις αὐτὸν ὀφείλειν παραδοθῆναι. ὡς βι. μη' τί. γ' διγ. α'[14].

ι'. Ὁ ἐπὶ πάσῃ αἰτίᾳ ἐγγυώμενος καὶ τόκους ὑπόκειται, ὡς βι. ιθ' τί. β' διγ. νδ'. σημ. ἡ ἁρμόσασα τῷ πρωτοτύπῳ πάκτου παραγραφὴ καὶ τῷ ἐγγυητῇ δίδοται. βι. λδ' τί. γ'[15].

ια'. Ὁ ἀντιφωνῶν ὑπέρ τινος καὶ αὐτὸς γίνεται ἔνοχος καὶ ἐκεῖνον οὐκ ἐλευθεροῖ. βι. ιε' τί. γ' διγ. ιε'.

ιβ'. Ἐὰν εἷς τῶν ἐγγυητῶν καταβάλῃ καὶ μὴ ἐκχωρηθῇ τὰς ἀγωγὰς, ὁ ἄλλος οὔτε ἐξ αὐτοῦ οὔτε παρὰ τοῦ δανειστοῦ ἐνάγεται[16].

ιγ'. Ἡ ἀπορία τοῦ ἐγγυητοῦ εἰς προσαύξησιν ὑποβληθήσεται[17] τοῖς ἐγγυηταῖς, ἐὰν ἠγνοεῖτο[18] παρ' αὐτῶν ἄπορος εἶναι. εἰ δὲ ἐκ τυχηρᾶς περιστάσεως συνέβη γενέσθαι τοῦτον ἄπορον, τῷ χρεώστῃ ἐποφληθήσεται. σημ. ὁμοίως καὶ ἐπὶ προκατάρξεων[19].

ιδ'. Ὧν οἱ πρωτότυποι φύσει κρατοῦνται, τούτων οἱ ἐγγυηταὶ καὶ φύσει καὶ νόμῳ. σημ. οἷον ὡς ἐπὶ τῶν ὑπεξουσίων· αὐτοὶ μὲν φύσει κρατοῦνται, οἱ δὲ ἐγγυηταὶ αὐτῶν καὶ φύσει καὶ νόμῳ[20]. σημ. καλῶς ἀντιφωνοῦμεν πᾶν ὅτι ἐπερωτηθῆναι δυνάμενον, κἂν ἀκίνητον ᾖ, εἴπερ δεβιτόν[21] ἐστι. τὸ γὰρ ἰνδέβιτον οὐκ ἀντιφωνεῖται. βι. κα' τί. α' διγ. κς'[22].

ιε'. Ὁ ἐγγυησάμενος δοῦλον εἰς ὁλόκληρον ἐνάγεται, κἂν μηδέν ἐστιν ἐν τῷ πεκουλίῳ αὐτοῦ. βι. μς' τί. α' διγ. ιε'[23].

ις'. Ἐὰν ἐγὼ καὶ ἡ γυνὴ ἐγγυησώμεθα εἰς ὁλόκληρον, ἐγὼ μόνος ἐνέχομαι. εἰ δὲ μετὰ ἀφήλικος ἐγγυήσωμαι, εἰ καὶ ἀποκατασταθῇ, καὶ τότε εἰς ὁλόκληρον ἐνέχομαι, ὅτε πρῶτος ἠγ-

---

[12] Epitome Nov. 4 c. 1. 2. Cf. Ἀνέκδοτα mea p. 212, unde hic locus emendandus est. [13] Cod. IV, 35, 6. [14] Imo dig. 3. [15] sc. dig. 5 pr. [16] Dig. XLVI, 1, 39. [17] V ἐποφληθήσεται. — Idem huic capiti inscribit μωδέστου. [18] ACF ἠγνόει τῷ. V ἠγνόηται. [19] Non invenio hunc locum in libris juris Justinianei. Interim videas Inst. III, 20, 4 et notas Schraderi ad eum locum. [20] Theoph. Inst. III, 20, 1. [21] C κἂν ἰντερδέβιτον. A ἢ ἰντερδεβ. F ἢ η περὶ δεβ. [22] F ιε'. Non invenio. Cf. Cod. IV, 18, 2. [23] Imo dig. 35.

γυησάμην καὶ ὕστερον ὁ ἀφῆλιξ προσελήφθη, εἰ μὴ ἄρα κατὰ δόλον τοῦ δανειστοῦ προσελήφθη[24].

ιζ'. Ὁ προκουράτωρ ἀντιφωνούμενος τὸ δεσποτικὸν χρέος αὐτὸς κτᾶται τὴν ἐνοχήν. βι. κ' τί. γ' διατ. λθ'[25].

ιη'. Εἰ καὶ ἀντιφωνήσει τὶς ὅσα ἀπὸ δωρεᾶς ἐχρεώστησεν, πρὸς τὸ μέτρον τῆς οὐσίας αὐτοῦ ἐνάγεται. βι. λθ' τί. ε' διατ. λα'[26].

ιθ'. Ὁ μεταφέρων τὸν ἴδιον χρεώστην δοκεῖ τοσοῦτον δεδωκέναι. εἰ καὶ τὰ μάλιστα ἀπορῶν ἐγγυᾶταί τις, παραχρῆμα κινεῖ ὁ δανειστὴς τὴν κατὰ τοῦ ἐγγυηθέντος ἀγωγήν[27].

κ'. Ἐὰν ὁ χρεώστης εἰς τὸ ἥμισυ δημευθεὶς ἐξορισθῇ, εἰς τὸ ἕτερον ἥμισυ μόνον ἐνάγεται. οἱ δὲ ἐγγυηταὶ αὐτοῦ εἰς ὁλόκληρον ἐνάγονται[28].

κα'. Οἱ ἐγγυηταὶ εἰ μὴ εἰς πᾶσαν τὴν ἐνοχὴν εἰσέλθωσιν, οὐχ ὑπόκεινται ἐπὶ τόκους. εἴ τι δὲ καταβάλλῃ ὁ ὑπεύθυνος, εἰς τόκους πρῶτον λογίζεται, ὡς ἐπὶ τῶν πιπρασκομένων παρὰ τοῦ δανειστοῦ ἐνεχύρων[29].

κβ'. Ἐὰν τὸ χρέος μετατεθῇ, ἐλευθεροῦνται καὶ οἱ ἐγγυηταὶ καὶ οἱ μανδάτορες, εἰ μὴ ἄρα πάλιν ἐνόχους ἑαυτοὺς εἰς τὸ χρέος ἐποίησαν[30].

κγ'. Ὁ ὑπεξούσιος ἄκοντος τοῦ πατρὸς οὐ δύναται ἐλευθερῶσαι χρεώστην αὐτοῦ. προσπορίζει γὰρ ἀγωγὴν, οὐ μὴν μειοῦν δύναται[31].

κδ'. Ὁ ἐμαγκιπάτος υἱὸς τουτέστιν ὁ αὐτεξούσιος, εἰ καὶ πολλῶν δωρεῶν ἔτυχε παρὰ τοῦ πατρὸς, οὐκ ἀναγκάζεται αὐτὸν ἐγγυήσασθαι. ὡς βι. ν' τί. η' διγ. γ'[32].

κε'. Ἐὰν ἐγγυήσωμαι τὸν μισθωσάμενον [ἐπὶ] ε' χρόνους καὶ ἐπεκτείνῃ τὴν μίσθωσιν ἐπὶ ἕτερον χρόνον ὡς πρωτότυπος, ἐγὼ οὐ κατέχομαι ὑπὲρ τῆς δευτέρας μισθώσεως. βι. μθ' τί. ιδ' διγ. γ'[33].

κϛ'. Ἐπὶ τῶν ἐπερωτήσεων τῶν ἐγγυητῶν ἰστέον, ὅτι ὅπερ δήποτε εἴη γεγραμμένον ὡς γενόμενον, προλήψει γενέσθαι δοκεῖ. [διὸ[34] ὡμολόγηται, εἴ τις ἑαυτὸν ἔγραψεν ἐγγυήσασθαι, δο-

---

[24] Dig. XLVI, 1, 48. [25] Non invenio. [26] Imo dig. 33 pr. [27] Dig. XLVI, 1, 18. — Cf. Basil. Heimb. III p. 96, ex quibus corrigas hunc locum. [28] Cod. VIII, 40, 1. [29] Dig. XLVI, 1, 68 §. 1. [30] Cod. VIII, 40, 4. — F addit: Ὁ κληρονόμος τοῦ ἐγγυητοῦ ὡς [ὁ] πρωτότυπος κατέχεται. εἰ δὲ καὶ τὸν χρεώστην καὶ τὸν ἐγγυητὴν ἐκληρονόμησεν, ἔκτοτε ὡς τοῦ χρεώστου [κληρονόμος] μόνον κατέχεται. βι. λδ' τί. γ' διγ. ε'. (Imo Cod. VIII, 40, 24.) [31] Dig. XLVI, 3, 22. [32] sc. §. 3. [33] sc. §. 6. [34] F οὖ. Inclusa C non habet.

κεῖν] πάντα τὰ εἰωθότα πεπρᾶχθαι, τουτέστι τὸ ἐπερωτᾶσθαι αὐτὸν ὡς ἐγγυητὴν καὶ αὐτὸν ἀκολούθως ὡμολογηκέναι[35].

κζ'. Ἐὰν νομίσματα δανείσω, οὐ δύναμαι λαβεῖν ἐγγυητὴν ἐφ' ᾧ δοῦναί μοι ὑπὲρ αὐτοῦ σῖτον. εἰ μὴ γὰρ εἰς αὐτὸ τὸ δανεισθὲν οὐ προσλαμβάνεται ἐγγυητής. τὰ μὲν γὰρ φορτία καλῶς εἰς νομίσματα ἀποτιμῶνται, τὰ δὲ νομίσματα οὐκ ἀποτιμῶνται εἰς φορτία. βι. λβ'[36] τί. α' διγ. μβ'.

κη'. Μήτε ἔθος μήτε νόμος μήτε τύπος ἐπιτρεπέτω τὸν ἄνδρα ἐγγύας δοῦναι τῇ γαμετῇ αὐτοῦ ὑπὲρ τῆς ἰδίας προικός. βι. ε' τί. κ' διατ. γ'[37].

κθ'. Κἂν ἀρνούμενον τὸ χρέος ἐλέγξῃ τὸν δεβίτωρα ὁ ἐγγυητὴς, παραβαίνειν δοκεῖ τὴν πίστιν. βι. ιδ' τί. α' διατ. ιη'[38].

λ'. Οὐκ ἀπαιτεῖται κουστωδίαν ὁ πατὴρ, τουτέστιν ἀσφάλειαν, ἐφ' οἷς ὁ υἱὸς ἐχρήσατο. σημ. οὐδὲ ὁ ἐγγυησάμενος τὸν χρησάμενον ἀπαιτεῖται κουστωδίαν. βι. μζ' τί. β' διγ. δ'[39].

λα'. Πούπιλος χωρὶς τοῦ ἐπιτρόπου δοῦλον ὁμολογήσας ἐγγυητὴν δέδωκε, καὶ τοῦ πουπίλου ὑπέρθεσιν ποιήσαντος ὁ δοῦλος ἀπέθανεν. οὔτε ὁ ἐγγυητὴς ἐνέχεται οὔτε ὁ ἀφῆλιξ. ὑπέρθεσιν γὰρ ἀφῆλιξ οὐ δοκεῖ ποιεῖν ὃς οὐδὲ ἐνάγεσθαι δύναται[40].

λβ'. Ὅτε ὁ προκουράτωρ μου ἐπερώτησιν πραιτωρίαν[41] ἐπερώτησεν, ἐμοὶ προσπορίζει τὴν ἀγωγήν. βι. μϛ' τί. ε' διγ. ε'[42]. Οὐ ποιεῖ με ὁ προκουράτωρ μου ἔνοχον, ἐὰν ὑπογράφῃ εἰς ὑπογραφὴν οὕτως· ἔστιν λοιπὰ παρ' ἡμῶν ὀφειλόμενα τῷ δεβίτωρι[43].

ΤΙΤΛΟΣ κ'.

Περὶ μνηστείας καὶ περὶ ἀῤῥαβῶνος.

α'. Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων. καὶ ἐγγράφως καὶ ἀγράφως μνηστεία γίνεται[1].

[35] Theoph. Inst. III, 20, 8. — F hoc loco intercalat haec: Ἐάν τις ἐν διαθήκῃ ὑπὲρ προθεσμίαν θελήσῃ ποιῆσαι, ὡς κελευσθεὶς ὁδεῦσαι καὶ ποιῆσαι τὸ κελευσθὲν, ὅσας ἡμέρας ἐμποδισθῇ τῆς δημοσίας ὁδοῦ, λογίζεται αὐτῷ εἰς προθεσμίαν. [36] Lege μϛ'. [37] Imo c. 1. [38] V λη'. Non invenio. [39] Imo dig. 14 §. 10. [40] Dig. XLV, 1, 127. [41] A πουπιλαρ.. [42] A ϛε. [43] Dig. XLIV, 7, 61 pr.

[1] Dig. XXIII, 1, 1. 7 pr. — Proch. I, 1. 2.

β'. Καὶ ψιλῇ συναινέσει μνηστεία γίνεται, καὶ[2] μεταξὺ ἀπόντων[3].

γ'. Μνηστεύεταί τις καὶ δι' αὐτοῦ παρὼν καὶ διὰ μέσου καὶ δι' ἐπιστολῆς[4].

δ'. Ὁ τὴν τοῦ μνηστευομένου θρησκείαν προγινώσκων οὐ συγγινώσκεται.

ε'. Παρὰ γνώμην τῆς ὀρφανῆς ὁ ἐπίτροπος οὐ συνίστησι τὴν μνηστείαν[5].

ς'. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται διαλύειν τὴν μνηστείαν, οὐ μὴν καὶ τῆς αὐτεξουσίας[6]. τότε δὲ μόνον ἀντιλέγειν δύναται, ὅτε τοῖς τρόποις ἀνάξιον καὶ αἰσχρὸν αὐτῇ μνηστεύεται[7].

ζ'. Ὁ τὸ γινόμενον νοῶν καλῶς μνηστεύεται, τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ζ' ἐτῶν[8].

η'. Οὐ δεῖ τὰ ἐν τῇ ζωῇ τοῦ πατρὸς δοκιμασθέντα καὶ ἀρεσθέντα ἀνατρέπεσθαι παρὰ τῶν ἐπιτρόπων καὶ κουρατώρων[9].

θ'. Διχονοοῦντος τοῦ ὑπεξουσίου οὐ δύναται γενέσθαι μνηστεία ὀνόματι αὐτοῦ[10].

ι'. Τὴν ἥττονα τῶν ιβ' ἐτῶν οὐ γαμῶ, μνηστείαν δὲ ποιῶ[11].

ια'. Ὁ πατὴρ τῆς ὑπεξουσίας δύναται πέμπειν διαζύγιον καὶ λύειν τὴν μνηστείαν, καὶ οὐκ ἀπαιτεῖ τὰ ἐν τῇ προικὶ ὑπὲρ αὐτῆς δοθέντα. αὐτὴ γὰρ γαμουμένη συνίστησι τὴν προῖκα, καὶ ἀπόλλυται [ἡ] κανσαδάτα[12], εἰ μὴ ἄρα ἐπὶ τούτῳ δέδωκεν ὁ πατὴρ, ἐφ' ᾧ ἀναλαβεῖν εἰ μὴ συναινέσει τῷ γάμῳ, κἄντε γένηται κἄντε μή[13].

ιβ'. Ὁ γενόμενος ἐπίτροπος οὐ δύναται γαμεῖν τὴν ὀρφανὴν, οὔτε παῖδα αὐτοῦ ζευγνῦναι. σημ. τὸ αὐτὸ καὶ περὶ μνηστείας[14].

ιγ'. Ὁ μνηστευσάμενος κόρην καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ, ὀφείλει ταύτην, εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ

---

[2] Deest in W. [3] Dig. XXIII, 1, 4. [4] Dig. XXIII, 1, 18. — Proch. I, 11. [5] Dig. XXIII, 1, 6. — Proch. I, 4. [6] Dig. XXIII, 1, 10. — Proch. I, 5. — F hic intercalat: *εἰ δὲ μετὰ τὴν μνηστείαν αὐτεξουσία γένηται ἡ μνηστευθεῖσα, οὐ δύναται λοιπὸν ὁ πατὴρ τὴν ἤδη γενομένην καταλύειν μνηστείαν.*
[7] Dig. XXIII, 1, 12. — Proch. I, 6. [8] Dig. XXIII, 1, 14. — Proch. I, 8.
[9] Cod. V, 1, 4. [10] Dig. XXIII, 1, 13. — Proch. I, 7. [11] Dig. XXIII, 1, 9.
[12] W in margine: *αἰτία τῆς ζημίας οἶμαι λέγει.* [13] Dig. XXIII, 1, 10.
[14] Dig. XXIII, 1, 15. — F hoc loco haec habet: *Ἡ γενομένη δωρεὰ μεταξὺ τῆς συναφθείσης τῷ υἱῷ τοῦ ἐπιτρόπου αὐτῆς οὐκ ἔῤῥωται. βι. ε' τί. ς' διατ. α'. εἰ δὲ αὐτὸς ὁ ἐπίτροπος λάβῃ τὴν κηδευομένην ὑπ' αὐτοῦ, δεπορτατεύεται τουτέστιν ἐξορίζεται.*

διάγει, εἴσω διετίας γαμεῖν· εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας. εἰ δὲ ὑπέρθηται, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι[15]. σημ. καὶ ἐξ εὐλόγου αἰτίας καὶ περαιτέρω τετραετίας ὑπερτίθεται μνηστεία· τυχὸν ἢ διὰ νόσον ἢ διὰ μακρὰν ἀποδημίαν ἢ διὰ κεφαλικὰ ἐγκλήματα[16].

ιδ'. Τὸ πένθος τοῦ ἀνδρὸς οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι[17]. καὶ ὅτι ἡ πενθοῦσα τὸν ἄνδρα δύναται ἀπὸ σάκρας[18] εἴσω τοῦ πενθίμου χρόνου γαμηθῆναι[19]. ὡς βι. γ' τί. β' διγ. ια'· καὶ ὅτι τὰ πένθη τῶν ανιόντων οὐκ ἐμποδίζει τοῖς γάμοις τῶν πενθούντων προσώπων[20]. καὶ ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα οὐκέτι[21] κωλύεται γάμῳ προσελθεῖν[22]. καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ οὐ[23] κωλύονται ἐν τῷ πενθίμῳ χρόνῳ γαμηθῆναι[24]. σημ. ἐὰν κατεδικάσθησαν ἐπὶ καθοσιώσει οἱ τούτων ἄνδρες. σημ. οὔτε ἀνὴρ γαμετὴν οὔτε μνηστὴ τὸν μνηστῆρα ἀναγκάζεται πάλιν πενθεῖν· βι. γ' τί. β' διγ. θ'.

ιε'. Καὶ ἡ μὴ συναφθεῖσα τῷ ἀνδρὶ ἀλλ' ἔτι παρθένος οὖσα, πενθεῖν χρεωστεῖ τὸν ἄνδρα. σημ. τοῦτο νόησον ἐν γάμῳ εἶναι τὴν γυναῖκα καὶ οὐχὶ ἐν μνηστείᾳ[25].

ις'. Μνηστῆς πορνευθείσης δύναται ὁ μνηστὴρ μοιχείαν κατηγορεῖν[26].

ιζ'. Μνηστείας μὴ γενομένης, κἂν ἐπερωτηθῶσι διδόναι προῖκα ὑπὲρ κόρης, τοῦτο μνηστείαν οὐ ποιεῖ. ὅτι ἀπὸ ψιλοῦ συμφώνου ἀγωγὴ οὐ τίκτεται[27].

ιη'. Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας ἧς ἄρχουσι μνηστεύεσθαι. εἰ δὲ τοῦτο ποιήσωσιν, ἔξεστι τῇ κόρῃ καὶ τοῖς γονεῦσιν αὐτῆς ἢ ἐπιτρόποις ἢ κουράτωρσι παραιτεῖσθαι τὸν γάμον καὶ κερδαίνειν τοὺς ἀῤῥαβῶνας. τὸ αὐτὸ καὶ ἐπὶ ἐκγόνων καὶ συγγενῶν καὶ δομεστίκων καὶ τῶν λοιπῶν ἀνθρώπων τοῦ ἄρχοντος[28].

ιθ'. Ἐὰν κατὰ σπουδὴν ἐμνηστεύσατο ὁ ἄρχων[29], εἰ μὲν μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφθῆναι αὐτῷ, ἔῤῥωται ὁ γάμος. ὡς εἴγε ἄρχων μὲν ἦν, οὐκ ἦν δὲ ἱκανὸς φοβῆσαι τοὺς τῆς κόρης γονεῖς, οὐ κωλύεται ἡ μνηστεία[30].

---

[15] Cod. V, 1, 1. — Proch. I, 9. [16] Dig. XXIII, 1, 17. — Proch. I, 10. [17] Proch. I, 12. [18] W super lineam: *ἤγουν ἐνδόσεως ἐκκλησίας*. [19] Dig. III, 2, 10. [20] Proch. IV, 13. [21] Deest in W. [22] Proch. VII, 25. [23] Dele. [24] Proch. VII, 26. [25] Dig. XXIII, 2, 6. [26] Dig. XLVIII, 5, 13 §. 3. [27] Dig. XXIII, 3, 58 pr. Cf. Basil. Heimb. III p. 394. [28] Cod. V, 2, 1. — Proch. II, 8. [29] Lege: *ἐμνηστεύσαντο τοῦ ἄρχοντος*, eaque trahe ad §. 18. [30] Cod. V, 2, 1. — Proch. II, 8.

κ'. Οἱ τῶν μαινομένων παῖδες, κἂν ὑπεξούσιοι ὦσιν, οὐ δέονται τῆς τῶν πατέρων αὐτῶν συναινέσεως γάμον συναλλάσσοντες, δηλονότι καὶ μνηστείαν. ἀλλ' ἐν μὲν κωνσταντινουπόλει κρίσει τοῦ ἐπάρχου τῆς πόλεως, ἐν δὲ ταῖς ἐπαρχίαις κρίσει τοῦ ἄρχοντος ἢ τοῦ ἐπισκόπου[31].

κα'. Ἐπὶ τῶν ἀνυποστάτων γάμων οἱ ἀῤῥαβῶνες ἁπλοὶ ἀναδίδονται. τὸ αὐτὸ καὶ ἐπὶ νόμοις ἀπηγορευμένοις, ἐάν ἐστιν αἰσχρὸς ἢ ἄσωτος ἢ αἱρετικὸς, ἢ ὡς ἀνὴρ τὰ τῶν ἀνδρῶν οὐ ποιεῖ[32].

κβ'. Οἱ τῶν αἱρετικῶν παῖδες ἐὰν γένωνται χριστιανοὶ, ἀναγκάζουσι τοὺς ἰδίους γονεῖς τρέφειν αὐτοὺς καὶ ἐνδύειν καὶ προῖκα ἢ προγάμου δωρεὰν ὑπὲρ αὐτῶν διδόναι κατὰ τὸ μέτρον τῆς αὐτῶν περιουσίας[33].

κγ'. Ὁ διὰ τὸ μονάσαι λύων τὴν μνηστείαν ἀναλαμβάνει οὓς δέδωκεν ἀῤῥαβῶνας ἀζημίως, κἂν μνηστὴρ κἂν μνηστή[34].

κδ'. Ἐπὶ τῶν ἑτεροδόξων δύνανται ἀναλαβεῖν εἴ τι δεδώκασιν ἀῤῥαβῶνας λύοντες τὴν μνηστείαν, ἐὰν ἄρα ἡ θρησκεία αὐτῶν κατὰ ἄγνοιαν τῶν συναλλασσόντων ἐγένετο. εἰ δὲ ᾔδεισαν τὸ ἀλλότριον τῆς πίστεως καὶ ἔδωκαν ἀῤῥαβῶνας γάμου, τότε ὁ μὲν ἀνὴρ ζημιοῦται ἃ δέδωκεν, ἡ δὲ γυνὴ ἀναδίδωσιν ἐν διπλῷ ὃ ἐδέξατο. βι. α' τί. δ' τοῦ κώδ. διάτ. ις'[35].

κε'. Ἐάν τις τῶν μνηστευσαμένων τελευτήσῃ μηδὲν ἐμποδίσας τῷ γάμῳ, ἀναδίδοται ἀνελλιπῶς ὁ δοθεὶς ἀῤῥαβών. εἰ δὲ εἷς ἐξ αὐτῶν ἐμποδίσας τῷ γάμῳ ἐτελεύτησε, ζημιοῦται τοὺς ἀῤῥαβῶνας, ὡς βι. ε' τοῦ κώδ. τί. δ'[36] διατ. γ'.

κς'. Κἄντε αὐτεξουσία ἐστὶ κἄντε ὑπεξουσία, κἄντε ἐλάττων οὖσα τῶν κε' χρόνων, ἐὰν ἄρα ᾔτησε συγγνώμην ἡλικίας, καὶ ἀῤῥαβῶνας ἔλαβε καὶ παρῃτήσατο τὸν γάμον, εἰς τὸ διπλάσιον ὅπερ ἔλαβεν ἀποδώσει[37]. εἰ δὲ ὁ δεδωκὼς ἐμποδίσῃ τῷ γάμῳ, ἐκπίπτει τῶν ἀῤῥαβώνων[38].

κζ'. Γίνεται δὲ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας τοῖς μὲν ἀνδράσιν ἀπὸ κ' χρόνων ἕως τοῦ κε' χρόνου, ταῖς δὲ θηλείαις ἀπὸ ιη' ἔτους μέχρι κε' χρόνου. αἰτούμενοι βασιλεῖ ἀπώσασθαι τοὺς αὐτῶν κουράτωρας, ὡς αὐτοὶ μόνοι δυνάμενοι

---

[31] Cod. V, 4, 25. — Proch. I, 13. [32] Cod. V, 1, 5. [33] Cod. I, 5, 13. 19. — Proch. I, 14. [34] Cod. I, 3, 54. [35] Cf. Proch. II, 3. [36] Lege α'. [37] W ἀναστρέφεται. [38] Cod. V, 1, 5. — F subjicit: Οἱ συγγνώμην ἡλικίας αἰτήσαντες οὔτε ἐκποιοῦσιν οὔτε ὑποτίθενται κινητὸν ἢ ἀκίνητον πρᾶγμα χωρὶς δεκρέτου. ὡς βι. β' τοῦ κώδ. [τί. μδ'] διατ. γ'. (Ad vocem δεκρέτου W glossam habet: ἀποφάσεως βασιλικῆς.)

τὴν τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα, ὑπολήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι. οὐ μέντοι χωρὶς δεκρέτου ἐκποιοῦσί τι τῶν αὐτοῖς προσόντων [39].

κη'. Ὁ ἀῤῥαβὼν φύσιν ἔχει τοιαύτην, ἵνα εἰ μὲν ὁ λαβὼν τὸν ἀῤῥαβῶνα παραιτήσηται, διπλάσιον ὅπερ ἔλαβεν ἀποδῷ, εἰ δὲ ὁ δεδωκώς, ἵνα ἐκπέσῃ τῶν ἀῤῥαβώνων, εἰ μὴ ἄρα αἰτία τὶς εὔλογος ἀποδειχθῇ εἰς τὸ μὴ τελεσθῆναι [40] τὸν γάμον [41].

ΤΙΤΛΟΣ κα'.

Περὶ δωρεῶν μνηστείας.

α'. Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα βουληθῇ τὸ ἐν τῇ συνηθείᾳ γινόμενον προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ τῇ μελλούσῃ αὐτῷ γαμεῖσθαι, εἰ μὲν δωρήσηται αὐτῇ πράγματα ἰδικῶς καὶ μετὰ ταῦτα δέξηται αὐτὰ εἰς προῖκα, καὶ ἡ δωρεὰ τελεία ἐστὶ ὡς πρὸ τοῦ γάμου γενομένη, καὶ ἡ προῖξ συνίσταται ὡς ἐπὶ δόσεως προελθούσης [1].

β'. Ἐὰν δὲ γράφῃ μόνον ὅτι ὑπεδέξατο προῖκα μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν ἀπαίτησις τῶν μὴ ἐπιδοθέντων πραγμάτων [2].

γ'. Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι [3] ἐπὶ τῷ γενέσθαι τοὺς γάμους, μὴ γενομένων τῶν γάμων ἀναδιδότω αὐτά [4].

δ'. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὸν γαμβρὸν ἢ τὴν νύμφην δωρεὰ οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται [5].

ε'. Πατὴρ πρὸ τῶν γάμων [6] τῆς ἐμαγκηπάτου τουτέστι τῆς αὐτεξουσίας προῖκα ἐπιδιδοὺς καλῶς συμφωνεῖ ἀπαιτηθῆναι ἣν ἐπερωτήθη προῖκα. ἐὰν δὲ μὴ συνεφώνησε [7] τῷ γάμῳ αὐτῆς ἀναδίδοσθαι τὴν προῖκα καὶ οὕτως καλῶς συμφωνεῖ [8] τουτέστιν ἀπαιτεῖ καὶ προβαινόντων καὶ μὴ προβαινόντων τῶν γάμων [9].

[39] Cod. II, 44, 2. — Proch. II, 5. [40] W ἐπιτελ. [41] Cod. V, 1, 3. — Proch. II, 1.

[1] Cod. V, 3, 1. — Proch. III, 1. [2] Cod. l. l. — Proch. l. l. — F addit: σημ. τὸ γὰρ εἰπεῖν, ὅτι ἔλαβον, οὐκ ἐστὶν εἶδος δωρεᾶς, ἀλλὰ μόνον ψευδής ἐστιν ὁμολογία ἐπὶ τοῖς μὴ δοθεῖσιν ἔνοχον μὴ ποιοῦσα τὸν ἄνδρα. [3] Adde τῆς μνηστῆς. [4] Cod. V, 3, 2. — Proch. III, 2. [5] Cod. V, 3, 9. — Proch. III, 6. [6] F πρὸς τὸν γάμον. [7] Legerim ἐὰν μὴ συναινέσῃ [8] Pro sequentibus W habet: καὶ προβαίνοντος τοῦ γάμου. — Totus hic locus emendandus est ex Basil. Heimb. III p. 151. [9] Dig. XXIII, 1, 10.

ς'. Ἐάν τις δωρήσηται τῇ μνηστῇ πράγματα ἐπὶ τούτῳ τῷ ὅρῳ, ἵνα ὅτε προβῇ ὁ γάμος, τότε δύναται αὐτῶν γενέσθαι δέσποινα, ἄχρηστός ἐστιν ἡ δωρεά. συνισταμένου γὰρ τοῦ γάμου ὁ ἀνὴρ[10] γενέσθαι οὐ δύναται δεσπότης πράγματος τῇ γυναικὶ διαφέροντος[11].

ζ'. Ἐάν τις γυναῖκα ἔχων καὶ ἐπὶ ἀπάτῃ μνηστεύεται ἄλλῃ καὶ δωρεῖται, μὴ παρακολουθούντων τῶν γάμων οὐ δύναται ταῦτα ἐπαναλαμβάνειν[12].

η'. Ἐάν τις προγάμου δωρεὰν διδοὺς συνεφώνησεν, ἵνα ἐὰν παρὰ γνώμην αὐτοῦ λυθῇ ὁ γάμος, ἀποδοθῶσιν αὐτῷ ἅπερ ἐδωρήσατο, δύναται θανάτῳ αὐτοῦ διαλυθέντων τῶν γάμων ὁ κληρονόμος αὐτοῦ καὶ μὴ γενομένων τῶν γάμων ἀναλαβεῖν τὴν δωρεάν[13].

θ'. Ἡ παρὰ τοῦ μνηστῆρος γενομένη δωρεὰ οὐκ ἀναιρεῖται ὡς παρὰ πολεμίοις προφάσει αὐτὸν ἀναιρεθῆναι[14].

ι'. Εἴτε αὐτεξούσιοι ὄντες ἀφ' ἑαυτῶν δωρήσονται εἴτε ὑπεξούσιοι συναινέσει τῶν ἐχόντων αὐτοὺς δωρήσονται ὁ ἀνὴρ τῇ γυναικὶ καὶ ἡ γυνὴ τῷ ἀνδρὶ, μὴ προβαινόντων τῶν γάμων[15] ἐξ ἀναλογίας τοῦ δωρησαμένου δωρεὰ οὐκ ἀναδίδοται, εἰ μὴ οὐκ ἐνεπόδισε τῷ γάμῳ[16].

ια'. Ἐὰν ἐφίλησεν ὁ μνηστὴρ τὴν μνηστὴν ἐν τῷ τῆς μνηστείας καιρῷ καὶ μετὰ ταῦτα ἕνα τῶν ἀμφοτέρων τελευτῆσαι συμβῇ, τὸ ἥμισυ τῆς δωρεᾶς ἀνατρέπεται καὶ τὸ ἥμισυ ἔχει ὁ ζῶν[17].

ιβ'. Ἐπειδὴ τῇ μνηστῇ δυνατὸν δωρεῖσθαι οὐκέτι δὲ καὶ τῇ γαμετῇ, ἐζητεῖτο, ἆρα, ἐὰν γένηται ἡ δωρεὰ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν γενομένη ἔῤῥωται ἢ ὡς πρὸς γαμετὴν ἀνυπόστατός ἐστιν.

ιγ'. Λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοσαύτῃ ἀδηλίᾳ ζητεῖν δεῖ ποῦ τῆς γυναικὸς οὔσης γέγονεν ἡ δωρεά· ἵνα εἰ μὲν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ ἦν ἡ γυνὴ, δόξῃ πρὸς μνηστὴν ἡ δωρεὰ γεγονέναι, εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς, πρὸς γαμετήν[18].

---

[10] F et W pergunt sic: *δεσπότης γενέσθαι τῶν πραγμάτων ὀφείλει τῆς γυναικὸς διαφερούσης.* [11] Cod. V, 3, 4. [12] Cod. V, 3, 5. [13] Cod. V, 3, 7. [14] Cod. V, 3, 11. [15] Sequentia corrupta sunt. Cf. Bas. Heimb. III p. 164. [16] Cod. V, 3, 15. [17] Cod. V, 3, 16. — F hic addit: *ὅτε ὅπερ ὑπέθετο ἄλλῳ ὁ ἀνὴρ δωρήσηται μετὰ ταῦτα καὶ γυναικὶ, ἔῤῥωται ἡ δωρεὰ, ὑπόκειται δὲ τῷ δανειστῇ διὰ τὸ προγενέστερον αὐτὸν εἶναι τοῦ γάμου. ἡ δὲ προῖξ προτιμάσθω τῷ δανειστῇ, κἂν μεταγενεστέρα ἐστὶ τῆς ὑποθηκης.* [18] Cod. V, 3, 6. — Proch. III, 5.

ιδ´. Οἱ δανεισταὶ τοῦ ἀνδρὸς, εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ' αὐτοῦ πράγματα ἀποσπᾶν[19].

ιε´. Γυνή τις μέλλουσα γάμῳ προσομιλεῖν ἐλπίδι μεγάλης προικὸς ἐπαγγειλαμένης ὡς δῆθεν ἀπατῶσα τὸν ἄνδρα μεγάλην δωρεὰν ἐπερωτᾷ. καὶ διὰ τοῦτο καὶ ὁ ἀνὴρ ἐπηγγείλατο ψιλῶς ἢ καὶ ἐπερωτήθη λόγῳ μνήστρων δοθῆναι τῇ γυναικὶ ποσότητα. οὐδὲν ὠφελεῖ αὐτὴν διὰ τὸ εὑρεθῆναι τὸν γάμον αὐτῆς ἀνυπόστατον ἐν τῇ τελευτῇ τοῦ ἀνδρὸς, κατὰ τὸν κανόνα τὸν λέγοντα· ἡ μηδ' ὁτιοῦν δοῦσα μηδ' ὁτιοῦν λαμβανέτω. καὶ λοιπὸν πρὸς τὸ ποσὸν τῆς προικὸς κανονίζεται ἡ δωρεά[20].

ις´. Ἡ διάταξις βούλεται τὸν προξενοῦντα γάμον μάλιστα μὲν μηδὲν λαμβάνειν, εἰ δὲ ὅλως ἀνέχεται λαβεῖν, εἰ μὲν μηδὲν συνεφώνησε περὶ τούτου, μηδὲ ὅλως λαμβανέτω. εἰ δὲ συνεφώνησεν, μὴ ὑπὲρ τὴν κ´ μοῖραν τῆς προικὸς [καὶ] τῆς προγάμου δωρεᾶς ἐπιζητεῖν[21].

ιζ´. Ὁ ἥττων τῇ ἰδίᾳ μνηστῇ παρουσίᾳ τοῦ κουράτωρος καλῶς δωρεῖται, καὶ οὐκ ἀνατρέπει δι' ἀποκαταστάσεως. ὡς βι. β´ τοῦ κώδ. τί. η´[22] διατ. γ´.

ιη´. Ὁ ἥττων[23] καλῶς δωρεῖται τῇ ἰδίᾳ μνηστῇ προγάμου δωρεάν[24]. εἴρηται δὲ προγάμου δωρεὰ διὰ τὸ πρὸ τῆς στάσεως[25] τοῦ συνοικεσίου γίνεσθαι αὐτήν. καθόλου γὰρ πᾶσα δωρεὰ γινομένη συνεστῶτος τοῦ γάμου μεταξὺ ἀνδρὸς καὶ γυναικὸς ἀπηγόρευται.

ΤΙΤΛΟΣ κβ´.

Περὶ κεκωλυμένων γάμων.

α´. Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαιρεῖται δὲ εἰς τρία· εἰς ἀνιόντας, εἰς κατιόντας καὶ εἰς τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν οἱ ἡμᾶς γεγεννηκότες, οἷον πατὴρ μήτηρ πάππος μάμμη, καὶ οἱ ἐκ[1] τούτων ἀνώτεροι. κατιόντες δὲ οἱ ἐξ ἡμῶν γεγεννημένοι, οἷον υἱὸς θυγάτηρ ἔκγονος ἐκγόνη, καὶ οἱ τούτων κατώτεροι. ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς γεγεννη-

---

[19] Cod. V, 3, 13. — Proch. III, 7. [20] Cod. V, 3, 3. — Cf. Proch. III, 3. [21] Cod. V, 1, 6. — Proch. III, 4. [22] W τί. μ´. Sed est Cod. II, 29, 1. [23] W ἥτωρ. F Μνήστωρ. [24] Cod. I. I. [25] Lege συστάσεως.
[1] Lege ἔτι.

κότες μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες, οἷον ἀδελφὸς ἀδελφὴ θεῖος θεία ἀνεψιὸς ἀνεψιὰ ἐξάδελφος ἐξαδέλφη, καὶ οἱ ἐκ τούτων κατώτεροι.

β΄. Ἑκάστη δὲ τάξις συγγενείας ποικίλους ἔχει καὶ διαφόρους βαθμούς. ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων ἁπλουστέρα τὶς καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν. ἕκαστον γὰρ τούτων τῶν προσώπων βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γεννήσεις τοσοῦτοι καὶ βαθμοί.

γ΄. Δυσχερεστέρα δὲ καὶ οὐκ εὐκατάληπτός ἐστιν ἡ τῶν ἐκ πλαγίου βαθμῶν εὕρεσις. δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι τὴν ἀνάβασιν ἐπὶ τοὺς ἀνιόντας, μέχρις οὗ ἐπιστῶμεν ἐκείνῳ τῷ αἰτίῳ τῆς γεννήσεως τοῦ ἐκ πλαγίου, εἶτα τοῦτο εὑρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τοῦ ἐκ πλαγίου, καὶ οὕτως πάσας ἀριθμεῖν τὰς γεννήσεις τὰς ἀναγομένας[2], τοῦτο μὲν ἐπὶ τῆς ἀνόδου, τοῦτο δὲ ἐπὶ τῆς καθόδου. ἑκάστην γὰρ γέννησιν ἐν ἰδιάζοντι τάττων βαθμῷ ποιοῦ τὸν ἀριθμόν. καὶ ἐπὶ μὲν τῶν κατιόντων εὐχερὲς τοῦτο.

δ΄. Οἷον ὁ υἱός μου πόστου ἐστὶ βαθμοῦ; ἐγὼ ἔτεκον. ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν. οὐκοῦν πρώτου ἐστὶ βαθμοῦ[3]. ὁ πάππος πόστου; ἐμὲ ἐγέννησεν ὁ πατὴρ, τὸν πατέρα ὁ πάππος. ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· ἐστὶν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐπὶ μητρὸς καὶ μάμμης καὶ πάντων τῶν[4] ἀῤῥένων τὲ καὶ θηλειῶν.

ε΄. Ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ὡς εἴρηται, δεῖ ἀνιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον τὰς γεννήσεις ἀριθμοῦντας, καὶ πάλιν κατιέναι ψηφίζοντας τὰς γεννήσεις, ἕως οὗ ἔλθωμεν εἰς τὸ πρόσωπον περὶ οὗ ἡ ζήτησις.

ς΄. Εἰ γάρ τίς σε ἐρωτήσῃ· ὁ ἀδελφὸς πόστου ἐστὶ βαθμοῦ; λέγε δευτέρου. διὰ τί; ἀνέρχῃ πρὸς τὸν πατέρα· ἰδοὺ μία γέννησις τοῦ πατρὸς εἰς σὲ ἕνα βαθμὸν ἀπετέλεσεν. εἶτα ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε πρὸς τὸν ἀδελφὸν, προστιθεὶς ἐνταῦθα ἑτέραν γέννησιν. ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν. οὐκοῦν καλῶς εἴρηται, ὅτι ὁ ἀδελφός ἐστι δευτέρου βαθμοῦ.

ζ΄. Πάλιν ἐάν τίς σε ἐρωτᾷ· ὁ θεῖος πόστου σοί ἐστι βαθμοῦ; λέγε ὅτι τρίτου. ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν πατέρα καὶ λέγειν· ἐμὲ ἐγέννησεν ὁ πατὴρ, τὸν πατέρα ὁ πάπ–

---

[2] Lege συναγ. [3] Exciderunt nonnulla. [4] sc. ἀνιόντων.

πος, ὁ αὐτὸς πάππος τὸν ἐμὸν θεῖον. ἰδοὺ τρεῖς γεννήσεις τρεῖς ἀπετέλεσαν βαθμοὺς, ὥστε τρίτου μοί ἐστι βαθμοῦ ὁ θεῖος. οὕτω καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι δύνασαι καταλαβεῖν τοὺς ἀριθμούς[5].

η'[6]. *Τοὺς κεκωλυμένους γάμους ὁρίζομεν οὕτως. ἐπὶ μὲν γὰρ τῶν ἀνιόντων καὶ κατιόντων εἰς ἀπέραντον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐννόμων εἰσὶ γάμων.*

θ'. Οὐ δύναταί γάρ τις λαβεῖν τὴν ἰδίαν μάμμην ἢ τὴν ἐκγόνην, εἴτε φυσικαί εἰσιν εἴτε θεταὶ εἰ καὶ τὰ μάλιστα[7] *ἐλύθη τῷ τρόπῳ τῆς αὐτεξουσιότητος. αἰσχυνέσθω γὰρ τῇ νῦν ἡ πάλαι προσηγορία.*

ι'. Καὶ μεταξὺ δὲ πάλιν τῶν ἐκ πλαγίου προσώπων ἐστί τις κώλυσις. τὴν τοῦ ἀδελφοῦ ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις. ἀλλ' οὐδὲ τὴν τούτων ἐκγόνην, κἂν τετάρτου ὦσι βαθμοῦ, ἐξ οὗ βαθμοῦ δύναμαι λαμβάνειν πρὸς γάμον. ὁμοίως τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξαδέλφην μου.

ια'. Ἀλλ' οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι. ἀλλ' οὐδὲ τὴν πρὸς πατρὸς ἢ πρὸς μητρὸς θείαν, εἰ καί εἰσι θεταὶ, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν. καὶ πῶς συμβαίνει θετὴν εἶναι θείαν; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς, ἔχων υἱὸν τὸν ἐμὸν πατέρα, ἔλαβε κόρην τινὰ εἰς θέσιν, καὶ ὁ μὲν ἐμὸς πατὴρ[8] *ἐκάλει αὐτὴν θετὴν ἀδελφὴν, ἐγὼ δὲ θείαν. ὡσαύτως οὐδὲ τὴν μεγάλην θείαν δύναμαι λαβεῖν, τουτέστι τοῦ πάππου ἀδελφὴν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμης τάξιν ἐπέχει.*

ιβ'. Εἰσὶ δὲ καὶ ἕτεροι οὐ[9] *διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείας μὴ προβαίνοντες. ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένων συγγενείας ἐκτός. οἷον οὐ δύναμαι λαμβάνειν τὴν ἐμὴν προγόνην ἢ νύμφην. καὶ προγόνη μέν ἐστιν ἡ ἐξ ἄλλου θυγάτηρ καὶ ἐκγόνη καὶ προεκγόνη τῆς γαμετῆς μου. νύμφη δὲ ἡ τοῦ υἱοῦ καὶ ἐκγόνου καὶ προεκγόνου γαμετή.*

ιγ'. Οὐδὲ τὴν πενθερὰν ἢ τὴν μητρυάν μου, ἐπειδὴ μητέρων τάξιν ἔχουσιν.

ιδ'. Οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μου γυναικὸς τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός.

---

[5] Malim *βαθμούς*. — Hactenus omnia sunt ex Theoph. Inst. III, 2 pr. — Proch. VII, 1. [6] Haec et sequentes §§. usque ad §. 14 sunt ex Theoph. Inst. I, 9, 1 sqq. — Proch. VII, 2–9. [7] Adde *ἡ θέσις*. [8] A *θεῖος*. [9] A *οἱ*.

ιε΄. Οὐδὲ τὴν τοῦ πατρός μου ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν, ὥσπερ οὐδὲ τὴν αὐτοῦ ὁ αὐτεξούσιον ποιήσας αὐτὸν θετὸς πατήρ. ἡ μὲν γὰρ μητρυᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει[10].

ιϛ΄. Καὶ ὁ φυσικὸς γὰρ πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα· τὸ φύσει γὰρ δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. ταῦτα καὶ περὶ δουλικῆς συγγενείας καὶ ἀγχιστείας[11].

ιζ΄. Οὐ μόνον ἡ τοῦ πατρός μου ἀλλὰ καὶ τοῦ πάππου μου γαμετὴ μητρυὰ λέγεται, καὶ κωλύομαι λαβεῖν αὐτάς. κἂν πολλὰς ἔσχεν ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω[12].

ιη΄. Πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω. οὐδὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς. γέγονε γὰρ πενθερά. οὔτε τὴν γυναῖκα τοῦ προγόνου μου[13].

ιθ΄. Οὔτε ἡ μητρυὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγόνης αὐτῆς[14].

κ΄. Τὴν προεγγόνην[15] τῆς ἀδελφῆς μου γαμεῖν οὐ δύναμαι. γονέων γὰρ ἔχω πρὸς αὐτὴν τάξιν. οὐδὲ τὴν θυγατέρα τῆς προγόνης μου λαμβάνω[16].

κα΄. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν[17].

κβ΄. Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει[18].

κγ΄. Οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέρα ἢ τὴν ἐκγόνην[19].

κδ΄. Οὐκ εὐπρεπῶς ἡ γυνὴ τοῦ ἰδίου πάτρωνος γαμεῖται ἀπελευθέρῳ αὐτοῦ, κἂν ἀποδῷ τοὺς λόγους[20].

κε΄. Καὶ ὁ κουράτωρ τῆς γαστρὸς ἢ τῆς οὐσίας ἀπόκειται τῇ κωλύσει. χρεωστεῖ γὰρ ἀποδοῦναι τοὺς λόγους, καὶ ἀδιάφορον εἴτε πολύν τις διῴκησε χρόνον εἴτε ὀλίγον[21].

κϛ΄. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς δύνανται γαμεῖν τὴν ὀρφανήν[22].

---

[10] Dig. XXIII, 2, 12 §. 1 et 14 §. 1. — Proch. VII, 10. [11] Dig. XXIII, 2, 14 §. 2. 3. — Proch. VII, 11. [12] Dig. XXIII, 2, 14 §. 4. — Proch. VII, 12. [13] Dig. XXIII, 2, 14 §. 4 et dig. 15. — Proch. VII, 13. [14] Dig. XXIII, 2, 15. — Proch. VII, 14. [15] A *προγόνην*. [16] Dig. XXIII, 2, 39. 40. — Proch. VII, 15. [17] Dig. XXIII, 2, 42. — Proch. VII, 16. [18] Dig. XXIII, 2, 54. — Proch. VII, 17. [19] Dig. XXIII, 2, 55. — Proch. VII, 18. [20] Dig. XXIII, 2, 62 §. 1. — Proch. VII, 20. [21] Dig. XXIII, 2, 67 §. 4. — Proch. VII, 22. [22] Dig. XXIII, 2, 67 §. 2. — Proch. VII, 21.

κζ'. Ὁ θετὸς υἱὸς οὐ δύναται τὴν γαμετὴν τοῦ θετοῦ πατρὸς λαμβάνειν, εἰ καὶ μὴ ἅπτεται τοῦ γένους[23].

κη'. Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι[24]. βι. λδ' τί. θ' διγ. ιγ'.

κθ'. Ὁ παρθένον ἢ χήραν ἁρπάσας οὐ δύναται ταύτην γαμεῖν οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος αὐτῆς τὸ ἔγκλημα[25].

λ'. Ὁ μέντοι ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος οὐ δύναται ταύτην ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην· οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα· ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ. ἐπειδὴ οὐδὲν ἄλλο οὕτως δύναται εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν, ὡς ὁ τοιοῦτος δεσμὸς, δι' οὗ θεοῦ μεσάζοντος αἱ ψυχαὶ αὐτῶν συνάπτονται[26].

λα'. Ἔσθ' ὅτε ὁ ἀδελφὸς τοῦ ἀδελφοῦ μου οὐκ ἐστί μου συγγενής. ὡς βι. λη' τί. ι'[27].

λβ'. Δύναται ὁ κουράτωρ συνάπτεσθαι τὴν ἰδίαν θυγατέρα τῷ κουρατωρευομένῳ ὑπ' αὐτοῦ. τὸν δὲ υἱὸν αὐτοῦ οὐ δύναται συνάπτειν τῇ κουρατωρευομένῃ ὑπ' αὐτοῦ χωρὶς θείας κελεύσεως· ἐπεὶ ἀτιμοῦται. ὡς βι. ε' τοῦ κώδ. τί. ϛ' διατ. ϛ'[28].

λγ'. Ἡ μήτηρ τῆς ἐπιτροπευθείσης δύναται τῷ ἐπιτρόπῳ τῆς θυγατρὸς αὐτῆς γαμηθῆναι[29].

λδ'. Οὐκ ἐῤῥωμένως δὲ ἡ θυγάτηρ τοῦ συγκλητικοῦ ἀπελευθέρῳ γαμεῖται[30].

Τ Ι Τ Λ Ο Σ κγ'.

Περὶ ὅρου καὶ διαθέσεως γάμου.

α'. Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια, καὶ συγκλήρωσις βίου παντὸς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία[1]. δεῖ δὲ τὸν ἄνδρα καὶ τὴν γυναῖκα μὴ μόνον ὑπὸ τοὺς αὐτοὺς εἶναι νόμους, ἀλλὰ γὰρ τῆς αὐτῆς εἶναι θρησκείας τε καὶ αἱρέσεως καὶ ἐπίσης σέβειν τὸ θεῖον. καὶ σημ. ὅτι οὐδὲ πρὸς τὸν οἱονδήποτε ἑτερόδοξον συνίσταται γάμος[2].

---

[23] Dig. XXIII, 2, 14. — Proch. VII, 23. [24] Proch. VII, 24. [25] Cod. IX, 13. Nov. 143. 150. — Proch. VII, 27. [26] Cod. V, 4, 26. — Proch. VII, 28. [27] sc. dig. 5. [28] Lege ε'. [29] Cod. V, 6, 2. [30] Dig. XXIII, 2, 16 pr.

[1] Dig. XXIII, 2, 1. — Proch. IV, 1. [2] Cf. schol. ad Dig. l. l. in Basil. Heimb. III p. 166.

β'. Ταῦτα λέγομεν, εἴτε αὐτεξούσιοι εἴτε ὑπεξούσιοί εἰσιν οἱ πρὸς γάμον συνιόντες. ἀλλ' ἐπὶ τῶν ὑπεξουσίων καὶ ἕτερόν τι ζητοῦμεν, συναίνεσιν τῶν γονέων, ὧν ὑπεξούσιοί εἰσιν οἱ συναπτόμενοι· τοῦτο γὰρ καὶ ὁ πολιτικὸς καὶ ὁ φυσικὸς ἀπατεῖ λογισμός· πολιτικὸς μὲν διὰ τὸ τῶν ῥωμαίων [ἴδιον], τουτέστιν ὑπεξουσιότητα· φυσικὸς δὲ διὰ [τὸ] τοὺς μέχρι τῆς τοιαύτης ἡλικίας ἀναθρέψαντας ταύτης ἀξιοῦσθαι τιμῆς[3].

γ'. Ὁ ἐν γάμῳ συλληφθεὶς, ᾧ οὐ συνῄνεσεν ὁ πατὴρ τῆς κόρης, οὐ τίκτεται ὑπεξούσιος τοῦ ἰδίου πατρὸς, κἂν μετὰ θάνατον τοῦ πάππου τεχθῇ. ἐκ γάμων γὰρ ἀσυστάτων συνελήφθη τὴν ἀρχήν[4]. — Κανὼν τοῦ ἁγίου βασιλείου. Αἱ κόραι παρὰ γνώμην πατρὸς ἀκολουθήσασαι πορνεύουσι, διαλλαγέντων δὲ τῶν γονέων δοκεῖ θεραπείαν λαμβάνειν τὸ γεγονός. οὐκ εὐθὺς δὲ εἰς τὴν κοινωνίαν ἀποκαθίστασθαι[5], ἀλλ' ἐπὶ τριετίᾳ ἐπιτιμηθήσεται[6].

δ'. Αὐτεξούσιος τελείαν ἄγων τὴν ἡλικίαν καὶ χωρὶς τῆς τοῦ πατρὸς συναινέσεως γαμεῖν δύναται[7]. ὁμοίως καὶ ἡ αὐτεξουσία. καὶ προικίζονται δι' ὑπομνήσεως τοῦ ἄρχοντος κατὰ τὸ δυνατὸν τοῦ πατρός.

ε'. Ἐὰν ὁ πάππος μαίνηται, ὁ πατὴρ συναινεῖ. εἰ δὲ ὁ πατὴρ, ἀρκεῖ ὁ πάππος συναινῶν[8]. καὶ ὅτε περὶ τοῦ γάμου τῆς κόρης ἀμφιβάλλουσι μήτηρ καὶ συγγενεῖς καὶ ἐπίτροποι, ὀφείλει ὁ ἄρχων τὰ περὶ τούτου διακρίνειν[9]. καθάπερ καὶ ἐπὶ τῆς ἐλάττονος τῶν κε' ἐνιαυτῶν[10].

ς'. Αὐτεξουσία μέλλουσα δευτερογαμεῖν γνώμῃ τοῦ πατρὸς γαμείσθω. εἰ δὲ ἐτελεύτησεν ὁ πατὴρ, γνώμῃ τῶν συγγενῶν. εἰ δὲ ἐναντιοῦνται ἑαυτοῖς, κρινέτω ὁ ἄρχων τὴν βελτίονα γνώμην, καὶ ὃν ἡ γυνὴ ἐπιλέγεται. προτιμᾶται γὰρ ἡ τῆς γυναικὸς γνώμη[11].

ζ'. Ὁμοίως καὶ ἡ ὑπερβᾶσα τὸν κε' τῆς ἡλικίας χρόνον δύναται ἐπιῤῥίπτειν ἑαυτὴν ᾧτινι βούλεται, εἰ καὶ ὁ πατὴρ αὐτῆς ἐῤῥάθυμησε περὶ τὸν γάμον, μηδαμῶς ἐκ ταύτης τῆς αἰτίας δυναμένου τοῦ ταύτης πατρὸς γράφειν ἀπόκληρον[12].

---

[3] Theophil. I, 9 (10) pr. [4] Dig. I, 5, 11. [5] F: τὴν θεραπείαν τῆς κοινωνίας καθίσταται. [6] F post haec: οὔτε ὑπεξούσιος στρατιώτης δύναται γαμεῖν τῆς τοῦ πατρὸς συναινέσεως χωρίς. (Dig. XXIII, 2, 35.) [7] Dig. XXIII, 2, 25. — Proch. IV, 12. [8] Dig. XXIII, 2, 9 pr. — Proch. IV, 7. [9] Cod. V, 4, 1. — Proch. IV, 18. [10] Haec ultima ad initium c. 6 pertinent, sic: ἡ ἐλάττων — αὐτεξουσία. [11] Cod. V, 4, 18. — Proch. IV, 19. [12] Nov. 115 c. 3 §. 11.

η΄. Κατὰ δὲ τὰ ἀρτίως διατεταγμένα μὴ ἐξέστω [αὐτῇ ἐπιῤῥίπτειν] αὐτὴν ᾧτινι βούλεται, ἀλλὰ μηνυέτω ἐν μὲν κωνσταντινουπόλει τῷ ἐπάρχῳ ἢ τῷ κοιαίστωρι, ἐν δὲ ταῖς ἐπαρχίαις τῷ κατὰ τόπον ἄρχοντι, καὶ αὐτοὶ ἀναγκαζέτωσαν τοὺς αὐτῶν γονεῖς ταύτας ἐκγαμίζειν κατὰ τὴν δύναμιν τῆς περιουσίας αὐτῶν[13].

θ΄. Ἐὰν ἐμαγκιπάτος υἱὸς τουτέστιν αὐτεξούσιος παρὰ γνώμην πατρὸς ἄσεμνον καὶ αἰσχρὰν ἀγάγηται γαμετὴν, ὥστε ὕβριν καὶ ἀκοσμίαν καὶ ἑαυτῷ καὶ τῷ πατρὶ αὐτοῦ ἐκ τοῦ τοιούτου γάμου περιγενέσθαι, γνήσιοι μὲν γίνονται τῷ πάππῳ ἐκ τοῦ τοιούτου γάμου ἔκγονοι, εὐλόγως δὲ ποιεῖ αὐτοὺς ἐξαερεδάτους τουτέστιν ἀποκλήρους. ὁ γὰρ τῆς δὲ ἰνοφφικιόσο δικαστὴς, οὐ μόνον τῶν ἐκγόνων πρόσωπον ἐξετάζει, ἀλλὰ καὶ τὸ τοῦ πατρὸς αὐτῶν, ὅστις ἐλύπησε τὸν ἴδιον πατέρα οὕτως ἄσεμνον γαμετὴν ἀγαγόμενος. ὡς βι. λζ΄ τί. δ΄ διγ. ϛ΄[14].

ι΄. Οὐκ ἔῤῥωται ὁ γάμος τῆς θυγατρὸς ἢ ἐκγόνης ἢ προεκγόνης τοῦ ἀξιωματικοῦ πρὸς ἀπελεύθερον ἢ σκηνικὸν ἢ σκηνικῆς[15], χωρὶς συμβολαίων, ὥς φησιν ἡ ριζ΄ νεαρά· ὅτι οἱ ἀξιωματικοὶ καὶ μέχρι ἰλλουστρίων τὰς τοιαύτας γυναῖκας μετὰ προικῴων ἀγάγονται, οἱ δὲ λοιποὶ πάντες καὶ δίχα προικῴων, εἰ μόνον ἐλεύθεραί εἰσιν καὶ ἄλλως ἀπὸ τοῦ νόμου οὐ κεκώλυνται. σημ. καὶ νεαρὰν οδ΄[16]. τὰς εὐτελεῖς καὶ ὁ μεγάλης οἱασδήποτε ὢν ἀξίας μετὰ προικῴων γαμείτω. ὁ δὲ μὴ ὢν ἀξιωματικὸς ἀπὸ διαθέσεως μόνης γαμείτω[17].

ια΄. Ἐάν τις ἀπὼν δι' ἐπιστολῆς οἰκείας ἢ δι' ἀγγέλου προτρέψηται τὴν γυναῖκα εἰς τὸν διαφέροντα αὐτῷ κατελθεῖν οἶκον, συνίσταται ὁ γάμος, ἐὰν εἰς τὸν οἶκον τούτου κατέλθῃ πεισθεῖσα τοῖς γράμμασιν ἢ τῷ ἀγγέλῳ. καὶ ἐὰν ἀποθάνῃ ὁ ἀνὴρ, πρὶν ἢ ἐπανέλθῃ[18], πενθεῖται παρὰ τῆς γυναικός. καὶ συμβαίνει παρθένον ἔχειν προῖκα καὶ περὶ προικὸς ἀγωγήν[19].

ιβ΄. Ἡ ἥττων τῶν ιβ΄ ἐτῶν γαμηθεῖσα τότε γίνεται νόμιμος γαμετὴ, ὅτε παρὰ τῷ ἀνδρὶ πληρώσῃ τὰ ιβ΄ ἔτη[20].

---

13 Proch. IV, 24. 14 A ιϛ΄. Sed lege γ΄. Allegatur enim l. 3 §. 5 D. l. l. 15 Dig. XVIII, 2, 44 pr. 16 A ριδ΄. F ιδ΄. 17 D hoc loco §um, cujus alteram partem etiam F praestat, intrudit sic: ια΄. Τὸν γάμον οὐ τὸ συγκαθευδῆσαι ἀλλήλοις τὸν ἄνδρα καὶ τὴν γυναῖκα συνίστησιν ἀλλ' ἡ γαμικὴ αὐτῶν συναίνεσις. (Proch. IV, 17.) ὡς νεα. οδ΄. ἡ διάθεσις γάμον ποιεῖ καὶ οὔτε τὰ προικῷα συμβόλαια. ἀλλὰ καὶ τῶν συναπτομένων ἡ διάθεσις γάμον ποιεῖ καὶ οὔτε ἐκ τοῦ μὴ γενέσθαι συμβόλαια ἀνατρέπεται ὁ γάμος οὔτε ἐκ τοῦ γενέσθαι ἰσχύει ὁ μὴ ὢν νομικὸς γάμος. 18 A addit ἡ γυνή. 19 Dig. XXIII, 2, 5. 6. 7. — Proch. IV, 6. 20 Dig. XXIII, 2, 4. — Proch. IV, 5.

ιγ'. Οὐ πᾶσα συνάφεια γάμον ποιεῖ πρὸς τὴν μὴ ἔχουσαν ἡλικίαν γάμου. ἀλλ' ἡ παρανόμως γαμηθεῖσα δύναται διαλύειν τὸν γάμον, καὶ γαμεῖσθαι ἄλλῳ ὕστερον. ὅτι ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἤγουν πρὸ τοῦ ιγ' χρόνου δίδωσι τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχόμενος τῇ[21] φθαρείσῃ κόρῃ[22]. ὡς βι. λε' τί. α' διγ. ι'[23].

ιδ'. Οἰκείᾳ γνώμῃ γαμεῖν ἡ ὀρφανὴ δύναται· ἡ γὰρ τῶν πραγμάτων διοίκησις πρὸς τὸ ὀφφίκιον τοῦ κουράτωρος φέρεται, οὐ μὴν ὁ γάμος αὐτῆς[24].

ιε'. Κἂν ἀποδῷ τοὺς λόγους ὁ ἐπίτροπος τῷ κουράτωρι, τὴν ἐπιτροπευθεῖσαν ὑπ' αὐτοῦ οὐ δύναται γαμεῖν, ἕως ὅτε γένηται κε' ἐτῶν καὶ ὁ τῆς ἀποκαταστάσεως τετραετὴς χρόνος παραδράμῃ, εἰ καὶ τὰ μάλιστα συναφθεῖσα πρὸς γάμον ἕτερον παῖδας ἔσχεν[25]. οὐ μόνον γὰρ ἀσύστατος ὁ γάμος, ἀλλὰ καὶ ὡς μοιχὸς δύναται κατηγορεῖσθαι, ἡνίκα ἐντὸς τοῦ ὡρισμένου χρόνου ταύτην ἠγάγετο πρὸς γάμον ὁ ἐπίτροπος.

ις'. Καὶ ὁ κουράτωρ τῆς γαστρὸς ἢ τῆς οὐσίας τῇ κωλύσει ὑπόκειται. χρεωστεῖ γὰρ ἀποδοῦναι τοὺς λόγους, εἴτε πολύν τις διῴκησε χρόνον εἴτε ὀλίγον[26]. εἰ δὲ πληρωθέντος τοῦ κε' ἐνιαυτοῦ γένηται ἡ λογοθεσία, οὐκέτι χρεία τῆς ἀποκαταστάσεως, ἀλλὰ γίνεται ὁ γάμος αὐτῶν ἀκώλυτος ἅμα τῷ δοθῆναι ἐν τῷ κς' χρόνῳ τοὺς ἐπιτροπικοὺς λόγους[27].

ιζ'. Τὸ δὲ δόγμα τῆς συγκλήτου τὸ βουλόμενον [μὴ] συνίστασθαι γάμους μεταξὺ τῆς ἐπιτροπευθείσης ἢ τοῦ υἱοῦ τοῦ ἐπιτρόπου, οὐ δυνατὸν οὖν οὐδὲ προφάσει ἀγροικίας ἢ ἀπειρίας παραιτεῖσθαι, ἀλλὰ πάντως ἄχρηστον ποιεῖ τὸν γάμον. εἰ δὲ ὁ πατὴρ τῆς κόρης ἐκέλευσε τοῦτο γενέσθαι, ἔῤῥωται ὁ γάμος[28].

ιη'. Δύναται ὁ κουράτωρ συνάψαι τὴν ἰδίαν θυγατέρα τῷ κουρατορευομένῳ ὑπ' αὐτοῦ[29]. ἀνάγν. τί. κβ' κεφ. λβ' καὶ λγ'[30].

ιθ'. Ὁ πατὴρ ὁ μὴ ἐναντιούμενος τοῖς γάμοις τοῦ παιδὸς συναινεῖν δοκεῖ, καὶ τὸν ἐκ τούτου τικτόμενον ἔκγονον ἀναγκάζεται τρέφειν[31]. σημ. οὕτως καὶ ὁ ἐν εἰδήσει σιωπῶν καὶ μὴ ἀντιλέγων. δοκεῖ γὰρ ἐντέλλεσθαι[32].

---

[21] F τῇ παρ' αὐτοῦ, omissa voce παρεχ. [22] Proch. XXXIX, 67. [23] Haec verba ὡς βι. κτλ. desunt in DW. [24] Dig. XXIII, 2, 20. — Proch. IV, 11. [25] Dig. XXIII, 2, 62 §. 2. 66 pr. [26] Dig. XXIII, 2, 67 §. 4. — Proch. VII, 22. [27] Cf. Proch. IV, 16. [28] Cod. V, 6, 1. [29] Cod. V, 6, 5. [30] Haec verba ἀνάγν. κτλ. desunt in D. [31] Cod. V, 4, 5. [32] F hic haec in-

κ΄. Ἐὰν υἱοθετήσωμαι τὸν ἤδη λαβόντα τὴν παρ' ἐμου διαζευχθεῖσαν, οὐκ ἐστὶν ὁ γάμος ἀθέμιτος[33].

κα΄. Ὁ ἐν ἐπαρχίᾳ ἐγχειρίζων ὀφφίκιον οὐ δύναται γαμεῖν τὴν ἐν αὐτῇ γεννηθεῖσαν ἢ τὴν οἴκησιν ἔχουσαν ἐκεῖ. μνηστεύεσθαι δὲ ἢ ἐγγαμίζειν οἰκείους καὶ ἰδίους εἰ βούλοιντο οὐκ ἐκωλύοντο παρὰ τῶν παλαιῶν ἐξ ἀρεσκείας τῶν ἀμφοτέρων[34]. ἀρτίως[35] δὲ διάταξις γέγονε παρὰ τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν λέοντος, μὴ ἔχειν ἄδειαν τοὺς ἐν ἐπαρχίᾳ ἡγεμονεύοντας μηδαμῶς συναλλάγματα ἢ μνηστείαν ποιεῖν παίδων καὶ τῶν ἄλλων συγγενῶν αὐτῶν ἢ οἰκείων προσώπων, ἀλλὰ τοῦτο κεκωλυμένον ἔσται ἐπί τε ἄῤῥενος καὶ θηλείας, καθὼς περιφέρεται ἐν ταῖς νεαραῖς αὐτοῦ διατάξεσιν. σημ. ὑπέξελε τὸν ἐν τῇ οἰκείᾳ πατρίδι στρατευόμενον. οὗτος γὰρ δύναται γαμεῖν, ὡς ἐκ τῆς αὐτῆς πόλεως ἢ ἐπαρχίας ὤν. ὡς βι. κγ΄ τί. β΄ διγ. ξε΄.

κβ΄. Ἐὰν παρὰ τὰς διατάξεις ὁ ἄρχων ἐκ τῆς ἐπαρχίας ἀγάγηται συναινοῦσαν γυναῖκα, τέως μὲν ἄχρηστος ὁ γάμος. ἐὰν δὲ μετὰ ταῦτα στέρξῃ τὸν πρὸς αὐτὸν γάμον ἡ γυνή, καὶ οἱ μετὰ ταῦτα τικτόμενοι νόμιμοί εἰσιν. σημ. τοῦτο γὰρ ποιῶν ι΄ χρυσίου λίτρας προτιμᾶται καὶ τῆς ἐπαρχίας ἐκβάλλεται[36].

κγ΄. Τοῦ μεμηνότος ἢ παρὰ πολεμίοις ὄντος πατρὸς ὁ υἱὸς καὶ ἡ θυγάτηρ καλῶς συνάπτονται, ὁ μὲν γαμετῇ, ἡ δὲ ἀνδρί. τοῦ δὲ αἰχμαλώτου ἡ γυνὴ οὐ δύναται γαμεῖσθαι ἑτέρῳ ἀζημίως, ἕως ὅτε περίεστιν ὁ ἀνὴρ αὐτῆς καὶ δῆλόν ἐστι ζῆν αὐτόν. ἀμφιβαλλομένης δὲ τῆς ζωῆς αὐτοῦ ἐπὶ πέντε[37] ἔτη ὑπερτίθεσθαι τὸν πρὸς ἕτερον γάμον. ὡς βι. κγ΄ τί. δ΄ διγ. η΄[38].

κδ΄. Καὶ οἱ τοῦ ἄφρονος καὶ οἱ τῶν μαινομένων παῖδες καλῶς συνάπτονται γάμῳ, καὶ προικὸς καὶ προγάμου δωρεᾶς ἐπιδεδομένης διὰ τοῦ κουράτωρος τοῦ πατρὸς αὐτῶν, κατὰ δοκιμασίαν τοῦ ἐπάρχου τῆς πόλεως ἐν τῇ βασιλίδι πόλει, ἐν δὲ ταῖς ἐπαρχίαις τοῦ ἄρχοντος. χρὴ δὲ παρεῖναι καὶ τοὺς ἐπισήμους τοῦ γένους αὐτῶν καὶ τοὺς ἐπισκόπους πρὸς ὑπόληψιν καὶ τὴν οὐσίαν τῶν συναπτομένων, ἵνα ἐν μηδενὶ καταβλάπτων-

---

tercalat: *ὁ τοῦ γήμαντος ὑπεξουσίου πατὴρ καὶ αὐτὸν ἀναγκάζεται τρέφειν καὶ τὴν γαμετὴν αὐτοῦ. αὐτὸς γὰρ ὑπόκειται τοῖς βάρεσι τοῦ γάμου τοῦ υἱοῦ αὐτοῦ. βι. ι΄ τί. β΄ διατ. κε΄.* (?)

[33] Dig. XXIII, 2, 12 pr. [34] Dig. XXIII, 2, 38 pr. §. 2. [35] *Λέοντος* inscribit D. — Nov. Leonis 23. [36] Cod. V, 4, 6. [37] Hoc est ex Nov. 22. [38] Haec verba *ὡς βι. κτλ.* desunt in D.

ται τῶν μαινομένων ἢ τῶν ἀφρόνων οἱ παῖδες. βι. α' τί. δ' τοῦ κώδ. διάτ. κη' [39].

κε'. Μανία ὑποῦσα κωλύει συστῆναι τὸν γάμον, ἐπειδὴ τῆς τῶν συναλλασσόντων δεῖται συναινέσεως. ἐπιγενομένη δὲ μανία τὸν ὀρθῶς ἤδη συστάντα γάμον οὐκ ἀδικεῖ [40].

κς'. Ἐὰν ἐπὶ τριετίαν ὁ πατὴρ ἠγνόηται, ποῦ διάγει καὶ εἰ περίεστι, δύνανται καὶ οἱ ἑκατέρας φύσεως αὐτοῦ παῖδες νομίμως γαμεῖν. εἰ δὲ καὶ πρὸ τῆς τριετίας οἱ παῖδες τοῦ αἰχμαλώτου ἢ τοῦ ἀπόντος γαμήσωσι, καὶ δῆλόν ἐστι μὴ ἀπαρέσκειν τῷ πατρὶ τὸ πρόσωπον, καὶ εἶθ' οὕτως ἔῤῥωται ὁ γάμος [41].

κζ'. Ἡ γὰρ τῶν γάμων χρησιμότης δημοσία ἐστίν. ἀλλ' ἡ πρὸ τῆς αἰχμαλωσίας μου γεγαμημένη μοι, εἰ καὶ ὑποστρέψω [ἀπὸ] τῶν πολεμίων, οὐκ αὐτομάτως γίνεταί μου γαμετὴ, ἀλλὰ καινῇ διαθέσει ἀνανεοῦται ὁ μεταξὺ ἡμῶν γάμος. σημ. ἔχει δὲ λ' ἡμέρας τοῦ πενθεῖν ἡ γυνὴ τοὺς ἰδίους γονεῖς κατὰ τὸν μωσαϊκὸν νόμον ἡ αἰχμάλωτος [42].

κη'. Κἂν αἰχμάλωτος γένηται ὁ πάτρων [43], οὐ δύναται ἡ ἀπελευθέρα ἑτέρῳ γαμεῖσθαι. διὰ γὰρ τὴν τιμὴν τοῦ πάτρωνος μένει ὁ γάμος αὐτῶν. εἰ δὲ ἄλλως ὁ πάτρων καταδουλωθῇ, λύεται ὁ γάμος [44]. ἡνίκα ἑαυτὸν πράσῃ πρὸς τὸ μετασχεῖν μέρος τῆς τιμῆς αὐτοῦ. ἐπειδὴ κανών ἐστιν ὁ λέγων· δεπορτατίων γάμον οὐ λύει, τουτέστιν ἐξορία. δουλεία δὲ ἐπιγινομένη θανάτῳ ἔοικε καὶ γάμον λύει. σημ. λαμβάνει δὲ ἡ γυνὴ ὥσπερ ἀπὸ τελευτῆς τὸν κάσσον [45].

κθ'. Οὐ δύναμαι [46] τὴν ὑπὸ ἄλλου ἐλευθερωθεῖσαν γαμεῖν ματριμόνισσαν [47] τουτέστιν ἀπελευθέραν· δούλη γὰρ μένει [48]. λέγει ὁ νόμος, τὴν ἀπελευθέραν τὴν γαμηθεῖσαν ἤδη τῷ πάτρωνι μὴ δύνασθαι παρὰ γνώμην τοῦ πάτρωνος ἑτέρῳ γαμεῖσθαι πάτρωνι. εἰ δὲ μνηστευθῇ, δύναται [49]. ὡς βι. κη' τί. ζ' διγ. κς' [50] καὶ βι. μ' τί. θ' διγ. κε' [51].

λ'. Καὶ παλλακὴ γενομένη τοῦ ἰδίου πάτρωνος ἡ ἀπελευθέρα καὶ ἄκοντος αὐτοῦ ἀποστᾶσα οὐ [52] δύναται νομίμως ἑτέρῳ γαμηθῆναι. βι. κε' τί. ζ' διγ. α'.

---

[39] Haec verba *βι. α' κτλ.* desunt in D. Cf. etiam Cod. V, 4, 25. [40] Dig. XXIII, 2, 16 §. 2. [41] Dig. XXIII, 2, 10. 11. — Proch. IV, 9. [42] Verba *ἡ αἰχμ.* abundare videntur. [43] A *πατὴρ*. [44] Dig. XXIII, 2, 45 §. 6. [45] Cf. Nov. 22 c. 7—9. [46] F *δύναταί τις*. [47] An: manumissam? vel: matrimonii causa? [48] Corrupta videntur. Cf. Dig. XL, 9, 21. [49] Dig. XXIII, 2, 45 pr. §. 4. [50] D *κζ'*. An forte Basil. XLVIII, 7, 21 laudare voluit? [51] Lege *κα'*. In D haec verba *καὶ βι. μ'* omnino desunt. [52] Negatio delenda est.

λα΄. Ἐὰν γυνὴ ἐπερωτήσῃ τινά· ὁμολογεῖς διδόναι μοι νόμισμα, ἐὰν γαμηθῶ σοι; οὐκ ἔῤῥωται ἡ ἐπερώτησις. ὡς βι. με΄ τί. α΄ διγ. ϛζ΄[53].

λβ΄. Ὁ σεμνὴν γυναῖκα λαμβάνων ὡς παλλακὴν προδιαμαρτύρασθαι ὀφείλει, ὅτι παλλακὴν αὐτὴν λαμβάνει, ἐπεὶ ἀναγκάζεται γαμετὴν αὐτὴν ἔχειν, μὴ βουλόμενος δὲ στοῦπρον ἁμαρτάνει, τουτέστι πορνείαν[54]. ὡς εἰ μὴ βούλεται τοῦ λοιποῦ ἔχειν αὐτὴν, οὐ νομισθήσεται πρὸς τοῦτο[55] γαμετὴ εἶναι. εἰ μέντοι ἀναξίαν αὐτῷ ταύτην κρίνοιτο γυναῖκα ἔννομον κεκλῆσθαι, μηδεμίαν πρὸς αὐτὴν κατὰ συνουσίαν ἐχέτω κοινωνίαν, ἀλλὰ ταύτην ἀποδιωκέτω· εἰ δὲ σωφρόνως βιοῦν αἱρεῖται, εὐκταῖον ἡμῖν τοῦτο[56].

λγ΄[57]. Καὶ τὴν ἰδίαν συγγάλακτον ἐλευθερώσας δύναται αὐτὴν ἀγαγέσθαι πρὸς γάμον[58].

λδ΄. Ἡ διάταξις κελεύει, τὸν μείζονα τῶν ξ΄ ἐνιαυτῶν συνάπτεσθαι τῇ ἐλάττονι τῶν ν΄ ἐνιαυτῶν[59]. ὁ οὖν μείζων τῶν ο΄ ἐτῶν οὐ δύναται συνάπτεσθαι γάμῳ.

λε΄. Υἱὸς ὑπεξούσιος ἀσώτως πολιτευόμενος μὴ παραιτείσθω γαμεῖν[60].

λϛ΄. Καὶ κατὰ τὰ ἀρτίως εὐσεβῶς νομοθετηθέντα ἡμῖν ὁ ἐν σωφροσύνῃ διάγων μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιός ἐστιν[61].

λζ΄. Καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος δύναται γαμεῖν, καὶ ὁ τεχθεὶς γνήσιός ἐστιν ὡς ἀπὸ νομίμου γάμου. καὶ ὁ μὲν σπάδων πιστεύεται γάμον συναλλάσσειν, ὁ δὲ καστράτος οὐδαμῶς, τουτέστι σιδηρότμητος. καὶ ὁ θλιβίας δύναται γάμον συναλλάττειν, κἂν τὰ γεννητικὰ μόρια ὑπεθλίβησαν παρὰ τῆς τροφοῦ ἢ κατὰ ἄλλην αἰτίαν. σημ. ἰδοὺ τρεῖς εὐνούχους καλεῖ ὁ νόμος ἄνευ τοῦ ἑρμαφροδίτου, τουτέστι τοῦ ἔχοντος ἀνδρὸς[62] καὶ γυναικὸς φύσιν[63].

λη΄. Ὁ πρὸς ἐλευθέραν μὴ ποιησαμένην πόρον ἐκ τοῦ σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ. φανερῶς δὲ δοκεῖ πόρον ποιεῖν οὐ μόνον ἡ ἑαυτὴν ἐν χαμαιτυπίῳ προστήσασα, ἀλλὰ καὶ ἡ τῆς οἰκείας αἰδοῦς ἐν ἐργαστηρίῳ μὴ φεισαμένη. τότε δὲ φανερῶς λέγομεν, ἐὰν

[53] D μα΄, A μδ΄. F addit §: ἀξιώματι μόνῳ διενήνοχεν ἡ ἔννομος γαμετὴ τῆς παλλακίδος. ὡς βι. λβ΄ διγ. μη΄. (Dig. XXXII, 49 §. 4.) [54] Dig. XXV, 7, 3 pr. [55] F πρὸ τοῦ. [56] Proch. IV, 26. [57] §§. 33—36 in A desunt ob lacunam. [58] Cod. V, 4, 26. [59] Cod. V, 4, 27. [60] Proch. IV, 23. [61] Proch. IV, 24. [62] A τοῦ ἀνδρὸς. [63] Cf. Dig. XXIII, 3, 39 §. 1.

χύδην ἄνευ φειδοῦς ἑαυτὴν ἐκδῷ μοιχοῖς ἢ αἰσχρουργοῖς ὡς ἐν τάξει προεστώσης ἔχουσα τὴν ἐπιμιξίαν. οὐ μὴν ἐάν τις ἐξ ἑνὸς ἢ δευτέρου λαβοῦσα χρήματα ἐπιμίξῃ αὐτὴν, πόρον φανερῶς ἐκ τοῦ σώματος οὐ δοκεῖ ποιεῖν, ἀλλὰ κατὰ ἡδυπάθειαν[64].

λθ'. Ἤδη μὲν τοῖς ἀρχαίοις γέγραπται νόμος καὶ πρόσγε παρὰ τοῦ εὐσεβεστάτου Ἰουστινιανοῦ κεκύρωται, δι' οὗ καὶ μέχρι τετάρτου γάμου παρεκτείνεσθαι τοῖς βουλομένοις τὰ συνοικέσια· ἴσως καταστοχαζομένου, ὡς τοῖς πολλοῖς εἰκὸς τοῦτο συμβαίνειν[65], τὸ ταχέως τὸ συνοικοῦν πρόσωπον ἀποβάλλεσθαι καὶ νέους τοῦτο παθεῖν, καὶ οὐδὲ ἀνθίστασθαι τὰς τῆς φύσεως ὁρμὰς, ὥστε τούτοις συμβαίνειν τῶν σωφρόνων μὲν γάμων ἀποτρέπεσθαι, φοιτᾶν δὲ εἴς τινας μίξεις ἀπηγορευμένας. ἐχρῆν γὰρ καὶ ἡμᾶς ὡς τῆς αὐτῆς φύσεώς τε καὶ ἀσθενείας κεκοινωνηκότας ἐν τούτῳ τοῖς παλαιοῖς ἐμμένειν νόμοις. ἀλλ' ὁρῶμεν θεῖον νόμον ἡμᾶς εἴργοντα. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης, ταῖς ἀνειμέναις τῶν ἐρώντων ἐπιθυμίαις ἐπιθεῖναι χαλινὸν βουλομένη, τοσοῦτον ἀπαγορεύει τὸ πρὸς δ' συνοικέσιον ἀφικέσθαι τινὰ, ὥστε τοὺς εἰς γ' ἐλθόντας τοῖς ἐκκλησιαστικοῖς καθυποβάλλει κανόσιν. ὥστε οὖν τὰ αὐτὰ δίκαια προβαίνειν καὶ ἐπὶ τοῦ γ' συνοικεσίου, ὁπόσα καὶ ἐπὶ τοῦ β'[66].

μ'. Ἔστω τοίνυν ἅπασι δῆλον, ὡς εἴ τις τολμήσει πρὸς δ' γάμον τὸν οὐ γάμον ἐλθεῖν, οὐ μόνον ἀντ' οὐδενὸς ὁ τοιοῦτος νομιζόμενος γάμος λογισθήσεται, ἀλλ' οὔτε οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες παῖδες γνήσιοι λογισθήσονται, ἀλλὰ καὶ ταῖς ποιναῖς τῶν μεμολυσμένων τοῖς τῆς πορνείας ῥυπάσμασι καθυποβληθήσονται, δηλονότι ἀπ' ἀλλήλων διϊσταμένων[67].

---

[64] Dig. XXIII, 2, 24. 43. — Verba *ἀλλὰ κ. ἡδ.* D non habet. F autem sic habet: *κατὰ γὰρ ἡδυπάθειαν καὶ μᾶλλον εἰ γένηται. ὡς νεα. κβ'. σημ. ὅτι ὁ καταδουλούμενος δοκεῖ τελευτᾶν.* [65] Hic A explicit. Abhinc ex D edo. [66] Proch. IV, 25. [67] Ibid.

I N D I C E S.

I. INDEX FONTIUM SYNOPSEOS MINORIS.

A. Michaelis Attalensis opus.

Prooemium = N, 1—9.

Tit. I (Leunclavio 1) = A, 1 – 5. E, 1—6.

Tit. II (L. 2) = Θ, 1. I, 1. Π, 2. 3.

Tit. III (L. 3) = A, 6 – 11. Γ, 1. E, 7—13. I, 2. Λ, 1. M, 1—3. Π, 4—6. Σ, 1. T, 1. Y, 1.

Tit. IV (L. 4) = A, 12. 13. E, 14 – 16. Π, 7. Σ, 2.

— — (L. 5) = A, 14—16. Π, 8.

Tit. V (L. 6) = A, 17. Σ, 3. 4.

Tit. VI (L. 7) = K, 1—3. Σ, 5. Y, 2.

Tit. VII (L. 8) = Π, 9. 10. T, 2. X, 1.

Tit. VIII (L. 9) = E, 18. 19.

Tit. IX (L. 10) = E, 20. K, 4. 5. O, 2. Π, 15.

Tit. X (L. 11) = X, 2. 3.

Tit. XI (L. 12) = E, 21. M, 4. Π, 16—20. P, 1. Σ, 6.

Tit. XII (L. 13) = M, 5—14.

— — (L. 14) = E, 22—24.

— — (L. 15) = A, 18.

Tit. XIII (L. 16) = A, 19. Γ, 2. K, 6. M, 15—26. 74. Σ, 8. X, 4—6.

Tit. XIV (L. 17) = E, 25. 26. Π, 21—24. Σ, 9.

— — (L. 18) = A, 20. 21. K, 7. Λ, 3. O, 3—8.

Tit. XV (L. 19) = A, 22. 23. K, 9. X, 7. 8.

— — (L. 20) = O, 9. T, 3—6.

Tit. XVI (L. 21) = A, 24. 25. Σ, 10. X, 9. Y, 3.

Tit. XVII (L. 22) = E, 27—30. Y, 5.

Tit. XVIII (L. 23) = B, 1. Γ, 3. E, 31. 32.

Tit. XIX (L. 24) = A, 26—29. Γ, 4. M, 27—30.

— — (L. 25) = Γ, 5—10.

— — (L. 26) = B, 2. Γ, 11. Σ, 13. 14.

— — (L. 27) = A, 30. Γ, 12—18. Θ, 2. 3. K, 10. Π, 25—28. P, 2. Σ, 12. 15. Y, 4.

Tit. XX (L. 28) = Γ, 19—22. Π, 29. 30.

Tit. XXI (L. 29) = Π, 32—34.

Tit. XXII (L. 30) = Γ, 23. 24.

Tit. XXIII (L. 31) = M, 31.

— — (L. 32) = B, 3. 4. M, 32—35.

— — (L. 33) = K, 11. 13. 14.

— — (L. 34) = —

Tit. XXIV (L. 35) = A, 31. E, 34. K, 15—20.

Tit. XXV (L. 36) = E, 35—38. K, 22. 23.

Tit. XXVI (L. 37) = Φ, 1.

— — (L. 38) = Σ, 17.

Tit. XXVII (L. 39) = A, 4—10. M, 36.

Tit. XXVIII (L. 40) = Θ, 4. Π, 35.

— — (L. 41) = B, 5. K, 24. 26. 28. 29.

— — (L. 42) = A, 33. K, 30. M, 37. 39.

Tit. XXIX (L. 43) = —

— — (L. 44) = —

Tit. XXX (L. 45) = A, 34. Λ, 11. N, 10—13. Π, 36. 37.

— — (L. 46) = A, 35—45. N, 14. P, 3.

Tit. XXXI (L. 47) = *E*,40.41. *Π*,38—41.
Tit. XXXII (L. 48) = *N*, 15—22.
Tit. XXXIII (L. 49) = *Π*, 43—45.
— — (L. 50) = *Π*, 46. 47.
— — (L. 51) = *M*, 40. *T*, 7—10.
— — (L. 52) = *A*,46. *E*,42. *Θ*,5. *M*, 42. 43. *Π*,48. *Σ*,18. *T*, 11. *X*, 10.
Tit. XXXIV (L. 53) = *K*, 31—38. *O*, 10.
Tit. XXXV (L. 54) = *Γ*, 25. *E*, 43. 44. *Σ*, 19—25.
— — (L. 55) = *A*, 47. 48. *K*, 39. *M*, 44. *N*,23-25. *O*,11. *Π*,50. *T*,12—14. *Φ*, 2. 3. *X*, 11.
— — (L. 56) = *A*,49. *K*,40—42.44. 45. *Ξ*,1. *Π*,51. *Φ*,4.
— — (L. 57) = —
— — (L. 58) = *B*, 6—8. *Y*, 7—14.
— — (L. 59) = *B*, 9—16.48. *E*, 45. *Π*, 52. *Σ*, 26.
— — (L. 60) = *T*, 15—18.
— — (L. 61) = *Π*, 53.
— — (L. 62) = *A*, 50.
— — (L. 63) = *A*, 12. *Y*, 15.
— — (L. 64) = *Π*, 54.
— — (L. 65) = —
— — (L. 66) = *A*, 51. *E*, 46. *Λ*, 13.
— — (L. 67) = *A*, 52.53. *Γ*,26—29. *E*,47.48. *K*,46—48. *N*, 26. *O*, 12.
— — (L. 68) = *E*, 49—51. *K*, 49. *Φ*, 5. 6.
— — (L. 69) = *B*, 17—19. *E*, 52—54. *N*, 27. *Φ*, 7.
— — (L. 70) = *A*, 54-57. *B*, 20. *Γ*, 30—34. *E*,55.56. *K*, 51—53. *M*, 45—52. 54—62. *Π*, 57—60. *Σ*, 27. *Φ*, 8.
— — (L. 71) = *A*,58. *Γ*,35. *E*,57.58. *I*,3.4. *K*,54.55. *M*,63. *Φ*, 10—23.
— — (L. 72) = *M*, 65. *N*, 29. *Π*, 61. 67—74. *Y*, 16.
— — (L. 73) = *A*, 62. 63. *Φ*, 24. 25.
— — (L. 74) = *Θ*, 6. *Y*, 17. 18.
— — (L. 75) = *A*, 64. 65.
Tit. XXXV (L. 76) = *A*, 66. 67.
— — (L. 77) = *A*,68.69. *B*,26—40. *Γ*, 36. 37. *E*, 60. 61. *Z*,1. *M*,66.67. *Π*,75.
— — (L. 78) = *A*, 70—75. *E*, 62—66. *K*, 58.59. *M*, 68. 69. *Ξ*, 2. *Π*, 77—81. *Φ*, 26. *Ψ*, 2.
— — (L. 79) = *Γ*, 38. *E*, 67. *Π*, 82. *T*, 19.
— — (L. 80) = *A*, 81.82. *Θ*,7. *T*,19.
— — (L. 81) = *E*, 70. *I*, 5. *K*, 61. *O*, 13. *X*, 14.
— — (L. 82) = *Γ*, 39. *Φ*, 27.
— — (L. 83) = *E*, 71.
— — (L. 84) = *A*, 76—79.
— — (L. 85) = *A*, 80.
— — (L. 86) = *N*, 30. *Π*, 76.
— — (L. 87) = *E*, 68.
— — (L. 88) = *X*, 12.
— — (L. 89) = *B*, 41.
— — (L. 90) = *E*, 69. *K*, 60. *X*, 13.
— — (L. 91) = —
— — (L. 92) = —
— — (L. 93) = *Δ*, 1. 2.
Appendix = *A*,83.86. *B*,42—44. 46. *Γ*, 40. 41. *Δ*, 5—13. 18. 37. *E*, 72.75. 82. *H*,1. *Θ*,8.9. *K*,62—64. *M*,70.71. *N*,31—48. *Π*, 86. *Σ*,28—33. *T*,20—22. *Φ*,28. *Ψ*, 3.

B. Epanagoge.

Tit. II c. 1—5 = *B*, 21—25.
— III c. 1—4. 8 = *Π*, 63—66.
— VII c. 1. 2 = *A*, 59. 60.
— VIII c. 1 = *E*, 59.
— XI c. 9 = *A*, 61.
— — c. 11. 12 = *K*, 56. 57.
— XIII c. 13 = *M*, 64.

C. Glossae nomicae.

Cf. *Δ*, 3. 20—22. *E*, 85. *I*, 22. *K*, 65—69. *Λ*, 2. *M*, 81. 82. *Π*, 116. 119.

D. Synopsis major

ex qua auctor haec capita Basilicorum mutuatus est:

Lib.	tit.	cap.	
I	1	10	= Σ, 35.
—	—	11	= Σ, 36.
—	—	16	= I, 12.
—	—	17	= Θ, 13.
—	—	21	= M, 88.
—	—	39	= I, 13.
—	—	40	= I, 14.
—	—	41	= I, 15.
—	—	44	= I, 16. 17.
—	—	51	= I, 20.
II	1	1	= N, 71.
—	—	15	= N, 72.
—	—	18	= N, 73.
—	—	23	= N, 74.
—	—	27	= N, 75.
—	—	29	= A, 142.
—	—	33	= Π, 120.
—	—	35	= Y, 37.
—	—	41	= N, 76—78.
—	—	43	= N, 79.
—	—	46	= N, 80.
—	—	48	= N, 82.
—	—	51	= N, 81.
—	2	8 sqq.	= P, 5—58.
—	—	54	= M, 81.
—	—	131	= B, 65.
—	3	1	= K, 81. 82.
—	—	37	= K, 63. 64.
—	—	44	= Π, 108.
—	—	45	= I, 23.
—	—	47	= K, 83.
—	—	56	= A, 83.
—	—	80	= I, 21.
—	—	100	= N, 51.
—	—	111	= Y, 30.
—	—	117	= Δ, 64.
—	—	125	= Θ, 14.
—	—	132	= A, 131.
—	—	140	= A, 140.
—	—	154	= I, 24.
—	—	187	= A, 84.
—	—	188	= N, 50.
—	—	191	= Δ, 63.

Lib.	tit.	cap.	
II	4	9	= A, 87. Φ, 30.
—	5	7	= B, 50.
—	—	19	= A, 85.
—	—	22	= B, 52.
—	—	24	= B, 62.
—	—	26	= A, 86.
—	6	2	= B, 53.
III	1	11	= M, 113.
—	—	20	= T, 28.
—	3	1	= K, 78.
—	—	3	= K, 97.
—	—	4	= Δ, 69.
IV	1	1	= M, 114.
—	—	2	= M, 115.
—	—	3	= M, 116.
—	—	4	= M, 117.
—	—	17	= M, 118.
—	—	19	= M, 119. 120.
—	—	20	= M, 121—123.
V	2	9	= M, 80.
—	3	17	= O, 38.
VI	1	8	= Δ, 122.
—	—	9	= A, 123.
—	—	10	= A, 124.
—	—	12	= A, 125.
—	14	2	= E, 90.
VII	4	5	= Δ, 55.
—	5	5	= Δ, 50.
—	—	36	= B, 64.
—	—	51	= I, 6.
—	—	53	= M, 79.
—	—	74	= Δ, 52.
—	—	91	= A, 132.
—	6	14	= Σ, 59.
—	—	22	= Δ, 75.
—	8	21	= O, 16.
—	—	22	= K, 74.
—	—	24	= K, 75.
—	9	72	= Δ, 51.
—	12	7	= Y, 24.
—	14	2	= E, 99.
—	—	16	= O, 17.
—	—	20	= Δ, 73. O, 17.
—	17	1	= H, 1.
—	—	19	= H, 2.
—	—	22—27	= H, 3—8.
IX	1	4	= E, 111.

Lib.	tit.	cap.	
IX	1	8	= *E*, 112.
—	—	28	= *E*, 96.
—	—	33	= *Ψ*, 7.
—	—	127	= *E*, 113.
—	—	133	= *E*, 114.
—	3	33	= *Ψ*, 8.
—	—	69	= *Δ*, 65.
—	—	84	= *E*, 108.
—	—	92	= *M*, 84.
—	—	94	= *M*, 85.
—	6	1	= *N*, 69.
—	—	3	= *N*, 70.
—	—	5	= *N*, 70.
—	10	1	= *I*, 8.
—	—	11	= *I*, 9.
—	11	2	= *I*, 10.
—	—	22	= *I*, 11.
X	2	11	= *B*, 55.
—	·	12	= *B*, 58.
—	4	12	= *E*, 100.
XI	1	8	= *K*, 62. *Σ*, 29.
—	—	39	= *A*, 115.
XII	1	25	= *K*, 86.
—	—	50	= *Δ*, 68. *K*, 87.88.90.
—	—	57	= *K*, 89.
—	—	58	= *K*, 91. 92.
—	—	80	= *K*, 93.
XIII	1	5	= *X*, 21.
—	—	18	= *Y*, 33.
—	2	—	= *Π*, 11—14.
—	—	6	= *M*, 82.
XIV	1	22	= *Δ*, 38.
XV	1	38	= *Δ*, 24.
—	—	50	= *K*, 76.
—	—	65	= *A*, 104.
—	—	82	= *E*, 110. *O*, 18.
—	—	86	= *A*, 105.
—	—	94	= *A*, 106.
—	—	103	= *K*, 77.
—	2	1	= *A*, 108.
XVII	1	26	= *Δ*, 23.
—	2	11	= *M*, 75.
—	—	13	= *Δ*, 25.
XIX	1	1	= *A*, 88.
—	—	9	= *A*, 89.
—	—	29	= *Δ*, 14.
—	—	38	= *A*, 90.

Lib.	tit.	cap.	
XIX	1	40	= *A*, 91.
—	—	43	= *A*, 92.
—	—	65	= *Π*, 88.
—	—	85	= *Σ*, 55.
—	—	87	= *Σ*, 55.
—	—	91	= *Π*, 87.
—	2	14	= *A*, 95.
—	5	13	= *Π*, 89.
—	6	8	= *A*, 96. 97.
—	—	11	= *Y*, 19.
—	—	13	= *A*, 98.
—	—	19	= *A*, 99.
—	8	13	= *O*, 14.
—	—	17	= *A*, 100.
—	—	60	= *A*, 101.
—	—	73	= *A*, 102.
—	9	1	= *A*, 103.
—	10	37	= *Π*, 90.
—	—	40	= *Z*, 4.
—	—	52	= *Π*, 91.
—	—	66	= *Π*, 92.
—	—	72	= *Π*, 93.
XX	1	15	= *B*, 67.
—	—	19	= *N*, 53.
—	—	65	= *E*, 134.
—	—	92	= *Σ*, 58.
—	—	94	= *M*, 103.
—	—	95	= *M*, 102.
—	3	3	= *A*, 119. *B*, 49.
—	4	14	= *Z*, 2. 3.
XXI	1	8	= *M*, 89.
—	—	20	= *K*, 98.
—	—	22—24	= *M*, 90—93.
—	—	30	= *M*, 95.
—	—	40—42	= *A*, 20—22.
—	—	46	= *M*, 96—98.
XXII	1	30	= *Δ*, 19.
—	—	34	= *Δ*, 45.
—	—	54	= *A*, 116.
—	—	75	= *E*, 84.
—	—	80	= *A*, 117.
—	4	1	= *Π*, 96.
—	5	3	= *O*, 21. 24.
—	—	9	= *O*, 22.
—	—	31. 32	= *O*, 25. 26.
—	—	34	= *O*, 27. 28.
—	—	38	= *O*, 29.

Lib.	tit.	cap.	
XXII	5	53	= O,30.
—	6	2	= O,32.
—	—	4	= O,33.
XXIII	3	1	= T,44.
—	—	28	= T,35.
—	—	77	= E,98.
XXIV	2	5.8	= A,133.
—	5	3.4	= Δ,53.54.
—	6	26.43	= X,15.
XXV	2	21	= E,130.
—	5	27	= E,131.
—	7	19	= E,132.
—	—	59	= E,133.
XXVI	1	10	= E,91.
—	—	39	= E,92.
—	—	42	= E,93. Φ,31.
—	—	46	= E,101.
—	—	49	= E,102.
—	—	62	= E,103.
—	—	68	= E,104.
—	—	90	= E,106.
—	3	1	= A,120.
—	6	1	= A,128.
—	7	76	= Γ,55.
XXVII	1	8	= E,124.
XXVIII	1	1	= M,94.
—	—	6	= M,104.
—	—	8	= M,106.
—	—	16	= M,105.
—	2	2	= M,107.
—	3	1	= Δ,69.
—	—	5	= Γ,59.
—	—	6	= Δ,71.
—	—	10	= Δ,70.
—	—	13	= M,109.
—	—	16	= M,110.
—	4	13	= E,86.
—	—	20	= E,87.
—	5	1	= A,126.
—	—	6	= Γ,43.
—	—	9	= Γ,42.
—	6	1	= Γ,44—46. Π,97.
—	7	2—4	= Γ,47.
—	—	3.4	= Γ,48.49. M,38.
—	—	21	= Γ,50.
—	12	1	= Γ,51.57.58.
—	14	—	= T,25.26.

Lib.	tit.	cap.	
XXVIII	14	1	= Π,102.
—	—	4	= Π,103.
—	—	13	= M,76.
—	—	17	= M,73.
XXIX	1	50	= Δ,76.
XXXI	1	2	= Δ,28.31.
—	2	1	= Π,99.100.
—	6	5	= Π,98.
—	—	8	= B,63.
—	—	13	= Γ,54.
XXXII	2	4	= T,43.
XXXIII	1	51	= E,73.
XXXIV	1	17	= A,112.
—	2	1	= A,113.
XXXV	1	9	= Δ,40. Π,106.
—	—	21	= K,70.
—	—	23	= M,77.
—	—	24	= Δ,35.
—	—	28.29	= Δ,41.42.
—	2	16	= Δ,36.
—	3	8	= T,27.
—	8	34	= Δ,43.
—	13	17	= A,109.
—	—	39	= E,116.
—	14	80	= E,107.
—	19	1	= Δ,48.
—	21	11	= Δ,49.
XXXVI	1	9	= K,95.
—	—	12	= K,96.
XXXVII	2	1	= Π,118.
XXXIX	1	1	= Δ,46.
—	—	42	= Δ,47.
—	1	58	= X,17.
—	2	6	= Δ,44.
XL	1	3	= Δ,49.
—	4	3	= E,109.
XLI	1	1	= A,14,15.
—	—	23	= A,16.
—	—	30	= A,17.
—	2	1	= A,18.19.
—	6	1	= Δ,74. K,99.
—	7	21	= Θ,15.
XLII	1	20	= A,137.
—	—	69	= N,52.
—	3	49	= Y,35.
—	—	60	= Y,34.
—	—	70	= A,138.

Lib.	tit.	cap.	
XLIII	6	4	= Α, 114.
XLIV	1	24	= Α, 26.
—	—	31	= Α, 27.
—	—	33	= Α, 25. 28.
—	—	36	= Α, 29.
—	—	38	= Α, 30. 31.
—	—	61	= Α, 32. 33.
—	—	67	= Α, 34.
—	—	88	= Α, 24.
—	—	103	= Α, 35.
—	—	105	= Α, 36.
—	—	127	= Α, 37.
—	—	142	= Α, 38.
—	—	150	= Υ, 36.
—	2	34	= Α, 39.
—	—	47	= Α, 42.
—	—	63	= Α, 43.
—	—	71	= Α, 41.
—	3	50	= Α, 44.
—	—	102	= Σ, 57.
—	4	29	= Α, 40.
—	7	38	= Θ, 16.
—	9	5	= Α, 56.
—	10	4. 5	= Α, 45. 46.
—	—	8	= Α, 140.
—	13	10	= Ο, 20.
—	—	12	= Α, 47.
—	14	6	= Α, 48.
—	—	14	= Α, 49.
—	15	19	= Α, 50.
—	—	26	= Α, 51.
—	16	32	= Α, 54.
—	17	17	= Α, 53.
—	18	11	= Α, 55.
—	—	26	= Α, 52.
—	19	36	= Α, 57.
—	—	55	= Α, 58.
—	—	59	= Α, 141.
—	—	112	= Α, 59.
—	20	18	= Α, 60.
—	21	1	= Α, 61.
—	22	3	= Α, 62.
—	—	5	= Α, 63.
—	23	1	= Α, 64.
XLV	1	1	= Φ, 36.
—	—	7	= Κ, 27.
—	—	24	= Θ, 17.

Lib.	tit.	cap.	
XLV	1	36	= Μ, 86.
—	—	52	= Π, 114.
—	2	19	= Σ, 56.
—	—	24	= Η, 9.
—	4	4	= Π, 115.
—	—	8	= Μ, 87.
—	—	9	= Χ, 22.
—	—	10	= Β, 66.
XLVI	1	2	= Δ, 17. Ε, 83.
—	3	7. 8	= Ι, 18. 19.
XLVIII	1	1	= Ε, 117.
—	—	3	= Ε, 118.
—	—	16	= Υ, 26.
—	—	21	= Π, 107.
—	2	—	= Δ, 70.
—	—	19	= Υ, 27.
—	3	59	= Δ, 57.
—	—	62	= Ε, 119.
—	—	65	= Υ, 28.
—	4	20	= Φ, 34.
—	—	30	= Κ, 79.
—	5	3	= Κ, 80.
—	—	4	= Χ, 20.
—	—	10	= Ε, 120.
—	6	2	= Ε, 127.
—	7	5	= Ε, 129.
—	13	1	= Ε, 126.
—	—	2	= Ε, 123.
—	—	14	= Ε, 121.
—	16	7	= Ε, 125.
—	19	3	= Δ, 59.
—	20	20	= Ε, 122.
—	24	1	= Ε, 128.
—	26	2	= Δ, 58.
L	1	4	= Μ, 78.
—	—	6	= Υ, 21.
—	—	25	= Π, 101.
—	—	59	= Δ, 27. 29. Υ, 22.
—	2	2	= Ψ, 4. 5.
—	—	55	= Ψ, 6.
—	3	41	= Κ, 71.
—	—	50	= Β, 56.
—	4	3	= Α, 129.
—	5	5	= Κ, 72.
—	7	1	= Ε, 88.
—	—	4	= Κ, 73.
LI	1	15	= Ο, 31.

Lib.	tit.	cap.	
LI	3	13	= Δ, 30.
LII	1	24	= Α, 107.
LIII	1	6. 7	= Ν, 54. 55.
—	—	15. 16	= Ν, 56. 57.
—	—	39	= Ν, 58.
—	2	5	= Ν, 60.
—	—	11	= Ν, 59.
—	3	3	= Ν, 61. 62.
—	—	12	= Ν, 63—65.
—	4	2	= Δ, 65.
—	7	1	= Ο, 15.
—	8	7	= Ν, 66.
—	—	28	= Ν, 67.
—	—	47	= Ν, 68.
LIV	3	10	= Τ, 45.
—	4	5	= Δ, 66.
—	—	8	= Δ, 70.
—	—	12	= Δ, 67.
—	5	21	= Δ, 68.
—	10	7	= Ε, 105.
—	37	5	= Π, 105.
LV	1	9	= Δ, 56.
—	9	—	= Γ, 52.
LVI	1	9	= Τ, 34.
—	—	20	= Π, 112.
—	2	3	= Γ, 56. Θ, 11.
—	4	1	= Φ, 35.
—	—	2	= Τ, 42.
—	—	8	= Π, 117.
—	—	17	= Χ, 18.
—	7	8	= Μ, 83.
—	8	3	= Χ, 19.
—	—	7	= Β, 54.
—	11	1	= Ω, 1.
—	—	9	= Υ, 25.
—	14	12	= Ν, 49.
—	—	20	= Δ, 56.
—	17	20	= Δ, 34.
—	—	65	= Σ, 48.
LVII	1	7	= Σ, 39.
—	—	8. 9	= Σ, 40. 41.
—	—	12—14	= Σ, 42—44.
—	—	18	= Σ, 45.
—	—	44	= Σ, 46.
—	5	2	= Μ, 99.
—	—	4. 8	= Μ, 100.
—	7	3	= Σ, 47.
LVIII	2	8	= Τ, 37.
—	—	13	= Τ, 38.
—	—	19	= Τ, 39. 40.
—	3	1	= Ο, 23.
—	7	11	= Κ, 21.
—	9	13	= Δ, 26.
—	—	20	= Ο, 34.
—	10	1. 6	= Π, 110.
—	—	25	= Π, 111.
—	11	12	= Κ, 25.
—	13	1	= Α, 135. Υ, 31. 32.
—	23	17	= Β, 59.
LIX	1	2	= Τ, 33.
—	2	3	= Φ, 32.
LX	1	10	= Δ, 66. Σ, 52.
—	—	24	= Τ, 36.
—	2	1	= Ζ, 5—7.
—	3	7. 8	= Ζ, 8.
—	—	27	= Ζ, 9.
—	—	39	= Ζ, 10.
—	—	49	= Ζ, 11.
—	8	1	= Κ, 94.
—	16	5	= Τ, 24.
—	17	4	= Σ, 37.
—	18	3	= Α, 121. Σ, 38.
—	—	10	= Β, 60.
—	—	18	= Χ, 16.
—	—	25	= Β, 61.
—	22	4	= Ε, 115.
—	23	3	= Τ, 29.
—	—	12	= Τ, 30.
—	—	15	= Τ, 31.
—	26	2	= Σ, 54.
—	—	6	= Σ, 53.
—	30	1	= Π, 55.
—	—	5	= Υ, 29.
—	31	3. 4	= Ο, 35—37.
—	32	5	= Δ, 16.
—	33	5	= Κ, 84.
—	—	13	= Ε, 89.
—	34	42	= Ο, 19.
—	37	30	= Μ, 53.
—	—	33	= Μ, 41.
—	—	39	= Α, 110.
—	—	67	= Μ, 112.
—	—	73	= Δ, 72.
—	39	9	= Θ, 12.

Lib.	tit.	cap.	
LX	39	25	= *Γ*, 53.
—	45	5	= *T*, 32.
—	—	7	= *M*, 125.
—	—	8	= *I*, 7. *Y*, 23.
—	—	12	= *T*, 41.
—	—	16	= *Δ*, 39.
—	—	20	= *Δ*, 111.
—	48	1	= *Δ*, 93.
—	—	12	= *Δ*, 15.
LX	50	1	= *Z*, 12—14.
—	—	9	= *Z*, 15.
—	—	17	= *Δ*, 61. *Z*, 16.
—	51	4	= *E*, 94.
—	—	26	= *Φ*, 33.
—	—	34	= *E*, 136.
—	—	35	= *E*, 115.
—	52	17	= *Δ*, 37.
—	68	13	= *Π*, 109.

II. INDEX FONTIUM EPITOMAE.

A. Institutiones (Theophili).

Lib.	tit.		
I	1	pr.	— I schol. 2. 16.
—	—	in f.	— II, 3.
—	2	pr.	— II, 4. 20. 21. 22.
—	—	§. 9. 10	— II, 23.
—	8 (9)	§. 3	— V, 5.
—	9 (10)	pr.	— XXIII, 2.
—	—	§. 1 sqq.	— XXII, 8—14.
—	10 (11)	pr.	— V, 9.
—	—	§. 2	— V, 9. 12.
—	—	§. 3	— V, 23.
—	—	§. 4	— V, 20.
—	—	§. 9. 10	— V, 29.
—	—	§. 12	— V, 30.
—	11 (12)	pr.	— V, 6.
—	—	§. 1	— V, 2. 7.
—	—	§. 2	— V, 8.
—	—	§. 4	— V, 3.
—	—	§. 6	— V, 1.
—	—	§. 7	— V, 4.
—	—	§. 9	— V, 5.
II	1	§. 10	— XV, 20.
—	—	§. 37	— VI, 39.
—	4	pr.	— VI, 23. 29.
—	—	§. 1—3	— VI, 30—33.
—	5	§. 1	— VI, 25.
—	—	§. 4	— VI, 26.
—	6	§. 3—5	— VI, 16.
—	—	§. 7	— VI, 20.
—	9	§. 4	— VI, 15.
III	2	pr.	— XXII, 1—7.
—	14	pr.	— XVII, 1.
—	19	pr.	— XV, 3.
—	20	§. 1	— XIX, 14.
—	—	§. 2	— p. 411 not. 5.
—	—	§. 4	— XIX, 13.
—	—	§. 8	— XIX, 26.
—	23	pr.	— XVI, 1—3.
—	—	§. 3	— XVI, 4. 7. 8.
—	24	pr.	— VII, 1.
—	—	§. 3	— VII, 33. 34.
—	—	§. 5	— VII, 2—4.
—	—	§. 6	— VII, 13.
—	25	§. 2	— X, 7. 9.
—	—	§. 3	— X, 9.
IV	6	§. 2	— XII, 1.
—	7	§. 8	— IX, 22.
—	15	pr. — §. 5	— VI, 2. 3.

B. Digesta.

Lib.	tit.	dig.	
I	1	1	— I, 1—3. 6. 40.
—	—	3	— II, 15.
—	—	6 §. 1	— II, 23.
—	—	10	— I, 4—6.
—	2	1	— I, 38. XIV, 70. p. 278.
—	—	2	— p. 278 sqq.
—	3	1	— I, 7.
—	—	2	— I, 8. 9.
—	—	5	— I schol. 9.

Lib.	tit.	dig.	
I	3	6	— I schol. 4.
—	—	7. 8	— I, 10. 11.
—	—	10	— I, 12.
—	—	11	— I, 28.
—	—	12	— I, 13. 28.
—	—	13	— I, 14.
—	—	14	— I, 13 schol. 8.
—	—	17	— I, 15. 16 sch. 7.
—	—	18	— I, 16. 35.
—	—	20	— I, 12.
—	—	24	— I, 21. 39. XIV, 51.
—	—	29	— I, 20.
—	—	30	— I, 20 schol. 12. II, 15.
—	—	31	— I, 29. 30.
—	—	32—37	— II, 28.
—	4	1	— I, 27. 28.
—	—	2	— I, 31.
—	—	4	— I, 33.
—	5	1. 2	— I, 25. 26.
—	—	5 §. 2	— IV, 1.
—	—	7	— IV, 2.
—	—	8	— IV, 1.
—	—	11	— XXIII, 3.
—	—	14	— IV, 12.
—	—	18	— IV, 10.
—	—	20	— IV, 17.
—	—	26	— IV, 2. 6.
—	6	8	— IV, 17. 18.
—	7	1	— V, 10.
—	—	2 pr.	— V, 10.
—	—	3	— V, 13.
—	—	5	— V, 11.
—	—	6	— V, 16.
—	—	8	— V, 20.
—	—	9	— V, 15.
—	—	10. 11	— V, 17.
—	—	13	— V, 18.
—	—	15 pr.	— V, 14.
—	—	— §. 2. 3	— V, 19.
—	—	16	— V, 20.
—	—	17 pr.—§. 5	— V, 21—23.
—	—	18	— V, 23.
—	—	19 pr.	— V, 24.
—	—	23	— V, 26.
—	—	32 §. 1	— V, 25.
—	—	33	— V, 25.

Lib.	tit.	dig.	
I	7	35	— V, 9.
—	—	37 pr.	— V, 26.
—	—	45	— V, 27.
—	—	46	— V, 19.
—	8	1	— I schol. 3. XV, 1.
—	—	2	— XV, 1.
—	—	4	— XV, 1.
—	—	6	— XV, 2.
—	—	8. 9	— XV, 2.
—	—	11	— XV, 20.
—	9	2	— XIV, 38.
—	—	8	— XIV, 36.
—	—	12 §. 1	— p. 369 not. 60.
—	12	3	— XIV, 18.
—	16	9	— XIV, 72. 73.
—	—	— §. 2	— p. 365 not. 3.
—	—	— §. 5	— XIV, 68.
—	18	3	— XIV, 17.
—	—	6 pr.	— XIV, 30.
—	—	— §. 8	— XIV, 26.
—	—	14	— IV, 20. 21.
—	—	15	— XIV, 26.
—	—	16	— XIV, 22.
—	—	19	— p. 365 not. 3.
II	1	1	— XIV, 45.
—	—	5	— XIV, 45.
—	—	15	— III, 12.
—	—	17	— XIV, 43.
—	2	3 §. 7	— II schol. 2.
—	11	1	— XIII, 17.
—	14	38	— XV, 11.
III	1	8	— XIV, 72.
—	2	4	— p. 361 not. 18.
—	—	9—11	— XX, 14.
—	3	2 §. 1	— IV, 22.
—	5	11	— IX, 3.
—	—	25	— IX, 3.
—	—	34	— IX, 4.
—	—	37 §. 1	— IX, 1.
IV	1	1	— III, 9.
—	2	10	— XVII, 51.
—	—	12	— p. 399 not. 68.
—	—	14 §. 11	— XVII, 48.
—	3	21	— XII, 67.
—	4	16 §. 4	— I schol. 12.
—	—	41	— III, 16.
—	6	28 §. 2	— I, 22.

Lib.	tit.	dig.	
IV	8	9 §.2	— XIV,77.
—	—	18	— XIV,46.
V	1	30	— XIV,37.
—	—	79 pr.	— XII,19.
—	2	29 §.2	— XI,21.
—	4	3	— IV,4.11.
VI	1	54	— XIV,67.
—	—	60	— IV,24.
—	—	67	— XVI,13.
—	—	78	— VI,42.
VII	1	2	— VI,23.
—	—	6 §.2	— VI,29.
—	—	7 pr.—§.3	—VI,27.28.34.35.
—	—	9 pr. §.4.5	— VI,24.27.
—	—	10.11	— VI,24.
—	—	12 pr. §.2.5	— III,37. VI,37. 38.40.43.
—	—	13pr.§.4.6.7	— VI,45.46.
—	—	15 §.4.5	— VII,30.
—	—	18	— VI,46.
—	—	24.25	— VI,60.61.63.
—	—	27 §.1.3	— VI,47.49.
—	—	29	— VI,48.
—	—	44	— VI,34.
—	—	53	— VI,50.
—	—	57 §.1	— VI,51.
—	—	60 §.1	— VI,52.
—	—	65 pr. §.1	— VI,53.54.
—	2	1 pr.	— VI,55.
—	—	9	— VI,58.
—	3	—	— VI,59.
—	4	2 pr. §.2	— VI,56.57.
—	—	13	— VI,41.
VIII	5	7	— XII,71.
IX	2	4	— II,15.
—	—	43	— IV,8.
X	2	36	— XI,29.
—	3	28	— X,25.
XI	6	3 §.2	— XVI,35.
—	8	2	— IV,9.
XII	1	9	— XVII,2.
—	—	11 §.2	— XVII,4.
—	—	12	— IV,23.
—	—	14	— XVII,73.
—	—	18	— XVII,1.
—	—	21	— XVII,20.
—	—	29	— XVII,20.

Lib.	tit.	dig.	
XII	1	31 §.1	— XVI,83.
—	2	1	— XII,45.
—	—	2	— XI,34. XII,45.
—	—	3	— XII,46.
—	—	5 pr.	— XII,47.
—	—	11 §.1	— XII,48.
—	—	14	— XII,49.
—	—	16	— XII,50.
—	—	17 §.1.2	— XII,51.
—	—	20	— XII,53.
—	—	26	— II schol. 18. XII,54.
—	—	28 §.10	— XII,55.
—	—	30 pr. §.4	— XII,56.57.
—	—	32	— II schol. 18.
—	—	35 §.1	— XII,58.
—	—	38	— XII,59.
—	—	40	— XII,67.
—	3	4	— II schol. 18.
—	—	7.8	— XII,62.63.
—	—	9	— XII,68.
—	—	10.11	— XII,64.65.
—	—	18 pr.	— XII,69.
—	6	14	— II,10.
—	—	23	— XI,44.
—	—	26 §.9	— II schol. 1.
—	—	— §.12	— II,9.
—	—	40 pr.	— II schol. 1.
—	—	43	— XII,67.
XIII	1	2	— IV,25.
—	6	5 §.9	— VI,44.
—	7	9 pr.	— XVII,69.
—	—	13 §.1	— XVII,63.
—	—	22 §.1	— XVII,49.
—	—	24 §.2.3	— XVII,70.72.
—	—	31	— XVII,71.
—	—	32	— XVII,69.
—	—	36 §.1	— XVII,68.
XIV	3	3	— IX,13.
—	—	5 §.2.3	— IX,13.
—	—	— §.15.16	— IX,13.
—	—	19	— IX,13. XVII,4.
—	—	20	— IX,14.
—	6	1 pr. §.3	— IX,24.
—	—	3 §.3	— XVII,4.
—	—	7 §.16	— II schol. 1.
—	—	9 §.1	— IX,25.

Lib.	tit.	dig.	
XIV	6	9 §. 4	— II schol. 1.
—	—	17	— IX, 26.
XV	1	1 §. 3. 4. 6	— IX, 28. 29.
—	—	2	— IX, 29.
—	—	3 pr.—§. 3	— IX, 30.
—	—	— §. 8	— IX, 31. XIV, 79.
—	—	— §. 9	— IX, 31.
—	—	— §. 10	— XIV, 79.
—	—	6	— IX, 31.
—	—	9 §. 7. 8	— IX, 32.
—	—	11 §. 8	— IX, 33.
—	—	13	— IX, 32.
—	—	15	— IX, 32.
—	—	17	— IX, 33.
—	—	21 §. 2	— IX, 35.
—	—	27 §. 6	— IX, 35.
—	—	32 §. 2	— IX, 36.
—	—	33. 34	— IX, 36.
—	—	47 §. 1	— IX, 37.
—	—	49 pr.	— IX, 39.
—	—	50 §. 3	— IX, 40.
—	3	15	— XIX, 11.
XVI	1	8 §. 8	— XVII, 30.
—	3	1 pr. §. 1. 14. 22. 27. 30. 33	— XVIII, 1. 12. 15. 17. 20. 21.
—	—	14 §. 1	— XVIII, 16.
XVII	1	5 §. 3	— XVI, 25.
—	2	3 §. 1. 2	— X, 4. 5.
—	—	4	— X, 1.
—	—	5	— X, 7.
—	—	7. 8	— X, 6.
—	—	9	— X, 10.
—	—	14. 15	— X, 11.
—	—	17	— X, 2. 12.
—	—	26. 27	— X, 13. 14.
—	—	38	— XIV, 39.
—	—	45	— X, 16.
—	—	52 §. 3—6. 10. 14	— X, 17. 18—22.
—	—	58 §. 1	— X, 15.
—	—	63 §. 10	— X, 23.
—	—	64	— X, 23.
—	—	65 pr. §. 2	— X, 23. 24.
XVIII	1	8 pr.	— XVI, 2.
—	—	15	— III, 6.
—	—	16	— III, 6. XVI, 34.

Lib.	tit.	dig.	
XVIII	1	18	— XVI, 12.
—	—	29	— XVI, 15. 70.
—	—	31	— XVI, 15.
—	—	34 §. 7	— XVI, 11.
—	—	43 §. 2	— III schol. 17.
—	—	46	— XVI, 9.
—	—	62	— XVI, 9.
—	—	63 pr.	— XVI, 25.
—	2	44 pr.	— XXIII, 10.
—	3	2	— II schol. 15.
XIX	1	1	— III, 2. XV, 56.
—	—	4 §. 1	— XV, 56.
—	—	21 §. 1	— XVI, 28.
—	—	24	— VI, 62. XVI, 83.
—	2	9 §. 4. 5	— VII, 5.
—	—	11 §. 1. 4	— VII, 16.
—	—	13 §. 5. 6. 11	— VII, 5. 9. 20.
—	—	15 §. 2—4	— VII, 16. 23.
—	—	19 §. 1. 6	— VII, 7. 22. 29.
—	—	25 §. 6. 7	— VII, 8. 10.
—	—	30 §. 2	— VII, 6.
—	—	38	— VII, 30.
—	—	40	— VII, 7.
—	—	42	— VII, 29.
—	—	54	— VII, 18. XIX, 10.
—	—	55 §. 2	— VII, 15.
—	—	56	— VII, 19.
—	—	62	— VII, 32.
—	5	25	— II, 14.
XX	1	16 §. 1	— XVIII, 2.
—	—	19	— XVII, 24.
—	2	1	— X, 21.
—	3	1 §. 1	— XVIII, 4.
—	4	4	— XVIII, 8.
—	—	11 §. 4	— p. 406 not. 9.
—	6	4 §. 1	— XVIII, 13.
XXI	1	31 §. 22. 23	— XVI, 26.
—	—	56	— XIX, 3.
—	—	58 §. 2	— XVI, 22. p. 386 not. 41.
—	2	12	— XVI, 10.
—	—	43	— VI, 36.
—	—	62 §. 1	— XVI, 58.
—	—	63 §. 1	— XVI, 62.
—	—	67	— XVI, 63.
—	—	69 §. 6	— XVI, 74.
—	—	70	— XVI, 64.

Lib.	tit.	dig.	
XXI	3	70	— XVI, 59.
XXII	3	7	— XII,29.XVI,22.
—	—	10	— XV, 28.
—	—	11	— XII, 8.
—	—	14	— XII, 24.
—	—	21	— XII, 6.
—	5	3pr.§.3—5	— XIII, 10—12. 22.
—	—	4	— XIII, 21.
—	—	9. 10	— XIII, 25.
—	—	15 §. 1	— p. 364 not. 66.
—	—	17	— XIII, 24.
—	—	21 §. 2	— XIII, 26.
—	—	23	— XIII, 23.
—	—	24	— XIII, 9.
—	—	25	— XIII, 28.
—	6	1 §. 2	— III, 2.
—	—	9 pr. §. 2	— III, 1. 6.
XXIII	1	1	— XX, 1.
—	—	4	— XX, 2.
—	—	6	— XX, 5.
—	—	7 pr.	— XX, 1.
—	—	9	— XX, 10.
—	—	10	— XXI, 5.
—	—	12	— XX, 6.
—	—	13	— XX, 9.
—	—	14	— IV, 16.
—	—	15	— XX, 12.
—	—	17	— XX, 13.
—	—	18	— XX, 3.
—	2	1	— XXIII, 1.
—	—	4	— XXIII, 12.
—	—	5	— XXIII, 11.
—	—	6	— XX, 15. XXIII, 11.
—	—	7	— XXIII, 11.
—	—	9 pr.	— XXIII, 5.
—	—	10. 11	— XXIII, 26.
—	—	12 §. 1	— XXII, 15.
—	—	14 §. 1—4	— XXII, 15—18. 27.
—	—	15	— XXII, 18. 19.
—	—	16 pr. §. 2	— XXII, 34. XXIII, 25.
—	—	19	— XIV, 32.
—	—	20	— XXIII, 14.
—	—	24	— XXIII, 38.
XXIII	2	25	— XXIII, 4.
—	—	35	— p. 425 not. 6.
—	—	38 pr. §. 2	— XXIII, 21.
—	—	39. 40	— XXII, 20.
—	—	42	— XXII, 21.
—	—	43	— XXIII, 38.
—	—	45 pr. §. 4. 6	— XXII I, 28. 29.
—	—	54. 55	— XXII, 22. 23.
—	—	62 §. 1. 2	— XXII,24.XXIII, 15.
—	—	65	— XXIII, 21.
—	—	66 pr.	— XXIII, 15.
—	—	67 §. 2. 4	— XXII, 24. 25. XXIII, 16.
—	—	68	— p. 270.
—	3	9	— III schol. 23.
—	—	39 §. 1	— XXIII, 37.
—	—	58 pr.	— XX, 17.
—	4	8	— XXIII, 23.
XXIV	1	32	— p. 268.
—	2	4	— p. 269.
—	—	5	— p. 269.
—	—	8	— p. 269.
—	—	9	— p. 269.
—	3	22	— p. 269. IV, 33.
XXV	3	5 §. 9	— p. 271.
—	7	1	— XXIII, 30.
—	—	3 pr.	— XXIII, 32.
XXVI	2	26 pr.	— XIV, 49.
—	5	20	— IV, 7.
—	7	7 pr.	— III schol. 17.
—	—	42	— IV, 14.
—	—	48	— IV, 13.
XXVIII	1	27	— II, 15.
—	5	9 §. 5. 6	— III, 25.
—	—	27 §. 2	— III, 29.
—	—	34	— III, 32.
—	7	8 pr.	— XII, 52.
XXIX	2	47	— IV, 26.
—	3	1	— XI, 45.
—	5	1 §. 33	— IV, 30.
—	—	3	— III, 7.
XXX	1	54 §. 1	— III, 28.
XXXI	1	1	— II, 12. 13.
—	—	34 §. 4	— III, 27.
XXXII	1	49 §. 4	— p. 430 not. 53.
XXXIII	1	1	— XVII, 3.

Lib.	tit.	dig.	
XXXIII	2	31	— XIV, 41.
—	8	6 §. 1	— II schol. 4.
XXXIV	3	5 pr.	— XIX, 10.
—	5	26	— III schol. 20.
—	9	16	— p. 270.
XXXV	1	10	— XXIII, 13.
—	—	24	— III schol. 21.
—	—	25 §. 1	— III, 31.
—	—	107	— III, 25.
—	2	1 §. 17	— II, 5 schol. 3.
—	—	4	— III schol. 15.
—	—	8	— p. 396 not. 33.
—	—	9	— IV, 3.
—	—	15	— I schol. 22.
XXXVII	1	3 §. 8	— XIV, 28.
—	—	10	— III, 8.
—	4	3 §. 5	— XXIII, 9.
—	9	1 §. 15	— IV, 5.
—	10	3 §. 5	— VII, 36.
XXXVIII	1	7 §. 5	— IV, 31.
—	8	9 §. 1	— IV, 19.
—	10	5	— XXII, 31.
XXXIX	2	7 pr.	— XV, 53.
—	—	48	— XVI, 38.
—	3	10 §. 2	— XV, 51.
—	—	20	— III, 12.
—	4	7	— XV, 29.
—	5	33 pr.	— XIX, 18.
—	9	13	— XXII, 28.
XL	1	1	— III schol. 24.
—	4	10	— II, 26.
—	—	54 pr.	— III, 13.
—	9	21	— XXIII, 29.
—	12	7 §. 2	— VI, 21.
XLI	1	7	— XV, 49. 50. 54.
—	—	12	— X, 16.
—	—	30 §. 3	— XV, 52.
—	2	1	— II, 18. VI, 1. 4. 5. 6.
—	—	3 §. 6. 12. 13. 18	— VI, 4. 7. 8.
—	—	4	— VI, 9.
—	—	10 §. 1	— VI, 10.
—	—	12	— VI, 11.
—	—	13 §. 12	— VI, 11.
—	—	16	— VI, 12.
—	—	19 pr. §. 1	— VI, 13. 14.
XLI	2	24. 25	— VI, 17. 18.
—	—	27	— VI, 19.
—	—	31	— VI, 19.
—	—	34 pr.	— VI, 19.
—	—	44 pr.	— VI, 19.
—	—	46	— VI, 19.
—	3	32	— XVI, 36.
—	—	44	— V, 28. IX, 34.
—	4	8	— p. 383 not. 11.
—	7	1	— III, 14. 17.
XLII	1	2	— p. 391 not. 102.
—	—	6 §. 2	— XVI, 69.
—	—	7	— XVI, 69. p. 373 not. 113.
—	—	10	— XVII, 5.
—	—	14	— I schol. 5.
—	—	19 §. 1	— XVII, 6.
—	—	31	— p. 394 not. 10.
—	2	2	— III, 6.
—	3	1	— XVII, 81.
—	—	2	— XVII, 14. 82.
—	—	3	— XVII, 9.
—	—	6	— XVII, 9.
—	4	—	— XVII, 10.
—	—	7 pr. §. 1. 14	— XVII, 7. 8. 15.
—	5	1—3	— XVII, 78.
—	—	9 §. 5	— p. 399 not. 72.
—	—	24 pr.	— IV, 14.
—	—	26	— XVII, 13.
—	—	38 pr.	— XVII, 12.
—	—	39 pr. §. 1	— XVI, 72. XVII, 12.
—	8	—	— XVII, 11.
—	—	10 pr. §. 14	— XVII, 16. 17.
XLIII	9	—	— XV, 4.
—	12	1 §. 6	— XV, 7.
—	—	3	— XV, 55.
XLIV	3	6 pr.	— XVI, 71.
—	—	13 §. 1	— XV, 27.
—	4	2 §. 6	— p. 404 not. 118.
—	—	4 §. 5	— XVI, 20.
—	—	5 §. 5	— XVII, 18. 19.
—	—	17 pr.	— II, 8.
—	5	1 pr.	— XII, 60.
—	7	6	— p. 411 not. 11.
—	—	61 pr.	— XIX, 32.
XLV	1	1 §. 2	— III, 22.

Lib.	tit.	dig.	
XLV	1	6	— IV, 27.
—	—	19	— I, 23.
—	—	38 §. 18	— III, 23.
—	—	41	— III, 34.
	—	63	— III, 38.
—	—	97	— XXIII, 31.
—	—	105	— p. 399 not. 72.
—	—	115	— p. 411 not. 11.
—	—	127	— XIX, 31.
XLVI	1	1	— p. 410 not. 3.
—	—	3	— XIX, 2.
—	—	6. 7	— II schol. 13.
—	—	8 pr. §. 1. 2	— XIX, 1.
—	—	11. 12	— XIX, 4.
—	—	15	— XIX, 15.
—	—	18	— XIX, 19.
—	—	25	— IV, 27.
—	—	42	— XIX, 27.
—	—	48	— XIX, 16.
—	—	68 §. 1	— XIX, 21.
—	—	70 §. 4	— IV, 27.
—	2	1	— II schol. 8.
—	—	34 pr.	— XVII, 55.
—	3	19	— XVII, 55.
—	—	22	— XIX, 23.
—	—	36	— p. 307 not. 17.
—	—	55	— II schol. 14.
—	—	102 pr.	— XVII, 52.
—	5	5	— XIX, 32.
XLVII	2	14 §. 10	— XIX, 30.
—	—	— §. 15	— VI, 44.
—	10	13 §. 7	— II, 28.
—	—	17 §. 11	— IV, 28.
XLVIII	2	10	— XIII, 20.
—	3	2 §. 2	— p. 411 not. 11.
—	—	3	— XIX, 9.
—	5	13 §. 3	— XX, 16.
—	—	27	— XVI, 21.
—	—	32. 33	— I, 19.
—	8	12	— IV, 28.
—	11	8	— p. 383 not. 11.
—	13	1	— III schol. 12.
—	—	4	— XIV, 26.
—	15	2	— XVI, 37.
—	18	1 §. 10	— p. 360 not. 10.
—	—	— §. 1. 15. 19	— XVI, 17. 19.
—	—	15 pr.	— p. 363 not. 37.

Lib.	tit.	dig.	
XLVIII	19	9 §. 4	— XIV, 71.
—	—	41	— I, 41.
—	—	42	— I, 37.
—	20	7	— II, 7.
XLIX	2	1 §. 4	— XIV, 38.
—	12	—	— p. 369 not. 65.
—	14	3 §. 6	— XIX, 25.
—	—	18 §. 10	— XV, 34.
—	15	12 §. 7—9	— XVI, 23.
L	8	1 §. 7	— III, 21.
—	—	3 §. 3	— XIX, 24.
—	10	5 §. 1	— XV, 7.
—	13	1 §. 12	— XIV, 69.
—	—	— §. 13	— p. 373 not. 117.
—	17	2 §. 1	— IV, 29.
—	—	5	— IV, 29.
—	—	9	— III, 19.
—	—	11	— III, 15. sch. 13.
—	—	32	— II schol. 9. 10.
—	—	41 §. 1	— III, 18.
—	—	45	— III, 6.
—	—	48	— III, 10. schol. 9
—	—	60	— III, 15.
—	—	76	— III, 24.
—	—	79	— I schol. 14.
—	—	80	— II, 25.
—	—	85 §. 2	— I, 18.
—	—	90	— III, 20.
—	—	100	— I schol. 15.
—	—	116 §. 2	— III, 12.
—	—	135	— II, 12.
—	—	145	— III, 11.
—	—	147	— II, 26.
—	—	157	— III, 15. 19.
—	—	159	— III, 17.
—	—	161	— III schol. 21.
—	—	168	— III, 19.
—	—	174	— III, 25.
—	—	180	— II, 14.
—	—	182	— III, 14.
—	—	188	— II schol. 12.
—	—	192 pr.	— II, 17.
—	—	206	— II, 10.

C. Codex.

Lib.	tit.	const.	
I	2	7	— XV, 22.
—	3	8	— XI, 17.
—	—	22 pr.	— VIII, 30.
—	—	36 §. 1	— VIII, 45.
—	—	37	— VIII, 45.
—	—	38	— VIII, 39.
—	—	41 §. 2	— VIII, 20.
—	—	44	— VIII, 46.
—	—	45	— VIII, 13.
—	—	46 pr.	— VIII, 44.
—	—	51	— VIII, 49.
—	—	52 §. 2. 3	— VIII, 40. 41.
—	—	53	— VIII, 48.
—	—	54	— VIII, 42. XX, 23.
—	4	16	— XX, 24.
—	—	28	— XXIII, 24.
—	5	7	— I schol. 17.
—	—	13	— XX, 22.
—	—	19	— XX, 22.
—	12	3	— VIII, 16. 17.
—	—	6	— VIII, 18.
—	14	1	— I, 28.
—	—	3	— II, 25. schol. 19.
—	—	5	— I, 17. 24. schol. 12.
—	—	6	— I schol. 17.
—	—	7	— I, 33.
—	—	9	— I, 32.
—	—	11	— I, 34. II, 24.
—	—	12	— I schol. 18. II, 27.
—	18	1	— III, 3.
—	—	2	— III schol. 7. 10.
—	—	4	— III schol. 5.
—	—	7	— III, 4. schol. 4.
—	—	11	— III schol. 1.
—	—	13	— III schol. 2.
—	19	5	— XIV, 56.
—	21	1	— XIV, 60.
—	—	2	— XIV, 61.
—	—	3	— XIV, 62.
—	22	1	— XIV, 50.
—	—	2	— XIV, 58.
—	—	5	— XIV, 59.
—	23	5	— I schol. 12.
—	28	3	— XIV, 1.
—	31	2	— XIV, 9.

Lib.	tit.	const.	
I	40	3	— XIV, 4.
—	—	9	— XIV, 8.
—	—	11	— XIV, 29.
—	—	13	— XIV, 10. 11.
—	45	1	— XIV, 34.
—	46	2	— XII, 39.
—	51	14	— XIV, 43.
—	53	—	— XIV, 23.
—	54	4. 5	— XIV, 80. 81.
—	—	6	— XIV, 78.
II	1	1	— XII, 12.
—	—	4	— XII, 12.
—	—	5. 6	— XVII, 25. 26.
—	—	7	— XII, 13.
—	2	4	— XIV, 53.
—	3	3	— XI, 2.
—	—	4	— XII, 5.
—	—	6	— XI, 1.
—	—	10—12	— XI, 3—5.
—	—	15	— XI, 18. 19.
—	—	17	— XI, 6.
—	—	19—22	— XI, 7—11.
—	—	23. 24	— XI, 14—16.
—	—	25	— XI, 11.
—	—	28	— XI, 12. 13.
—	—	29	— XI, 17.
—	4	1	— XI, 24.
—	—	2	— XI, 22.
—	—	3	— XI, 24.
—	—	4	— XI, 23.
—	—	5	— XI, 25.
—	—	8	— XI, 26.
—	—	10	— XI, 27.
—	—	13	— XI, 28. 30.
—	—	14	— XI, 31.
—	—	16	— XI, 31.
—	—	17	— XI, 32.
—	—	18	— XI, 46. 47.
—	—	19	— XI, 33.
—	—	20	— XI, 34.
—	—	21	— III schol. 5.
—	—	22	— XI, 32.
—	—	23	— XI, 35.
—	—	25	— XI, 18. 38.
—	—	26	— XI, 39.
—	—	31	— XI, 44.
—	—	32	— XI, 44. 47.

Lib.	tit.	const.	
II	4	34	— XI, 18. 36.
—	—	35	— XI, 37.
—	—	37	— XI, 40.
—	—	38	— III schol. 8.
—	—	39	— XI, 42.
—	—	40	— XI, 40.
—	—	41	— XI, 41. XII, 42.
—	—	42	— XI, 43.
—	6	2	— XIV, 74.
—	—	4	— XIV, 74.
—	—	5	— XIV, 74.
—	—	6	— XIV, 43. 74.
—	7	1	— XIV, 75.
—	9	1	— XIV, 66.
—	—	2	— XIV, 57.
—	—	3	— XIV, 60.
—	11	20	— XVII, 90.
—	12	3	— IX, 43.
—	—	5	— IX, 43.
—	—	7	— VII, 28.
—	—	15	— IX, 44.
—	—	16	— XVI, 67.
—	13	1	— XIV, 20. 21.
—	14	—	— XIV, 19. 20. p. 366 not. 24.
—	18	1	— IX, 4.
—	—	4—6	— IX, 5—7.
—	—	11	— IX, 4.
—	—	12	— IX, 8. 27.
—	—	13	— IX, 10.
—	—	21	— IX, 11.
—	—	22	— IX, 12.
—	19	8	— IX, 42.
—	21	4	— XII, 21.
—	27	1	— IV, 32.
—	29	1	— XXI, 17. 18.
—	42	2	— XII, 22.
—	—	3	— XII, 22. 23.
—	44	2	— XX, 27.
—	—	3	— p. 417 not. 38.
—	54	1	— XVI, 39.
—	55	1	— XIV, 76.
—	—	5 §. 2	— XIV, 76.
—	58	2	— XIV, 48.
III	1	5	— XIV, 45.
—	—	6. 7	— XII, 25.
—	—	8	— I schol. 10.

Lib.	tit.	const.	
III	1	9	— XIV, 64.
—	—	11	— XIV, 49.
—	—	12	— XIV, 55.
—	—	13	— XII, 37. 38.
—	—	17	— III schol. 3.
—	4	—	— XIV, 63.
—	10	1	— XVII, 32.
—	—	2	— XVII, 31.
—	11	1	— XIV, 82.
—	—	2	— XII, 7.
—	13	2	— XII, 14.
—	—	4	— XIV, 37.
—	—	5	— XII, 15.
—	—	6	— XII, 40.
—	16	1	— VI, 22.
—	21	1	— p. 352 not. 21.
—	31	—	— p. 355 not. 61.
—	32	8	— p. 391 not. 101.
—	—	17	— XVI, 73.
—	—	25	— XV, 42.
—	—	28	— XII, 12. XV, 42.
—	33	13	— VI, 38.
IV	1	1	— XII, 67.
—	—	2. 3	— XII, 42. 43.
—	—	7	— XII, 61.
—	—	9	— XII, 61.
—	—	10	— p. 359 not. 102.
—	—	11	— XII, 41.
—	2	1. 2	— XVII, 27. 28.
—	—	3	— XIV, 23.
—	—	5	— XVII, 37. 38.
—	—	6	— XVII, 29.
—	—	11	— XVII, 45.
—	—	12	— XVII, 34.
—	—	14	— XVII, 46.
—	—	16	— XVII, 47.
—	—	17	— XVII, 33.
—	3	1	— IX, 41.
—	4	1	— XVII, 35.
—	—	21	— III, 6.
—	5	4	— XVII, 36.
—	—	6. 7	— XVII, 41.
—	—	8	— XVII, 42.
—	—	9	— XVII, 41
—	6	10	— III, 28.
—	8	6	— XIV, 44.
—	10	2	— IX, 45

Lib.	tit.	cap.	
IV	10	3	— VII, 27.
—	—	11	— p. 401 not. 89.
—	12	3	— p. 409 not. 36.
—	—	4	— p. 409 not. 41.
—	18	2	— XIX, 14.
—	19	1	— XII, 2. 3.
—	—	2	— XII, 9. p. 353 not. 32.
—	—	8	— XII, 1.
—	—	9	— XII, 21.
—	—	11	— XII, 6.
—	—	13. 14	— XII, 27.
—	—	15	— XII, 28.
—	—	19	— XII, 30.
—	—	21	— XII, 10. 18.
—	—	24	— XIII, 43.
—	—	25	— XIII, 44.
—	20	1	— XIII, 5.
—	—	3	— XIII, 9.
—	—	4	— XIII, 37. p. 360 n. 10.
—	—	7	— XIII, 27.
—	—	8	— XII, 29. XIII, 29.
—	—	9	— XIII, 30.
—	—	13	— XIII, 33. 34.
—	—	14	— XIII, 35.
—	—	15	— XIII, 31. 32. 36. 38.
—	—	16	— XIII, 39. p. 360 n. 10.
—	—	17	— XIII, 15. 16.
—	—	18	— XVII, 91.
—	—	19	— XIII, 13.
—	21	1	— XII, 32.
—	—	3	— XII, 11.
—	—	8	— XII, 32.
—	—	13	— XII, 35.
—	—	14	— XII, 34.
—	—	16	— XII, 36.
—	—	19	— I schol. 17.
—	—	22	— XII, 13.
—	—	23	— I schol. 12.
—	22	—	— III, 12. p. 391 n. 101.
—	—	2	— III, 6.
—	—	3	— p. 408 not. 29.
—	—	4	— XII, 17.
—	—	5	— III, 5.
—	24	1. 2	— XVII, 61. 62.
—	—	4	— XVII, 53.
—	—	5. 6	— XVII, 54.
—	—	7	— XVII, 56.
IV	24	11. 12	— XVII, 57. 58.
—	25	1	— XVII, 59.
—	26	3	— IX, 16.
—	—	5	— IX, 17.
—	—	7	— IX, 18.
—	—	9	— IX, 19.
—	—	10	— IX, 20.
—	—	12	— IX, 21.
—	—	13	— IX, 23. p. 400 n. 78.
—	28	3	— IX, 26. XVII, 74.
—	—	5—7	— XVII, 74—76.
—	29	1	— p. 408 not. 36.
—	—	2	— p. 403 not. 109.
—	—	4	— XVII, 83.
—	—	5	— XVIII, 24.
—	—	6	— XVIII, 29.
—	—	7	— XVIII, 26.
—	—	8	— XVIII, 29.
—	—	9	— XVIII, 26. p. 408 not. 36.
—	—	12	— XVIII, 25.
—	—	22	— XVIII, 28.
—	—	23	— XVIII, 26.
—	30	4	— XVII, 40.
—	—	10	— XVII, 39.
—	—	14 §. 4	— p. 397 not. 50.
—	32	3	— p. 404 not. 112.
—	—	14	— p. 404 not. 112.
—	—	26	— XVII, 86. 89.
—	—	28	— XVII, 90.
—	33	2	— XVII, 88.
—	—	4	— XVII, 87.
—	34	1	— XVIII, 18.
—	—	5. 8	— XVIII, 22.
—	—	9	— XVIII, 12.
—	—	12	— XVIII, 23.
—	35	4	— IX, 9.
—	—	6	— XIX, 8.
—	—	13	— IX, 9.
—	—	20	— IX, 44.
—	—	22	— IX, 44.
—	36	1	— XVI, 16.
—	37	1	— X, 8.
—	—	2. 3	— X, 26. 27.
—	—	5	— X, 3.
—	38	1. 2	— XVI, 43. 44.
—	—	3	— XVI, 33.

Lib.	tit.	const.	
IV	38	9	— XVI, 33. 46.
—	—	11	— XVI, 44.
—	—	13	— XVI, 45.
—	—	15	— XVI, 46.
—	39	3	— XVI, 47.
—	—	4	— XVI, 24.
—	40	—	— XVI, 49.
—	—	1	— XVI, 50.
—	41	—	— XVI, 49.
—	43	—	— XVI, 51.
—	44	1	— XVI, 29.
—	—	2	— XVI, 30.
—	—	6	— XVI, 33.
—	—	8	— XVI, 32.
—	—	9	— XVI, 52.
—	—	10	— p. 385 not. 33.
—	—	12	— XVI, 53. 61.
—	—	13	— XVI, 61.
—	—	15	— XVI, 31.
—	—	17	— XV, 61.
—	—	18	— XV, 60.
—	46	1	— XV, 59.
—	—	2	— XV, 58.
—	47	1	— p. 379 not. 53.
—	—	3	— XV, 30.
—	48	2	— XVI, 6.
—	49	—	— XVI, 54.
—	—	4. 5	— p. 387 not. 58.
—	—	7	— XVI, 16.
—	—	8	— XVI, 55.
—	—	12	— p. 383 not. 18.
—	50	2	— p. 391 not. 101.
—	—	6	— XVI, 40. 68.
—	51	2	— III schol. 6. p. 408 not. 34.
—	—	6	— p. 408 not. 34.
—	—	10	— p. 400 not. 76.
—	54	6	— XVI, 30.
—	55	1	— XVI, 79.
—	—	3	— XVI, 78.
—	—	4	— XVI, 80.
—	—	5	— XVI, 78.
—	56	3	— XVI, 81.
—	57	5	— XVI, 82.
—	58	2	— XVI, 27.
—	59	2	— XV, 25.
—	61	5	— XV, 45.
IV	62	—	— XV, 32.
—	63	—	— XVI, 49.
—	—	3	— XII, 40.
—	65	3	— VII, 19.
—	—	6	— VII, 27.
—	—	7	— VII, 25.
—	—	8	— VII, 24.
—	—	16	— VII, 11.
—	—	20	— VII, 12. 17.
—	—	21	— VII, 26.
—	—	22	— VII, 30.
—	—	33	— VII, 14.
—	—	34	— VII, 17. 21.
—	—	35	— VII, 28.
—	66	1	— VII, 34. XVI, 60.
—	—	2	— VII, 35.
—	—	3	— VII, 42.
V	1	1	— XX, 13.
—	—	3	— XX, 25. 28.
—	—	4	— XX, 8.
—	—	5	— XX, 21. 26.
—	—	6	— XXI, 16.
—	2	1	— XX, 18. 19.
—	3	1. 2	— XXI, 1—3.
—	—	3	— XXI, 15.
—	—	4	— XXI, 6.
—	—	5	— XXI, 7.
—	—	6	— XXI, 12. 13.
—	—	7	— XXI, 8.
—	—	9	— XXI, 4.
—	—	11	— XXI, 9.
—	—	13	— XXI, 14.
—	—	15	— XXI, 10.
—	—	16	— XXI, 11.
—	4	1	— XXIII, 5.
—	—	5	— XXIII, 19.
—	—	6	— XXIII, 22.
—	—	15	— p. 270.
—	—	18	— XXIII, 6.
—	—	25	— XX, 20. XXIII, 24.
—	—	26	— XXII, 30. XXIII, 33.
—	—	27	— XXIII, 34.
—	6	1	— XXIII, 17. p. 415 not. 14.
—	—	2	— XXII, 33.
—	—	5	— XXII, 32. XXIII, 18.
—	7	—	— XIV, 13.

Lib.	tit.	const.	
V	12	24	— p. 268.
—	—	27	— XV, 44.
—	—	29	— XVIII, 30.
—	17	4. 5	— p. 269.
—	20	1	— XIX, 28.
—	35	—	— p. 271.
—	45	1	— XVIII, 29.
—	71	4	— XVI, 76.
—	—	7	— I schol. 11.
—	72	2	— p. 392 not. 111.
VI	2	19	— IX, 15.
—	27	3	— p. 270.
—	31	6	— III schol. 7.
—	46	7	— III, 28.
VII	19	5	— XII, 26.
—	32	8	— III schol. 15.
—	40	1	— XII, 38.
—	45	13	— XIV, 49.
—	—	15	— XIV, 55.
—	48	4	— XIV, 63.
—	49	1. 2	— XIV, 52.
—	57	1. 2	— p. 369 not. 70.
—	60	2	— XI, 24.
—	62	6	— XIII, 13.
—	—	8	— XIV, 60.
—	63	5	— XIV, 65.
—	73	2	— XVII, 80.
—	75	6	— XI, 15.
VIII	5	1	— XII, 25.
—	10	2	— XV, 9.
—	—	12	— VII, 31. XV, 12.
—	11	6	— XV, 10.
—	—	8	— XV, 21.
—	17	6	— XVIII, 9.
—	—	8	— XVIII, 10.
—	19	2	— XVIII, 5.
—	—	3	— XVIII, 6. 7.
—	25	2	— XVIII, 3.
—	35	4	— III schol. 4.
—	36	2	— XII, 4.
—	—	3	— XVIII, 32.
—	—	4	— XVIII, 33. 34.
—	39	2	— XVII, 34.
—	40	1	— XIX, 20.
—	—	4	— XIX, 22.
—	—	7	— p. 396 not. 33.
—	—	24	— p. 413 not. 30.

Lib.	tit.	const.	
VIII	40	26	— XIX, 6.
—	44	14	— XVI, 66.
—	—	19	— XVI, 57.
—	—	21	— XVI, 65.
—	—	27	— XVI, 34.
—	52	2	— II, 28.
—	53	31	— XIII, 30.
IX	2	5	— XII, 16.
—	4	6	— XII, 37.
—	9	10	— XI, 46.
—	13	—	— XXII, 29.
—	22	3	— I schol. 17.
—	41	12	— XIII, 29.
—	44	3	— XII, 37.
X	6	2	— XV, 62.
—	16	3	— XV, 29.
—	—	7	— XV, 15.
—	—	10	— XV, 16.
—	19	2	— XV, 46.
—	21	1	— XV, 17.
—	30	4	— XV, 13.
XI	57	—	— XV, 17.
—	58	5	— XV, 18. 40.
—	—	7	— XV, 39. 41.
—	62	14	— p. 380 not. 70.
—	65	1	— VII, 42.
—	75	4	— XV, 22.
XII	1	10	— p. 369 not. 60.
—	—	12	— XIV, 12.

D. Novellae Justiniani.

Nov.	4	— XVII, 64. XIX, 5. 7.
„	5	— VII, 35. 38.
„	6	— VIII, 47. 48.
„	7	— VII, 39. VIII, 2 - 4. 14.
„	8	— VIII, 19. XIV, 3—5. 7—19. 27. 31. XV, 26. p. 365 not. 3.
„	12	— p. 270.
„	17	— VIII, 5. XIV, 6. 15. 24. 33. 35. XV, 36—38.
„	18	— XV, 33. XVII, 60. XVIII, 31.
„	22	— p. 268 sq. VIII, 37. XXIII, 23. 28. p. 431 not. 64.
„	46	— VIII, 9.
„	52	— XVII, 66.
„	55	— VIII, 12.
„	60	— XVII, 67. (XV, 43.)

Nov. 61 — XVIII, 27.
» 71 — XIV, 34.
» 73 — XVII, 60.
» 74 — p. 270 sq. XXIII, 10.
» 78 — p. 271.
» 81 — V, 3.
» 82 — p. 365 not. 1. XIV, 77.
» 88 — XVIII, 14.
» 89 — p. 270 sq.
» 90 — XIII, 1—8. 14. 18. 19.
» 97 — XVII, 50. 79.
» 112 — XII, 36.
» 115 — XI, 20. XIX, 1. XXIII, 7.
» 116 — XV, 23.
» 117 — p. 271. XXIII, 10.
» 119 — XII, 34.
» 120 — VII, 35. 37. 38. 40. 41. VIII, 1. 5—8.
» 123 — VIII, 25—29. 31—33. 36. 40. 43. 45. 50.
» 126 — XIV, 65.
» 128 — XV, 40.
» 131 — VIII, 10. 11. 13. 34.
» 134 — XV, 8. XVII, 82. XVIII, 11.
» 137 — VIII, 21—24.
» 143 — XXII, 29.
» 150 — XXII, 29.
» 158 — III schol. 16.
» 160 — XVII, 90.

E. Prochiron.

Tit.	cap.	
I	1. 2	— XX, 1.
—	4	— XX, 5.
—	5. 6	— XX, 6.
—	7	— XX, 9.
—	8	— XX, 7.
—	9. 10	— XX, 13.
—	11	— XX, 3.
—	12	— XX, 14.
—	13	— XX, 20.
—	14	— XX, 22.
II	1	— XX, 28.
—	3	— XX, 24.
—	5	— XX, 27.
—	8	— XX, 18. 19.
III	1	— XXI, 1. 2.
—	2	— XXI, 3.
III	3. 4	— XXI, 15. 16.
—	5	— XXI, 12. 13.
—	6	— XXI, 4.
—	7	— XXI, 14.
IV	1	— XXIII, 1.
—	5	— XXIII, 12.
—	6	— XXIII, 11.
—	7	— XXIII, 5.
—	9	— XXIII, 26.
—	11	— XXIII, 14.
—	12	— XXIII, 4.
—	13	— XX, 14.
—	16	— XXIII, 16.
—	17	— p. 426 not. 17.
—	18	— XXIII, 5.
—	19	— XXIII, 6.
—	23	— XXIII, 35.
—	24	— XXIII, 8. 36.
—	25	— XX, 14. XXIII, 39. 40.
—	26	— XX, 14. XXIII, 32.
V	5	— XVIII, 30.
VII	1	— XXII, 1—7.
—	2—9	— XXII, 8—14.
—	10—18	— XXII, 15—23.
—	20	— XXII, 24.
—	21	— XXII, 26.
—	22	— XXII, 25. XXIII, 16.
—	23. 24	— XXII, 27. 28.
—	27. 28	— XXII, 29, 30.
IX	15. 16	— XVII, 79.
—	17	— XVII, 80.
—	19	— XVII, 83.
—	20	— XVII, 82.
XIV	1	— XVI, 1—3.
—	2	— XVI, 9.
—	3	— XVI, 4. 8.
—	4	— XVI, 7.
—	6	— XVI, 12.
—	7	— XVI, 15.
—	8	— XVI, 11.
—	9	— XVI, 13.
—	10	— XVI, 10.
—	11	— XVI, 14.
XV	1	— VII, 37.
—	4	— VII, 38.
—	5	— VII, 36.
XVI	1. 2	— XVII, 61. 62.

Tit.	cap.	
XVI	5	— XVII, 54.
—	6—9	— XVII, 56—59.
—	10	— XIX, 5.
—	11	— XVII, 64.
—	12. 13	— XVII, 60.
—	14	— II, 20. XVII, 85.
XVII	2. 3	— VII, 5.
—	4. 5	— VII, 16.
—	9	— VII, 9.
—	10	— VII, 5.
—	12	— VII, 20.
—	13	— VII, 23.
—	14	— VII, 7.
—	15	— VII, 29.
—	16	— VII, 22.
—	19	— VII, 10.
—	20	— VII, 8.
—	21	— VII, 6.
—	22	— VII, 6. 7.
—	23	— VII, 29.
—	24	— VII, 18.
—	25	— VII, 15.
—	26	— VII, 19.
—	28	— VII, 32.
XVIII	1	— XVIII, 1.
—	2. 3	— XVIII, 15. 16.
—	5	— XVIII, 17.
—	6	— XVIII, 21.
—	8	— XVIII, 12
—	9	— XVIII, 21.
—	11	— XVIII, 18. 19.
—	12	— XVIII, 20.
XIX	2	— X, 2.
—	3. 4	— X, 4. 5.
—	5	— X, 1.
—	6	— X, 7.
—	7	— X, 6. 10.
—	8—19	— X, 11—22.
XX	1. 2	— X, 23. 24.
XXIV	1	— VIII, 20.
—	2. 3	— VIII, 35. 36.

Tit.	cap.	
XXIV	4	— VIII, 38.
XXVI	1	— V, 6.
—	2	— V, 2.
—	5	— V, 1.
—	6. 7	— V, 4. 5.
—	8	— V, 3.
XXVII	1	— XIII, 1.
—	3. 4	— XIII, 2.3.
—	5. 6	— XIII, 6.7.
—	8—10	— XIII, 10—12.
—	11	— XIII, 24.
—	12	— XIII, 26.
—	15	— XIII, 15. 16.
—	16	— XIII, 8.
—	17	— XIII, 17.
—	18	— XIII, 14.
—	19	— XIII, 18.
—	21—24	— XIII, 19—22.
—	27	— XIII, 25.
—	29	— XIII, 23.
—	30	— XIII, 28.
—	31	— XIII, 27.
—	32	— XIII, 38. 40.
—	33. 34	— XIII, 41.
—	35	— XIII, 42.
—	36	— XIII, 37.
XXVIII	1	— VIII, 22.
—	2	— VIII, 21.
—	3. 4	— VIII, 23. 24.
XXXIX	46	— XII, 74.
—	67	— XXIII, 13.

F. Epanagoge.

Tit. II c. 1. 3 — I schol. 20. 21.

G. Basilica.

Lib. XIX	tit. 7	c. 21	— XV, 82.
₰ XLVIII	₰ 7	₰ 21	— p.429 not. 50.
₰ LVI	₰ 8		— XV, 17.

III. INDEX CAPITUM, QUAE HARMENOPULUS EX SYNOPSI MINORE IN HEXABIBLON CONTULIT.

I,	1,	1—11	= *Ν*, 1—12.
—	—	13—15	= *Ν*, 45.
—	—	16	= *Ν*, 73.
—	—	17	= *Ν*, 71.
—	—	18	= *Ν*, 50.
—	—	19	= *Ν*, 74.
—	—	20	= *Ν*, 79.
—	—	22	= *Ν*, 51.
—	3,	1—18	= *Α*, 36—45.
—	—	20. 21	= *Α*, 30.
—	4,	1	= *Δ*, 52.
—	—	7	= *Η*, 3.
—	—	9	= *Η*, 7.
—	—	18	= *Σ*, 30.
—	—	23. 24	= *Α*, 74. 75.
—	—	25	= *Β*, 31.
—	—	27	= *Δ*, 65.
—	—	39	= *Ψ*, 3.
—	5,	1	= *Μ*, 42. 43.
—	6,	12	= *Β*, 32. *Μ*, 66.
—	—	35	= *Μ*, 95.
—	—	57	= *Μ*, 22.
—	—	58	= *Μ*, 64.
—	7,	1	= *Ο*, 7.
—	11,	1	= *Β*, 55.
—	—	14	= *Β*, 60.
—	12,	1	= *Α*, 14.
—	13,	1	= *Γ*, 40.
—	—	4	= *Γ*, 31.
—	—	22	= *Γ*, 25.
—	18,	23	= *Κ*, 80.
—	—	35	= *Α*, 112.
II,	1,	1. 2	= *Ν*, 13. 14.
—	—	14	= *Α*, 39. 40.
—	—	65	= *Ν*, 47.
—	2,	1	= *Α*, 23.
—	5,	1. 2	= *Α*, 66. 67.
—	—	3	= *Α*, 70.
—	—	22	= *Τ*, 10.
—	10,	1	= *Χ*, 1.
—	—	2	= *Χ*, 21.
—	—	5	= *Χ*, 22.
—	11,	1. 2	= *Ν*, 15. 16.

II,	11,	3	= *Ν*, 18.
—	—	4	= *Ν*, 54.
—	—	5. 6	= *Ν*, 56. 57.
-	—	7	= *Π*, 119.
—	—	8—11	= *Ν*, 58—61.
—	—	12—15	= *Ν*, 64—67.
—	—	18	= *Ν*, 68.
—	—	19	= *Ν*, 22.
III,	3,	4	= *Α*, 88.
—	—	13	— *Α*, 99.
—	—	14	= *Α*, 94.
—	—	22	= *Α*, 102.
—	—	28	= *Α*, 90.
—	—	50	= *Α*, 98.
—	—	66	= *Α*, 92.
—	—	69	= *Π*, 93.
—	—	72	= *Π*, 18.
—	—	87	= *Α*, 106.
—	—	88	= *Π*, 87.
—	4,	1—3	= *Ε*, 22.
—	—	10	= *Α*, 7.
—	5,	1	= *Χ*, 7.
—	—	2	= *Α*, 22.
—	7,	4. 5	= *Τ*, 4. 5.
—	8,	2	= *Μ*, 5—7.
—	—	3	= *Μ*, 8.
—	—	4	= *Μ*, 13.
—	—	31	= *Μ*, 103.
—	9,	21	= *Α*, 25.
—	10,	15	= *Α*, 139.
—	—	17	= *Κ*, 92.
IV,	1,	1	= *Μ*, 27.
—	7,	6	= *Γ*, 45.
—	—	7	= *Γ*, 44.
—	10,	25	= *Δ*, 76.
—	—	47	= *Γ*, 13.
—	11,	10	= *Γ*, 23.
—	13,	1	= *Ν*, 3.
—	—	4	= *Γ*, 17.
V,	2,	4—7	= *Π*, 116.
—	7,	1	= *Κ*, 15.
—	—	2	= *Κ*, 17.
—	—	5	= *Κ*, 19.

V,	7,	6	= K, 95.	V,	11,	37	= Λ, 56.
—	8,	2	= K, 13.	—	—	40	= Λ, 45.
—	—	31	= Σ, 17.	—	—	41	= Λ, 58.
—	—	49	= K, 99.	—	12,	3	= E, 36.
—	9,	1	= Φ, 1.	—	—	15	= K, 23.
—	10,	4	= M, 2.	VI,	1,	1	= N, 23.
—	11,	1	= Λ, 2.	—	2,	1	= M, 47.
—	—	2–4	= Λ, 6–8.	—	—	2	= Γ, 32.
—	—	10	= Λ, 30.	—	—	4	= M, 59.
—	—	11	= Λ, 35.	—	—	5	= M, 55.
—	—	12	= Λ, 40.	—	—	6	= Γ, 31.
—	—	13	= Λ, 34.	—	—	7	= M, 50.
—	—	16. 17	= Λ, 42. 43.	—	—	12	= M, 52.
—	—	23	= Λ, 38.	—	5,	8	= K, 43.
—	—	24	= Λ, 54.	—	6,	1	= Φ, 11.
—	—	26	= Λ, 10.	—	—	2	= Φ, 18. 19.
—	—	27	= Λ, 23.	—	—	5	= Φ, 29.

IV. INDEX RERUM AC VERBORUM.

Basilica restituuntur p. 305 not. 83, p. 321 not. 88, p. 339 not. 46, p. 340 not. 58.

Codices MSS.: Bienerianus 4 — p. 268.

Bodlejanus 173 — p. 267.

Laurentianus LVI, 13 — p. 268; LXXX, 6 — p. 6.

τῆς μονῆς τοῦ διονυσίου — p. 6.

Paris. reg. gr. 1382 — p. 4; 1387 — p. 6.

Vaticanus 640 — p. 267; 2075 (Basil. 114) — p. 267; 39 ex bibl. Pii II — p. 7.

Vindob. jur. gr. 3 — p. 268; 4 — p. 4; 5 — p. 3.

Constantinus Porphyrogenitus p. 5.

Ἔκκριτοι p. 19 not. 55.

Epitome Laurentiana p. 272.

Julianus ICtus cum Servio Cornelio Edictum composuit p. 280.

Leo Sapiens p. 3. 4.

Minoides Minas p. 272 not. 56.

Manuel Porphyrogenitus p. 222.

Novellae constitutiones:

Alexii Comneni p. 50. 52.

Athanasii Patriarchae p. 5.

Basilii Macedonis p. 253. 297 not. 22.

Basilii Porphyrogeniti p. 256.

Constantini Porphyrogeniti p. 59. 65. 181. 227. 255.

Leonis Sapientis p. 16. 20. 25. 29. 50. 51. 52. 60. 66. 67. 68. 73. 76. 77. 81. 104. 108. 110. 125. 135. 160. 168. 178. 241. 242. 249. 315. 316 not. 64. 329. 428 not. 35.

Manuelis Comneni p. 32. 226. 256.

Nicephori p. 32.

Romani senioris p. 29. 30. 179.

Photius p. 291.

Romanus senior p. 4.

Symbatius p. 272 sq.

Tannerus p. 7.

Theodosius Zygomalas p. 8.

Lipsiae, typis J. B. Hirschfeld.

LECTURIS EDITOR S.

Quatuor abhinc annis Collectionem librorum Juris Graeco-Romani ineditorum edere coepi, quae Eclogam Leonis et Constantini, Epanagogen Basilii Leonis et Alexandri, Practicam ex actis Eustathii, Synopsin minorem sive *τὸ μικρὸν κατὰ στοιχεῖον*, et Epitomen legum contineret. Prior sectio, Eclogam et Epanagogen amplexa, anno 1852 Lipsiae prodiit sumtibus W. A. Barthii. Qui quum praematura morte abreptus esset, bibliopola humanissimus, T. O. Weigel, suadente et excitante viro doctissimo Leonida Sgouta, ICto Atheniensi, hoc muneris in se suscepit, ut reliquos libros supra laudatos typis mandaret. Proinde anno 1855 *Πεῖρα* sive Practica ex actis magni viri Eustathii Romani prelo exiit, nunc autem Synopsis minor et Epitomae tituli XXIII priores in publicum eduntur. Quod reliquum est, ut qui Epitomae titulos XXIV et sequentes ex Codice Basiliano eruat, propediem inveniatur, magnopere opto atque expeto!

D. in villa Grosskmehlen apud Ortrand
III Kal. Julias MDCCCLVI.

F. X. BEER
kgl: Hofbuchbinder
in
MÜNCHEN
Ledererga∫se N° 25.